
Google

PHILONIS ALEXANDRINI

OPERA QVAE SVPERSVNT

VOL. V

EDIDIT

LEOPOLDVS COHN

ADIECTAE SUNT TABULAE PHOTOTYPICAE DUAE



BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MCMVI

	M. Pf.
Acta fratrum arvalium quae supersunt restituit et illustravit Guil. Henzen. Accedunt fragmenta fastorum in luco arvalium effossa. Lex. 8. 1874	6.—
Acta nationis Germanicae universitatis Bononiensis ex archetypis tabularii Malvezziani. Jussu instituti Germanici Savigniani ediderunt Ernestus Friedlaender et Carolus Malagola. Cum quinque tabulis. Fol. 1887. geb. . . (38.—)	24.—
Alberti Magni ex ordine praedicatorum de vegetabilibus libri VII, historiae naturalis pars XVIII. Editionem criticam ab Ernesto Meyero coeptam absolvit C. Jessen.	4.—
Alexandri Aphrodisiensis commentarius in libros metaphysicos Aristotelis. Recensuit H. Bonitz. 8. 1847	4.—
Anonymus Londinensis. Auszüge eines Unbekannten aus Aristoteles-Menons Handbuch d. Medizin etc. Deutsche Ausgabe von H. Beckh u. F. Spät. 8. 1896 . . .	3.—
Apollonii Alexandr. de pronomine liber. Primum editus ab I. Bekkero. 8. 1813 .	2.—
— — de constructione orationis libri IV. Edidit I. Bekker. 8. 1817	3.—
— Sophistae lexicon Homericum. Ex recens. I. Bekkeri. 8. 1833	2.—
Aratus cum scholiis. Rec. I. Bekkerus. 8. 1828	1.—
Aristophanis fragmenta ed. Th. Bergk. 8. 1840	2.—
Aristotelis opera. Edid. Academia Regia Borussica. V vol. 4. 1831—1870 . . .	50.—
— Metaphysik übersetzt von Hermann Bonitz. Aus dem Nachlasse von Eduard Wellmann. 8. 1890	6.—
Aeschylus, Die Eumeniden des, übers. v. R. Kopisch. 8. 1845	1.—
Aviani fabulae. Carolus Lachmannus recensuit et emendavit. 8. 1845 . . .	—.50
Babrii fabulae Aesopeae. Carolus Lachmannus et amici emendarunt. Ceterorum poetarum Choliambi ab Aug. Meinekio collecti et emendati. 8. 1845 . . .	2.50
Bekker, I., Anecdota graeca. 8. Vol. I. 1815. Vol. II. 1816. Vol. III. 1821 . .	9.—
Boeckh, A., Über die Versmaße des Pindaros. 8. 1809	3.—
— Erklärung einer ägyptischen Urkunde auf Papyrus in griech. Cursivschrift. Mit 1 Steindrucktafel. 4. 1821	1.75
— Über die vierjährigen Sonnenkreise der Alten, vorzüglich der Eudoxischen. Ein Beitrag zur Geschichte der Zeitrechnung und des Kalenderwesens der Ägypter, Griechen und Römer. 8. 1863	3.—
— Die Staatshaushaltung der Athener. 3. Auflage. Herausgegeben und mit Anmerkungen begleitet von M. Fränkel. 2. Bde. mit Boeckhs Bildnis. 8. 1886	30.—
— Urkunden über das Seewesen des attischen Staates mit 18 Tafeln in Karton. 8. 1840 (zugleich Bd. III zu obigem Werk.)	8.—
Caesaris Augusti index rerum a se gestarum sive Monumentum Ancyranum. Ex reliquiis graecae interpretationis restituit Joannes Franzius. Commentario perpetuo instruxit A. W. Zumptius. 4. 1845	2.—
Catulli, Q. Valerii, Veronensis liber. Ex recensione C. Lachmanni. Editio tertia.	1.—
Censorini de die natali liber. Recensuit et emendavit O. Jahn. 8. 1846. . . .	2.—
Coluthi raptus Helenae. Edidit Imm. Bekker. 8. 1816	—.75
Commentaria in Aristotelem Graeca edita consilio et auctoritate academiae litterarum regiae Borussicae. Lex. 8. Verzeichnis der erschienenen Bände zu Diensten.	
Corpus inscriptionum Atticarum consilio et auctoritate academiae litterarum regiae Borussicae editum. Fol. Siehe Inscriptiones Graecae.	
Corpus inscriptionum Latinarum consilio et auctoritate academiae litterarum regiae Borussicae editum. Fol. Verzeichnis der erschienenen Bände zu Diensten.	
Demosthenis de corona oratio. In usum scholarum edidit Imm. Bekkerus. Apposita est lectio Reiskiana. 8. 1825	1.—
— Philippicae. In usum scholarum tertium edidit Imm. Bekkerus. Apposita est lectio Reiskiana. Edit. stereot. 8. 1850	1.—
Diels, H., Doxographi Graeci collegit recensuit prolegomenis indicibusque instruxit. Opus academiae litterarum regiae Borussicae praemio ornatum. Lex. 8. 1879	24.—
— Sibyllinische Blätter. 8. 1890	2.80
— Parmenides' Lehrgedicht, griechisch und deutsch. Mit einem Anhang über altgriechische Türen und Schlösser. Mit Abbildungen im Text. 8. 1897 . . .	5.—
Ephemeris epigraphica corporis inscriptionum latinarum supplementum edita jussu instituti archaeologici Romani cura G. Henzeni, J. B. Rossii, Th. Mommseni. Lex. 8. Verzeichnis der erschienenen Bände zu Diensten.	
Epigrammata Graeca ex lapidibus conlecta edidit Georgius Kaibel. 8. 1878. . .	12.—

PHILONIS OPERA

PHILONIS ALEXANDRINI

OPERA QVAE SVPERSVNT

EDIDERVNT

LEOPOLDVS COHN ET PAVLVS WENDLAND

VOL. V

CONTINENS DE SPECIALIBVS LEGIBVS LIB. I—IV
DE VIRTVTIBVS
DE FORTITVDINE
DE HVMANITATE
DE PAENITENTIA
DE NOBILITATE
DE PRAEMIIS ET POENIS
DE EXSECRATIONIBVS

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MCMVI

PHILONIS ALEXANDRINI

OPERA QVAE SVPERSVNT

VOL. V

EDIDIT

LEOPOLDVS COHN

ADIECTAE SVNT TABVLAE PHOTOTYPICAE DVAE

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MCMVI

PROLEGOMENA

In hoc volumine quinto, quo *de specialibus legibus* libri quattuor et qui illis quasi appendices adiecti sunt libri *de virtutibus* et *de praemiis et poenis* comprehenduntur, ad codices in superioribus voluminibus adhibitos nova et pretiosa subsidia artis criticae accesserunt duo, codices antiquissimi R et S.

R nobis est codex rescriptus Vaticanus graecus 316, membranaceus, olim formae maximae, duabus columnis, quarum unaquaeque ex triginta quinque versibus constabat, saeculo IX potius quam X nitidissime exaratus. simulacrum scripturae extat in tabula phototypica priore ad calcem huius voluminis adnexa (continet verba ὑπὸ τοῦ νόμου προσαγορευόμενοι — ὠφέλησε τὸν ἀνθρώπινον quae infra leguntur p. 80,11 ad 81,16). codex Angelo Maio[1]) cardinali olim cognitus et ab eo tractatus nec vero ut par erat numero significatus, postquam diu delituit, ante hos paucos annos casu rursus detectus est. stipendio ab Academia Regia scientiarum Berolinensi munifice collato fieri potuit, ut autumno anni 1904 Romam proficiscerer et codicem examinarem. ex itinere reversus de natura codicis in Actis Academiae[2]) rettuli. in ea commentatione quae fusius tractavi hoc loco brevius repetenda videntur. codex olim Philoneus saeculo XIV (ut videtur) foliis singulis diremtis aliterque conglutinatis (est enim nunc formae octavae) rescriptus est obliqua scriptura a recentiore librario adhibita. continentur hoc superiore et recentiore codice inprimis commentarii quidam ad Aristotelem a byzantinis scriptoribus conscripti.[3]) codicis antiqui Philonei tantum servata sunt folia 83 et dimidium. foliis quattuor disiecta membra De codice R

---

[1]) cf. A. Mai, Nova Patrum Biblioth. T. VI p. II pag. 67 adn.
[2]) Sitzungsber. der Kgl. Preuß. Akad. d. Wissensch. 1905 p. 36—52.
[3]) cf. Brandis in Abhandl. der Kgl. Preuß. Akad. d. W. 1831 p. 60, ubi codicem manu Ioannis Rhosi scriptum esse falso contenditur.

Philonea extant ad libros *de migratione Abrahami* et *de Iosepho* et librum I *de vita Mosis* pertinentia; quam ob causam dubitari potest an ad codicem recentiorem componendum folia duorum codicum Philoneorum sint adhibita. reliqua folia omnia in pristinum ordinem redacta artissime inter se cohaerent in iisque sese excipiunt Philonis librorum particulae haece: *de vita Mosis* lib. II § 71 usque ad finem, *de decalogo, de specialibus legibus* lib. I, *de specialibus legibus* lib. II ab initio usque ad § 95 verba καὶ ἐπειδή τις τῆς ἄγαν ὠμότητος κατεμέμφετο. ut iam dixi, codex elegantissime et accuratissime vetusta scriptura minuscula quae vocatur exaratus est. accentus et spiritus summa cum diligentia erant positi, sed plerique nunc extincti. non minus accurate res orthographicas librarius tractavit, ut ubique γενητός et ἀγένητος scripsit (non γεννητός et ἀγέννητος), ubique τιθασός ἀτίθασος τιθασεύειν (non τιθασσός ἀτίθασσος τιθασσεύειν), ubique ἀέναος (non ἀέννaος), ubique μωυσῆς (non μωσῆς), alia. menda sparsim commissa litteris minoribus vel supra vel in margine adscriptis ab ipso librario correcta sunt, inprimis verba errore omissa postea suppleta. veluti *de spec. leg.* I § 333 (p. 80,19) scripserat οὐ μὴν ἀπὸ | τῶν βουλευμάτων vocabulo αὐτῶν omisso, postea in margine litteris minutissimis τ̃ ἀυ adscripsit. compendia desunt, nisi quod hic illic ϛ (pro καὶ) et notissima illa θσ, κσ, ὀυνοσ, ἀνοσ occurrunt. textum Philoneum propter verba oblique rescripta lectu difficillimum esse apparet. in multis paginis verba codicis antiqui adeo sunt oblitterata, ut praeter verba in marginibus vacuis codicis recentioris servata nihil fere cerni possit. maxime operam dabam ut novas huius codicis sententias in textu vulgato praetermissas quam certissime investigarem; ac diuturna saepiusque repetita observatione et oculorum contentione mihi contigit, ut iis locis omnibus verba scriptoris recuperarem vel certa coniectura quomodo supplenda essent reperirem. *de spec. leg. I § 335* (p. 81,11. 12) in verbis εἰ μὴ σκάφος ἐ. αυ . . . . . η· οὗτοσ ὁ καὶ τῶν βαναύσων καὶ τῶν . . . . . . ωτέρων τεχνῶν λεγομένων εὑρετής (cf. simulacrum phototypicum) diu multumque haesitabam, quae vocabula post σκάφος et ante τεχνῶν supplenda essent; tandem contento litterarum ductuum obtutu voces ἐναυπηγήθη et γλαφυρωτέρων latere cognovi.

Codicem tam vetustum tamque accurate scriptum ad artem criticam exercendam et ad textum scriptoris emendandum et restituendum multum

valere consentaneum est. quamquam non per omnia eius auctoritatem eandem esse iudicandum est; namque in libris *de vita Mosis* aliorum codicum memoria passim pluris aestimanda videtur. at in libris *de specialibus legibus* duobus prioribus, quippe quorum memoria propter penuriam codicum non ita bonis fundamentis nitatur, novum hoc subsidium optimum se praebuit; ac valde dolendum est quod textus libri secundi non plenus in codice R servatus est pariter ac libri primi. in hoc autem libro ope codicis R non solum verba scriptoris permultis locis emendantur et vitiis purgantur, verum etiam verba multa ceteris codicibus omissa recuperantur et maiores quaedam lacunae antea ne animadversae quidem, quibus vulgata memoria corrupta et mutilata est, mirum in modum explentur, id quod maxime valet in eo capite quod περὶ θυόντων inscriptum est: cf. *de spec. leg.* I § 326 (p. 79,3. 4) καὶ συγκέχυται — διαγνῶναι καὶ διακρῖναι. § 330 (p. 80,4—6) ὄμμασιν ἀκοιμήτοις — ἐκτετμημένους ὑπόληψιν. § 335 (p. 81,9—13) καὶ ὁδοὺς ἐν θαλάττῃ πολυσχιδεῖς — καὶ τῶν γλαφυρωτέρων τεχνῶν λεγομένων εὑρετής. § 341 (p. 82, 24. 25) ἅμα γὰρ — ἀλλὰ καὶ φθείρονται. § 342 (p. 83,2—8) ἔτι δὲ ἁρμονίαι — πρὸς ὠφέλειαν ψυχῆς. lectionum codicis R optimarum, quibus graviora ceterorum codicum vitia e textu Philoneo tolluntur, pauca exempla insigniora hoc loco afferam: p. 3,11 συνήθων R pro συνόντων. 6,17 εἶναι R pro χεῖσθαι· vel χεῖσθαι. 9,8 βρίθουσαν R pro πλήθουσαν. 40,8 πρὸς σπόρον R pro σπόρον. 41,5 ἀγάζειν R pro αὐγάζειν (scribendum ἁγιάζειν). 44,3 θύματα R pro θυμιάματα. 44,25 διὰ τὸ R pro ἅτε. 45,20 ἀνάγειν R pro αἰγῶν. 50,9 θερμοῦ R pro θεοῦ. 61,17 ηὔξατο R pro ἤρξατο. 69,13 ἀρετῶν R pro ἀριθμῶν. 70,1 ὡς R pro ἴσως. 71,3 κέχρησαι R pro κέχωσαι. 73,18 πότον R pro πόθον vel πόνον. 73,21 ἀπαυχενίζοντες R pro ἀποσχοινίζοντες. 75,7 καιρὸν ὀξὺν ἔχει τῆς μεταβολῆς R pro καὶ ὀξεῖαν ἔχει τὴν μεταβολήν. 76,7 ψευδόμενος λόγια R pro ψευδολογίας λόγους. 77,2 ἐπιμελούμενος R pro ἐπιβουλευόμενος. 77,3 πᾶσαν R pro πρός. 77,6 πλασμάτων R pro πραγμάτων. 78,20 θήλειαν νόσον R pro ἀληθῆ νόσον. 79,14 τὴν ἄμορφον καὶ ἄποιον ἐκείνην ἄγει R pro τὴν ἀμορφίαν ἄπο δὲ σκηνοῦν ἄγει. 79,17 εὐδαίμονα R pro ἴδμονα. 81,5 φαντασιοῦσθαι R pro ἀφοσιοῦσθαι. 81,8 ναῦν κατασκευάσας R pro νῦν οὐρανὸν κατασκευάσας. 81,22 σεμνοποιοῦσι R pro σθενοποιοῦσι vel στενοποιοῦσι.

De codice S S = codex Seldenianus 12 (Coxe 11) bibliothecae Bodleianae, membranaceus, formae quartae minoris, foliorum 156, saeculo X scriptus, in initio et in fine mutilus.[1]) imaginem scripturae habes in tabula phototypica altera ad calcem huius voluminis adnexa (extant verba φαίην ἄν ὦ οὗτος — ἀνθ' ἑνὸς τοῦ ὑφαιρεθέντος quae infra leguntur p. 211, 19—212,5). continentur hoc codice scripta Philonis haec:

1. *De specialibus legibus* liber III. initium deest, incipit codex a verbis προσαγωγὸν γὰρ μάλιστα ἐν τοῖς τοιούτοις τὸ εὐῶδες (p. 160,17). in fine titulus libri subscribitur φίλωνος περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς β' γένη τῶν ι' λογίων τὸ ς' καὶ τὸ ζ', τό τε κατὰ μοιχῶν καὶ παντὸς ἀκολάστου καὶ τὸ κατὰ ἀνδροφόνων καὶ πάσης ἀσεβείας (sic).
2. περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τρία γένη τῶν ι' λογίων· τὸ η' καὶ τὸ θ'· καὶ τὸ περὶ τοῦ μὴ κλέπτειν καὶ ψευδομαρτυρεῖν καὶ μὴ ἐπιθυμεῖν καὶ τῶν εἰς ἕκαστον ἀναφερομένων· καὶ περὶ δικαιοσύνης ἣ πᾶσι τοῖς ι' λογίοις ἐφαρμόζει, ὅ ἐστι τῆς συντάξεως: (*De specialibus legibus* liber IV).
3. φίλωνος περὶ γ' ἀρετῶν ἃς σὺν ἄλλαις ἀνέγραψε μωυσῆς περὶ ἀνδρείας καὶ φιλανθρωπίας καὶ μετανοίας: (*De virtutibus*). huius libri caput ultimum inscriptum est περὶ εὐγενείας (*de nobilitate*).

sub finem codicis (fol. 150r—156v) adnexus est commentarius in Philonis de numero denario doctrinam, qui inscribitur φίλωνος περὶ τῆς δεκάδος εἰρημένων ἑρμηνεία. incipit: φίλων τοὺς κατὰ μωυσέα διαγορεύων νόμους ἱεροὺς καὶ τὸν ἐν αὐτοῖς αὐτῷ θεωρηθέντα νοῦν ἐκκαλύπτων τὸν ᾧ διετάχθησαν τῆς δεκάδος ἐξεθ(ε)ίασεν ἀριθμόν, τὸ ἐν αὐτῷ ποικίλον κάλλος ἐκτιθέμενος. abrumpitur verbis ἔστι δὲ καὶ (scil. ὁ ἄνθρωπος) πρός τι· ἢ γὰρ δεξιός ἐστιν ἢ ἀριστερὸς ἢ πη

Codex satis eleganter scriptus est, accentus et spiritus plerique appositi sunt. compendiis scripturae passim usus est librarius, ut signo / pro syllabis finalibus ην, ιν, ειν et suprascripto ς pro syllabis finalibus ης, ις, εις. exemplar illud ex quo descripsit librarius unciali quae vocatur scriptura et sine accentibus exaratum fuisse veri simillimum

---

[1]) cf. Coxe, Catal. codd. mss. bibl. Bodl. I p. 590. cf. etiam quae dixi Philol. vol. LI p. 266 sqq.

est. nam ex archetypi continua et indistincta scriptura facillime explicandum videtur quod singula vocabula in codice S partim non satis accurate diremta et distincta leguntur. inprimis praepositiones cum sequenti substantivo vel adiectivo vel pronomine ubique fere coniunctim librarius scripsit: προσεχθρῶν, μεθημέραν, κατατουναντίον, καθέκαστον, καθὴν (pro καθ' ἣν), συνάλλαις, εἰσταυτόν, ἀνθῶν (pro ἀνθ' ὧν), παρόμοι (pro παρ' ὅ μοι), similia. passim etiam οὐκ et ὡς cum sequenti vocabulo coniunxit: οὐκεναυτοῖς, οὐκανιῶνται, οὐχῆττον, ὡσεν. deinde librarius, quem indoctum fuisse unaquaeque fere linea docet, non modo ut alii librarii solent multos errores commisit ex itacismo ortos, quo η et ει, η et ι, ει et ι, ε et αι, υ et οι confunduntur, sed etiam alias litteras in unciali scriptura similes inter se non raro commutavit, ita ut interdum monstra vocabulorum efficeret. veluti p. 165,21 εἴη κρίνηται scripsit pro 'ΕΠΙΚΡΙΝΗΤΑΙ. 174,12 συντεχνήτης pro σὺν τέχνῃ τις. 185,9 πλείουσιν pro πλείους ἦν. 196,4 οἰκιῶν συντυχίαις pro οἰκείων εὐτυχίαις. 200,20 ηδεεμουσ (sic) pro ἢ δεσμοὺς. 243,14 οὐχωλάζων pro οὐχ ὁ λαχὼν. 262,13 δεῖ οὖν τὰσ pro δηοῦντας. 271,4 ἀλλὰ λαμβάνειν pro 'ΑΝΑΛΑΜΒΑΝΕΙΝ. 272,20 λέγειν εἴτε pro ΔΕ ΓΙΝΗΤΑΙ. 310,12 πφωνη (sic) pro 'Η 'ΕΡΙΦΩΝ 'Η. 322,18 κακοποντίων pro ΚΑΚΟΠΟΛΙΤΕΙΩΝ. 334,2 γένους ἢ pro γεμούσῃ. atque cum librarius archetypi scripturam incuriose tractaret, etiam graviora vitia orta sunt, quibus memoria Philonis in hoc codice corrupta est. ut p. 188,1 μὴ πειθαρχῶν pro ΜΗ 'ΕΠΙΘΑΡΡΩΝ. 197,13 μεταυτὸν pro ΜΕCΑΥΛΟΝ. 223,18 δευτέρῳ pro δύο ἕτερα. 226,12 πάντα καινοῦντες pro 'ΕΠΑΝΤΛΟΥΝΤΕC. 251,21 παμφορτίδων pro ΠΑΛΙΝ ΦΟΡΤΙΔΩΝ. 261,10 ἐπισχυοίτωσαν pro ἐπεισχείσθωσαν. 285,8 φιλόθεον ἐς pro φιλοεθνὲς. 288,10 δαιμόνιον pro δάνειον. 293,6 γὰρ λασίοις καὶ πλήρεσι pro ταλάροις πλήρεσι. ad errores ab librario commissos accedunt depravationes a correctore nonnunquam factae. codex enim a docto quodam homine (nescio quo tempore) correctus est. is multis locis accentus et spiritus a librario saepe omissos adiecit ac menda quaedam orthographica plerumque correxit, sed idem falsas librarii scripturas corrigere conatus, cum non codicis cuiusdam auxilio uteretur sed suo arbitrio ageret, passim verba scriptoris non modo non restituit sed etiam magis corrupit. ut p. 238,9 librarius (S^1) εἰ δίπηχυ scripserat, ubi archetypum (ωσ)ει διπηχει habuisse videtur, corrector (S^2) temere correxit εἰς διπήχει. 262,2 μεθιστωσαν S^1 (cor-

ruptum ex μεθέσθωσαν vel μεθείσθωσαν), in μεθιστῶσιν falso correxit S[2]. 262,13 ubi pro δηοῦντας S[1] scripserat δεῖ οὖν τάσ, S[2] τάσ in τοὺσ correxit. 264,7 εκτον S[1] (pro ἄλεκτον), ἕκτην S[2]. 276,11 μηδειστητεωσ (i. e. μὴ δείσητε ὡς) sine accentibus scripserat S[1], falsis accentibus positis S[2] scripturam depravavit, cum nunc in codice legantur verba illa μηδεὶσ ἢ τέωσ.

Sed quamvis multis mendis et vitiis scripturae scateat, tamen cum propter vetustatem tum propter memoriae praestantiam in optimis Philonis libris manuscriptis numerandus est. atque etiamsi accurata scripturae forma et specie a codice rescripto R valde superatur codex S, in recensendis tamen eis libris qui in eo traditi sunt idem fere valet quod codex R in libro primo *de specialibus legibus*. etenim ex eo primum Mangey in lucem edidit integrum *de specialibus legibus* librum quartum, cuius antea particulae tantum cognitae fuerant; ac praeter codicem S totum eum librum unus codex M servavit. in libro autem *de virtutibus* ceteris codicibus omnibus ita praestat codex S, ut permultis locis ad corruptam vulgatam memoriam emendandam et novam fere ac veriorem textus formam restituendam plurimum valeat. etsi multa iam textus vulgati vitia codice S adhibito Mangey correxit, non tamen ea qua par est cura et sollertia codicem tractavit; etenim cum ipse eum anno 1891 Oxonii conferrem, multa Mangeium falso interpretatum esse ac plura etiam et graviora plane praetermisisse cognovi. quam bona sit memoria in codice S servata, inde etiam apparet, quod saepissime lectiones eius testimonio Clementis Alexandrini confirmantur.

De ceteris codicibus

Praeter codices R et S in hoc volumine adhibiti sunt codices M, F, G, A, HP; accedunt in parte maiore libri *de virtutibus* codex C et in eo capite quod *de fortitudine* inscribitur codices BEK et VO. atque M quidem solus omnium codicum titulos genuinos et recto ordine dispositos quattuor librorum *de specialibus legibus* exhibet (cf. vol. I p. XXXII), libri autem primi duo tantum capita priora continet quae *de circumcisione* et *de monarchia* inscripta sunt. in libro quarto eius operis virtute fere certat cum codice S, si quidem maior pars eius libri nisi his duobus codicibus non servata est atque, etsi memoria codicis S in universum praeferenda videtur, nonnulla tamen eius vitia a codice M absunt. primum vero auctoritatis locum obtinet M in secundo libro *de*

specialibus legibus, quem integrum solus omnium codicum servavit, cum exiguam tantum partem alii codices exhibeant. textum eius libri, qualem codex M tradidit, ne Mangey quidem novit, primus in lucem edendum curavit Constantinus Tischendorf (Philonea, Lipsiae 1868, p. 1—83). Wendland, cum codicem denuo conferret, nonnullis locis aliter scriptum esse cognovit ac Tischendorf enotavit. multa autem quae in M corrupta leguntur nobis emendanda reliquit. libri *de virtutibus* unum caput quod *de fortitudine* inscribitur in M extat, liber *de praemiis et poenis* plane deest. codicis F memoriam praestantissimam esse ut alias ita in hoc volumine satis apparet. etenim ex eo in libro *de specialibus legibus* primo singulorum capitum vera forma titulorum et distinctio genuina restituta est, quam postea codicis R auctoritate confirmatam repperimus, ac textus memoria codice F servata non longe recedit a codice R, quocum plerasque communes habet scripturas, ubi ceteri codices in diversam partem discedunt; atque etiam codicum A et H lacunae maiores, quae in capitibus *de victimis* et *de sacrificantibus* extant, codice F pariter explentur atque codice R. in ceteris huius voluminis libris codicis F auctoritas, etsi non omnino eadem est, non tamen parvi aestimanda videtur; in libro *de specialibus legibus* tertio non modo saepe cum optimo codice S convenit adversus deteriorem memoriam, verum etiam aliquot locis unus sine dubio genuinam scripturam exhibet. cf. e. gr. p. 167,12 τέκνων. 167,14 ἐφεδρεύσοντα ἴστω. 167,16 πάτρια. 170,14 ὅσα ὑπὲρ. 174,5 ὃν προῄρητο. 180,8 καὶ προέλθῃ. 185,4. 5 τούτου μὲν προτέρα. 187,24 προαγωνιστήν. 195,3 ἄμμου σπυρίδα πλήρη. 205,17 τομίαι. 208,3 εἰσέρχεται. itaque non mirum quod in initio eius libri, ubi S deficit, F saepe solus ad verba scriptoris restituenda adhibendus est. in libro *de praemiis et poenis*, cuius textus tribus tantum testibus nititur F, A, HP, omnino fere F meliorem praebet memoriam, deteriorem A et HP. itaque posteriore parte eius libri (inde a p. 364,16 ὁ προφήτης), ubi F deficit, verba scriptoris magis corrupta videntur extare quam parte priore. de codice G hoc monendum est caput quod *de humanitate* inscribitur bis in eo scriptum esse, uno loco sine titulo adnexum ad libri quarti *de specialibus legibus* caput quod *de iudice* inscribitur, altero loco titulo περὶ φιλανθρωπίας instructum (cf. vol. I p. XXXIV sq. num. 6 et 25). priorem formam in apparatu critico G^1, alteram cui adhaerent capita

περὶ μετανοίας et περὶ εὐγενείας G[2] significavi. exemplum ex quo prior forma descripta est vel mutilum videtur fuisse vel non satis dilucide scriptum; multis enim locis ac maxime talibus quibus verba scriptoris corrupta videntur extitisse librarius spatia vacua reliquit. textus forma G[2] capitum *de humanitate* et *de paenitentia* et *de nobilitate* plane conspirat cum codice C (ut in libro *de Abrahamo*). codices A et HP ut alibi ita in hoc volumine plerumque deteriorem textus Philonei memoriam efficiunt. codex C, qui capita tantum περὶ φιλανθρωπίας et περὶ μετανοίας et particulam capitis περὶ εὐγενείας praebet (cf. vol. IV p. I), saepius cum codice S congruit quam cum deterioribus codicibus. codicem C in capite περὶ φιλανθρωπίας iuxta codicem L iam adhibuit Turnebus eiusque lectiones non paucas in editionem suam recepit. quod ad codices BEK et VO attinet, qui praeter vitas Abrahami Iosephi Mosis libri *de virtutibus* caput primum περὶ ἀνδρείας exhibent (cf. vol. IV p. V sq. IX. II sqq.), tres codices illi priore loco nominati saepius cum libris manuscriptis deterioribus faciunt quam cum melioribus, aliquanto plus auctoritatis habent codices VO (et F, qui in eo capite eandem fere textus formam praebet), quippe qui nonnunquam soli meliorem codicis S memoriam sequantur. nec desunt loci ubi vel soli vel cum uno alterove codice lectiones optimas suppeditant: cf. p. 266,13 νίκῃ. 267,4 θαρραλεωτάτης. 269,9 ᾗ συζῶντες. 270,7 πάντα δὲ τὰ εἰρημένα.

De versione Armenia

De libris manuscriptis haec hactenus, iam de ceteris subsidiis breviter disserendum est. inter scripta Philonea in sermonem Armenium translata librorum *de specialibus legibus* particulae quaedam memoriae proditae sunt hoc ordine dispositae:

1. *de sacerdotibus* (1.) i. e. caput quartum libri primi *de specialibus legibus* quod περὶ ἱερέων inscribitur (p. 20,12—32,9).
2. *de sacerdotibus* (2.) i. e. eiusdem libri caput quintum quod γέρα ἱερέων inscribitur (p. 32,10—39,10).
3. *Philonis de altari* i. e. pars capitis ultimi eiusdem libri περὶ θυόντων, quae pertinet a verbis πῦρ, φησίν, ἐπὶ τοῦ θυσιαστηρίου καυθήσεται usque ad finem (p. 69,1—84,8).
4. *de decem verbis*, ubi primum traditur initium libri tertii *de specialibus legibus* usque ad verba ἐφαρμόζειν τοὺς ἐν εἴδει νόμους (p. 150,1—152,4), deinde brevi fragmento de numero decem

interiecto liber Philonis *de decalogo* sine titulo, tum novo titulo *Philonis de decem verbis* addito quae ibi sequuntur a verbis πρῶτον γράμμα τοῦτ' ἐστίν usque ad verba τιμάτω τὸ δικαστήριον ἐπ' αὐτῷ (p. 152,4—168,10).

De auctoritate versionis Armeniae hoc tenendum est, memoriam ei subesse optimam, id quod maxime apparet in fragmentis libri primi *de specialibus legibus*, ubi codices Armenii tantum non ubique cum codice R congruunt; nam additamenta quoque capitis περὶ θυόντων in R nuper reperta, quibus lacunae textus vulgati complures explentur, in versione Armenia servata sunt. perinde versio Armenia in fragmentis libri tertii eiusdem operis eandem fere textus formam prae se fert quam optimus codex S (vel ubi is deficit codex F). sed interpres cum verba graeca fidelissime verbis armeniis reddere studeret, multas sententias scriptoris male intellectas non recte vertit vel etiam ita corrupit, ut sine exemplo graeco explanari nequeant (cf. vol. I p. LIII). varias lectiones in graecum sermonem retro translatas F. C. Conybeare Oxoniensis amicus mihi rursus officiosissime obtulit. idem ex itinere hiemali redux plagulis perlectis additamenta quaedam mecum communicavit, unde quae alicuius momenti esse videantur in Addendis proferam.

Excerpta Philonea in hoc volumine adhibita partim e codicibus miscellaneis partim e catenis et florilegiis deprompta sunt. De excerptis in codicibus traditis

Codex N = Neapolitanus II C 32 (cf. vol. I p. LVIII et vol. II p. II sqq.) viginti quinque excerpta continet, novem e libro primo *de specialibus legibus* p. 6,1—2 μόνον οὐκ — θεοπλαστήσεται, 7,15—20 οὐ μὴν — ἀπεργασάμενοι, 11,1—12,19 τίς δὲ — γνωρίμους, 14,7—13 ἐπειδὴ — σὺν τῇ γυναικί, 20,8—11 καὶ χρόνοις — ἐλπίδες, 47,3—6 εἶτα — καινοτομεῖν τοσαῦτα, 49,2—14 τὰς — τετίμηται, 52,1—53,21 ἐὰν μὲν οὖν — τὰ μέλλοντα, 67,21—68,11 ἐν ταῖς ἱεραῖς — ἀδύνατα, quinque e libro secundo p. 85,5—88,3 ἐν μὲν τῇ — νομίζεσθαι, 100,13—101,20 μετὰ — ὑπομένουσιν, 102,3. 4 τὰ μὲν ὦτα — λόγων ποτίμων, 105,1—19 ὑπαίτιον — ἀποτιννύντες, 109,1—22 παυσάσθωσαν — χάριν, quinque e libro tertio p. 160,10—161,11 ἐπεισκεκώμακε — καὶ νύκτωρ, 175,3—18 ἐὰν δὲ καὶ — ἐλθεῖν, 183,1—20 πόρρωθεν — ἀπεφήνατο, 189,4—14 διὸ προσήκει — προδουλωσάμενος, 201,7—8 οὐ γὰρ ταὐτὸν — κακῶς εἰπεῖν, unum ex libri *de virtutibus* capite quod inscribitur περὶ εὐγενείας p. 325,12—329,12 μόνους χρὴ λέγειν — οἷόν τε ἦν, quinque

De codice N

e libro *de praemiis et poenis* p. 343,23—345,5 πάντων — προῆλθον, 349,1—17 ἀδελφοὶ — καρποφόρον, 351,12—13 πρῶτος — ἐπιτειχίσας, 352,16—21 ὥσπερ — ὀδυνηρά, 359,18—360,6 οἷς μὲν — ἕπεται. ex libro quarto *de specialibus legibus* nihil excerptor descripsit. ceterum nihil praebet quod non codice F traditum sit.

De codice Vind. hist. gr. 67 Codex Vindobonensis hist. gr. 67 (cf. vol. IV p. XXII) undecim continet excerpta, sex e libro primo *de specialibus legibus* p. 3,18—4,7 βλέποντας τὸν ἐπι, 21,1—6 χρὴ τοίνυν — φύσεις ἐχέτω, 21,6—9 εἰ γὰρ — λόγου θεοῦ, 24,19—25,10 δεῖ τὸν ἱερέα — ἐμπόδιός ἐστιν, 26,12—14 μίσθωμα πόρνης — δέδοται, 42,13—19 ἄρτος — ἀνιάτους, tria e libro secundo p. 87,17—88,3 ὅρκος — νομίζεσθαι, 127,8—12 ἀγαθὴν — ἀγαθαί, 141,25—142,4 οἱ γὰρ γονεῖς — ἀθανατίζουσι, unum e libro tertio p. 193,17—20 χρὴ — ὁμολογία, unum e libro quarto p. 232,15—233,8 Μωυσῆς — παντελῶς. excerptor passim verba Philonis ad arbitrium suum immutavit vel transposuit. ceterum maxime cum codice F et titulis et lectionibus congruit. sed memoratu dignum est quod duo excerpta praebet ex libri secundi *de specialibus legibus* ea parte, quae solo codice M servata est, unum ex libri quarti capite *de concupiscentia*, quod codicibus S et M solis traditum est.

De codice Escurialensi De codicis Escurialensis graeci X—I—13 excerptis Philoneis (cf. vol. I p. LX) nuper C. de Boor collega amicissimus certiorem me fecit; idem rogatu meo excerpta illa pleraque in usum meum e codice benignissime descripsit. continet codex (bombyc. saec. XIV) multas sententias e variis scriptis Philonis excerptas:

fol. 226ʳ Ἐκ τῶν τοῦ ἑβραίου Φίλωνος: (excerpta e libro *de opificio mundi*).

fol. 226ᵛ—228ʳ Ἐκ τοῦ λόγου τοῦ περὶ ὧν ἱερουργοῦσιν ἄβελ τε καὶ κάϊν.

fol. 228ʳ φησὶν ὁ φίλων περὶ τοῦ ἡλίου ὅτι φλογὸς ὢν πῖλημα κτλ. (de *Cherubim* § 26. sequitur excerptum ex eiusdem libri paragrapho 32).

fol. 228ʳ med. ἐκ τοῦ λόγου τοῦ περὶ καταστάσεως ἀρχόντων.

fol. 228ᵛ ἐκ τοῦ περὶ γεωργίας λόγου. sequuntur fol. 229ʳ et 234ʳ excerpta ex *legum allegoriarum* libris et ex libro *quod probus liber sit*.

fol. 236ᵛ—238ʳ ἐκ τοῦ λόγου τοῦ περὶ τῶν θεοπέμπτων ὀνείρων (lib. I et II).

ex libri quarti *de specialibus legibus* capitis *de iustitia* ea parte quae in codicibus κατάστασις ἀρχόντων vel περὶ καταστάσεως ἀρχόντων inscribitur

excerpta quindecim in Escurialensi extant hoc ordine: p. 243,3—5 εὐτυχίαν οὐκ ἀρετὴν — ἐξετάζεσθαι, 243,13—17 ἰατροὶ — φαίνηται δεδιδαγμένος, 245,18—20 τοῦ μὲν ἀναγινώσκοντος — ἐπερειδούσης ἑαυτήν, 247,17—18 ὁ νόμιμος ἄρχων — ἀπολέλοιπεν, 251,8—17 κοινοὶ πόλεων — τῆς ἀληθοῦς ὄψεως, 253,2—5 οἱ λειτουργοὶ — βασιλέως, 254,2—3 τὰ μὲν ἄδικα — ἀναφαίρετος, 245,18—20 μάχη πασῶν — πάσχειν, 261,6 εἰρήνη — πολέμου, 261,16—262,1 τοῖς ἑτέρων — σωφρονεῖν, 262,7—11 τὸ κατὰ πάντων — κατοικίδιος, 253,7—11 ὁ πρὸς ἀλήθειαν ἱερεὺς — καταληπτῶν, 255,19—256,1 τί δεῖ — αἰδουμένους, 261,1 ὀργῇ πρὸ λογισμοῦ χαρίζεται, 260,12 δασμοῖς τοὺς ὑπηκόους ἐκτραχηλίζει, 261,16—262,1 τοῖς ἑτέρων — σωφρονεῖν (iterum). exemplum illud quo usus est excerptor melioris notae videtur fuisse; congruit enim Escurialensis plerumque cum codice M. praeterea inter excerpta ex libro primo *de somniis* (fol. 237ᵛ) interiectum est excerptum e libro *de praemiis et poenis* p. 340,10—15 ὥσπερ — ἀνερεθίζεσθαι, ubi scripturam quae genuina videtur πάλιν ἐξορμήσῃ ex Escurialensi exploravi pro vulgata παλινδρομήσῃ.

In codice Parisino graeco 1630, de quo cf. vol. I p. LVI sqq., quae extant excerpta Philonea incipiunt a fragmento ex libri *de virtutibus* capite quod *de paenitentia* inscribitur descripto p. 321,2—15 φιλάρετος — οὐκ ἀγνοήσαντος. hoc quoque loco librario exemplum ut videtur optimum praesto fuit, si quidem textus memoria quam prae se fert proxime accedit ad meliores codices SCG². De codice Paris. 1630

Denique hoc loco monendum videtur in opusculo quod Philonis nomine fertur περὶ κόσμου (cf. vol. II p. VI sqq.) breve fragmentum extare compilatum ex libri *de virtutibus* capite quod *de nobilitate* inscribitur p. 331,12—332,13 καὶ ὁ τοῦ Ἰουδαίων ἔθνους πρεσβύτατος — καὶ τῶν ἐν αὐτῷ. convenit E tantum non ubique cum codice F.

In catenam codicis Barberini IV 56 (cf. vol. IV p. XXIII) recepta sunt quinque satis magna excerpta ex libro tertio *de specialibus legibus*: p. 152,5—157,16 πανταχοῦ τῆς οἰκουμένης — κακὰ καὶ δυσίατα, 158,18—159,13 φορὰ τῶν μηνιαίων — δεδιώς, 160,10—163,1 ἐπεισκεκώμακε — καὶ τῶν ὁμοιοτρόπων, 184,2—185,7 (ubi falso titulo laudantur verba φίλωνος ἑβραίου ἐν τῷ περὶ εὐσεβείας λόγῳ) τὸν ἀκουσίῳ γνώμῃ — ὑποληπτέον, 186,3—188,19 εἶτα διεξιὼν — θάνατον κατέγνω. ad emendanda verba scriptoris ex his Barberini locis nihil fere proficitur. De catenis Barber. IV 56

De Nicetae catena in Lucam

Optimum artis criticae subsidium in hoc volumine nobis praebet Nicetae Serrani vel potius Heracleensis episcopi catena in Evangelium Lucae composita (cf. vol. II p. XV sqq. vol. IV p. XXIV). transcripsit Nicetas ex Philonis libris *de specialibus legibus* quattuor locos hos:

1. Philonis de diebus festis Hebraeorum expositionem, i. e. longe maximam partem libri secundi *de specialibus legibus* (p. 96—139), Nicetas in commentario suo ad Lucae verba 22,1 ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων κτλ. ita adhibuit, ut quasi epitomen doctrinae Philoneae conficeret, cum sententias gravissimas et quae maxime idoneae videbantur deinceps reciperet, alias multas praetermitteret.
2. ex libro tertio duos locos descripsit, p. 152,4—153,8 καὶ γράμμα πρῶτον τοῦτό ἐστιν — ζηλοῦν ἐπιμελές et p. 173,7—174,9 οὐδὲν γὰρ οὔτε ἱεροπρεπέστερον — λαβόντες τοῦ πάθους οἶκτον.
3. ex libro quarto descripsit unum locum quem similiter contraxit, recepit enim primum p. 211,22—212,22 τὰ μὲν ἄλλα φώρια — ἐπάγειν τολμῶσι, deinde p. 213,11—13 καὶ πιπράσκουσιν — ἀπογευσομένους ἐλπίδος, tum p. 213,22—214,1 δίκη δ' ἔστω — θάνατος ἀπαραίτητος.

codices Nicetae tres adhibui, Vaticanum gr. 1611 (saec. XII), Coislinianum 201 (saec. XV), Monacensem gr. 33 (saec. XVI); Vaticanum et Coislinianum contulit Wendland, Monacensem ipse contuli. praeterea locus quartus praesto fuit a Joh. Lietzmanno descriptus e Nicetae codice Veneto gr. 494 (saec. XIII), ex quo codicem Monacensem 33 transcriptum esse constat. ceterum moneo exemplum graecum illud quod adhibuit Balthasar Corderius in adornanda latina huius catenae versione (Antverpiae 1628) quodque ex codice Bessarionis Veneto transcriptum fuisse in praefatione ille dicit etiamnunc extare in bibliotheca urbis gallicae Perpignan.[1]) cf. H. Omont, Catalogue des manuscrits grecs des départe-

---

[1]) Fugit hoc J. Sickenbergerum, qui docte de Nicetae catena disseruit (Texte u. Untersuch. z. Gesch. d. altchristl. Litt., N. F. VII, 3. 1902), p. 69 sq. ceterum verba illa quae apud Corderium alterum excerptum ex libro tertio *de spec. legibus* sumptum sequuntur (cf. Wendland vol. II p. XV[2]) etiam graece extant, sunt autem haec: πρότερον μὲν ὁ νόμος τὰ ἐν οἷς εὐχολώτερον διολισθαίνομεν διορθωσάμενος· οἷον τὸ μοιχεύειν, ἐπειδὴ τὸ πῦρ φυσικόν ἐστιν καὶ ἔνδοθεν· καὶ τὸ φονεύειν, ἐπειδὴ μέγα θηρίον ὁ θυμός, δεύτερα τὰ σπανίως συμβαίνοντα τίθησι, λέγων μὴ κλέψαι, μὴ ψευδομαρτυρήσῃς. quae num Philonea sint equidem dubito.

ments (Paris 1886) p. 54. nam codex iste manu Ioannis Murmuris Venetiis anno 1552 scriptus olim fuit bibliothecae societatis Iesu Antverpiensis. Nicetas excerpta Philonea ex optimo codice deprompsit, quare multis locis ad textum Philonis recte constituendum multum confert. veluti p. 212,4 verba ἀνάλογον καὶ τὴν ἔκτισιν ἐνομοθέτησε Nicetas memoriae prodidit, codices SM plane omiserunt. maximi vero auctoritas eius aestimanda est in excerptis ex secundo libro *de specialibus legibus* petitis, quippe cuius memoria magnam partem nitatur uno eoque multifariam corrupto codice M. itaque saepe lectiones a Niceta traditas memoriae codicis M praeferendas duxi et in textum recepi. cf. e. gr. p. 119,8. 9. 12. 121,19. 122,5. 124,8. 22. 23. 127,10. 129,5. 12. 131,8. 9. 18. 133,2. 13. 20. 138,1. ac magnopere dolendum est quod Nicetas non ut solebat integra verba Philonis transcripsit, sed hanc partem in epitomen redigere maluit.

In Flor. Laur. (cf. vol. I p. LXIX) tria leguntur excerpta huc pertinentia: nr. 19 ex libro II *de specialibus legibus* p. 87,9 verba ἀπιστίας, οὐ πίστεως, ἡ πολυορκία τεκμήριον. nr. 4 ex libro III p. 202,5—11 φιλοσοφίαν — καταχέει, ubi librarius verba Philonis paululum immutavit. nr. 13 ex libro IV p. 218,17—19 ἐν συγκρίσει — ἧττον ἄδικος. De florilegiis

In Ioannis Damasceni Sacra Parallela et in florilegia vel gnomologia quae ab eis pendent pauca ex libris *de specialibus legibus* excerpta transierunt, paulo plura ex libris *de virtutibus* et *de praemiis et poenis*. itaque raro D ad textum Philoneum corrigendum in hoc volumine aliquid confert. ut p. 268,17 πολυδεής suppeditavit pro corrupta codicum scriptura πολυτελής et p. 269,2 πολυδεὲς pro πολυτελές. p. 341,3 ζήσασαι D servavit, quod codices omittunt.

Clemens Alexandrinus, quem saepissime verba Philonis in usum suum convertisse constat, cum alia ex huius voluminis libris tum maxime librum *de virtutibus* adhibuit, cuius singula capita *(de fortitudine, de humanitate, de paenitentia, de nobilitate)* deinceps in *Stromatum* lib. II cap. XVIII et XIX ita usurpavit, ut multas sententias illinc vel verbo tenus vel suis verbis redditas transcriberet ac totam orationem suam frustulis Philoneis tacite ornaret. id quod iam Potter in annotationibus ad Clementis Stromata passim suis locis monuerat, fusius et singillatim demonstravit Wendland (Hermae vol. XXXI p. 435 sqq.). aliquot locos, quos neglegenter properans excerpsit, decurtando et discerpendo ita De scriptoribus qui Philone usi sunt

corrupit Clemens, ut nisi textu Philonis adhibito omnino intellegi nequeant. ubi vero Philonis verba fideliter transcripsit, eius testimonium utpote antiquissimi scriptoris ad textum Philoneum recte constituendum plurimum valere consentaneum est. sed quoniam ad librum *de virtutibus* recensendum optimo codice S uti nobis licet, Clementis auctoritas in eo fere consistit, quod scripturas codicis S tantum non omnes illius testimonio confirmatas videmus.

Eusebius Pamphili unum locum ex libro primo *de specialibus legibus* p. 3,18—4,22 τινὲς ἥλιον — συνέστησαν et p. 5,7—12 ὥσθ' ὑπερβάντες — ἀσεβείᾳ τῇ μεγίστῃ in *Praeparationem Evangelicam* recepit.

Iosephus in explanandis legibus Mosaicis etsi non verbis argumentis vero saepe cum Philone convenit. itaque operam dedi ut eius locos similes omnes adnotarem.

Graecae LXX virorum versionis locos non modo eos, quos Philo enarrandos sibi proposuit, verum etiam eos, ad quos passim alludit, summa cum cura conquirere et enotare studui. in constituendis Scripturae Sacrae locis ab eis rationibus, quas in Prolegomenis voluminis primi (p. LXXXIV) sequendas esse dixi, ne in hoc quidem volumine discedendum esse arbitratus sum.[1]) ut exemplum afferam, p. 324,2. 3 memoriam codicis S a Clemente Alexandrino confirmatam secutus verbis ex Deuter. 26,17. 18 a Philone laudatis eam formam, quae cum LXX virorum versione omnino congruit, reddere non dubitavi: τὸν θεὸν εἵλου σήμερον εἶναί σοι θεόν, καὶ κύριος εἵλατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ. vulgo secundum codicem C scribitur: τὸν κύριον ἀντηλλάξω σήμερον εἶναί σοι εἰς θεόν, καὶ κύριος ἀντηλλάξατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ. insuper non hanc sed priorem formam vere Philoneam esse luculenter inde apparet, quod scriptor sic pergit: παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις.

---

[1]) Non intellego cur Strack (Einleitung in das Alte Testament, 6. Aufl., 1906, p. 215) haec scripserit: . . . *Bedauerlich ist, dass in Philonis Alexandrini opera . . . Berlin 1896 ff. die Citate oft nicht nach dem Wortlaute der Philo-Handschriften, sondern nach dem von LXX-Handschriften gedruckt sind. Vgl. Eb. Nestle im Philologus 1899, 121—129* etc. quibus ille verbis se neque editionem nostram et rationes quas secuti sumus novisse neque ea legisse quae ad Nestlei falsas opiniones refellendas in Philologi vol. LIX p. 521 sqq. exposuimus satis ostendit.

His hactenus de libris manuscriptis et de ceteris subsidiis breviter expositis iam de singulis libris Philonis in hoc volumine editis nonnulla praemittenda sunt.

DE SPECIALIBUS LEGIBUS LIBER I. codices RMFAH. sed M duo tantum capita priora (p. 1—16) continet. accedit in particulis quibusdam versio Armenia (v. sup. p. XII). titulum universalem ad omnes quattuor libros pertinentem Φίλωνος περὶ τῶν ἐν μέρει διαταγμάτων e codice rescripto R addidi. totum librum primum titulo περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς δύο κεφάλαια τῶν δέκα λογίων, τό τε μὴ νομίζειν ἔξω τοῦ ἑνὸς θεοὺς ἑτέρους αὐτοκρατεῖς καὶ τὸ μὴ χειρόκμητα θεοπλαστεῖν secundum memoriam codicum MF nunc primum instruxi. In prioribus editionibus singula huius libri capita, quasi libri sui iuris essent, suis titulis e codicum deteriorum AH memoria petitis inscripta erant (atque ideo sic laudari solent): περὶ περιτομῆς *de circumcisione*, περὶ μοναρχίας λόγοι α′ β′ *de monarchia lib. I. II*, περὶ τοῦ τίνα γέρα ἱερέων *de sacerdotum honoribus*, περὶ ζῴων τῶν εἰς θυσίας *de animalibus sacrificio idoneis* sive *de victimis*, περὶ θυόντων *de sacrificantibus* sive *de victimas offerentibus*, nec Mangey quicquam mutavit, quamquam hos libellos re vera pro uno libro habendos esse cognoverat (cf. eius notam vol. II p. 210). ceterum tituli illi non omnes recte se habent, si quidem *de monarchia liber II* falso sic inscriptus proprie in duas particulas dividitur. comprehendit enimvero *de specialibus legibus* liber primus, si memoriam codicum optimorum RF sequimur, septem capita his titulis inscripta:

1. περὶ περιτομῆς *de circumcisione.*
2. οἱ περὶ μοναρχίας νόμοι *de monarchia.*
3. περὶ ἱεροῦ *de templo.*
4. περὶ ἱερέων *de sacerdotibus.*
5. γέρα ἱερέων *de sacerdotum honoribus.*
6. περὶ ζῴων τῶν εἰς τὰς ἱερουργίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη *de victimis* (rectius *de victimis et de sacrificiorum generibus*).
7. περὶ θυόντων *de sacrificantibus.*

capitum tituli partim iam antiquis temporibus videntur extitisse. nam Eusebius (Hist. eccl. II 18,5), postquam titulum quattuor *de specialibus legibus* librorum laudavit περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τὰ συντείνοντα κεφάλαια τῶν δέκα λόγων α′ β′ γ′ δ′, insuper capitis sexti huius

libri inscriptionem commemorat περὶ τῶν εἰς τὰς ἱερουργίας ζῴων καὶ τίνα τὰ τῶν θυσιῶν εἴδη. caput 6. *de victimis* integrum nunc primum editur, si quidem omnia quae a paragrapho 177 usque ad paragraphum 193 leguntur (p. 43,11—47,6), ubi sacrificia diebus festis offerenda enumerantur, e codicibus RF accesserunt, omnino desunt in AH. primus ea detexit et e codice F in lucem edidit Wendland (Neu entdeckte Fragmente Philos p. 1—14), postea in codice R eadem reperta sunt. perinde caput 7. *de sacrificantibus* nunc primum integrum prodit, auctum scilicet iis quae de mercede meretricis in templum non inferendo exposuit Philo § 280—284 (p. 67,20—68,22). in hoc enim capite suum illa locum habere testantur codices F, de quo iam monuit Wendland l. l. p. 135 sqq., et R, in quo et inscriptio reperitur περὶ τοῦ μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ κομίζειν. codices deteriores AH et editiones hoc loco ea omittunt. nempe compilator quidam medio aevo ea quae Philo hic de mercede meretricis disseruit cum eis quae in libro *de sacrificiis Abelis et Caini* (§ 21—32 vol. I p. 210,1—215,20) de certamine quodam cupidinis et virtutis narravit ita conglutinavit, ut novum quasi Philonis opusculum περὶ τοῦ μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ προσδέχεσθαι componeret, quod codicibus AHP (et G) traditur et a Turnebo et Mangeio inter libros Philonis editum est (Mang. vol. II p. 264—269). nos genuino textu et libri *de sacrificiis Abelis et Caini* et capitis *de sacrificantibus* restituto opusculum illud pseudo-philoneum ex editione nostra prorsus exclusimus. porro caput *de sacrificantibus* multifariam, ut supra dixi, emendatum ac multis sententiis auctum nunc prodit ope codicis R nuper demum reperti. textum vulgatum huius capitis satis lacunosum esse antea iam F. C. Conybeare versionis Armeniae ratione habita demonstravit (Classical Review vol. X, 1896, p. 281—284).

DE SPECIALIBUS LEGIBUS LIBER II. codices RMF(L). in codice R tertia fere pars libri servata est, desinit R p. 109,15 κατεμέμφετο. codex F vix dimidiam partem exhibet, pertinet usque ad § 123 p. 115,20 ὑπηρεσίας. codex L initium libri praebet (usque ad § 38 p. 95,5 καὶ εὐχῶν ἅλις), descriptum illud quidem a Nicolao Sophiano non e codice quodam classis H, sed e codice Vaticano 379 gemello codicis F: cf. vol. I p. XVI. totum librum unus codex M servavit. memoria igitur posterioris et maioris partis huius libri uno codice nititur, nisi quod passim aliquid

auxilii praebent excerpta in catena Nicetae tradita. constat liber e tribus capitibus:

de iureiurando (p. 85,1—95,5),

de septenario et diebus festis (p. 95,6—141,16),

de colendis parentibus (p. 141,17—149,28).

in lucem prodiit totus hic liber nostra demum aetate. in editione principe ab Adriano Turnebo curata nihil extat nisi initium illud quod codice L traditur. anno 1614 David Hoeschel eam partem libri quae *de septenario* inscribi solet libello peculiari edidit[1]) vel potius edere sibi visus est. re vera Hoeschelii libellus capitis de septenario et diebus festis integram continet eam tantum partem quae et codice M et codice F traditur (i. e. p. 95,6 — 115,20), quae sequunter apud Hoeschelium non verba Philonis sunt, sed Nicetae ex libro Philonis excerpta (p. 119,3—139,19), id quod Hoeschel ipse ignoravit. de codicibus ab Hoeschelio usurpatis adhuc dubitatum est. falso Mangey opusculum *de septenario* ab Hoeschelio editum esse coniecit ex codice Vaticano 379 (gemello illo codicis F); „neque enim, inquit, in alio quovis Ms., quod sciam, occurrit". iam vero Hoeschel ipse in notis duos codices aliquoties commemorat, unum „codicem Boicum", alterum „codicem veterem Canteri". utrumque simul laudat ad vocem ἀναπνεύσαντες (p. 101,18), ubi haec: ἀναπνεύσαντες] *διαπνεύσαντες cod. B[oicus] et vetus, quem vir clariss. Andreas Schottus e nob. et eruditissimi Theodori Canteri Bibliotheca, ut ex sua Ἰωνιὰν Michaelis Apostolij Byz. (cui debentur fragmenta Philonis ἐκ τοῦ περὶ Προνοίας), misit.* codicem Canteri, quem Hoeschelio ipsi ad manus fuisse hinc concludendum quemque fundamentum editionis Hoeschelianae fuisse iudicandum videtur, indagare non potui. hoc vero certum est memoriam eius non diversam fuisse ab ea quam codices F et Vaticanus 379 prae se ferunt. alterum codicem, quem *Boicum* appellavit Hoeschel, eundem esse cum codice Monacensi graeco 113 pro certo nunc affirmari potest (cf. Tischendorf Philonea p. XII sq.). est codex miscellaneus, chartaceus, saeculo XVI scriptus. fol. 225ʳ—233ᵛ extat: Φίλωνος ἰουδαίου περὶ

---

[1]) *Philo Iudaeus de septenario. Eiusdem fragmenta II e libro de providentia. Omnia e codd. mss. nunc primum edita a Davide Hoeschelio. Augustae Vindelicorum ad insigne pinus MDCXIV.* exemplari bibliothecae Regiae Berolinensis huc transmisso mihi uti licuit.

τῆς ἑβδόμης (p. 95,6—115,20). quod ad textus formam attinet, et ipse paucis vitiis propriis exceptis prorsus cum codice F congruit. hunc codicem fuisse Hoeschelii *Boicum* eo comprobatur quod lectiones omnes quas Hoeschel e suo codice laudat in Monacensi extant. p. 95,15 pro ἀπεργάζεσθαι, quod in textu habet (e codice Canteri?), codicem Boicum ἀπεργάσασθαι praebere Hoeschel adnotavit (sic Monacensis 113 cum ceteris codicibus). p. 97,3 κατά θ' ἑαυτῶν Hoeschel in textu (sic F Vat. 379), καθ' ἑαυτὸν *cod. B.* Hoeschel in notis; voluit scribere καθ' ἑαυτῶν vel falso legit is qui codicem inspexit, praebet enim καθ' ἑαυτῶν Monac. 113. p. 98,2 ὑπολαβούσης Hoeschel in textu (sic Vat. 379 et sine dubio codex Canteri), ὑπολαμβανούσης *cod. Boicus* Hoeschel in notis (sic Monac. 113 cum codice F). p. 100,4 εὐλαβεῖται δὲ Hoeschel in textu (e codice Canteri?), εὐλαβεῖταί τε *cod. B.* Hoeschel in notis (sic Monac. 113 cum F Vat. 379). p. 100,15 ἀπιδόντες Hoeschel in textu (sic codd.), ἐπιδόντες *cod. B.* Hoeschel in notis (sic Monac. 113 solus). p. 101,18 ἀναπεύσαντες Hoeschel in textu (per errorem?), διαπνεύσαντες *cod. B. et vetus* . . . Hoeschel in notis (sic Monac. 113 cum ceteris codicibus). p. 109,5 ad φόρων, quod in textu scripsit, in notis haec adnotavit Hoeschel: *pro φόβων quod est in mss. legendum φόρων.* in utroque igitur codice scriptum fuit φόβων, hoc vero praebent et Monac. 113 et Vat. 379 et F[1]. accedunt aliae quaedam lectiones, quibus Hoeschel cum Monacensi 113 congruit quasque e codice *Boico* ab eo receptas esse putandum videtur. velut p. 97,7 ἀνδικεῖν, quod et Monac. 113 et F praebent. p. 105,2 δανεῖται, quod solus quantum scio Monac. 113 habet (δανειεῖται F Vat. 379). p. 106,17 ἀπηγμένος, quod rursus Monac. 113 solus praebet, pro ὑπηγμένος, quod ceteri codices omnes exhibent. p. 115,9 κομίζονται, quod Monac. 113 et Vat. 379 praebent. attamen codicem Boicum sive Monacensem 113 Hoeschel non pro fundamento editionis habuit nec omnino ipse videtur inspexisse, sed scripturas eius amico cuidam acceptas referre. rem ita se habere ipse fere indicavit adnotatione illa qua primum codicem Boicum laudat ad vocem ἀπεργάζεσθαι p. 95,15 his verbis: *ἀπεργάσασθαι cod. Boicus, ut ex litteris nobiliss. Ioan. Georgij Hervvarti, sereniss. Bauar. Ducum consiliarij secreti, intellexi.* accedit quod saepius Hoeschelii textus a memoria codicis Monacensis 113 discrepat. ut p. 95,12 παιδιάδος τε καὶ εἰρήνης (sic) Mon., πεδιάδος τε καὶ ὀρεινῆς recte Hoeschel. 96,3 πρῶτον Mon., πρώτη

recte Hoeschel. 96,4 ἡ δι' ἐξ Mon., ἡ ἐξ Hoeschel in textu (corr. in notis). 97,17 κοσμοποιήτας Mon., κοσμοπολίτας Hoeschel. 99,7 αὐτὴν Mon., αὐτῷ Hoeschel in textu (corr. in notis). 100,13 δικαιονίζουσαν Mon., διαιωνίζουσαν recte Hoeschel. 101,6 ἀναςεὶς (sic) Mon., ἀναθεὶς recte Hoeschel. 104,4 καταζεύγνυται Mon., καταζεύγνηται Hoeschel. 111,14 κελεύω Mon., κελεύει recte Hoeschel. 113,3 ἐπεπανκτησία (sic) Mon., ἐπ' ἀκτησίᾳ Hoeschel. 113,13 εὐπόρως Mon., ἀπόρως recte Hoeschel. 113,19 οἰκείαις Mon., οἰκίαις recte Hoeschel. utrumque autem codicem non pertinuisse nisi usque ad paragraphum 123 ipse Hoeschel testatur post vocem ὑπηρεσίας (p. 115,20) haec adnotans: *'Επόμενοι δὲ etc.* (p. 119,3 sqq.) *haec usque ad finem in codice Boico et vetere desiderantur, suppleta ex recentiore antigrapho eiusdem Th. Canteri.* codex Boicus igitur finem cepit eodem loco quo Monacensis 113 (F Vat. 379) nec vetus Canteri codex plura continuit. quae deinde ex recentiore codice eiusdem Canteri accepit continuationem esse libelli Philonei putavit Hoeschel et putaverunt omnes qui post eum librum *de septenario* ediderunt. transiit enim totus libellus Hoeschelianus primum in editionem Philonis operum Parisinam anni 1640, ubi ad calcem adiecta sunt quae Hoeschel ediderat, tum in editiones quae secutae sunt Francofurtenses a. 1691 et 1729. ex editione Parisina a. 1640 librum *de septenario* in editionem suam recepit Mangey, qui ne ipse quidem immutavit quicquam, nisi quod librum suo loco post initium libri II *de specialibus legibus* inseruit. ab editione Mangeiana pendent editiones Lipsienses Richteriana et Tauchnitiana. Tischendorf, cum totum librum ederet, alteram partem Hoescheliani libelli nihil esse nisi excerpta primus intellexit, sed unde fluxerit antigraphum illud Canteri nescivit; quod coniecit e codice M ipso excerpta illa fluxisse, plane erravit. nunc demum postquam de Nicetae in evangelium Lucae catena certiores facti sumus, antigraphum illud quo ad posteriorem libelli *de septenario* partem edendam usus est Hoeschel nihil aliud fuisse nisi Nicetae catenam (vel si mavis excerpta Philonea ex Nicetae catena) luculentissime apparet. nam quae altera parte libelli Hoescheliani continentur plane congruunt cum excerptis ex ea parte libri Philonei a Niceta factis (inde a p. 119,3 usque ad p. 139,19). de antigrapho illo Canteriano ab Hoeschelio adhibito mihi non magis quam Tischendorfio certi quicquam innotuit. coniecturam tamen ausim facere eundem fuisse codicem quem a Corderio in adornanda

versione latina catenae usurpatum esse supra dixi (p. XVI). nam cum veterem codicem Canteri, quo ad priorem libelli partem edendam usus est, ab Andrea Schotto sibi transmissum esse Hoeschel ipse profiteatur, recentius illud antigraphum ad supplendum illum ab eodem viro missum esse Hoeschelio veri simillimum videtur. itaque hoc putaverim Andream Schottum simul cum Canteri codice Philoneo, quo prior pars capitis *de septenario* continebatur, excerpta Philonea ex altero codice Canteri (qui idem fuerit cum Nicetae codice in bibliotheca societatis Iesu Antverpiensi asservato) descripta misisse Hoeschelio, illa vero ab Hoeschelio edita esse quasi continuationem libri Philonei. longo spatio temporis interiecto postrema pars libri II *de specialibus legibus* in lucem prodiit. anno 1818 A. Mai cardinalis, cum librum Philoneum non integrum in editionibus extare vidisset, extremam partem capitis *de septenario et de festis diebus* (qua agitur de festo cophini) et caput *de parentibus colendis* e codice M peculiari libello edidit (infra p. 139,20—149,28).[1]) quanta neglegentia hoc munere ille functus sit satis demonstravit Tischendorf. Philonis de diebus festis expositionem praecedentem in codice M multo uberiorem extare quam in editionibus Mai non vidit. tandem anno 1868 integrum librum II *de specialibus legibus* qualis codice M traditur C. Tischendorf in lucem edidit.[2]) equidem in edendo hoc libro a Tischendorfio primum eo discessi, quod inscriptiones particularum multas in margine codicis M adscriptas in textum non recepi, sed in apparatu critico tantum commemoravi, deinde saepius memoriam excerptis Nicetae traditam secutus vitia multa codicis M e textu sustuli, tum alias multas et corruptas codicis M scripturas e coniectura correxisse mihi videor. sero cum totus liber typis iam expressus esset, in commentationem incidi quam scripsit I. H. Holwerda Batavus.[3]) in iudicanda Tischendorfii editione partim is eandem sententiam pronuntiavit quam ego in recensendo hoc libro secutus sum. velut p. 86,13 commendavit μέντοι codicis M

---

[1]) *Philonis Iudaei de cophini festo et de colendis parentibus cum brevi scripto de Iona. Editore ac interprete Angelo Maio. Mediolani 1818.*

[2]) *Philonea inedita altera, altera nunc demum recte ex vetere scriptura eruta. Ed. Constantinus Tischendorf. Lipsiae 1868.*

[3]) Verslagen en Mededeelingen der Koninklijke Akademie van Wetenschapen. Afdeel. Letterkunde. 2. Reeks, 3. Deel. Amsterdam 1873, p. 271—288.

scripturam in textum a me receptam. 88,7—12 in editionibus male distrahi quae arte cohaereant recte observavit. 101,23 vulgatam scripturam τότε βελτιοῦντας iure defendit. perinde 110,23 χρείας et κακίζουσα. emendationes meas locorum aliquot, quos et alius quilibet facile correxerit, idem anticipavit. p. 98,5 ὑποτυφόμενον. 116,19 ⟨μὴ⟩ ἡσυχασθῆναι. 116,24. 25 διαδεξομένους. 122,13 αὐτὰ pro αὐτὰ. 129,22 μερῶν pro ἡμερῶν. 144,20 ἀποδοχῆς pro ἀποχῆς. 146,13 ἠνδραγαθίσαντο. 146,15 αὐτὸ μόνον pro αὐτῶν μόνον. 146,27 ἐπεὶ τίνι pro ἐπί τινι. 147,13 ἑξῆει pro ἐξίει. reliquas coniecturas eius, quas longe plurimas vix probabiles esse iudico, in Addendis enotabo.

DE SPECIALIBUS LEGIBUS LIBER III. codices SMFAGHP. accedit versio Armenia, quae pertinet usque ad paragraphum 64 (p. 168,10). tractantur hoc libro decalogi praecepta sextum et septimum. proinde liber dividitur in duo capita, unum quo de adulterio et ceteris legibus ad nuptias spectantibus agitur (p. 150,1—173,1), alterum κατὰ ἀνδροφόνων inscriptum quo praecepta de variis homicidii generibus enarrantur (p. 173,4—208,8). inscriptiones particularum, quas multas S in textu et M in margine praebent, ne hic quidem omnes in textum recipiendas duxi, sed eas tantum quae codicibus omnibus tradita sunt. alterius capitis (de homicidio) duplicem formam exhibet codex H. nam postquam priore loco (9.) totus liber cum titulo suo περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων κτλ. descriptus est, in fine codicis alterius capitis particulae tres suis titulis instructae τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ ἀνδροφόνων, περὶ τῶν οἰκέτας κτεινόντων, περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας forma textus diversa repetitae sunt (cf. vol. I p. XIII). in hac igitur parte textus formam priore loco traditam nota H[1] significavi, alteram nota H[2]. ceterum inscriptionem περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας non ad omnia quae sequuntur i. e. extremam partem libri tertii referendam esse, sed ad ea tantum spectare quae Philo in enarrando praecepto Deuter. 25,11. 12 exposuit (p. 197,9—200,16), vix est quod moneam.

DE SPECIALIBUS LEGIBUS LIBER IV. titulum codicum in fine corruptum ope indicis Philonis librorum vetusti codice Vindobonensi theol. gr. 29 traditi (cf. vol. I p. XXXVI) correxi. totus liber, quem primus Mangey ex Seldeniano edidit, non traditur nisi codicibus S et M, libri manuscripti deteriores (in quibus F) partes tantum exhibent pecu-

liaribus titulis instructas. dividitur hic liber, ut ipse titulus declarat, in quattuor capita:

1. de furto (περὶ κλοπῆς) et aliis huius generis peccatis (p. 209,8—218,11). codices SM.
2. de falso testimonio (οὐ ψευδομαρτυρήσεις) et de iudicibus (p. 218,12—227,3). partem huius capitis, qua de vero iustoque iudice agitur (p. 221,8—227,3), praebent etiam codices deteriores FGAHP, iam ediderat Turnebus; inscripta fuit τὰ περὶ δικαστοῦ *(de iudice)*, codices praeter HP titulum exhibent τὰ πρὸς δικαστήν.
3. *de concupiscentia* (οὐκ ἐπιθυμήσεις), quo capite agitur etiam de animalibus ad edendum concessis et prohibitis (p. 227,4—239,17). codices SM. hoc ultimo decalogi praecepto explanato pergit Philo agere de ea virtute, quae quasi ad omnes leges pertineat, scilicet
4. *de iustitia* (περὶ δικαιοσύνης). huius capitis initium solis codicibus SM traditur (p. 239,18—242,26), maior pars, quae περὶ καταστάσεως ἀρχόντων *(de creatione principum)* inscribi solet (κατάστασις ἀρχόντων in S), etiam deterioribus libris (p. 243,1—265,6).

DE VIRTUTIBUS. ad caput ultimum antecedentium librorum, quo de iustitia egerat, quasi supplementum Philo adnexuit librum singularem de aliis virtutibus quas legibus quibusdam Mosaicis commendari declarat. titulus huius libri apud antiquissimum auctorem Eusebium (Hist. eccl. II 18,2) legitur περὶ τῶν τριῶν ἀρετῶν ἃς σὺν ἄλλαις ἀνέγραψε Μωυσῆς. idem fortasse legebatur in eo exemplari quo Ioannes Damascenus usus est, quippe qui excerpta quaedam ex hoc libro proferat verbis Φίλωνος ἐκ τοῦ περὶ ἀρετῶν vel ἐκ τοῦ περὶ τριῶν ἀρετῶν. cf. adnot. ad p. 268,17. 269,1. 300,9. codices in diversas partes discedunt, quare de titulo genuino et de partibus huic libro adscribendis multum disceptatum est.[1]) ab Eusebio proxime abest vetustissimus codex S: Φίλωνος περὶ γ′ ἀρετῶν ἃς σὺν ἄλλαις ἀνέγραψε Μωυσῆς περὶ ἀνδρείας καὶ φιλανθρωπίας καὶ μετανοίας. ceteri qui quidem titulum generalem tradunt numerum γ′ et verba ἃς σὺν ἄλλαις ἀνέγραψε Μωυσῆς omittunt, addunt vero καὶ εὐσεβείας:

---

[1]) de ordine capitum huius libri cf. *Einteilung u. Chronologie der Schriften Philos* (Philol. Suppl. VII) p. 412 sq. Wendland, Hermae vol. XXXI p. 436 sqq.

(Φίλωνος) περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας. quamquam tractatus περὶ εὐσεβείας non traditus est, non tamen ea verba temere inculcata esse crediderim (cf. etiam titulos codicum FGHP infra memoratos). caput περὶ εὐσεβείας iam antiquis temporibus videtur periisse, si quidem Clemens Alexandrinus id non iam habuit, qui in excerpendo hoc libro Philonis a capite περὶ ἀνδρείας statim ad caput περὶ φιλανθρωπίας pergit. itaque librarium codicis S (vel eius archetypi) propter numerum γ', cum tractatum περὶ εὐσεβείας in exemplari suo non repperisset, in titulo describendo verba καὶ εὐσεβείας praetermisisse, ceterum codicis S titulum pro genuino habendum esse arbitror. verba autem περὶ τριῶν ἀρετῶν ita mihi explicanda videntur, ut tres virtutes intellegendae sint ἀνδρεία, εὐσέβεια, φιλανθρωπία. nam particulam illam quae περὶ μετανοίας inscribitur artissime cum capite περὶ φιλανθρωπίας cohaerere nec μετάνοιαν proprie virtutem esse nemo est quin videat. atque ad idem caput περὶ φιλανθρωπίας pertinet opusculum περὶ εὐγενείας, quod in S aliisque codicibus capiti illi recte adnexum est. totus liber *de virtutibus* (excepto capite illo περὶ εὐσεβείας deperdito) uno codice S traditus est, ceteris codicibus, etiam iis qui generalem titulum exhibent, partes tantum diversis locis collocatae. iam igitur liber *de tribus virtutibus* principio e tribus partibus compositus fuit, περὶ ἀνδρείας, περὶ εὐσεβείας, περὶ φιλανθρωπίας. aetatem tulerunt capita duo περὶ ἀνδρείας et περὶ φιλανθρωπίας sive tractatus quattuor suis titulis distincti:

1. περὶ ἀνδρείας (*de fortitudine*). tradunt praeter codicem S codices FGAHP, hoc unum caput libri *de virtutibus* exhibent codex M et qui coniunctum praebent cum vitis Abrahami Iosephi Mosis codices BEK et VO. codex F in hac parte eandem fere memoriam prae se fert quam VO. codex G in medio capite (p. 275,11 ante ἔθνος) titulum addit περὶ εὐσεβείας.
2. περὶ φιλανθρωπίας (*de humanitate*), cui adiuncti sunt tractatus
3. περὶ μετανοίας (*de paenitentia*) et
4. περὶ εὐγενείας (*de nobilitate*).

integri tractatus hi tres cum titulis suis deinceps scripti leguntur in SCG². in codice F caput *de humanitate*, cui sine titulo adhaeret tractatus *de paenitentia*, sub falso titulo λόγος περὶ εὐσεβείας extat, tractatus *de nobilitate* alio loco descriptus est. in HP caput *de humanitate* (cum tractatu *de*

paenitentia, qui titulo caret) titulum prae se fert περὶ εὐσεβείας καὶ φιλανθρωπίας, tractatus περὶ εὐγενείας ut in F separatim extat. in A et G[1] titulus capitis περὶ φιλανθρωπίας (et adiuncti tractatus περὶ μετανοίας) plane deest; in illis enim hoc caput adnexum est opusculo ex capite secundo libri quarti *de specialibus legibus* decerpto quod τὰ πρὸς δικαστήν (*de iudice*) inscribitur; tractatus περὶ εὐγενείας in AG[1] non legitur. tractatulus περὶ μετανοίας integer servatus est tantum in SCG[2], ceteri codices AFG[1]HP desinunt verbis πάγκαλον γὰρ καὶ συμφέρον αὐτομολεῖν (p. 322,22), reliqua (usque ad p. 324,14) omittunt. tractatus περὶ εὐγενείας librarius codicis C particulam exiguam tantum descripsit (p. 326,17 οἶμαι τὴν εὐγένειαν — 327,16 γένηται γονέων), reliqua omisit. codex F in fine mutilus est, desinit verbis ἐφ' ἡμισείας στοργῆς (p. 335,5); in reliquis igitur eius loco gemellum codicem Vaticanum 379 adhibui. apud Mangeium tractatus *de nobilitate* post librum *de praemiis et poenis* collocatus est. etsi vero librorum ordinem a Mangeio constitutum in hac editione retinere studuimus, tamen hoc loco a Mangeio discedendum et tractatum illum huc transponendum duxi.

DE PRAEMIIS ET POENIS. codices FAHP. codex F, cuius memoria ceteris codicibus AHP valde praestat, partim rursus deficit, desinit enim verbis οὗτος ᾧ φησιν (p. 364,16); quae sequuntur omnia manu recentiore (Iacobi Diassorini) ex editione Adriani Turnebi suppleta sunt. cf. Satura Viadrina (Breslau 1896) p. 110sqq. hunc librum Philo quasi appendicem librorum *de specialibus legibus* (et eorum supplementi *de virtutibus*) esse voluit. hanc appendicem et codices et editiones in duos libros male discerptam praebent, unum περὶ ἄθλων καὶ ἐπιτιμίων, alterum περὶ ἀρῶν inscriptum. sed re vera unum esse librum nemo non videt et Mangey recte iam animadvertit, expresse autem testatur Eusebius (Hist. eccl. II 18,5), qui titulum huius libri sic laudat: περὶ τῶν προκειμένων ἐν τῷ νόμῳ τοῖς μὲν ἀγαθοῖς ἄθλων τοῖς δὲ πονηροῖς ἐπιτιμίων καὶ ἀρῶν. itaque recte me fecisse arbitror quod titulum huic libro reddidi περὶ ἄθλων καὶ ἐπιτιμίων καὶ ἀρῶν. at ne sic quidem argumentum totius libri iusto et genuino titulo significatur. neque enim integer liber aetatem tulit, in medio libro satis magna lacuna statuenda est. nam Philo, postquam ab initio usque ad paragraphum 66 de praemiis legum observantibus promissis fusius disseruit, inde a paragrapho 67 (p. 351,5)

oenas maleficis instantes enarrandas sibi proposuit, sed quae de ea re unc leguntur admodum pauca sunt et in narranda seditione Core et ociorum oratio abrupte desinit (p. 353,18); verba autem quae sequuntur αρτυρία δὲ σαφὴς ἐν τοῖς ἱεροῖς ἀνάκειται γράμμασι ad prorsus alia spectare uae non extant luculenter apparet. multa hoc loco deesse videri recissime monuit Mangey. sequitur a paragrapho 79 usque ad paragraphum 26 tractatus de benedictionibus inprimis Levit. 26,3—13 et Deuter. 28,1—14 pronuntiatis, quem inde a paragrapho 127 excipit tractatus conrarius de exsecrationibus Levit. 26,14 sqq. et Deut. 28,15 sqq. enarratis. itaque lacuna illa maiorem partem capitis de poenis et initium tractatus de benedictionibus absorptam esse elucet. hinc etiam explicandum videtur quod tractatus de benedictionibus in libris manuscriptis titulo suo caret, quippe qui una cum initio interciderit. eum vero titulum nobis supplere licet. nempe Ioannes Damascenus in Sacris Parallelis unum locum ex ea parte laudavit hoc titulo: Φίλωνος ἐκ τοῦ περὶ εὐχῆς καὶ εὐλογιῶν (cf. adnot. ad p. 359,18). atque cum Philo ipse dixerit λέγε τὰς εὐχὰς πρότερον, ἃς εὐλογίας εἴωθεν ὀνομάζειν (p. 353,21), antiquum titulum fuisse περὶ εὐχῶν καὶ εὐλογιῶν existimaverim; itaque totus liber rectius inscribendus fuerit περὶ ἄθλων καὶ ἐπιτιμίων καὶ εὐλογιῶν καὶ ἀρῶν. iam igitur hic liber ex tribus capitibus compositus fuit hisce:

1. περὶ ἄθλων καὶ ἐπιτιμίων (*de praemiis et poenis*).
2. περὶ εὐχῶν καὶ εὐλογιῶν (*de benedictionibus*).
3. περὶ ἀρῶν (*de exsecrationibus*).

in Ioannis Damasceni Sacris Parallelis aliisque florilegiis aliquanto plura excerpta ex hoc libro servata sunt quam ex aliis libris huius voluminis. e codice Hierosolymitano accessit excerptum quod A. Papadopulos-Kerameus apud Philonem non reppererat (cf. adnot. ad p. 343,7).

Scribebam Vratislaviae
m. Augusto a. MDCCCCVI.

L. Cohn.

ADDENDA ET CORRIGENDA

p. 20,13. 14 corr. ἀριστίνδην.
21,9 adnot. corr. ἥν φασι] φασι δεῖν Arm
23,9 adnot. add. πνεύματα βίαια φορᾶς Arm
27,4 adnot. verba *ἄρουραν om. Arm* delenda sunt; add. ὁ ἱερὸς ἱερέων σπόρος Arm
29,5 adnot. add. ἐν γενέσει] ἐκ γενέσεως Arm
30,3 adnot. corr. ἑσπέρας] ἡμέρας ἑσπέρας Arm
30,15 διὰ λόγων (sicut scripsi) Arm
31,20. 21 adnot. add. ἵνα φῶρες τρόπον τινὰ ἀνυπαιτίως ζῶντες (sic) Arm
34,1 adnot. add. καὶ λόγοις πρὸ γένους (sic) ἀοράτοις εἴδεσιν Arm
44,14 corr. ψήθη.
69,1 adnot. corr. Φίλωνος τὰ περὶ τὸ θυσιαστήριον Arm
69,5 adnot. τυγχάνουσιν etiam Arm
72,18. 19 adnot. add. τί δὲ Arm
72,25 adnot. corr. ὅτε ἐποιήθη ὃ ἐτάχθη Arm
73,12 adnot. add. ὁρατοῦ (om. οὐρανοῦ) Arm, fortasse recte.
73,18 adnot. corr. ἠσθένησαν pro διετέλεσαν Arm
74,11. 12 adnot. ἄρχων — ἀρχόντων habet etiam Arm
78,4. 5 adnot. add. διένειμεν αὐτὴν Arm (ut videtur)
78,12 adnot. πολιτείας pro καταστάσεως etiam Arm
79,3 et 4 quae supplevi confirmat Arm
79,10 adnot. corr. οὐσίας] ἢ ποσότητες Arm
79,14 adnot. corr. τὴν ἄμορφον καὶ ἄποιον ἐκείνην ἄγει etiam Arm
79,15 ἐγέννησεν] ἐγνώρισεν Arm (ut videtur)
79,21 νικητήρια] κριτήρια Arm
80,4 οἷς (quod seclusi) om. Arm
80,9 adnot. πολυαρχίας αὐτῶν λόγῳ Arm
80,17 adnot. κάλλιον ἐπιστήμης etiam Arm
81,11 εἰς ἑαυτοὺς] εἰς ταὐτὸ Arm (fortasse recte).
83,8 ταῦτα] τὰ ὦτα Arm; hoc fortasse etiam in R supplendum.
83,13 πεπαιδευμένοις] πεποιημένοις Arm
85,9 διαλεξώμεθα] διαλεγώμεθα coni. Holwerda.
86,17. 18 πάντα ταῦθ'] ταῦτα πάνθ' coni. Holwerda.
88,16 ⟨τὸ τῆς⟩ παραβάσεως τῶν ὅρκων τοῦ δεῖν' ἀδικεῖν coni. Holwerda.
91,20sqq. ἐπειδὴ — βεβαιουμένους ante οὐ γὰρ ἔχουσι — ἐστέλλοντο transponenda cens. Holwerda.
94,12 τῆς τιμῆς] τῇ τιμῇ coni. Holwerda.
97,16. 17 οἷα χρὴ τοὺς τῷ ὄντι κοσμοπολίτας γενομένους recte Holwerda.

p. 97,24 καμπτόμενοι] καθαιρούμενοι coni. Holwerda.
99,14 μετ' ἀσφαλείας] μετ' ἀμελείας (M) prob. Holwerda.
100,15 corr. ὑπερβάλλουσαν.
101,4 corr. κρείττους.
104,18 ἀδελφοῖς insiticium esse cens. Holwerda.
105,4 ⟨μᾶλλον⟩ ἔτι βλάπτεται coni. Holwerda.
107,20 ῥᾳδίως] ῥᾳόνως coni. Holwerda.
108,3 corr. οὐσίαν.
117,19. 20 ἐπειδὴ γενόμενος ⟨οὗτος⟩ τούτοις coni. Holwerda.
119,4. 5 verba κατὰ σελήνην — διηριθμήσαντο interpolata cens. Holwerda.
119,22 corr. ἵν'.
121,9 κατὰ ἀρχαιολογίαν τινὰ vel κατὰ παλαιὰν παράδοσιν coni. Holwerda.
140,1 παρὰ ταύτας ἑορτὴ μὲν οὗ (pro θεοῦ) coni. Holwerda.
144,1 corr. ὑγιαινόντων.
144,10 τοῖς γέρασιν (τὴν γέρασιν M) delenda cens. Holwerda.
144,23 τεθεικέναι] τεθηπέναι coni. Holwerda.
145,9. 10 ἣν αὐτοκέλευστον ἡ φύσις ἐξ ἔτι σπαργάνων τε ταῖς ψυχαῖς coni. Holwerda.
145,24 τοὺς γινομένους] τοὺς γειναμένους coni. Holwerda.
148,2 ἔφοροι] ἔφεδροι coni. Holwerda.
148,3 adnot. corr. ἐπὶ καταλεύσει τί δρῶσιν M
151,11 ἐν πολιτείᾳ] ἐν τῇ προτεραίᾳ Arm
154,17 μάχαις] ἀμηχάνοις κακοῖς Arm
157,16 ἀπορρήττουσα] ἀπόρρητα Arm
167,3 τὸν νόμῳ] τῶν νόμων Arm
173,13 corr. οὐδέν.
211,22 adnot. corr. φώρια S Nicet.: φωρία v
215,23 corr. ἀήττητον.
270,1 τῆς τε suspectum, corrigendum videtur τῶν τε (Wendl.)
321,5 καὶ τῶν κατ' αὐτὴν ⟨ἀγαθῶν⟩ ἀπόλαυσιν coni. Wendl.

INDEX SIGLORVM

R = Vaticanus gr. 316

S = Seldenianus

C = Parisinus gr. 435

M = Laurentianus X 20

F = Laurentianus LXXXV 10

G = Vaticano-Palatinus gr. 248

V = Vindobonensis suppl. gr. 50

O = Laurentianus X 23

B = Venetus gr. 42

E = Oxoniensis Lincolniensis 34

K = Laurentianus conv. soppr. 59

A = Monacensis gr. 459

H = Venetus gr. 40

P = Petropolitanus XX Aa 1

L = Parisinus gr. 433

N = Neapolitanus II C 32 (excerpta)

D = Sacra Parallela

- D^{C} = Coislinianus 276
- D^{K} = Vaticanus gr. 1553
- D^{P} = Paris. gr. 923
- D^{M} = Venetus gr. 138
- D^{H} = Hierosolymitanus 15
- D^{R} = Rupefucaldinus (Berolinensis Phill. 1450)
- D^{L} = Laurentianus VIII 22
- D^{V} = Vaticanus gr. 1236

Arm = versio Armenia

Turn. = Turnebus

Mang. = Mangey

Tisch. = Tischendorf

v = lectio vulgata

ΦΙΛΩΝΟΣ
ΠΕΡΙ ΤΩΝ ΕΝ ΜΕΡΕΙ ΔΙΑΤΑΓΜΑΤΩΝ

ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ ΕΙΣ ΔΥΟ ΚΕΦΑΛΑΙΑ ΤΩΝ ΔΕΚΑ ΛΟΓΙΩΝ, ΤΟ ΤΕ ΜΗ ΝΟΜΙΖΕΙΝ ΕΞΩ ΤΟΥ ΕΝΟΣ ΘΕΟΥΣ ΕΤΕΡΟΥΣ ΑΥΤΟΚΡΑΤΕΙΣ ΚΑΙ ΤΟ ΜΗ ΧΕΙΡΟΚΜΗΤΑ ΘΕΟΠΛΑΣΤΕΙΝ

Περὶ περιτομῆς.

p. 210 M. (1.) Τὰ μὲν γένη τῶν ἐν εἴδει νόμων, οἱ προσαγορευόμενοι δέκα 1
λόγοι, διὰ τῆς προτέρας ἠκρίβωνται συντάξεως, τὰ δ' ἐν μέρει διατάγ-
ματα κατὰ τὴν τῆς γραφῆς ἀκολουθίαν νῦν ἐπισκεπτέον. ἄρξομαι δ'
ἀπὸ τοῦ γελωμένου παρὰ τοῖς πολλοῖς. γελᾶται δὲ ἡ τῶν γεννητικῶν 2
περιτομή, πρᾶγμα σπουδαζόμενον οὐ μετρίως καὶ παρ' ἑτέροις ἔθνεσι
καὶ μάλιστα τῷ Αἰγυπτιακῷ, ὃ καὶ πολυανθρωπότατον καὶ ἀρχαιότατον
καὶ φιλοσοφώτατον εἶναι δοκεῖ. παρὸ καὶ προσῆκον ἦν παιδικὴν χλεύην 3
μεθεμένους φρονιμώτερον καὶ σεμνότερον ἀναζητῆσαι τὰς αἰτίας, ὧν
χάριν ἐκράτησε τὸ ἔθος, καὶ μὴ προεξαναστάντας καταγινώσκειν μεγάλων
211 M. ἐθνῶν εὐχέρειαν, λογιζομένους, ὡς εἰκός, τοσαύτας | μυριάδας καθ'
ἑκάστην γενεὰν ἀποτέμνεσθαι, μετὰ χαλεπῶν ἀλγηδόνων ἀκρωτηρια-

---

1. 2 Φίλωνος περὶ τῶν ἐν μέρει δια(ταγμάτων) R: om. ceteri 3—7 περὶ τῶν ἀναφερομένων ... ἔξω ἑνὸς ... χειρότμητα θεοπλαστεῖν M, τοῦ αὐτοῦ περὶ ... λόγων ... θεοπλαστεῖν F, Φίλωνος περὶ περιτομῆς A, Φίλωνος ἰουδαίου περὶ περιτομῆς H
9 μέρη M 10 δὲ AH 11 δὲ RM: δ' ceteri γεννητικῶν] γεννητῶν H (Turn.) 13 καὶ ἀρχαιότατον om. AH (Turn.) 14 φιλοσοφώτατον] πολυσοφώτατον AH (Turn.) προσῆκον] πρέπον MF 16 ἐκράτησεν ἔθος (om. τὸ) Mang. ἔθνος H 17 λογιζομένας H ὡς εἰκὸς AH: ὡς οὐκ εἰκὸς RMF (v)
18 ⟨μάτην⟩ περιτέμνεσθαι coni. Mang.

---

11 sqq. cf. Wendland Archiv f. Papyrusforsch. II p. 22 sqq.

ζούσας τά τε ἑαυτῶν καὶ τῶν οἰκειοτάτων σώματα, πολλὰ δ' εἶναι τὰ
προτρέποντα τὴν εἰσήγησιν τῶν παλαιῶν διατηρεῖν καὶ ἐπιτελεῖν, τὰ δ'
4 ἀνωτάτω τέτταρα· ἓν μὲν χαλεπῆς νόσου καὶ δυσιάτου, ποσθένης,
ἀπαλλαγήν, ἣν ἄνθρακα καλοῦσιν, ἀπὸ τοῦ καίειν ἐντυφόμενον, ὡς οἶμαι,
ταύτης τῆς προσηγορίας τυχόντα, ὅπερ εὐχολώτερον τοῖς ἀκροποσθίας
5 ἔχουσιν ἐγγίνεται· δεύτερον δὲ τὴν δι' ὅλου τοῦ σώματος καθαριότητα
πρὸς τὸ ἁρμόττον τάξει ἱερωμένῃ, παρὸ καὶ ξυρῶνται τὰ σώματα προσ-
υπερβάλλοντες οἱ ἐν Αἰγύπτῳ τῶν ἱερέων· ὑποσυλλέγεται γὰρ καὶ ὑπο-
6 στέλλει καὶ θριξὶ καὶ ποσθίαις ἔνια τῶν ὀφειλόντων καθαίρεσθαι· τρίτον
δὲ τὴν πρὸς καρδίαν ὁμοιότητα τοῦ περιτμηθέντος μέρους· πρὸς γὰρ
γένεσιν ἄμφω παρεσκεύασται, τὸ μὲν ἐγκάρδιον πνεῦμα νοημάτων, τὸ δὲ
γόνιμον ὄργανον ζῴων· ἐδικαίωσαν γὰρ οἱ πρῶτοι τῷ ἀφανεῖ καὶ κρείτ-
τονι, δι' οὗ τὰ νοητὰ συνίσταται, τὸ ἐμφανὲς καὶ ὁρατόν, ᾧ τὰ αἰσθητὰ
7 γεννᾶσθαι πέφυκεν, ἐξομοιῶσαι· τέταρτον δὲ καὶ ἀναγκαιότατον τὴν πρὸς
πολυγονίαν παρασκευήν· λέγεται γὰρ ὡς εὐοδεῖ τὸ σπέρμα μήτε σκιδνάμενον
μήτε περιρρέον εἰς τοὺς τῆς ποσθίας κόλπους· ὅθεν καὶ τὰ περιτεμνόμενα
τῶν ἐθνῶν πολυγονώτατα καὶ πολυανθρωπότατα εἶναι δοκεῖ.
8 (2.) Ταῦτα μὲν οὖν εἰς ἀκοὰς ἦλθε τὰς ἡμετέρας, ἀρχαιολογού-
μενα παρὰ θεσπεσίοις ἀνδράσιν, οἳ τὰ Μωυσέως οὐ παρέργως διηρεύνησαν.
ἐγὼ δὲ πρὸς τοῖς εἰρημένοις καὶ σύμβολον ἡγοῦμαι τὴν περιτομὴν δυοῖν

---

1 τε R: τ' F, θ' MAH καὶ τὰ τῶν FA (v) πολλὰ δ' εἶναι AH: πολλὰ δ' εἰσὶ R, om. MF τὰ] τά τε MF 2 προτρέποντα] πρέποντα M τὴν—παλαιῶν] τῶν παλαιῶν τῇ ἀγωγῇ M εἰσήγησιν RAH: εἰσαγωγὴν FL^2 (v) δ' om. MF 3 χαλεπῆς] τὸ ἐκ τῆς MF ποσθένης RMF: πάθους AH (v) ποσθένης corruptum 4 ἀπαλλαγήν om. RMF ἀπὸ τοῦ καίειν RAH: ἀποχεόμενον καὶ MF 4. 5 ὡς οἶμαι, ταύτης AH: ὡς οἶμαι ταύτης οἰκειοτέρας R, ὡς οἰκειοτέρας MF 5 τυχόντα RMF: τυχόντος AH ὅπερ RF: ὅπερ καὶ M, ἥτις AH(v); ὅστις coni. Mang. εὐχολώτερον om. RMF τοῖς τὰς ἀκροποσθίας F(v) ἀκροποσθιάσεις M 6 ἔχουσι γίνεται F δεύτερον AH (δὲ addidi): ἕτερον δὲ MF, om. R τὴν—σώματος] διὰ τὴν δηλουμένην MF καθαριότητα R: καθαρότητα ceteri (v) 7 ἁρμόττειν FL^2 (v) τάξει ἱερωμένῃ MFL^2: ἱερωμένῃ (om. τάξει) R, ἱερωσύνῃ AH 8 τῶν ἱερέων ⟨παῖδες⟩ coni. Reitzenstein ὑποσυλλέγεται] ὑποστέλλεται H, ὑποσυστέλλεται A 8. 9 ὑποστέλλει] ὑποσυστέλλει F 10 τὴν om. M alt. πρὸς R: εἰς ceteri (v) 11 τὸ μὲν γὰρ v, γὰρ om. codd. 13 τὰ νοητὰ RMF: καὶ τὰ νοήματα AH (v) ᾧ] ὡς R αἰσθητὰ om. M 14 δὲ om. AH καὶ] ἣν M καὶ ἀναγκαιότατον—εἰρημένοις καὶ (20) om. F 15 παρασκευήν RM: κατασκευήν AH (Turn.) εὐοδεῖ RM: εὐοδοῖ A (v), εὐωδοῖ H 16 τῆς ποσθίας] ποσθίους M ante κόλπους add. ὡς ἦλθε AH (v) καὶ om. M τεμνόμενα H (Turn.) 17 δοκεῖ R: om. ceteri (v) 18 οὖν om. M 19 μωϋσέος M, μωσέως AH διηρεύνησαν RM: διηρμήνευσαν AH (v)

---

7 cf. Herod. 2,37

εἶναι τοῖν ἀναγκαιοτάτοιν· ἑνὸς μὲν ἡδονῶν ἐκτομῆς, αἳ καταγοητεύουσι 9
διάνοιαν· ἐπειδὴ γὰρ τὰ νικητήρια φέρεται τῶν ἐν ἡδοναῖς φίλτρων ἡ
ἀνδρὸς πρὸς γυναῖκα συνουσία, τὸ ὑπηρετοῦν ταῖς τοιαύταις ὁμιλίαις
ὄργανον ἀκρωτηριάζειν ἔδοξε τοῖς νομοθέταις, αἰνιττομένοις περιτομὴν
περιττῆς ἐκτομὴν καὶ πλεοναζούσης ἡδονῆς, οὐ μιᾶς, ἀλλὰ διὰ μιᾶς τῆς
βιαστικωτάτης καὶ τῶν ἄλλων ἁπασῶν· ἑτέρου δὲ τοῦ γνῶναί τινα 10
ἑαυτὸν καὶ τὴν βαρεῖαν νόσον, οἴησιν, ψυχῆς ἀπώσασθαι· ἔνιοι γὰρ ὡς
ἀγαθοὶ ζῳοπλάσται ζῴων τὸ κάλλιστον, ἄνθρωπον, ηὔχησαν δύνασθαι
2 M. δημιουργεῖν καὶ φυσηθέντες ὑπ' ἀλαζονείας ἑαυτοὺς ἐξεθείωσαν, | τὸν
ὡς ἀληθῶς αἴτιον γενέσεως ὄντα θεὸν παρακαλυψάμενοι, καίτοι γε ἐκ
τῶν συνήθων ἐπανορθώσασθαι τὴν ἀπάτην δυνάμενοι· πολλοὶ μὲν γὰρ 11
παρ' αὐτοῖς εἰσιν ἄνδρες ἄγονοι, πολλαὶ δὲ στεῖραι γυναῖκες, ὧν ἀτελεῖς
αἱ ὁμιλίαι καταγηρασάντων ἐν ἀπαιδίᾳ. πονηρὰν οὖν δόξαν ἐκτμητέον
τῆς διανοίας καὶ τὰς ἄλλας ὅσαι μὴ φιλόθεοι. τούτων μὲν δὴ πέρι 12
τοσαῦτα· τρεπτέον δ' ἐπὶ τοὺς κατὰ μέρος ἤδη νόμους καὶ πρώτους,
ἀφ' ὧν ἄρχεσθαι καλόν, τοὺς περὶ μοναρχίας ὁρισθέντας.

Οἱ περὶ μοναρχίας νόμοι.

213 M. (1.) Τινὲς ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας ὑπέλαβον 13
εἶναι θεοὺς αὐτοκράτορας, οἷς τὰς τῶν γινομένων ἁπάντων αἰτίας ἀνέθεσαν.

---

1 εἶναι RF: ἕνεκα M, om. AH (v) ἐκτομήν M 2 διάνοιαν om. AH γὰρ om. R 3 γυναῖκας F 4 ἀκρωτηριάζει MF ἔδοξε] πᾶσι MF αἰνιττόμενος MF 4. 5 περιτομὴν περιττῆς ἐκτομὴν scripsi: περιτομὴν περιττῆς ἐκτομῆς R (ut vid.), περιτομὴν περιττῆς MF, ἐκτομὴν περιττῆς AH (v) 5 ἀλλὰ καὶ F 6 ἕτερον F τιν' F 7 τὴν οἴησιν AH (v) 8 ζώων R: ζῴον ceteri (v) ἀνθρώπων F 9 ἐξεθέωσαν AH 10 ὡς om. F (Turn.) αἴτιον γενέσεως ὄντα RF: ὄντα αἴτιον γενέσεως AH (v), ὄντα γενέσεως αἴτιον M καίτοι—δυνάμενοι (11) om. AH γε R: γ' MF 11 συνήθων R: συνόντων MF (v) 12 πολλαὶ δὲ] καὶ H (Turn.); πολλαὶ δὲ καὶ Mang. 13 ὁμιλίαι] ἡμιολίαι AH κατηγορησάντων F[1]H (Turn.) 14 τῆς διανοίας—φιλόθεοι om. MF δὴ RMF: οὖν AH (v) 15 πρώτους RM: πρώτους γ' F, πρῶτον AH (Turn.); πρῶτον γ' Mang. 16 περὶ] ἐπὶ AH 17 tit. οἱ περὶ μοναρχίας νόμοι RF: οἱ περὶ μοναρχίας λόγοι Vind., περὶ μοναρχίας mg R mg M, φίλωνος περὶ μοναρχίας AH, περὶ μοναρχίας λόγος πρῶτος L (v) 18 ἀστέρας om. AH 19 αὐτοκράτορας] αὐτοκρατεῖς coni. Mang. πάντων F Vind. αἰτίας ἁπάντων transp. M ἐνέθεσαν M

18—4,22 *Euseb. Praep. Ev. XIII 18,11* εἰκότως δῆτα Μωυσῆς ... μόνον ἡγεῖσθαι θεὸν καὶ μόνῳ τὴν σεβάσμιον ἀπονέμειν νομοθετεῖ τιμὴν λέγων· "μὴ ἰδὼν—προσκυνήσῃς αὐτοῖς" (Deut. 4,19). ἑρμηνεύει δὲ ταῦτα διασαφῶν εἰς πλάτος ὁ τὰ Ἑβραίων πεπαιδευμένος Φίλων ὧδέ πῃ λέγων πρὸς λέξιν· Τινὲς ἥλιον—συνέστησαν. 18—4,7 Vind. hist. gr. 67 fol. 59v Οἱ περὶ μοναρχίας λόγοι: — Τινὲς κτλ. abrumpitur verbis (4,7) τοὺς δὲ μὴ βλέποντας τὸν ἐπι, folium proximum intercidit.

Μωυσεῖ δ' ὁ κόσμος ἔδοξεν εἶναι καὶ γενητὸς καὶ καθάπερ πόλις ἡ
μεγίστη, ἄρχοντας ἔχουσα καὶ ὑπηκόους, ἄρχοντας μὲν τοὺς ἐν οὐρανῷ
πάντας ὅσοι πλάνητες καὶ ἀπλανεῖς ἀστέρες, ὑπηκόους δὲ τὰς μετὰ
14 σελήνην ἐν ἀέρι καὶ περιγείους φύσεις· τοὺς δὲ λεχθέντας ἄρχοντας
οὐκ αὐτεξουσίους, ἀλλ' ἑνὸς τοῦ πάντων πατρὸς ὑπάρχους, οὗ μιμου-
μένους τὴν ἐπιστασίαν κατορθοῦν πρυτανεύοντος κατὰ δίκην καὶ νόμον
ἕκαστον τῶν γεγονότων· τοὺς δὲ μὴ βλέποντας τὸν ἐπιβεβηκότα ἡνίοχον
τοῖς ὑπεζευγμένοις ὡς αὐτουργοῖς τῶν ἐν τῷ κόσμῳ γινομένων ἀνάψαι
15 τὰς αἰτίας. ὧν τὴν ἄγνοιαν ὁ ἱερώτατος νομοθέτης εἰς ἐπιστήμην
μεθαρμόζεται λέγων ὧδε· „μὴ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ
τοὺς ἀστέρας καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ πλανηθεὶς προσκυνήσῃς
αὐτοῖς“ (Deut. 4,19). εὐθυβόλως πάνυ καὶ καλῶς πλάνον εἶπε τὴν
16 τῶν εἰρημένων ὡς θεῶν ἀποδοχήν. οἱ γὰρ ἰδόντες ἡλίου μὲν προσόδοις
καὶ ἀναχωρήσεσι τὰς ἐτησίους ὥρας συνισταμένας, ἐν αἷς αἱ | ζῴων καὶ p.
φυτῶν καὶ καρπῶν γενέσεις ὡρισμέναις χρόνων περιόδοις τελεσφοροῦνται,
σελήνην δ' ὑπηρέτιν καὶ διάδοχον ἡλίου νύκτωρ τὴν ἐπιμέλειαν καὶ
προστασίαν ἀνειληφυῖαν ὧν μεθ' ἡμέραν ἥλιος, καὶ τοὺς ἄλλους ἀστέρας
κατὰ τὴν πρὸς τὰ ἐπίγεια συμπάθειαν μυρία τῶν ἐπὶ διαμονῇ τοῦ παντὸς
ἐνεργοῦντάς τε καὶ δρῶντας, πλάνον ἐπλανήθησαν ἀνήνυτον μόνους εἶναι
17 τούτους θεοὺς ὑποτοπήσαντες. εἰ δ' ἐσπούδασαν διὰ τῆς ἀπλανοῦς βαδίζειν
ὁδοῦ, κἂν εὐθὺς ἔγνωσαν ὅτι, καθάπερ αἴσθησις ὑποδιάκονος νοῦ γέγονε,
τὸν αὐτὸν τρόπον καὶ οἱ αἰσθητοὶ πάντες ὑπηρέται τοῦ νοητοῦ κατέστησαν,

---

1 μωϋσῆ MF, μωσεῖ AH δὲ (om. ὁ) AH καὶ ante γενητὸς om. AH γεννητὸς Vind. καθάπερ om. MAH Eus. 2 μεγάλη F Vind. ἄρχοντας δὲ H (v); ἄρχοντάς τε coni. Mang. 3 ὅσοι] οἷον Eus. πλανῆται M 4 ἐν ἀέρι καὶ om. AH; καὶ om. v 5 πατέρος v πατρὸς ὑπάρχους] προϋπάρχου AH 6 πρυτανεύοντας Vind. 8 ἐν τῶ κόσμω codd.: ἐν κόσμῳ v 11 προσκυνήσεις M (v) 12 αὐτοῖς RMF Eus.: αὐτοὺς AH (v) 12. 13 τὴν . . . ἀποδοχήν] τὰς . . . ἀποδοχάς AH 13 ἰδόντες] εἰδότες M προσόδοις F et Eus. codd. nonnulli: προόδοις ceteri 14 συνισταμένας] ἀνεσταλμένας AH αἱ] καὶ AH (Turn.) 15 ὡρισμένων H (Turn.) περιόδοις] προόδοις H 16 ὑπηρέτιν codd.: ὑπηρέτην v ἡλίου καὶ διάδοχον transp. M 17 εἰληφυῖαν MAH ὧν] ὡς AH ἥλιος RM Eus.: ἥλιον FAH 18 τἀπίγεια Eus. τῶν] τὰ AH παντὸς] παρόντος AH (Turn.) 20 δὲ AH 21 κἂν εὐθὺς] εὐθὺς ἂν AH (Turn.) νοῦ om. AH 22 αἰσθητοὶ ⟨θεοὶ⟩ coni. Mang. νοητοῦ] νοῦ L² (Turn.) κατέστησαν AH(R?): συνέστησαν ceteri

---

13 cf. *Cic. de nat. deor. II 19* Possetne . . . tot rebus ipsis se immutantibus solis accessus discessusque solstitiis brumisque cognosci?

ἀγαπήσαντες εἰ δευτερείων ἐφίξονται. παγγέλοιον γὰρ οἴεσθαι, ὅτι ὁ μὲν 18
νοῦς ὁ ἐν ἡμῖν βραχύτατος ὢν καὶ ἀόρατος ἡγεμὼν τῶν αἰσθητικῶν
ὀργάνων ἐστίν, ὁ δὲ τοῦ παντὸς ὁ μέγιστος καὶ τελειότατος οὐχὶ βασιλεὺς
βασιλέων εἶναι πέφυκε, βλεπομένων οὐ βλεπόμενος. πάντας οὖν τοὺς κατ' 19
οὐρανὸν οὓς αἴσθησις ἐπισκοπεῖ θεοὺς οὐκ αὐτοκρατεῖς νομιστέον, τὴν
ὑπάρχων τάξιν εἰληφότας, ὑπευθύνους μὲν φύσει γεγονότας, ἕνεκα δ'
ἀρετῆς εὐθύνας οὐχ ὑφέξοντας. ὥσθ' ὑπερβάντες τῷ λογισμῷ πᾶσαν 20
τὴν ὁρατὴν οὐσίαν ἐπὶ τὴν τοῦ ἀειδοῦς καὶ ἀοράτου καὶ μόνῃ διανοίᾳ
καταληπτοῦ τιμὴν ἴωμεν, ὃς οὐ μόνον θεὸς θεῶν ἐστι νοητῶν τε καὶ
αἰσθητῶν ἀλλὰ καὶ πάντων δημιουργός. ἐὰν δέ τις τὴν τοῦ ἀιδίου καὶ
ποιητοῦ θεραπείαν ἄλλῳ προσνέμῃ νεωτέρῳ καὶ γενητῷ, φρενοβλαβὴς
ἀναγεγράφθω καὶ ἔνοχος ἀσεβείᾳ τῇ μεγίστῃ.

(2.) Εἰσὶ δέ τινες οἳ χρυσὸν καὶ ἄργυρον ἀνδριαντοποιοῖς ὡς θεο- 21
πλαστεῖν ἱκανοῖς παρέδοσαν· οἱ δὲ λαβόντες ἀργὴν ὕλην θνητῷ παρα-
δείγματι προσχρησάμενοι, τὸ παραλογώτατον, θεοὺς ὅσα τῷ δοκεῖν
ἐμόρφωσαν· καὶ νεὼς κατασκευάσαντες καὶ ἱδρυσάμενοι βωμοὺς ἐδείμαντο
θυσίαις τε καὶ πομπαῖς καὶ ταῖς ἄλλαις ἱερουργίαις τε καὶ ἁγιστείαις
ἐπιμελῶς πάνυ καὶ πεφροντισμένως γεραίρουσιν, ἱερέων τε καὶ ἱερειῶν
τὸν περὶ ταῦτα τῦφον ὡς ἔνι μάλιστα σεμνοποιούντων. οἷς ὁ τῶν ὅλων 22
πατὴρ προαγορεύει λέγων· „οὐ ποιήσετε μετ' ἐμοῦ θεοὺς ἀργυροῦς καὶ

---

1 post ἀγαπήσαντες add. αὐτὸ MF εἰ] ἢ M post ἐφίξονται add. πάντες MF παγγέλοιον γὰρ οἴεσθαι om. MF γὰρ R: δὲ AH (v) 1. 2 ὁ μὲν νοῦς ὁ R: νοῦς ὁ μὲν M, νοῦς μὲν ὁ FAH (v) 3 τελειότατος RM: τελεώτατος ceteri (v) 3. 4 βασιλεὺς καὶ βασιλέων AH 4 ἅπαντας MF 4. 5 τοὺς κατ' οὐρανὸν οὓς] οὓς κατ' οὐρανὸν AH (Mang.) 5 οὐκ αὐτοκρατεῖς] αὐτοκρατεῖς οὐ M (Mang.) 6 εἰληχότας FL² (Turn.); λαβόντας τὴν τάξιν τῶν ὑπάρχων mg H 7 εὐθύνας RMF: εὐθύνην AH (v) ὑφέξοντας] ἕξοντας AH ὥστε F, ὡς M 8 pr. τὴν om. M ἀειδοῦς] ἀϊδίου M (Mang.) 9 θεῶν θεός transp. M, θεῶν om. Eus. 10 ἁπάντων Eus. codd. nonnulli 11 νεωτέρῳ καὶ γενητῷ] νοητῷ καὶ θεωρητῷ M, νεωτέρῳ ἢ γεννητῷ v γενητῷ R: γεννητῷ ceteri 14 οἱ δὲ] οἳ M (Mang.) ἀργὴν ss. R (ut vid.), ἀργυρὰν F 15 τῷ om. M 16 ἐδείμαντο fortasse secludendum, ⟨οὓς⟩ ἐδείμαντο coni. Wendl. 17 ἁγιστίαις M 18 πάνυ τε AH (Turn.) ἱερέων τε RF: ἱερέων M, ἱερῶν AH ἱερειῶν] ἱερείων FAH, ἱεριτῶν (sic) M 19 σεμνοποιούντων ὡς ἔνι μάλιστα transp. AH (v) οἷς] ὡς M 20 προσαγορεύει F¹; ἀπαγορεύει coni. Mang. μετ' ἐμοῦ scripsi (cf. *leg. alleg. I § 51*): μετ' ἐμὲ M, (ποιήσετ') ἐμοὶ R, ὑμῖν F, om. AH

7—12 pergit Euseb. l. l. καὶ ἐπάγει λέγων· ὥσθ'—μεγίστῃ.

χροσοῦς“ (Exod. 20,23), μόνον οὐκ ἄντικρυς ἀναδιδάσκων, ὅτι οὐδ' ἐξ
ἑτέρας ὕλης χειρόκμητον οὐδὲν τὸ παράπαν θεοπλαστήσετε διακωλυ-
θέντες ἐκ τῶν ἀρίστων· ἄργυρος γὰρ καὶ χρυσὸς τὰ πρωτεῖα τῶν ἐν
23 ὕλαις φέρονται. δίχα δὲ τῆς ῥητῆς ἀπαγορεύσεως καὶ ἕτερον αἰνίττε-
σθαί μοι δοκεῖ τῶν πρὸς ἠθοποιΐαν μάλιστα συντεινόντων, διελέγχων
οὐ μετρίως τοὺς φιλοχρημάτους, | οἳ πανταχόθεν μὲν ἀργύριον καὶ p. 215
χρυσίον ἐκπορίζουσι, τὸ δὲ πορισθὲν ὡς ἄγαλμα θεῖον ἐν ἀδύτοις
θησαυροφυλακοῦσιν, ἀγαθῶν αἴτιον καὶ τῆς συμπάσης εὐδαιμονίας τοῦτ'
24 εἶναι νομίζοντες. καὶ ὅσοι μέντοι τῶν ἀπόρων κεκράτηνται χαλεπῇ
νόσῳ, φιλαργυρίᾳ, οὐκ ἔχοντες ἴδιον πλοῦτον, ὃν θεραπείας ἀξιώσουσι,
τὸν τῶν πλησίον τεθηπότες καὶ προσκυνοῦντες ἕωθεν εἰς τὰς τῶν περι-
ουσιαζόντων οἰκίας ἀφικνοῦνται καθάπερ εἰς ἱερὰ μέγιστα, προσευξόμενοι
25 καὶ τἀγαθὰ παρὰ τῶν δεσποτῶν ὡς θεῶν αἰτησόμενοι. πρὸς οὓς καὶ
ἐν ἑτέροις φησίν· „οὐκ ἐπακολουθήσετε εἰδώλοις καὶ θεοὺς χωνευτοὺς
οὐ ποιήσετε“ (Lev. 19,4), διὰ συμβόλων ἀναδιδάσκων, ὅτι πλούτῳ τιμὰς
ἰσοθέους ἀπονέμειν οὐ προσήκει· πλούτου γὰρ αἱ περιβόητοι ὕλαι
χρυσὸς καὶ ἄργυρος εἶναι πεφύκασιν, αἷς ἀκολουθοῦσιν οἱ πολλοὶ τὰ τοῦ
λεγομένου τυφλοῦ πλούτου μόνα ἢ μάλιστα εὐδαιμονίας αἴτια νομίζοντες.
26 τάδ' ἐστὶν ἃ φησιν „εἴδωλα“, σκιαῖς ἐοικότα καὶ φάσμασιν, οὐδενὸς
ἠρτημένα ἰσχυροῦ καὶ βεβαίου· φέρεται γὰρ πνεύματος τρόπον ἀστάτου
τροπὰς καὶ μεταβολὰς παντοίας ἐνδεχόμενα. σημεῖον δ' ἐστὶ τούτων
ἐναργές· μὴ προλαβόντων ἐξαπιναίως ἔστιν ὅτε προσέπτη, παγίως

---

1 χρυσοῦς καὶ ἀργυροῦς transp. M   μόνον οὐκ] μονονουχὶ οὐκ AH (Turn.); μονονουχὶ Mang.   2 χειρότμητον M   θεοπλαστήσεται N, χειροπλαστήσετε M   2. 3 διακωλυθέντες F: δύο κωλυθέντες RAH (v), κωλυθέντες M   5 διελεγχομένους M   6 οὐ RF: οὐδὲ AH (v), om. M   ἀργύριον μὲν transp. M   6. 7 ἄργυρον καὶ χρυσὸν F   7 ἄγαλμα] ἀγαλλίαμα AH   8 post τοῦτ' repetit αἴτιον M   9 ὅσοι] ἴση AH   μέντοι RF: μὲν ceteri (v)   τοῖς ἀπόροις AH (Turn.)   10 φυλαργυρία A   post ἔχοντες add. δὲ AH (Turn.)   11 τὸν] τὴν Turn.   πλησίον RF: πλησίων M, πλουσίων AH   προσκυνοῦντες—καθάπερ (12) om. AH   12 ἀφικνούμενοι FL (Turn.)   post προσευξόμενοι add. ἔρχονται AH (Turn.)   13 τὰ ἀγαθὰ M   14 οὐκ ἀκολουθήσετε M (Mang.)   16 ἀπονέμειν ἰσοθέους transp. H (v)   17 εἶναι R: χεῖσθαι MF, κεῖσθαι AH, χρῆσθαι v; ῥεῖσθαι coni. Mang.   19 τάδ'] τὰ δὲ AH (Turn. Mang.)   ἃ] ἢ MF   20 ἠρτημένου H   ἰσχυροῦ RM: ὀχυροῦ ceteri (v)   τρόπον πνεύματος transp. AH (v)   21 τροπὰς] φορὰς F   καὶ μεταβολὰς om. AH (Turn.)   ἐνδεχόμενα codd.: ἐκδεχόμενα v   δ' ἐστὶ τούτων RMF: δὲ τοῦτο AH (v)   22 ἐναργές RAH: ἐναργέστατον MF (v)   προλαβόντων RF: προσλαβόντων AH (v), παραλαβόντων M   παγίως δ' F

---

1. 2 N fol. 155r: μόνον οὐκ—θεοπλαστήσεται.

ἐνειλῆφθαι νομιζόντων πάλιν ἀπεπήδησε, καὶ ὅτε μέντοι πάρεστι, καθάπερ
τὰ διὰ τῶν κατόπτρων εἴδωλα φαντάζεται τὴν αἴσθησιν ἀπατῶντα καὶ
καταγοητεύοντα καὶ ὡς ἂν ὑφεστηκότα τὰ μὴ ὑπομένοντα. καὶ τί δεῖ 27
τὸν ἀνθρώπινον πλοῦτον ἢ τῦφον, ὃν ἀναζωγραφοῦσιν αἱ κεναὶ δόξαι,
δηλοῦν ὡς ἔστιν ἀβέβαιος; ἤδη γάρ τινες καὶ τὰ ἄλλα πάντα ζῷα καὶ
φυτά, ὧν γένεσίς ἐστι καὶ φθορά, συνεχῶς μὲν καὶ ἀπαύστως φασὶ
ῥεῖσθαι, τῆς δ' ἀπορροίας ἀδηλοτέραν αἴσθησιν εἶναι, ἀεὶ νικώσης τῆς
περὶ τὴν ῥύσιν ὀξύτητος τὴν δι' ὄψεως ἀκριβῆ προσβολήν.

(3.) Ἀλλ' οὐ μόνον πλοῦτος καὶ δόξα καὶ τὰ τοιαῦτα εἴδωλα 28
καὶ ἀμενηναὶ σκιαί, ἀλλὰ καὶ πάντες, οὓς οἱ μυθογράφοι διαπλάσαντες
ἐξετύφωσαν ἐπιτειχίσαντες τὰς ψευδεῖς δόξας κατὰ τῆς ἀληθείας, θεοὺς
καινοὺς ὥσπερ ἀπὸ μηχανῆς εἰσαγαγόντες ἕνεκα τοῦ τὸν ἀίδιον καὶ ὄντα
ὄντως θεὸν λήθῃ παραδοθῆναι. πρὸς δὲ τὸ εὐπαράγωγον μέλεσι καὶ
ῥυθμοῖς καὶ μέτροις ἐνηρμόσαντο τὸ ψεῦδος, νομίζοντες ῥᾳδίως καταγοη-
τεύσειν τοὺς ἐντυγχάνοντας. οὐ μὴν ἀλλὰ καὶ πλαστικὴν καὶ ζωγραφίαν 29
216 M. συνεργοὺς τῆς ἀπάτης | προσπαρέλαβον, ἵνα χρωμάτων καὶ σχημάτων
καὶ ποιοτήτων εὖ δεδημιουργημέναις ἰδέαις ὑπαγάγωνται τοὺς ὁρῶντας
καὶ τὰς ἡγεμονίδας αἰσθήσεις ὄψιν καὶ ἀκοὴν δελεάσαντες, τὴν μὲν
ἀψύχοις εὐμορφίαις, τὴν δ' εὐφωνίᾳ ποιητικῇ, συναρπάσωσι τὴν ψυχὴν
ἀβέβαιον καὶ ἀνίδρυτον αὐτὴν ἀπεργασάμενοι. διὰ τοῦτ' ἐπιστάμενος 30

---

1 ἀπεπήδησε RM: ἀπεδήμησε ceteri (v) ὅταν M 2 τὰ om. AH (Turn.) ἐξαπατῶντα M (Mang.) 2. 3 καὶ καταγοητεύοντα om. F 3 ἂν] δὴ R τὰ RM (coni. Mang.): καὶ AH, om. F 4 τὸν om. Mang. ἀνθρώπινον RMF: τῶν ἀνθρώπων AH (v) ἢ] καὶ AFL[2] (Turn.) post τῦφον add. λέγειν R ἀναζωπυροῦσιν vel σεμνοποιοῦσιν coni. Mang. 5 τὰ ἄλλα R: τἄλλα MFH, τἆλλα A 6 φασὶ καὶ ἀπαύστως transp. AH (v) ἀκαταπαύστως F 7 ῥεῖσθαι] διαρρεῖν AH ἀπορροῆς MF ἀεὶ om. MF 7. 8 τῇ ... ὀξύτητι AH 8 ῥύσιν Mang.: φύσιν RMF, φορὰν AH δι' om. AH 10 καὶ ἀμενηναὶ (ἀμενναὶ M, ἀμενηνοὶ F) σκιαί RMF: ἀμενηνά AH (Mang.) ⟨μῦθοι⟩ πάντες conicio πάντες οὓς RMF: ἄλλαι ἀπάται ἃς AH (Mang.) οἱ RF: om. MAH (v) διαπλάττουσιν R 11 ἐξετύφωσαν ἐπιτειχίσαντες om. AH 12 καινοὺς] κενοὺς AH εἰσήγαγον AH ἕνεκα τοῦ μὴ AH (Turn.) 12. 13 ὄντως ὄντα M, ὄντως om. AH 13 θεὸν R: om. ceteri (v) λήθῃ] ἀληθῆ A 14 τὸ om. Turn. ψεῦδος RMF: ψευδές AH (v) νομίσαντες AH (v) 14. 15 καταγοητεύσειν RM: καταγοητεύειν ceteri (Turn.) 15 ἐντυχόντας M 16 προσπαρέλαβον RMFN: προσέλαβον AH (v) 17 ὑπαγάγωνται RMF: ὑπάγωνται N, ὑπάγοντες AH (Turn.); ὑπαγαγόντες Mang. 18 ἡγεμόνας M 19 δὲ AH διαρπάσωσι H 20 ἀΐδρυτον M αὐτὴν RMFN: ταύτην AL[2] (Turn.), ταύτῃ HL[1] (coni. Mang.) ἀπεργαζόμενοι AH (v)

15—20 N fol. 155[r]: οὐ μὴν — ἀπεργασάμενοι.

ἐπὶ μέγα δυνάμεως προεληλυθότα τὸν τῦφον καὶ δορυφορούμενον ὑπὸ τοῦ πλείστου γένους ἀνθρώπων οὐκ ἐξ ἀνάγκης ἀλλ' ἑκουσίοις γνώμαις, εὐλαβηθεὶς μή ποτε καὶ οἱ ζηλωταὶ τῆς ἀδεκάστου καὶ ἀληθοῦς εὐσεβείας καθάπερ ὑπὸ χειμάρρου παρασυρῶσιν, ἐνσφραγίζεται βαθεῖς τύπους ταῖς διανοίαις ἐγχαράττων ὁσιότητος, ὑπὲρ τοῦ μὴ συγχυθέντας ἢ ἐπιλεανθέντας ἀμαυρωθῆναί ποτε χρόνῳ, καὶ συνεχῶς ἐπᾴδει ποτὲ μὲν λέγων ὅτι θεὸς εἷς ἐστι καὶ κτίστης καὶ ποιητὴς τῶν ὅλων, ποτὲ δὲ ὅτι κύριος τῶν γεγονότων, ἐπειδὴ τὸ βέβαιον καὶ πάγιον καὶ τὸ κῦρος ὡς
31 ἀληθῶς περὶ αὐτὸν μόνον πέφυκε. λέλεκται δ' ὅτι „οἱ προσκείμενοι τῷ ὄντι θεῷ ζῶσι πάντες“ (Deut. 4,4). ἆρ' οὐχ οὗτός ἐστιν ὁ τρισμακάριος καὶ τρισευδαίμων βίος, ἀγαπητικῶς ἔχεσθαι τῆς θεραπείας τοῦ πρεσβυτάτου πάντων αἰτίου καὶ μὴ τοὺς ὑποδιακόνους καὶ πυλωροὺς πρὸ τοῦ βασιλέως θεραπεύειν ἀξιοῦν; ἀθάνατος ἥδε ἡ ζωὴ καὶ μακραίων ἐν ταῖς τῆς φύσεως στήλαις ἀναγέγραπται· ταυτὶ δὲ τὰ γράμματα τῷ κόσμῳ συνδιαιωνίζειν ἀναγκαῖον.

32 (4.) Δυστόπαστος μὲν οὖν καὶ δυσκατάληπτος ὁ πατὴρ καὶ ἡγεμὼν τῶν συμπάντων ἐστίν, ἀλλ' οὐ διὰ τοῦτ' ἀποκνητέον τὴν ζήτησιν αὐτοῦ. δύο δ' ἐν ταῖς περὶ θεοῦ ζητήσεσι τὰ ἀνωτάτω ταῦτ' ἐπαπορεῖ ἡ διάνοια τοῦ φιλοσοφοῦντος ἀνόθως· ἓν μὲν εἰ ἔστι τὸ θεῖον, ἕνεκα τῶν ἐπιτηδευσάντων ἀθεότητα, κακιῶν τὴν μεγίστην· ἕτερον δὲ τὸ τί ἐστι κατὰ τὴν οὐσίαν. τὸ μὲν οὖν πρότερον οὐ πολὺς πόνος ἰδεῖν, τὸ δὲ δεύτερον
33 οὐ χαλεπὸν μόνον ἀλλὰ καὶ ἴσως ἀδύνατον. ἐπισκεπτέον δ' ἑκάτερον.

---

2 πλείστου] μεγίστου R ἀνθρώπων RMF: τῶν ἀνθρώπων AH (v) οὐκ — γνώμαις om. in textu R, add. mg R, om. F ἐκουσίαις M 3 μή ποτε] μήτε M τῆς τ' Turn. ἀδεκάστου] ἀλήκτου AH 4 παρασυρῶσιν RM: περισυρῶσιν AH, ὑποσυρῶσιν F 5 ὁσιότητος RMF: ὁσιότητα AH (Mang.) 6 ἐπιλεανθέντας RFAH: ἐπιλαθέντας M; ἐπιλειανθέντας v καὶ συνεχῶς] συνεχῶς τ' AH (Turn.) ποτὲ] τοτὲ MF 7 καὶ ante κτίστης om. F ποτὲ] τοτὲ MF, το (sic) R 8 δ' MF ἐπειδὴ] ἐπεὶ δεῖ F alt. τὸ om. AH (Turn.) 9 μόνον πέφυκεν R: μόνον πεφυκέναι F, μόνον εἶναι πέφυκε M, εἶναι πέφυκε μόνον AH (v) λέλεκται] λέγεται AH 10 ἆρ' οὐχ RF: ἀλλ' οὐχ M, καὶ AH τρισμακάριστος M 11 τῆς θεραπείας om. M 11. 12 πρεσβυτάτου RMF: πρεσβυτέρου AH (v) 12. 13 τοῦ βασιλέως RMF: τῆς βασιλείας AH (Turn.) 13 ἀθάνατος RM: ἀθάνατος δὲ F (v), ἀθάνατος οὖν AH ἥδε ἡ ζωὴ RM: ἡ om. AH, ἥδε ἡ om. FL (Turn.) μακραίων] μακρὸς αἰὼν FL (Turn.) ἐν om. F 14 δὲ RMF: τε AH (v) 14. 15 συνδιαιωνίζειν τῷ κόσμῳ transp. AH (v) 15 tit. πόθεν τοῦ εἶναι θεὸν λαμβάνομεν ἔννοιαν add. M (Mang.) 16 ἀόρατος ante δυστόπαστος add. M οὖν om. M post δυσκατάληπτος add. ἐστὶν M (Mang.), sed repetit post συμπάντων 17 ἐστίν codd.: hoc loco om. Mang. τοῦτο AH 18 ἀνωτέρω AH ταῦτ' RM: ταῦτα AH, ταῦτά τε F ἐπαπορεῖν διανοίᾳ F 20 ἕτερον—ἰδεῖν (21) om. M 21 πρότερον—τὸ δὲ om. AH 22 ἑκάτερον RMF: ἑκάτερα AH (v)

ἀεὶ τοίνυν γνωρίσματα τῶν δημιουργῶν πέφυκέ πως εἶναι τὰ δημιουργηθέντα· τίς γὰρ ἀνδριάντας ἢ γραφὰς θεασάμενος οὐκ εὐθὺς ἐνενόησεν ἀνδριαντοποιὸν ἢ ζωγράφον; τίς δὲ ἐσθῆτας ἢ ναῦς ἢ οἰκίας ἰδὼν οὐκ ἔννοιαν ἔλαβεν ὑφάντου καὶ ναυπηγοῦ καὶ οἰκοδόμου; παρελθὼν δέ τις εἰς πόλιν εὔνομον, ἐν ᾗ τὰ τῆς πολιτείας σφόδρα καλῶς διακεκόσμηται, τί ἕτερον ὑπολήψεται ἢ ὅτι ἐπιστατεῖται ἥδε ἡ πόλις ὑπ' ἀρχόντων 7 M. ἀγαθῶν; τὸν οὖν ἀφικόμενον εἰς τὴν ὡς ἀληθῶς μεγαλόπολιν, τόνδε 34 τὸν κόσμον, καὶ θεασάμενον τὴν ὀρεινὴν καὶ πεδιάδα βρίθουσαν ζῴων καὶ φυτῶν καὶ ποταμῶν αὐθιγενῶν καὶ χειμάρρων φορὰς καὶ πελαγῶν ἀναχύσεις καὶ εὐκρασίας ἀέρος καὶ τῶν ἐτησίων ὡρῶν τροπάς, εἶτα ἥλιον καὶ σελήνην, τοὺς ἡμέρας καὶ νυκτὸς ἡγεμόνας, καὶ τὰς τῶν ἄλλων πλανήτων τε καὶ ἀπλανῶν καὶ τοῦ σύμπαντος οὐρανοῦ περιπολήσεις καὶ χορείας, οὐκ εἰκότως, μᾶλλον δὲ ἀναγκαίως, ἔννοιαν λήψεσθαι δεῖ τοῦ ποιητοῦ καὶ πατρὸς καὶ προσέτι ἡγεμόνος; οὐδὲν γὰρ τῶν τεχνικῶν 35 ἔργων ἀπαυτοματίζεται· τεχνικώτατον δὲ καὶ ἐπιστημονικώτατον ὅδε ὁ κόσμος, ὡς ὑπό τινος τὴν ἐπιστήμην ἀγαθοῦ καὶ τελειοτάτου πάντως δεδημιουργῆσθαι. τοῦτον τὸν τρόπον ἔννοιαν ἐλάβομεν ὑπάρξεως θεοῦ.

(5.) Τὴν δ' οὐσίαν, εἰ καὶ δυσθήρατον καὶ δυσκατάληπτον εἶναι 36 συμβέβηκεν, ὅμως καθ' ὅσον ἐνδέχεται διερευνητέον. ἄμεινον γὰρ οὐδὲν τοῦ ζητεῖν τὸν ἀληθῆ θεόν, κἂν ἡ εὕρεσις αὐτοῦ διαφεύγῃ δύναμιν ἀνθρωπίνην, ἐπειδὴ καὶ ἡ περὶ τὸ βούλεσθαι μαθεῖν σπουδὴ καθ' αὑτὴν ἀλέκτους ἡδονὰς καὶ εὐφροσύνας ἐργάζεται. μάρτυρες δὲ οἱ μὴ χείλεσιν 37

---

1 τοίνυν om. AH (Turn.) γνώρισμα F 2 ἀνδριάντα F ἐνενόησεν RMF: ἐνόησεν AH (v) 3 pr. ἢ] καὶ F δ' FAH αἰσθῆτας A ναῶν M οἰκίαν MF 5 τῆς om. AH κεκόσμηται AH (Turn.) 6 ἐπιστατεῖται] κρατεῖται AH (Turn.) 7 ὡς ἀγαθῶν Mang. (non M) εἰς τὴν ὡς ἀληθῶς (R?)M: εἰς τὴν ἀληθῶς F (Mang.), ἀληθῶς εἰς τὴν AH (Turn.) τόνδε] τόν τε M 8 τὴν] γῆν MFL[2] (Turn.) βρίθουσαν R: πλήθουσαν AH (v), πληθύουσαν MF 9 φορὰς] τροφὰς AH (Turn.) 10 εὐκρασίας R: εὐκρασίαν ceteri (v) καὶ ante τῶν om. AH (Turn.) εἶθ' MF 12 πλανητῶν M τε om. MF 13 δ' MF λήψεσθαι δεῖ] λήψεσθαι δὴ H, λήψεται MF 14 ποιητοῦ καὶ πατρὸς RMF: πατρὸς καὶ ποιητοῦ AH (v) 15 ἀπαυτομίζεται AH τεχνικώτατος AH (v) δὲ om. F[1] καὶ ἐπιστημονικώτατον RM: om. ceteri (v) ὅδε R: om. ceteri (v) 16 ὑπὸ] ἀπὸ M τὴν ἐπιστήμην post πάντως transp. M 17 δεδημιουργεῖσθαι M 18 tit. περὶ οὐσίας θεοῦ add. mg M δ' om. Turn. 19 συμβεβηκέναι R καθόσον AH, καὶ ὅσον M 19. 20 ἄμεινον γὰρ οὐδὲν RMF: οὐδὲν γὰρ ἄμεινον AH (v) 20 τοῦ om. M ἡ om. AH διαφεύγῃ RMF: διεκφεύγῃ H, διεκφεύγει A; διαφύγῃ v 20. 21 δύναμιν ἀνθρωπίνην RMF: τὴν ἀνθρωπίνην δύναμιν AH (v) 21 περὶ τὸ RF: περὶ τοῦ ceteri (v) 21. 22 καθ' αὑτὴν (ἑαυτὴν FA) ἀλέκτους ἡδονὰς RMFA: ἀλέκτους ἡδονὰς καθ' ἑαυτὴν H (Turn.) 22 δὲ R: δ' ceteri

ἄκροις γευσάμενοι φιλοσοφίας, ἀλλὰ τῶν λόγων καὶ δογμάτων αὐτῆς
ἐπὶ πλέον ἑστιαθέντες· τούτων γὰρ ὁ λογισμὸς ἀπὸ γῆς ἄνω μετέωρος
ἀρθεὶς αἰθεροβατεῖ καὶ συμπεριπολῶν ἡλίῳ καὶ σελήνῃ καὶ τῷ σύμπαντι
οὐρανῷ, τάχει πάντα γλιχόμενος ἰδεῖν, ἀμυδροτέραις χρῆται ταῖς προσ-
βολαῖς, ἀκράτου καὶ πολλοῦ φέγγους ἐκχεομένου, ὡς τὸ τῆς ψυχῆς ὄμμα
38 ταῖς μαρμαρυγαῖς σκοτοδινιᾶν. ἀλλ' οὐ διὰ τοῦτο προκαμὼν ἀπαγορεύει,
γνώμῃ δ' ἀηττήτῳ πρὸς τὴν ἐνδεχομένην θέαν ἵεται, καθάπερ ἐν ἄθλοις
δευτερείων μεταποιούμενος, ἐπειδὴ τῶν πρώτων ἐσφάλη. φαντασίας δ'
ἀληθοῦς δεύτερά ἐστιν εἰκασία καὶ στοχασμὸς καὶ ὅσα εἰς τὴν τῶν
39 εὐλόγων καὶ πιθανῶν ἰδέαν ἀνάγεται. καθάπερ οὖν οἷός ἐστι τῶν
ἀστέρων ἕκαστος κατὰ τὴν οὐσίαν εἰλικρινῶς οὔτ' εἰδότες οὔτε δυνάμενοι
σαφῶς διαγνῶναι ζητεῖν ὅμως προθυμούμεθα, τερπόμενοι τοῖς εἰκόσι
40 λόγοις ἕνεκα τοῦ φύσει φιλομαθοῦς, τὸν αὐτὸν τρόπον, εἰ καὶ τῆς κατὰ
τὸν ὄντως ὄντα θεὸν ἐναργοῦς φαντασίας ἀμοιροῦμεν, ὀφείλομεν μὴ
ἀπολείπεσθαι τῆς ζητήσεως αὐτοῦ, διὰ τὸ τὴν σκέψιν καὶ ἄνευ τῆς
εὑρέσεως καθ' αὑτὴν τριπόθητον εἶναι, ἐπεὶ καὶ τοὺς τοῦ | σώματος p. 218
ὀφθαλμοὺς οὐδεὶς αἰτιᾶται, παρόσον ἥλιον αὐτὸν ἰδεῖν ἀδυνατοῦντες τὴν
φερομένην ἀπόρροιαν τῶν ἀκτίνων ἐπὶ γῆν ὁρῶσιν, ἡλιακῶν αὐγῶν ἔσχατον
41 φέγγος. (6.) εἰς ἅπερ ἀπιδὼν ὁ ἱεροφάντης καὶ θεοφιλέστατος Μωυσῆς
ἱκετεύει τὸν θεὸν λέγων· „ἐμφάνισόν μοι σαυτόν" (Exod. 33,13), μόνον
οὐ κατασχεθεὶς καὶ ἐκβοῶν ἄντικρυς, ὅτι „τοῦ μὲν εἶναί σε καὶ ὑπάρχειν
διδάσκαλος καὶ ὑφηγητής μοι γέγονεν ὅδε ὁ κόσμος, καὶ ὡς υἱὸς
ἀναδιδάξας με περὶ τοῦ πατρὸς καὶ ὡς ἔργον περὶ τοῦ τεχνίτου·

---

1 τῶν δογμάτων M 2 γῆς RMF: τῆς γνώσεως AH, τῆς γῆς L² (v) 4 χρήσεται AH (Turn.) 4. 5 ταῖς περιβολαῖς M 6 ταῖς μαρμαρυγαῖς σκοτοδινιᾶν RF: σκοτοδινιᾶν ταῖς μαρμαρυγαῖς AH (v), ταῖς μαρμαρυγαῖς om. M πρ(σ)οκαμὼν M 7 δὲ AH εἰς δεχομένην M θέαν om. M ἴεται MF 8 πρώτων] πρωτείων coni. Mang. 9 ἀληθοῦς] ἐναργοῦς coni. Mang. δευτέρα AH (v), δευτερεῖα F ὅσον AH (Turn.) 10. 11 οἷός—ἕκαστος] οἷα ἑκάστη τῶν ἀρετῶν ἐστι AH 11 οὔτ'] οὐκ M 11. 12 σαφῶς δυνάμενοι transp. AH (v) 12 δ' ante ὅμως add. A τερπόμενοι om. AH 13 φιλομαθοῦς φύσει transp. F εἰ codd.: om. v 14 ὄντα ὄντως F ἀμοιροῦμεν codd.: ἀμοιροῦντες v 15 τὸ om. M τῆς εὑρέσεως—ἐπεὶ καὶ (16) om. M 16 τοὺς M: om. ceteri (Turn.) 17 ὀφθαλμὸν A αἰτιᾶται] ἰᾶται L (Turn.) ἀδυνατοῦντες ἰδεῖν transp. M 18 ἀπορροὴν MF 19 μωσῆς AH 20 σεαυτὸν F 20. 21 μονονοὺ RMH: μονονουχὶ FA (Turn.) 21 κατασχεθεὶς καὶ ἐκβοῶν RMF: καταχθεὶς καὶ βοῶν AH (v) 22 γέγονέ μοι transp. M ὅδε R: om. ceteri (v) καὶ om. R (ut vid.) 23 διδάξας M

τίς δὲ κατὰ τὴν οὐσίαν τυγχάνεις ὧν διαγνῶναι ποθῶν οὐδένα τούτου τοῦ
μαθήματος ὑφηγητὴν ἐν οὐδενὶ τῶν τοῦ παντὸς μερῶν ἀνευρίσκω. διὸ 42
δὴ δέομαι καὶ ποτνιῶμαι προσέσθαι τὴν ἱκεσίαν ἀνδρὸς ἱκέτου καὶ φιλο-
θέου καὶ μόνον σὲ θεραπεύειν ἀξιοῦντος· ὡς γὰρ τὸ φῶς ὑφ' ἑτέρου
μὴ γνωριζόμενον αὐτὸ ἑαυτοῦ γνώρισμά ἐστιν, οὕτως καὶ σὺ σεαυτὸν
μόνος ἂν φῆναι δύναιο. διὸ συγγνώμης ἀξιῶ τυχεῖν, εἰ σπάνει τοῦ
διδάξοντος ἐπὶ σὲ καταφυγεῖν ἐθάρρησα περὶ σοῦ σπεύδων μαθεῖν". ὁ 43
δὲ „τὴν μὲν προθυμίαν" φησίν „ἐπαινετὴν οὖσαν ἀποδέχομαι, τὸ δ'
αἴτημα οὐδενὶ τῶν εἰς γένεσιν ἡκόντων ἐφαρμόζει. χαρίζομαι δ' ἐγὼ
τὰ οἰκεῖα τῷ ληψομένῳ· οὐ γὰρ ὅσα μοι δοῦναι ῥᾴδιον καὶ ἀνθρώπῳ
λαβεῖν δυνατόν· ὅθεν ὀρέγω τῷ χάριτος ἀξίῳ πάσας ὅσας ἂν οἷός τε
ᾖ δέξασθαι δωρεάς. τὴν δ' ἐμὴν κατάληψιν οὐχ οἷον ἀνθρώπου φύσις 44
ἀλλ' οὐδ' ὁ σύμπας οὐρανός τε καὶ κόσμος δυνήσεται χωρῆσαι. γνῶθι δὴ
σαυτὸν καὶ μὴ συνεκφέρου ταῖς ὑπὲρ δύναμιν ὁρμαῖς καὶ ἐπιθυμίαις, μηδέ
σε τῶν ἀνεφίκτων ἔρως αἱρέτω καὶ μετεωριζέτω· τῶν γὰρ ἐφικτῶν
οὐδενὸς ἀμοιρήσεις". ταῦτα ἀκούσας ἐπὶ δευτέραν ἱκεσίαν ἦλθε καί 45
φησι· „πέπεισμαι μὲν ταῖς σαῖς ὑφηγήσεσιν, ὅτι οὐκ ἂν ἴσχυσα δέξασθαι
τὸ τῆς σῆς φαντασίας ἐναργὲς εἶδος.. ἱκετεύω δὲ τὴν γοῦν περὶ σὲ
δόξαν θεάσασθαι (Exod. 33,18)· δόξαν δὲ σὴν εἶναι νομίζω τὰς περὶ σὲ
δορυφορούσας δυνάμεις, ὧν διαφεύγουσα ἡ κατάληψις ἄχρι τοῦ παρόντος
οὐ μικρὸν ἐνεργάζεταί μοι πόθον τῆς διαγνώσεως". ὁ δὲ ἀμείβεται 46
καί φησιν· „ἃς ἐπιζητεῖς δυνάμεις εἰσὶν ἀόρατοι καὶ νοηταὶ πάντως ἐμοῦ
τοῦ ἀοράτου καὶ νοητοῦ· λέγω δὲ νοητὰς οὐχὶ τὰς ἤδη ὑπὸ νοῦ κατα-

1 ποθῶ M 1. 2 τοῦ μαθήματος τούτου transp. AH 2 μέρους FN εὑρίσκω M 3 δὴ R: om. ceteri (v) προσέσθαι] προσήσεσθαι AH ἱκέτου] οἰκέτου AN 4 σὲ om. L (Turn.) 5 ἑαυτῷ AH (Turn.) ἐστιν om. FN οὕτω AH (v) σαυτὸν M 6 φῆναι ἂν transp. M 7 διδάξαντος FN (Mang.) καταφεύγειν FN ἐθάρρησα RFN: ἐθάρσησα M, θαρρῶ AH (Turn.) περὶ] παρὰ AH (Turn.) σπεύδω M 8 φησί ante τὴν transp. FN ἐπαινετὴν οὖσαν om. N δὲ FN 9 δ' ἐγὼ] δὲ (om. ἐγὼ) AH (Turn.) 11 post ὅσας add. τε FN 12 οἷόν τ' N φύσιν N 13 οὐδ' ὁ] οὐδὲ F (σύμπας) κόσμος οὐρανός τε καὶ γῆ M δύναται M (Mang.) 14 συνεκφέρου] συμπεριφέρου AH (Turn.) 15 αἱρέτω] αἱρείτω M 16 ταῦτα R: ταῦτ' ceteri 17 σαῖς om. Richt. ἴσχυσας N 18 δὲ RMFN: δ' ἐγὼ AH (v) 19 περὶ om. Turn. 20 δορυφορούσας RAH: δορυφόρους MFN 21 ἐργάζεται AH (Turn.) μοι om. AH (Turn.) δ' FN 22 νοηταὶ] δύνανται M 23 νοητοῦ καὶ ἀοράτου transp. F τὰς] καὶ Richt. νοῦ RMFN: τοῦ νοῦ AH (v)

1—12,19 N fol. 155r: τίς δὲ—γνωρίμους.

λαμβανομένας, ἀλλ' ὅτι εἰ καταλαμβάνεσθαι οἷαί τε εἶεν, οὐκ ἂν αἴσθησις
47 αὐτὰς ἀλλ' ἀκραιφνέστατος νοῦς καταλαμβάνοι. πεφυκυῖαι δ' ἀκατάληπτοι
κατὰ τὴν οὐσίαν ὅμως παραφαίνουσιν ἐκμαγεῖόν τι καὶ ἀπεικόνισμα τῆς
ἑαυτῶν ἐνεργείας· οἷαι αἱ παρ' ὑμῖν σφραγῖδες — ὅταν ⟨γὰρ⟩ προσενεχθῇ
κηρὸς ἤ τις ὁμοιότροπος ὕλη, μυρίους ὅσους τύπους ἐναπομάττονται,
μηδὲν ἀκρωτηριασθεῖσαι μέρος, | ἀλλ' ἐν ὁμοίῳ μένουσαι —, τοιαύτας ὑπο- p. 219
ληπτέον καὶ τὰς περὶ ἐμὲ δυνάμεις περιποιούσας ἀποίοις ποιότητας καὶ
μορφὰς ἀμόρφοις καὶ μηδὲν τῆς ἀιδίου φύσεως μήτ' ἀλλαττομένας μήτε
48 μειουμένας. ὀνομάζουσι δ' αὐτὰς οὐκ ἀπὸ σκοποῦ τινες τῶν παρ' ὑμῖν
ἰδέας, ἐπειδὴ ἕκαστα τῶν ὄντων εἰδοποιοῦσι τὰ ἄτακτα τάττουσαι καὶ
τὰ ἄπειρα καὶ ἀόριστα καὶ ἀσχημάτιστα περατοῦσαι καὶ περιορίζουσαι
καὶ σχηματίζουσαι καὶ συνόλως τὸ χεῖρον εἰς τὸ ἄμεινον μεθαρμοζόμεναι.
49 μήτ' οὖν ἐμὲ μήτε τινὰ τῶν ἐμῶν δυνάμεων κατὰ τὴν οὐσίαν ἐλπίσῃς
ποτὲ δυνήσεσθαι καταλαβεῖν. τῶν δ' ἐφικτῶν, ὡς εἶπον, ἑτοίμως καὶ
προθύμως μεταδίδωμι· ταῦτα δ' ἐστὶν ἐπὶ τὴν τοῦ κόσμου καὶ τῶν ἐν
αὐτῷ καλέσαι θέαν, ἣν οὐ σώματος ὀφθαλμοῖς ἀλλὰ τοῖς διανοίας ἀκοι-
50 μήτοις ὄμμασι συμβαίνει καταλαμβάνεσθαι. μόνον ὁ σοφίας ἵμερος
συνεχὴς ἔστω καὶ πυκνός, ὃ δογμάτων ἀοιδίμων καὶ περικαλλεστάτων
ἀναπίμπλησι τοὺς φοιτητὰς καὶ γνωρίμους αὐτῆς". ταῦτα ἀκούσας οὐκ
ἐπαύσατο τῆς ἐπιθυμίας, ἀλλ' ἔτι τὸν ἐπὶ τοῖς ἀοράτοις πόθον ἐζωπύρει.
51 (7.) Καὶ πάντας τοὺς ὁμοιοτρόπους εἴτ' οὖν φύντας ἐξ ἀρχῆς εἴτε
καὶ ἐκ τοῦ μεταβάλλεσθαι πρὸς τὴν ἀμείνω τάξιν κρείττους γεγονότας
ἀποδέχεται, τοὺς μὲν ὅτι τὴν εὐγένειαν οὐ κατέλυσαν, τοὺς δ' ὅτι πρὸς

1 ὅτι—ἀλλ' (2) om. AH   post εἰ add. καὶ FN (v)   οἷαί] οἷόν M   τ' F   2 ante ἀκραιφνέστατος add. ὡς ὁ AH   καταλαμβάνοι MFN: καταλαμβάνειν RAH (Turn.); καταλάβοι Mang.   πεφυκυῖαι δ' RMFN: πέφυκεν· αἱ δ' AH (Turn.)   3 περιφαίνουσιν AH (v)   4 ἑαυτῶν RM: αὐτῶν ceteri   οἷαι] ὥσπερ FN; οἷα conieceram, οἷον coni. Wendl.   αἱ om. Turn.   ἡμῖν AHN   γὰρ addidi   7 pr. καὶ om. N   ἀποίους M   8 ἀμόρφους M   μήτ' ἀλλαττομένας scripsi (sic fortasse R): μεταλλαττομένας M (Mang.), ἀλλαττομένας F, μήτ' ἐλαττουμένας N, μήτ' ἐλαττούσας AH (Turn.)   8. 9 μήτε μειουμένας om. F   9 δὲ N, δ' om. M   τινες] τινὸς M   ἡμῖν A   10 ἐπεὶ δὲ N   ἕκαστον AH (v)   εἰδοποιοῦσι RAH: ἰδιοποιοῦσι MFNL[2]   11 ἀόριστα] ἀόρατα AH   12 καὶ σχηματίζουσαι om. AH   καθαρμοζόμενοι F[1] (ut vid.) L[2] (Turn.)   13 δυνάμεων om. M   14 τῶν δ' ἐφικτῶν RAH: ὧν δ' ἐφικτόν MFN   εἶπον] ἔφην M   15 ταῦτα] τοῦτο coni. Mang.   δέ ἐστιν AH   τὴν] τῶν M
τοῖς
15. 16 τῶν ἐν αὐτῷ] τὴν ἐμαυτοῦ M   16 τοῖς RFN: τῆς M, τῆς AH   17 μόνον codd.: μόνος v   ἵμερος] ἔρως AH   19 αὐτῆς om. N   ταῦτα R   ταῦτ' ceteri   20 ἐζωπύρει] multa hic deesse falso suspicatus est Mang.   21 εἴτ'] εἶτ' FH   21. 22 εἴτε καὶ] εἴτ' M   23 ἀποδέχεσθαι M

εὐσέβειαν ἠξίωσαν μεθορμίσασθαι — τούτους δὲ καλεῖ προσηλύτους ἀπὸ τοῦ προσεληλυθέναι καινῇ καὶ φιλοθέῳ πολιτείᾳ —, οἳ μυθικῶν μὲν ἀλογοῦσι πλασμάτων, περιέχονται δὲ ἀκραιφνοῦς ἀληθείας. ἰσοτιμίαν γοῦν 52
ἅπασιν ἐπηλύταις διδοὺς καὶ χαρισάμενος ὅσα καὶ τοῖς αὐτόχθοσι παραινεῖ τοῖς εὐπατρίδαις, μὴ μόνον αὐτοὺς τιμαῖς γεραίρειν ἀλλὰ καὶ ἐξαιρέτῳ φιλίᾳ καὶ εὐνοίᾳ περιττῇ. καὶ μήποτ' εἰκότως· „ἀπολελοιπότες“ φησί „πατρίδα καὶ φίλους καὶ συγγενεῖς δι' ἀρετὴν καὶ ὁσιότητα μὴ ἀμοιρείτωσαν ἑτέρων πόλεων καὶ οἰκείων καὶ φίλων, ἀλλ' ἔστωσαν ἔφεδροι καταφυγαὶ τοῖς πρὸς εὐσέβειαν αὐτομολοῦσι· φίλτρον γὰρ ἀνυσιμώτατον καὶ δεσμὸς ἄλυτος εὐνοίας ἑνωτικῆς ἡ τοῦ ἑνὸς θεοῦ τιμή“. προστάττει δὲ μή, παρόσον 53
αὐτοῖς ἰσονομίαν καὶ ἰσοτέλειαν [ἐπηλύταις] παρέχει κατεγνωκόσι τοῦ πατρῴου καὶ προγονικοῦ τύφου, στομαργίᾳ χρήσασθαι καὶ ἀχαλίνῳ γλώσσῃ βλασφημοῦντας οὓς ἕτεροι νομίζουσι θεούς, ἵνα μὴ κἀκεῖνοι διακινηθέντες ἃ μὴ θέμις φθέγξωνται κατὰ τοῦ ὄντως ὄντος· ἀγνοίᾳ γὰρ 220 M. τῆς | διαφορᾶς, ἅτε τὸ ψεῦδος ὡς ἀληθὲς προμαθόντες ἐκ παίδων καὶ σύντροφον ἔχοντες, ἐξαμαρτήσονται.

Τῶν δ' ἀπὸ τοῦ ἔθνους εἴ τινες καθυφίενται τὴν τοῦ ἑνὸς τιμήν, 54
ὡς λιπόντες τὴν ἀναγκαιοτάτην τάξιν εὐσεβείας καὶ ὁσιότητος ταῖς ἀνωτάτω τιμωρίαις ὀφείλουσι κολάζεσθαι, σκότος αἱρούμενοι πρὸ αὐγοειδεστάτου φωτὸς καὶ τυφλὴν ἀπεργαζόμενοι διάνοιαν ὀξὺ καθορᾶν δυναμένην. καὶ ἐπιτετράφθαι δὲ καλὸν ἅπασι τοῖς ζῆλον ἔχουσιν ἀρετῆς ἐκ χειρὸς 55
ἀναπράττειν ἀνυπερθέτως τὰς τιμωρίας, μήτ' εἰς δικαστήριον μήτ' εἰς

1 εὐσέβειαν RMAH: εὐγένειαν FL² (v) μεθορμίσασθαι scripsi: μεθαρμόσασθαι codd. (v) δ' ἐκάλει MF 2 οἳ RAH: om. MF 2. 3 ἀλογοῦσι RAH: ἀλογούσῃ F, ἀ λόγους ἡ (sic) M 3 περιέχονται RAH: περιεχομένη MF δὲ R: δ' ceteri ἀληθείας] πολιτείας L² (Turn.) ἰσοτιμίας H 4 ἐπηλύτοις AH διδοὺς RM: δοὺς F, μεταδοὺς AH (v) 6 πατρίδας M 8 οἰκείων Mang.: οἰκιῶν codd. ἔφεδροι] φαιδροὶ F 9 ἀνησυμώτατον H 10 ἑνωτικῆς RMF (coni. Mang.): ἐρωτικῆς AH (v) 11 αὐτοῖς RF: om. MAH ἐπηλύταις RMF (seclusi): ἐπήλυσι AH 11. 12 τοῦ πατρώου κατεγνωκότας (sic) AH 12 pr. καὶ om. AH χρῆσθαι M ἀχαλινώτω M 13 γλώττῃ F βλασφημοῦντα F ἵνα] εἶναι AH (Turn.) 13. 14 διακινηθέντες] διανοηθέντες AH 14 φθέγξονται M 16 σύντροφον RMF: ξύντροφον AH (v) ἐξαμαρτήσωνται M 17 tit. περὶ τῶν ἀπὸ τοῦ ἔθνους θεοῦ ἀποστατούντων add. mg M εἴ τινες RM: οἵτινες F, εἰσί τινες οἳ AH (v) καθυφίενται RMF: καθυφιέντες AH (v) 18 ὡς λιπόντες (R)MAH: ὡς λείποντες F; ἐκλιπόντες Mang. 21 δὲ om. F 22 ἀνυπερθέτως om. H

1 Lev. 19, 33. 34. Deut. 10,18. 19 13 Exod. 22,28. cf. etiam vol. IV 248,2 et Iosephi locos ibi laudatos. 17 Deut. 13,12 sqq.

βουλευτήριον μήτε συνόλως ἐπ' ἀρχὴν ἄγοντας, ἀλλὰ τῷ παραστάντι μισο-
πονήρῳ πάθει καὶ φιλοθέῳ καταχρῆσθαι πρὸς τὰς τῶν ἀσεβῶν ἀπαραιτή-
τους κολάσεις, νομίσαντας αὐτοὺς ὑπὸ τοῦ καιροῦ τὰ πάντα γεγενῆσθαι,
βουλευτάς, δικαστάς, στρατηγούς, ἐκκλησιαστάς, κατηγόρους, μάρτυρας,
νόμους, δῆμον, ἵνα μηδενὸς ὄντος ἐμποδὼν ἄφοβοι σὺν ἀδείᾳ πολλῇ προα-
56 γωνίζωνται ὁσιότητος. (8.) ἀναγέγραπταί τις ἐν τοῖς νόμοις τὸ καλὸν τοῦτο
τόλμημα τολμήσας. ἐπειδὴ γὰρ ἐθεάσατό τινας ἀλλοφύλοις συνόντας γύναιξι
καὶ ἕνεκα τῶν πρὸς αὐτὰς φίλτρων ἀλογοῦντας μὲν τῶν πατρίων, τελουμέ-
νους δὲ τὰς μυθικὰς τελετάς, ἕνα τὸν ἔξαρχον καὶ ἡγεμόνα τῆς παρανομίας
καταθαρροῦντα ἤδη παρεπιδείκνυσθαι δημοσίᾳ τὸ ἀνοσιούργημα καὶ θυσίας
ἀγάλμασι καὶ ξοάνοις ἀθύτους φανερῶς ἐπιτελοῦντα παρόντος ἅπαντος
τοῦ πλήθους ἐνθουσιῶν, ἀνείρξας τοὺς παρ' ἑκάτερα ἐπὶ τὴν θέαν ἠθροισ-
μένους, οὐδὲν εὐλαβηθεὶς ἀναιρεῖ σὺν τῇ γυναικί, τὸν μὲν ἕνεκα τῆς
εὐμαθείας ⟨τῶν⟩ ἃ λυσιτελὲς ἀπομανθάνειν, τὴν δ' ὅτι διδάσκαλος κακῶν
57 ἐγένετο. τουτὶ τὸ ἔργον ἐξαίφνης δρασθὲν ἐν θερμῷ παραστήματι μυρίους
ἐνουθέτησε τῶν ἐπὶ ταῦτα παρασκευαζομένων. ἐπαινέσας οὖν ὁ θεὸς
τὴν ἀριστείαν αὐτοκελεύστῳ καὶ ἐθελουργῷ σπουδῇ γενομένην διτταῖς
αὐτὸν ἀναστέφει δωρεαῖς, εἰρήνῃ καὶ ἱερωσύνῃ, τῇ μὲν κρίνας ἄξιον
ἀπολέμου μεταποιεῖσθαι βίου τὸν ἀράμενον τοὺς ὑπὲρ θεοῦ τιμῆς ἀγῶνας,
τῇ δ' ὅτι γέρας οἰκειότατον εὐσεβοῦς ἀνδρὸς ἱερωσύνη θεραπείαν ἐπαγγελλο-
μένη τοῦ πατρός, ᾧ τὸ δουλεύειν οὐχ ἐλευθερίας μόνον ἀλλὰ καὶ βασι-

---

1 παραστάντι om. F 2 καταχρήσασθαι M 3 νομίσαντες M αὐτοὺς Turn. τὰ om. F γεγενῆσθαι] γενήσεσθαι R 4 ἐκκλησιαστάς] ἐκκλησίαν M 5 δῆμον, νόμους transp. R σὺν ἀδείᾳ RMF: συνόδῳ AH (v) 5. 6 συναγωνίζωνται R 6 tit. περὶ φινεές add. mg M 7 γὰρ om. M 8 μὲν—τελετάς (9) om. AH πατρῴων F (Turn.) 9 ante ἕνα add. πρὸς AH ἡγεμόνα καὶ ἔξαρχον N, ἡγεμόνα καὶ ἐξάρχοντα F 10 ἤδη παρεπιδείκνυσθαι RFN: ἤδη παραδείκνυσθαι M, ἤδη γὰρ ἐπεδείκνυτο AH; ἤδη γὰρ παρεπεδείκνυτο v 11 ἀθύτους Mang.: ἀθύτοις codd. φανερῶς om. FN παρόντος] παρὼν M 12 πλήθους] ἔθνους M παρ' ἑκάτερα τοὺς transp. F 13 τὸν] τῷ M 14 εὐμαθίας M (v) τῶν ἃ λυσιτελὲς scripsi: ἃ λυσιτελὲς RF, ἀλυσιτελὲς M, ὧν λυσιτελὲς AH (v) 15 ἐγίνετο M δρασθὲν RM: δρανθὲν A, δραθὲν FH (v) ἐκ θερμοῦ παραστήματος AH 16 γοῦν M, γ' οὖν F 18 αὐτὸν om. AH ἀναστρέφει H κρίνας ἄξιον RF: ἄξιον κρίνας MAH, ἄξιον διακρίνας L[2] (v) 19 πολέμου M θεοῦ τιμῆς codd.: τιμῆς θεοῦ v 20 τῇ] τὴν M εὐσεβοῦς ἀνδρὸς οἰκειότατον transp. H 20. 21 ἐπαγγελλομένη RMF (coni. Mang.): ἐπαγγελλομένου AH (v)

6sqq. Num. cap. 25 7—13 N fol. 155v: ἐπειδὴ—σὺν τῇ γυναικί.

λείας ἄμεινον. ἔνιοι δὲ τοσαύτῃ κέχρηνται μανίας ὑπερβολῇ, ὥστ' οὐδ' 58
1 M. ἀναχώρησιν αὐτοῖς εἰς μετάνοιαν | ἀπολείποντες ἵενται πρὸς δουλείαν τῶν
χειροχμήτων, γράμμασιν αὐτὴν ὁμολογοῦντες, οὐκ ἐν χαρτιδίοις, ⟨ἀλλ'⟩,
ὡς ἐπὶ τῶν ἀνδραπόδων ἔθος, [ἀλλ'] ἐν τοῖς σώμασι καταστίζοντες αὐτὰ
σιδήρῳ πεπυρωμένῳ πρὸς ἀνεξάλειπτον μονήν· οὐδὲ γὰρ χρόνῳ ταῦτα
ἀμαυροῦται.

(9.) Τὴν δ' ὁμοίαν προαίρεσιν ὁ ἱερώτατος Μωυσῆς καὶ ἐπὶ τῶν 59
ἄλλων ἅπαξ ἁπάντων σῴζειν ἔοικεν ἀληθείας ἐραστὴς ὢν καὶ διδάσκαλος,
ἣν καὶ πᾶσι τοῖς γνωρίμοις ἐγχαράττειν καὶ ἐνσφραγίζεσθαι ποθεῖ τὰς
ψευδεῖς δόξας μακρὰν τῆς διανοίας αὐτῶν ἀποικίζων. ἐπιστάμενος γοῦν 60
τῷ πλάνῳ τῶν πολλῶν βίῳ συμπράττουσαν οὐ μετρίως εἰς ἀνοδίαν
μαντικήν, οὐδενὶ τῶν εἰδῶν αὐτῆς ἐᾷ χρῆσθαι, πάντας δὲ τοὺς κολα-
κεύοντας αὐτὴν ἐλαύνει τῆς ἰδίου πολιτείας, θύτας, καθαρτάς, οἰωνοσκό-
πους, τερατοσκόπους, ἐπᾴδοντας, κληδόσιν ἐπανέχοντας. στοχασταὶ γὰρ 61
πάντες οὗτοι πιθανῶν καὶ εἰκότων, ἄλλοτε ἄλλας ἀπὸ τῶν αὐτῶν φαν-
τασίας λαμβάνοντες, διὰ τὸ μήτε τὰ ὑποκείμενα φύσιν ἔχειν πάγιον μήτε
τὴν διάνοιαν ἀκριβῆ βάσανον περιπεποιῆσθαι, ᾗ βασανισθήσεται τὰ
δόκιμα. παρασκευαὶ δὲ πάντα ταῦτ' εἰσὶν ἀσεβείας· διὰ τί; ὅτι ὁ προσ- 62
έχων καὶ πειθόμενος αὐτοῖς ἀλογεῖ τοῦ πάντων αἰτίου μόνα ταῦθ' ὑπο-
λαμβάνων ἀγαθῶν εἶναι καὶ κακῶν αἴτια, καὶ οὐκ αἰσθάνεται τὰς τοῦ

1 ὥστ'] ὡς M 2 αὐτοῖς F, ἑαυτοῖς AH, om. M εἰς RMF: πρὸς AH (v) ἀπολείποντες RF: ἀπολιπόντες MAH (v) ἵενται codd. 3 χειροτμήτων M ἀλλ' huc reduxi 4 καταστίζοντες] κατασκευάζοντες AH αὐτὰ RMF: αὐτὴν AH (v) 5 μονὴν RMF: διαμονὴν AH (v) ταῦτ' M 6 ἀμαυροῦται RF: ἀμαυροῦνται MAH (v) 7 μωσῆς AH 8 ἅπαξ ἁπάντων RF: ἁπάντων ἅπαξ M, om. AH σῴζειν] κτίζειν M 9 ἣν καὶ R: ἣν om. AH, καὶ om. MF ἐγχαράττειν M ἐνσφραγίζεσθαι RMAH: ἐνσφραγίζειν FL² (v) ποθῶν AH 10 ψευδεῖς δόξας RMF: ἀψευδεῖς δόξας καὶ τὰς ψευδεῖς AH (Turn.) αὐτῶν om. Turn. tit. περὶ οἰωνοσκόπων καὶ λοιπῶν add. mg M γ' οὖν R, οὖν MF 12 τὴν μαντικὴν Mang. οὐδεμιᾷ τῶν ἰδεῶν AH ἐᾷ χρῆσθαι] χρῆσθαι παραινεῖ H, χρᾶσθαι παραινεῖ A 12. 13 κολακεύοντας αὐτὴν] ἐπακολουθοῦντας αὐτῇ coni. Mang., θεραπεύοντας vel τεχνιτεύοντας αὐτὴν conicio 13 ἰδίου scripsi: ἰδίας F, ἀϊδίου ceteri (v) 14 τερατοσκόπους, ἐπᾴδοντας om. M, ἐπᾴδοντας τερατοσκόπους transp. R κληδόσιν ἐπανέχοντας om. F 15 ἄλλας] ἀλλοίας F 17 περιπεποιῆσθαι RMF: περιποιεῖσθαι AH (Turn.); πεποιῆσθαι Mang. βασανισθήσεσθαι H 18 παρασκευασταὶ M δὲ om. M πάντα ταῦτ' RM: ταῦτα πάντ' F, ταῦτα πάντα A, ταῦτα (om. πάντα) H (Turn.) 19 πυθόμενος F¹ ταῦτα M

4 Lev. 19,28 13 Lev. 19,26. 31. Deut. 18,10. 11.

βίου φροντίδας ἐξάπτων ἀβεβαιοτάτων πεισμάτων, ὀρνίθων καὶ πτερῶν
καὶ φορᾶς ἐν ἀέρι τῆς ὧδε κἀκεῖσε καὶ χαμαιζήλων ἑρπετῶν, ἃ τῶν
φωλεῶν ἀνέρπει πρὸς ζήτησιν τροφῆς, ἔτι δὲ σπλάγχνων καὶ αἵματος
καὶ νεκρῶν σωμάτων, ἃ στερόμενα ψυχῆς εὐθὺς ἐπισυμπίπτει καὶ συγχεῖ-
ται καὶ ἑτεροιούμενα τὰς οἰκείας φύσεις ἐξαλλάττει πρὸς τὴν χείρω μετα-
63 βολήν. ἀξιοῖ γὰρ τὸν ἐγγραφόμενον τῇ κατὰ τοὺς νόμους πολιτείᾳ „τέ-
λειον“ εἶναι, μὴ ἐν οἷς οἱ πολλοὶ πεπαιδοτρίβηνται, μαντείαις καὶ κληδόσι
καὶ πιθαναῖς εἰκασίαις, ἀλλ' ἐν τοῖς πρὸς θεὸν οὐδὲν ἔχουσιν ἐπαμφοτερί-
64 ζον ἢ ἀμφίβολον ἀλλ' ἀνενδοίαστον καὶ γυμνὴν ἀλήθειαν. ἐπεὶ δὲ πᾶσιν
ἀνθρώποις ἔρως τῆς τῶν μελλόντων ἐπιστήμης ἐνίδρυται καὶ διὰ τὸν
ἔρωτα τοῦτον ἐπὶ θυτικὴν καὶ τὰ ἄλλα εἴδη τρέπονται μαντικῆς, ὡς δι'
αὐτῶν τὸ σαφὲς ἀνευρήσοντες, τὰ δ' ἀσαφείας γέμει πολλῆς καὶ ἐξ ἑαυτῶν
ἀεὶ διελέγχεται, τούτοις μὲν σφόδρα εὐτόνως ἐπακολουθεῖν ἀπαγορεύει,
φησὶ δ' ὅτι, ἐὰν ἀκλινῶς εὐσεβῶσιν, οὐκ | ἀμοιρήσουσι τῆς τῶν μελλόν- p.
65 των ἐπιγνώσεως, ἀλλά τις ἐπιφανεὶς ἐξαπιναίως προφήτης θεοφόρητος
θεσπιεῖ καὶ προφητεύσει, λέγων μὲν οἰκεῖον οὐδέν — οὐδὲ γάρ, εἰ λέγει,
δύναται καταλαβεῖν ὅ γε κατεχόμενος ὄντως καὶ ἐνθουσιῶν —, ὅσα δ'
ἐνηχεῖται, διελεύσεται καθάπερ ὑποβάλλοντος ἑτέρου· ἑρμηνεῖς γάρ εἰσιν
οἱ προφῆται θεοῦ καταχρωμένου τοῖς ἐκείνων ὀργάνοις πρὸς δήλωσιν ὧν
ἂν ἐθελήσῃ. ταῦτα καὶ τὰ τούτοις παραπλήσια περὶ τῆς τοῦ ἑνὸς θεοῦ
καὶ ὄντως ὄντος ἐννοίας ὑπειπών, ὃν χρὴ τρόπον ἀπονέμειν αὐτῷ τὰς
τιμὰς ἑξῆς ὑπογράφει.

---

1 φορτίδας A ἀβεβαιώτων AH 2 καὶ φορᾶς codd.: καὶ om. v τῆς ὧδε RMF: τῇδε AH (v) 3 αἵματος] ἥπατος coni. Mang. 4 ἃ om. M στερόμενα RAH: στερούμενα F, ἐστερημένα M συμπίπτει F 4. 5 καὶ συγχεῖται RM: τε καὶ σ. FAH (Turn.) 5 οἰκείας codd.: οἰκείους Mang. 6 τῇ] τῆς RM τοὺς om. AH πολιτείας RM 7 πεπαιδοτρίβηνται RMF: παιδοτριβοῦνται AH (v) 8 εἰκασίαις] ἱκεσίαις M ἀλλ'] ἄλλως δ' AH (Turn.) 9 ἀμφιβάλλον AH 11 ἐπὶ θυτικὴν] καὶ τὴν ἐπιθυμίαν AH καὶ εἰς τὰ ἄλλα AH τἄλλα MF 12 ἀνευρήσοντες RA: ἀνερευνήσοντες MFH (v) δὲ AH αὐτῶν M 13 αἰεὶ M σφόδρ' MF εὐτόνως] αὐτοὺς AH 14 ἀκλινῶς RAH (coni. Mang.): ἀκένως M, ἀληθῶς FL² (v) 15 ἐξαπινέως M θεοφόρητος om. A 16 εἰ λέγει] ἃ λέγει coni. Mang. 17 ὅσον AH 18 διεξελεύσεται F; διερμηνεύσεται (-νεύσει?) coni. Mang. post γὰρ add. ἀμφότεροι R 20 τὰ om. M 21 ὄντος ὄντως R 22 ἑξῆς RMF: ἐξ ἱερῶν AH (Turn.) ὑπογράφει: huc usque M

---

6 Deut. 18,13 15 Deut. 18,15. 18.

Περὶ ἱεροῦ.

(1.) Τὸ μὲν ἀνωτάτω καὶ πρὸς ἀλήθειαν ἱερὸν θεοῦ νομίζειν τὸν 66
σύμπαντα χρὴ κόσμον εἶναι, νεὼ μὲν ἔχοντα τὸ ἁγιώτατον τῆς τῶν ὄντων οὐσίας μέρος, οὐρανόν, ἀναθήματα δὲ τοὺς ἀστέρας, ἱερέας δὲ τοὺς ὑποδιακόνους αὐτοῦ τῶν δυνάμεων ἀγγέλους, ἀσωμάτους ψυχάς, οὐ κράματα ἐκ λογικῆς καὶ ἀλόγου φύσεως, οἵας τὰς ἡμετέρας εἶναι συμβέβηκεν, ἀλλ' ἐκτετμημένας τὸ ἄλογον, ὅλας δι' ὅλων νοεράς, λογισμοὺς ἀκραιφνεῖς, μονάδι ὁμοιουμένας. τὸ δὲ χειρόκμητον· ἔδει γὰρ ὁρμὰς 67
ἀνθρώπων μὴ ἀνακόψαι φορὰς τὰς εἰς εὐσέβειαν συντελούντων καὶ θυσίαις
223 M. βουλομένων ἢ ἐπὶ τοῖς συμβαίνουσιν ἀγαθοῖς εὐχαριστεῖν ἢ ἐφ' οἷς | ἂν ἁμαρτάνωσι συγγνώμην καὶ παραίτησιν αἰτεῖσθαι. προὐνόησε δ' ὡς οὔτε πολλαχόθι οὔτ' ἐν ταὐτῷ πολλὰ κατασκευασθήσεται ἱερά, δικαιώσας, ἐπειδὴ εἷς ἐστιν ὁ θεός, καὶ ἱερὸν ἓν εἶναι μόνον. εἶτα τοῖς βουλομένοις 68
ἐν ταῖς οἰκίαις αὐτῶν ἱερουργεῖν οὐκ ἐφίησιν, ἀλλ' ἀνισταμένους ἀπὸ περάτων γῆς εἰς τοῦτ' ἀφικνεῖσθαι κελεύει, ἅμα καὶ τῶν τρόπων ἀναγκαιοτάτην λαμβάνων βάσανον· ὁ γὰρ μὴ μέλλων θύειν εὐαγῶς οὐκ ἂν ὑπομεῖναί ποτε πατρίδα καὶ φίλους καὶ συγγενεῖς ἀπολιπὼν ξενιτεύειν, ἀλλ' ἔοικεν ὑπὸ δυνατωτέρας ὁλκῆς ἀγόμενος τῆς πρὸς εὐσέβειαν ὑπομένειν τῶν συνηθεστάτων καὶ φιλτάτων ὥσπερ τινῶν ἡνωμένων μερῶν ἀπαρτᾶσθαι. καὶ τοῦδε σαφεστάτη πίστις τὰ γινόμενα· μυρίοι γὰρ ἀπὸ 69

1 tit. περὶ ἱεροῦ RF: τοῦ αὐτοῦ περὶ μοναρχίας ἔτι A, τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ μοναρχίας H, περὶ μοναρχίας λόγος β' L (v) 3 χρὴ om. RF νεὼ RF: ναὸν AH, νεὼν L[2] (v) μὲν ἔχοντα om. AH; ἔχον coni. Mang. τὸ om. AH (Turn.) 4 pr. τοὺς om. AH 7 λογισμοὺς] λογικὰς F[2] 8 μονάδι] μονὰς F[1], μονάσιν F[2] ὁμοιουμένας RF[2]: ὁμοιουμένους F[1], ὠμοιωμένους AH (v) 9 φορὰς τὰς ... συντελούντων] vel φόρους τοὺς ... ὑποτελούντων vel φοραῖς ταῖς ... συντεινόντων coni. Mang., φορὰς secl. Wendl. 10. 11 ἂν ἁμαρτάνωσι R: ἁμαρτάνουσι F, ἁμάρτωσι (om. ἂν) AH 11 δὲ AH 12 πολλαχόθεν AH 13 ἐπειδὴ] ἐπεὶ R ἐστιν ὁ θεὸς RF: ἐστι θεός AH (v) ἓν RF (coni. Mang.): om. AH (v) 14 αὐτῶν v ἀφίησιν AH ἀνισταμένους post γῆς (15) transp. F 15 κελεύει om. AH 16 λαμβάνων ἀναγκαιοτάτην transp. AH (v) ἐναγῶς H 17 ὑπομεῖναι F (sic Mang.), ὑπομείνῃ AH (Turn.) ποτὲ om. AH (Turn.) 18 ἀλλὰ R 18. 19 ὑπομενεῖν Mang. 20 τοῦδε] τούτου F[2] πίστις RF: πίστις ἐστὶ AH (v)

11sqq. Deut. 12,5sqq. 13 cf. *Ioseph. c. Ap. II § 193* εἷς ναὸς ἑνὸς θεοῦ, φίλον γὰρ ἀεὶ παντὶ τὸ ὅμοιον, κοινὸς ἁπάντων κοινοῦ θεοῦ ἁπάντων. *Ant. Iud. IV § 200* ἱερὰ πόλις ἔστω μία τῆς Χαναναίων γῆς ... καὶ νεὼς εἷς ἐν ταύτῃ ἔστω καὶ βωμὸς εἷς ... ἐν ἑτέρᾳ δὲ πόλει μήτε βωμὸς μήτε νεὼς ἔστω· θεὸς γὰρ εἷς καὶ τὸ Ἑβραίων γένος ἕν. cf. etiam *§ 203*.

βίου φροντίδας ἐξάπτων ἀβεβαιοτάτων πεισμάτων, ὀρνίθων καὶ πτερῶν
καὶ φορᾶς ἐν ἀέρι τῆς ὧδε κἀκεῖσε καὶ χαμαιζήλων ἑρπετῶν, ἃ τῶν
φωλεῶν ἀνέρπει πρὸς ζήτησιν τροφῆς, ἔτι δὲ σπλάγχνων καὶ αἵματος
καὶ νεκρῶν σωμάτων, ἃ στερόμενα ψυχῆς εὐθὺς ἐπισυμπίπτει καὶ συγχεῖ-
ται καὶ ἑτεροιούμενα τὰς οἰκείας φύσεις ἐξαλλάττει πρὸς τὴν χείρω μετα-
63 βολήν. ἀξιοῖ γὰρ τὸν ἐγγραφόμενον τῇ κατὰ τοὺς νόμους πολιτείᾳ „τέ-
λειον“ εἶναι, μὴ ἐν οἷς οἱ πολλοὶ πεπαιδοτρίβηνται, μαντείαις καὶ κληδόσι
καὶ πιθαναῖς εἰκασίαις, ἀλλ' ἐν τοῖς πρὸς θεὸν οὐδὲν ἔχουσιν ἐπαμφοτερί-
64 ζον ἢ ἀμφίβολον ἀλλ' ἀνενδοίαστον καὶ γυμνὴν ἀλήθειαν. ἐπεὶ δὲ πᾶσιν
ἀνθρώποις ἔρως τῆς τῶν μελλόντων ἐπιστήμης ἐνίδρυται καὶ διὰ τὸν
ἔρωτα τοῦτον ἐπὶ θυτικὴν καὶ τὰ ἄλλα εἴδη τρέπονται μαντικῆς, ὡς δι'
αὐτῶν τὸ σαφὲς ἀνευρήσοντες, τὰ δ' ἀσαφείας γέμει πολλῆς καὶ ἐξ ἑαυτῶν
ἀεὶ διελέγχεται, τούτοις μὲν σφόδρα εὐτόνως ἐπακολουθεῖν ἀπαγορεύει,
φησὶ δ' ὅτι, ἐὰν ἀκλινῶς εὐσεβῶσιν, οὐχ | ἀμοιρήσουσι τῆς τῶν μελλόν- p. 22
65 των ἐπιγνώσεως, ἀλλά τις ἐπιφανεὶς ἐξαπιναίως προφήτης θεοφόρητος
θεσπιεῖ καὶ προφητεύσει, λέγων μὲν οἰκεῖον οὐδέν — οὐδὲ γάρ, εἰ λέγει,
δύναται καταλαβεῖν ὅ γε κατεχόμενος ὄντως καὶ ἐνθουσιῶν —, ὅσα δ'
ἐνηχεῖται, διελεύσεται καθάπερ ὑποβάλλοντος ἑτέρου· ἑρμηνεῖς γάρ εἰσιν
οἱ προφῆται θεοῦ καταχρωμένου τοῖς ἐκείνων ὀργάνοις πρὸς δήλωσιν ὧν
ἂν ἐθελήσῃ. ταῦτα καὶ τὰ τούτοις παραπλήσια περὶ τῆς τοῦ ἑνὸς θεοῦ
καὶ ὄντως ὄντος ἐννοίας ὑπειπών, ὃν χρὴ τρόπον ἀπονέμειν αὐτῷ τὰς
τιμὰς ἑξῆς ὑπογράφει.

---

1 φορτίδας A ἀβεβαιώτων AH 2 καὶ φορᾶς codd.: καὶ om. v τῆς ὧδε RMF: τῇδε AH (v) 3 αἵματος] ἥπατος coni. Mang. 4 ἃ om. M στερόμενα RAH: στερούμενα F, ἐστερημένα M συμπίπτει F 4. 5 καὶ συγχεῖται RM: τε καὶ σ. FAH (Turn.) 5 οἰκείας codd.: οἰκείους Mang. 6 τῇ] τῆς RM τοὺς om. AH πολιτείας RM 7 πεπαιδοτρίβηνται RMF: παιδοτριβοῦνται AH (v) 8 εἰκασίαις] ἱκεσίαις M ἀλλ'] ἄλλως δ' AH (Turn.) 9 ἀμφιβάλλον AH 11 ἐπὶ θυτικὴν] καὶ τὴν ἐπιθυμίαν AH καὶ εἰς τὰ ἄλλα AH τἄλλα MF 12 ἀνευρήσοντες RA: ἀνερευνήσοντες MFH (v) δὲ AH αὑτῶν M 13 αἰεὶ M σφόδρ' MF εὐτόνως] αὐτοὺς AH 14 ἀκλινῶς RAH (coni. Mang.): ἀκένως M, ἀληθῶς FL² (v) 15 ἐξαπινέως M θεοφόρητος om. A 16 εἰ λέγει] ἃ λέγει coni. Mang. 17 ὅσον AH 18 διεξελεύσεται F; διερμηνεύσεται (-νεύσει?) coni. Mang. post γὰρ add. ἀμφότεροι R 20 τὰ om. M 21 ὄντος ὄντως R 22 ἑξῆς RMF: ἐξ ἱερῶν AH (Turn.) ὑπογράφει: huc usque M

---

6 Deut. 18,13 15 Deut. 18,15. 18.

Περὶ ἱεροῦ.

(1.) Τὸ μὲν ἀνωτάτω καὶ πρὸς ἀλήθειαν ἱερὸν θεοῦ νομίζειν τὸν 66
σύμπαντα χρὴ κόσμον εἶναι, νεὼ μὲν ἔχοντα τὸ ἁγιώτατον τῆς τῶν
ὄντων οὐσίας μέρος, οὐρανόν, ἀναθήματα δὲ τοὺς ἀστέρας, ἱερέας δὲ τοὺς
ὑποδιακόνους αὐτοῦ τῶν δυνάμεων ἀγγέλους, ἀσωμάτους ψυχάς, οὐ
κράματα ἐκ λογικῆς καὶ ἀλόγου φύσεως, οἵας τὰς ἡμετέρας εἶναι συμ-
βέβηκεν, ἀλλ' ἐκτετμημένας τὸ ἄλογον, ὅλας δι' ὅλων νοεράς, λογισμοὺς
ἀκραιφνεῖς, μονάδι ὁμοιουμένας. τὸ δὲ χειρόκμητον· ἔδει γὰρ ὁρμὰς 67
ἀνθρώπων μὴ ἀνακόψαι φορὰς τὰς εἰς εὐσέβειαν συντελούντων καὶ θυσίαις
223 M. βουλομένων ἢ ἐπὶ τοῖς συμβαίνουσιν ἀγαθοῖς εὐχαριστεῖν ἢ ἐφ' οἷς | ἂν
ἁμαρτάνωσι συγγνώμην καὶ παραίτησιν αἰτεῖσθαι. προὐνόησε δ' ὡς οὔτε
πολλαχόθι οὔτ' ἐν ταὐτῷ πολλὰ κατασκευασθήσεται ἱερά, δικαιώσας,
ἐπειδὴ εἷς ἐστιν ὁ θεός, καὶ ἱερὸν ἓν εἶναι μόνον. εἶτα τοῖς βουλομένοις 68
ἐν ταῖς οἰκίαις αὐτῶν ἱερουργεῖν οὐκ ἐφίησιν, ἀλλ' ἀνισταμένους ἀπὸ
περάτων γῆς εἰς τοῦτ' ἀφικνεῖσθαι κελεύει, ἅμα καὶ τῶν τρόπων
ἀναγκαιοτάτην λαμβάνων βάσανον· ὁ γὰρ μὴ μέλλων θύειν εὐαγῶς οὐκ
ἂν ὑπομεῖναί ποτε πατρίδα καὶ φίλους καὶ συγγενεῖς ἀπολιπὼν ξενιτεύειν,
ἀλλ' ἔοικεν ὑπὸ δυνατωτέρας ὁλκῆς ἀγόμενος τῆς πρὸς εὐσέβειαν ὑπο-
μένειν τῶν συνηθεστάτων καὶ φιλτάτων ὥσπερ τινῶν ἡνωμένων μερῶν
ἀπαρτᾶσθαι. καὶ τοῦδε σαφεστάτη πίστις τὰ γινόμενα· μυρίοι γὰρ ἀπὸ 69

1 tit. περὶ ἱεροῦ RF: τοῦ αὐτοῦ περὶ μοναρχίας ἔτι A, τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ μοναρχίας H, περὶ μοναρχίας λόγος β' L (v) 3 χρὴ om. RF νεὼ RF: ναὸν AH, νεὼν L² (v) μὲν ἔχοντα om. AH; ἔχον coni. Mang. τὸ om. AH (Turn.) 4 pr. τοὺς om. AH 7 λογισμοὺς] λογικὰς F² 8 μονάδι] μονὰς F¹, μονάσιν F² ὁμοιουμένας RF²: ὁμοιουμένους F¹, ὡμοιωμένους AH (v) 9 φορὰς τὰς ... συντελούντων] vel φόρους τοὺς ... ὑποτελούντων vel φοραῖς ταῖς ... συντεινόντων coni. Mang., φορὰς secl. Wendl. 10. 11 ἂν ἁμαρτάνωσι R: ἁμαρτάνουσι F, ἁμάρτωσι (om. ἂν) AH 11 δὲ AH 12 πολλαχόθεν AH 13 ἐπειδὴ] ἐπεὶ R ἐστιν ὁ θεὸς RF: ἐστι θεός AH (v) ἓν RF (coni. Mang.): om. AH (v) 14 αὐτῶν v ἀφίησιν AH ἀνισταμένους post γῆς (15) transp. F 15 κελεύει om. AH 16 λαμβάνων ἀναγκαιοτάτην transp. AH (v) ἐναγῶς H 17 ὑπομεῖναι F (sic Mang.), ὑπομείνῃ AH (Turn.) ποτὲ om. AH (Turn.) 18 ἀλλὰ R 18. 19 ὑπομενεῖν Mang. 20 τοῦδε] τούτου F² πίστις RF: πίστις ἐστὶ AH (v)

11 sqq. Deut. 12,5 sqq. 13 cf. *Ioseph. c. Ap. II § 193* εἷς ναὸς ἑνὸς θεοῦ, φίλον γὰρ ἀεὶ παντὶ τὸ ὅμοιον, κοινὸς ἁπάντων κοινοῦ θεοῦ ἁπάντων. *Ant. Iud. IV § 200* ἱερὰ πόλις ἔστω μία τῆς Χαναναίων γῆς ... καὶ νεὼς εἷς ἐν ταύτῃ ἔστω καὶ βωμὸς εἷς ... ἐν ἑτέρᾳ δὲ πόλει μήτε βωμὸς μήτε νεὼς ἔστω· θεὸς γὰρ εἷς καὶ τὸ Ἑβραίων γένος ἕν. cf. etiam *§ 203.*

μυρίων ὅσων πόλεων, οἱ μὲν διὰ γῆς, οἱ δὲ διὰ θαλάττης, ἐξ ἀνατολῆς
καὶ δύσεως καὶ ἄρκτου καὶ μεσημβρίας καθ' ἑκάστην ἑορτὴν εἰς τὸ
ἱερὸν καταίρουσιν οἷά τινα κοινὸν ὑπόδρομον καὶ καταγωγὴν ἀσφαλῆ
πολυπράγμονος καὶ ταραχωδεστάτου βίου, ζητοῦντες εὐδίαν εὑρεῖν καὶ
φροντίδων ἀνεθέντες, αἷς ἐκ πρώτης ἡλικίας καταζεύγνυνται καὶ πιέζονται,
70 βραχύν τινα διαπνεύσαντες χρόνον ἐν ἱλαραῖς διάγειν εὐθυμίαις· ἐλπίδων
τε χρηστῶν γεμισθέντες σχολάζουσι τὴν ἀναγκαιοτάτην σχολὴν ὁσιότητι
καὶ τιμῇ θεοῦ, φιλίαν καὶ πρὸς τοὺς τέως ἀγνοουμένους συντιθέμενοι
καὶ κρᾶσιν ἠθῶν ἐπὶ θυσιῶν καὶ σπονδῶν εἰς βεβαιοτάτην πίστιν ὁμονοίας
ποιούμενοι.
71 (2.) Τούτου τοῦ ἱεροῦ ὁ μὲν ἐξωτάτω περίβολος καὶ μήκει καὶ
πλάτει μέγιστος ὢν τέσσαρσι στοαῖς εἰς πολυτέλειαν ἠσκημέναις ὠχύρωται·
διπλῆ δ' ἐστὶν αὐτῶν ἑκάστη, ξύλων καὶ λίθων ὕλαις καὶ χορηγίαις
ἀφθόνοις καὶ δημιουργῶν ἐμπειρίαις καὶ τῶν ἐφεστηκότων ἐπιμελείαις
κατεσκευασμένη, τελειότατον ἔργον· οἱ δ' εἴσω βραχύτεροι μέν, αὐστη-
72 ροτέραν δ' ἔχοντες τὴν κατασκευήν. κατὰ δὲ τὸ μεσαίτατον αὐτὸς ὁ
νεὼς παντὸς λόγου κρείττων, ὡς ἐκ τῶν φαινομένων ἔστι τεκμήρασθαι·
τὰ γὰρ ἔνδον ἀόρατα παντί τῳ πλὴν ἑνὶ τῷ ἀρχιερεῖ, καὶ τούτῳ μέντοι,
δι' ἔτους ἐπιτετραμμένον ἅπαξ εἰσιέναι, πάντ' ἐστὶν ἀθέατα· πυρεῖον γὰρ
ἀνθράκων πλῆρες καὶ θυμιαμάτων εἰσκομίζει, πολλῆς δ' ἀναδιδομένης
ὡς εἰκὸς ἀτμίδος κατέχεται τἀν κύκλῳ πάντα καὶ ἡ ὄψις ἐπισκιάζεται

---

3 ἱππόδρομον[ὑπ] A, ἱππόδρομον H 4 εὐδίαν] ἄδειαν AH 6 διαπνεύσαντες] διατρίψαντες F διάγοντες F 7 σχολάσωσι R (ut vid.) ἀναγκαιοτάτην] ἁγιωτάτην coni. Mang. 9 βεβαιοτάτην] βεβαίωσιν καὶ AH; βεβαιοτάτης coni. Mang. 11 ἐξώτατος AH 12 τέσσαρσι] τέτρασι AH 13 ἐστὶν αὐτῶν R: αὐτῶν ἐστιν FAH (v) 14 ἀφθόνοις καὶ δημιουργῶν ἐμπειρίαις om. F
15 κατεσκευασμένον AH αἱ ... βραχύτεραι AH 15. 16 ἀστειοτέραν F[2]; σπουδαιότερος ἢ ἀτερπέστερος διὰ τὸ ἀποίκιλον mg F 16 ἔχουσαι AH
17 κρείσσων F φαινομένων RAH: περιφαινομένων F (v) 18 ἔνδον RF: ἐντὸς AH (Turn.) τῳ om. AH ἑνὸς F 19 ἅπαξ εἰσιέναι] ἅπερ εἰσιόντι F ἀθέατα] ὁρατά F (Turn.) γὰρ RF: μὲν γὰρ AH (v)
20 πλῆρες om. F θυμιαμάτων RF: θυμιάματος AH (v) 21 ταν R, τἂν F: τὰ ἐν AH (v)

---

18 cf. *Ioseph. Ant. Iud.* XIV § 71 παρηνομήθη δὲ οὐ σμικρὰ περὶ τὸν ναὸν ἄβατόν τε ὄντα ἐν τῷ πρὶν χρόνῳ καὶ ἀόρατον· (72) παρῆλθεν γὰρ εἰς τὸ ἐντὸς ὁ Πομπήιος καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγοι καὶ εἶδον ὅσα μὴ θεμιτὸν ἦν τοῖς ἄλλοις ἀνθρώποις ἢ μόνοις τοῖς ἀρχιερεῦσιν. 19 cf. Lev. 16,12. 13.

καὶ ἀνακοπὴν ἴσχει πρόσω χωρεῖν ἀδυνατοῦσα. μέγιστος δὲ ὢν καὶ 73
ὑψηλότατος, καίτοι ἐν χθαμαλωτέρῳ κείμενος, τῶν περιμηκεστάτων ὀρῶν
224 M. οὐδενὸς | ἀποδεῖ. τὰ μὲν οὖν ἐν οἰκοδομίαις ὑπερβολὰς ἔχοντα περίβλεπτά
τ' ἐστὶ καὶ θαυμάζεται πρὸς τῶν ὁρώντων καὶ μάλιστα τῶν ἐπιφοιτώντων
ξένων, οἳ συγκρίνοντες ταῖς οἰκιῶν δημοσίων κατασκευαῖς ἐκπλήττονται
τό τε κάλλος ὁμοῦ καὶ τὴν πολυτέλειαν. ἄλσος δὲ οὐδέν ἐστιν ἐν τῷ 74
περιβόλῳ προστάξει νόμου, διὰ πολλά· πρῶτον μὲν ὅτι οὐχ ἡδονὴν καὶ
τέρψιν εὐδιάγωγον ἐπιζητεῖ τὸ πρὸς ἀλήθειαν ἱερὸν ἀλλ' αὐστηρὰν ἁγι-
στείαν· δεύτερον δ' ὅτι τὰ συντείνοντα πρὸς τὴν τῶν δένδρων χλόην
οὐ θέμις εἰσκομίζεσθαι, τὰ δ' ἐστὶν ἀνθρώπων καὶ ζῴων ἀλόγων περιτ-
τώματα· τρίτον δ' ὅτι τὰ μὲν τῆς ἀγρίας ὕλης πρὸς οὐδὲν ὄφελος,
„ἄχθος“ δ' ὡς οἱ ποιηταί φασι „γῆς“, τὰ δὲ τῆς ἡμέρου, καρπῶν
ἡμέρων οἰστικά, μεθέλξει τοὺς ὀλιγόφρονας ἀπὸ τῆς περὶ τὴν ἱερουργίαν
σεμνότητος. πρὸς δὲ τούτοις λάσια χωρία καὶ δρυμοὶ βαθεῖς κακούργων 75
εἰσὶν ἐνδιαιτήματα τὴν ἐκ τοῦ συσκιάζεσθαι πορίζομένων ἀσφάλειαν καὶ
τὰς ἐξ ἐνέδρας καθ' ὧν ἂν ἐθελήσωσιν αἰφνιδίους ἐπιθέσεις. αἱ δ'
εὐρυχωρίαι καὶ τὸ ἀναπεπταμένον καὶ τὸ ἀνειμένον πάντῃ, μηδενὸς τὰς
ὄψεις ἐμποδίζοντος, πρὸς τὴν τῶν εἰσιόντων καὶ ἐνδιατριβόντων ἀκριβῆ
θέαν ἱερῷ πρεπωδέστατον.

(3.) Προσόδους δ' ἔχει τὸ ἱερὸν οὐ μόνον ἀποτομὰς γῆς ἀλλὰ καὶ 76
πολὺ μείζους ἑτέρας, αἳ μηδενὶ χρόνῳ φθαρήσονται· ἐφ' ὅσον γὰρ τὸ
ἀνθρώπων γένος διαμενεῖ — διαμενεῖ δ' εἰς ἀεί —, καὶ αἱ πρόσοδοι τοῦ
ἱεροῦ φυλαχθήσονται συνδιαιωνίζουσαι παντὶ τῷ κόσμῳ. προστέτακται 77

---

1 δὲ om. F 1. 2 καὶ ὑψηλότατος ὢν transp. AH (v) 2 καίτοι scripsi: καὶ RAH (v), om. F, εἰ καὶ vel κἂν coni. Mang. 3 ἐν οἰκοδομίαις RF: οἰκοδομίας AH, οἰκοδομαῖς L² (Turn.), ἐν οἰκοδομαῖς Mang. 4 τ' ἐστὶ RF: τ' om. AH (v) 5 ταῖς οἰκιῶν δημοσίων κατασκευαῖς R: ταῖς οἰκοδομαῖς τῶν δημοσίων οἰκιῶν καὶ κατασκευαῖς AH, τὰς οἴκοι δημοσίων κατασκευὰς F 6 τε om. AH δ' F 7 διὰ πολλὰ ante προστάξει transp. F 8 ἀλλὰ AH 8. 9 ἀ▒γιστείαν (λ eras.) F 10 τάδ' A (Mang.) ἀλόγων ζώων καὶ ἀνθρώπων transp. AH (v) 12 δ' om. F 16 τὰς RF: τοῦ AH (v); τὸ coni. Mang. ἐθελήσωσιν RF: ἐθέλωσιν AH (v) αἰφνιδίους (αἰφνηδίους F) ἐπιθέσεις RF: αἰφνιδίως ἐπιτίθεσθαι AH (v) 17 τὸ ἀνειμένον R: τὸ om. FAH (v); καὶ τὸ ἀνειμένον om. L (Turn.) 19 ἱερῷ πρεπωδέστατον scripsi: ἱεροπρεπωδέστατον codd. (v) 21 μηδενὶ R, μηδ' ἑνὶ F: οὐδενὶ AH (v) διαφθαρήσονται F 22 διαμένει, διαμένει δ' εἰς ἀεὶ RF (διαμενεῖ scripsi): διαμένει δὲ ἀεὶ AH, διαμενεῖ ἀεὶ v

---

12 Hom. Il. Σ 104 ἄχθος ἀρούρης. cf. Plat. Theaet. 176d γῆς ἄχθη. Kaibel, Sophokles Elektra p. 265.

γὰρ ἕκαστον ἀνὰ πᾶν ἔτος ἀπαρχὰς εἰσφέρειν ἀπὸ εἰκοσαετίας ἀρξάμενον. αἱ δ' εἰσφοραὶ „λύτρα" προσονομάζονται· διὸ καὶ προθυμότατα ποιοῦνται τὰς ἀπαρχάς, φαιδροὶ καὶ γεγηθότες, ὡς ἅμα τῇ καταθέσει μέλλοντες ἢ δουλείας ἀπαλλαγὴν ἢ νόσων ἄκεσιν εὑρίσκεσθαι καὶ βεβαιοτάτην ἐλευ-
78 θερίαν ὁμοῦ καὶ σωτηρίαν εἰς ἅπαν καρποῦσθαι. πολυανθρωποτάτου δ' ἔθνους ὡς εἰκὸς καὶ τὰς ἀπαρχὰς ἀφθονωτάτας εἶναι συμβέβηκε· σχεδὸν γοῦν ἀνὰ πᾶσαν πόλιν ταμεῖα τῶν ἱερῶν χρημάτων ἐστίν, εἰς ἃ παραγινομένοις ἔθος ἀπάρχεσθαι· καὶ χρόνοις ὡρισμένοις ἱεροπομποὶ τῶν χρημάτων ἀριστίνδην ἐπικριθέντες, ἐξ ἑκάστης οἱ δοκιμώτατοι, χειροτονοῦνται, σώους τὰς ἐλπίδας ἑκάστων παραπέμψοντες· ἐν γὰρ ταῖς νομίμοις ἀπαρχαῖς αἱ τῶν εὐσεβούντων ἐλπίδες εἰσίν.

Περὶ ἱερέων.

79 (4.) | Φυλαὶ μέν εἰσι τοῦ ἔθνους δώδεκα, μία δ' ἐκ πασῶν ἀρι- p. 225
στίνδην ἐπικριθεῖσα ἱερᾶται, γέρας ἀνδραγαθίας καὶ φιλοθέου σπουδῆς τουτὶ λαβοῦσα, καθ' ὃν καιρὸν ἔδοξεν ἡ πληθὺς ἁμαρτεῖν ἐπακολουθήσασα γνώμαις ἐνίων ἀγνώμοσιν, οἳ τὴν Αἰγυπτιακὴν ἔπεισαν ζηλοῦν ἠλιθιότητα καὶ τὸν ἐγχώριον τῦφον, ὃν ἐπ' ἀλόγοις ζῴοις καὶ μάλιστα ταύροις μυθοπλαστοῦσι· τοὺς γὰρ ἡγεμόνας τῆς ἀπονοίας ἅπαντας ἡβηδὸν αὐτοκέλευστοι κατακτείναντες εὐαγὲς ἔδοξαν ἔργον εἰργάσθαι, τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας διαθλήσαντες.

---

1 ἕκαστον RF: om. AH (Turn.) ἀπαρχὰς RF: ἀπαρχὴν AH (v) εἰκοσαετίας RF: εἰκοσαετοῦς AH (Turn.) ἀρξάμενον RF: ἀρξαμένους AH (v) 4 νόσον H ἄκεσιν] ἄνεσιν F εὑρίσκεσθαι R(F¹): εὑρίσκ(εῖν) F, εὑρεῖν AH (v) 5 εἰς ἅπαν RF, εἰσάπαν AH: εἰς πάντα L (Turn.) 7 γοῦν] γὰρ οὖν F ταμεῖα RF: ταμιεῖον AH; ταμεῖον v 7. 8 παραγινομένοις RF: παραγενομένοις AH (v) 9 post χρημάτων add. εἰσὶν et post ἐπικριθέντες interpung. FN (v) post ἑκάστης add. δ' F (v), δὲ N 10 σώους] σύννους A παραπέμψοντες RF: ἐκπέμψοντες H, ἐκπέμψαντες A; παρεκπέμψοντες v ταῖς om. Turn. 11 εἰσίν om. FN εἰσὶ περὶ ἱερέων (sic) AH 12 tit. περὶ ἱερέων RF(AH) Arm 13 μέν RF: μὲν οὖν AH (v) 14 ἀποκριθεῖσα AH σπουδῆς RAH: ἀρετῆς Arm, ψυχῆς F (v) 15 ἔδοξεν] ἔτυχεν Arm ἁμαρτάνειν F 16 ἔπεισαν ζηλοῦν] ἐζήλουν Arm 18. 19 κτείναντες AH

---

1 Exod. 30,12—16 8—11 N fol. 156r: καὶ χρόνοις—ἐλπίδες. 14 sqq. Exod. cap. 32.

(5.) Νόμοι δὲ ἱερέων εἰσὶν οἵδε. παντελῆ καὶ ὁλόκληρον εἶναι τὸν 80
ἱερέα προστέτακται, μηδεμίαν ἐν τῷ σώματι λώβην ἔχοντα, μήτε κατ'
ἔνδειαν ἐπιλείποντος ἢ ἀκρωτηριασθέντος μέρους μήτε κατὰ πλεονασμὸν
ἅμα τῇ γενέσει περιττεύσαντος ἢ ὕστερον ἐκ νόσου προσφύντος μήτε τῆς
χρόας μεταβαλούσης εἰς λέπραν ἢ λειχῆνας ἀγρίους ἢ μυρμηκίας ἤ τινας
ἄλλας ἐξανθημάτων ἐκφύσεις· ἅ μοι δοκεῖ πάντα σύμβολα τῆς περὶ ψυχὴν
εἶναι τελειότητος. εἰ γὰρ τὸ φύσει θνητὸν σῶμα τοῦ ἱερέως ἐπισκεπτέον, 81
ἵνα περὶ μηδὲν ἀτύχημα κηραίνῃ, πολὺ πλέον ψυχὴν τὴν ἀθάνατον, ἥν
φασι τυπωθῆναι κατὰ τὴν εἰκόνα τοῦ ὄντος· λόγος δ' ἐστὶν εἰκὼν θεοῦ,
δι' οὗ σύμπας ὁ κόσμος ἐδημιουργεῖτο.

Μετὰ δὲ τὴν ἐξ εὐπατριδῶν εὐγένειαν καὶ παντέλειαν τὴν ἔν τε 82
σώμασι καὶ ψυχαῖς περὶ ἐσθῆτος, ἣν ἀναλαμβάνειν χρὴ τὸν ἱερέα μέλλοντα
λειτουργεῖν τὰς ἱερὰς λειτουργίας, νενομοθέτηται. ἡ δ' ἐσθής ἐστι χιτὼν 83
λινοῦς καὶ περίζωμα, τὸ μὲν εἰς αἰδοίων σκέπην, ἃ μὴ πρὸς τῷ θυσια-
στηρίῳ γυμνοῦσθαι θέμις, ὁ δὲ χιτὼν ἕνεκα τῆς πρὸς τὴν ὑπηρεσίαν
ὀξύτητος· ἀνείμονες γὰρ ἐν μόνοις χιτωνίσκοις τά τε ἱερεῖα καὶ τὰς εὐχὰς
καὶ τὰς σπονδὰς καὶ ὅσα ἄλλα θυσίαις χρήσιμα προσάγουσιν εἰς ἀνυπέρ-
θετον τάχος ἠσκημένοι. τῷ δ' ἀρχιερεῖ διείρηται μὲν τὴν παραπλησίαν 84

---

1 δ' F 3 ἐπιλείποντος] ἐπιλήπτου AH ἢ RF: καὶ AH (Turn.), ἢ καὶ Arm μήτε αὖ Arm 4 προσφύντος F: προσφυέντος RAH (v) 5 μεταβαλλούσης H, μεταλαβούσης F[1] 6 ἐκφύσεις] φύσεις F Vind. σύμβολον F Vind. 7 εἶναι post σύμβολον (6) transp. F Vind. 8 ἀτύχημα om. D πολὺ] πολλῷ Vind. 8. 9 ἣν φασι om. D 9 φασι] φασι δεῖν Arm post τυπωθῆναι add. δεῖ D λόγος] νοῦς AH δὲ AH θεοῦ εἰκὼν transp. R 11 εὐπατριδῶν] εὐγενῶν AH τε RF: τοῖς AH (v) 12 ψυχαῖς RF: ψυχῇ AH (Turn.) καὶ περὶ ἐσθῆτος Arm 13 νενομοθέτηται om. F Arm. 14. 15 τῷ θυσιαστηρίῳ] βωμοὺς F 15 χιτὼν om. AH Arm τὴν om. F 16 καὶ τὰς (εὐχὰς?) R: om. FAH (v) 17 ὅσα R: ὅσ' FAH θυσίαις χρήσιμα RF: χρήσιμα θυσίαις AH (v) 18 διήρηται H

1sqq. Lev. 21,17—21. cf. *Ioseph. Ant. Iud. III § 278* 1—6 Vind. hist gr. 67 fol. 56r: περὶ ἱερέως (sic): — χρὴ τοίνυν τὸν ἱερέα ἐν μηδενὶ λειπόμενον εἶναι, ἀλλ' ὁλόκληρον καὶ ἄρτιον ὁρᾶσθαί τε καὶ γνωρίζεσθαι, μηδὲ μίαν ἐν τῷ σώματι λώβην ἔχοντα, μὴ τὰ μόρια ἐκτετμημένον, μὴ τὴν βάσιν ἐπίχολον, μήτε μὴν ἐπὶ προσώπου ἐξανθήσεις ἐρυθρὰς ἢ μέλαινας ἢ λιχῆνας ἢ μυρμηκίας ἤ τινας ἄλλας ἐξανθημάτων φύσεις ἐχέτω. 6—9 Vind. hist. gr. 67 fol. 60r: εἰ γὰρ τὸ φύσει θνητὸν σῶμα τοῦ ἱερέως προεπισκοπεῖν χρή, ἵνα περὶ μηδὲν ἀτύχημα κηραίνῃ, μηδέ τινας ἐξανθημάτων φύσεις κεκτῆσθαι, ἅ μοι δοκεῖ πάντα σύμβολον εἶναι τῆς περὶ ψυχὴν τελειότητος, πολλῷ πλέον ψυχὴν τὴν ἀθάνατον, ἣν φασι τυπωθῆναι κατὰ τὴν εἰκόνα τοῦ ὄντως λόγου θεοῦ. 7-10 D[R] fol. 175r Φίλωνος: εἰ τὸ φύσει — ἐδημιουργεῖτο. 13sqq. Exod. cap. 28. cf. *De vita Mos.* II § 109sqq. cf. etiam *Aristeae epist.* § 96—98.

ἐσθῆτα ἀναλαμβάνειν, ἡνίκα ἂν εἰς τὰ ἄδυτα ἐπιθυμιάσων εἰσίῃ, διὰ τὸ
τὴν ὀθόνην ἐκ μηδενὸς τῶν ἀποθνῃσκόντων ὥσπερ τὰ ἔρια γεννᾶσθαι,
προστέτακται δὲ καὶ ἑτέρᾳ χρῆσθαι πάνυ ποικίλην ἐχούσῃ κατασκευήν,
ὡς ἀπεικόνισμα καὶ μίμημα τοῦ κόσμου δοκεῖν εἶναι. σαφὴς δὲ πίστις
85 ἡ κατασκευή. πρῶτον μὲν γὰρ ἔνδυμα περιφερές ἐστιν, ὅλον δι' ὅλων
ὑακίνθινον, ποδήρης χιτών, ἀέρος σύμβολον, ἐπειδήπερ ὁ ἀὴρ καὶ φύσει
μέλας ἐστὶ καὶ τρόπον τινὰ ποδήρης, ἄνωθεν ἀπὸ τῶν μετὰ σελήνην
86 | τόπων ταθεὶς ἄχρι τῶν κατωτάτω γῆς μυχῶν. εἶθ' ὕφασμα θωρακοειδὲς p. 226 I
ἐπὶ τούτῳ, σύμβολον οὐρανοῦ· δύο τε γὰρ ἐπὶ τῶν ἀκρωμίων λίθοι
σμαράγδου τῆς τιμαλφεστάτης ὕλης εἰσίν, ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν, εἷς
ἑκατέρωθεν, περιφερεῖς, δείγματα τῶν ἡμισφαιρίων, ὧν τὸ μὲν ὑπὲρ γῆν
87 τὸ δ' ὑπὸ γῆν ἐστιν. εἶτα πρὸς τοῖς στέρνοις δώδεκα λίθοι πολυτελεῖς τὰς
χρόας διαφέροντες, ἐκ τριῶν τεταγμένοι τετραστοιχεί, πρὸς παράδειγμα τοῦ
ζῳδιακοῦ τυπωθέντες· καὶ γὰρ ἐκεῖνος ἐκ δώδεκα συνεστὼς ζῳδίων τὰς ἐτη-
88 σίους τέτταρας ὥρας ἀποτελεῖ τρία νείμας εἰς ἑκάστην. σύμπας δ' ὁ τόπος
καλεῖται λογεῖον ἐτύμως, ἐπειδὴ τὰ ἐν οὐρανῷ πάντα λόγοις καὶ ἀναλο-
γίαις δεδημιούργηται καὶ συντέτακται· τῶν γὰρ ἐκεῖ τὸ παράπαν ἄλογον
οὐδέν. ἐπὶ δὲ τοῦ λογείου διττὰ ὑφάσματα καταποικίλλει προσαγορεύων
89 τὸ μὲν δήλωσιν, τὸ δὲ ἀλήθειαν. αἰνίττεται δὲ διὰ μὲν τῆς ἀληθείας,
ὅτι οὐρανοῦ τὸ παράπαν ψεῦδος ἐπιβαίνειν οὐ θεμιτόν, ἀλλὰ τοῦθ' ἅπαν
εἰς τὸν περίγειον πεφυγάδευται χῶρον ψυχαῖς ἐναγῶν ἀνθρώπων εἰσοικιζό-
μενον, διὰ δὲ τῆς δηλώσεως, ὅτι αἱ κατ' οὐρανὸν φύσεις ἕκαστα δηλοῦσι
90 τῶν παρ' ἡμῖν, ἃ καθ' αὑτὰ πάντως ἂν ἦν ἄγνωστα. σημεῖον δ' ἐναργέσ-
τατον· εἰ μὴ φῶς, ἡλίου ἥλιος, ἀνέλαμψε, πῶς ἂν αἱ τῶν σωμάτων

---

1 ἐσθῆτ' F ἡνίκα ἂν] ὅταν F εἰς τὰ ἄδυτα om. F 2 ἔρια] ἱερεῖα AH 3 κεχρῆσθαι AH (Turn.) 4 ὡς—κατασκευὴ (5) om. AH μίμημα R: μίμημά τι F (v) 5 δι' ὅλων] διόλου AH 6 ὑακίνθῳ AH 7 μετὰ Mang.: κατὰ codd. 9 ἐπὶ τοῦτο H ἀκρωμίων] ἄκρων μόνων F, ἀκρώμων mg F[2] 10 σμαράγδου RF Arm: σμάραγδοι AH (v) ὕλης AH: om. RF Arm εἰσίν] ἐστίν F εἷς] εἰς A, εἷς om. Arm. 11 περιφερεῖς R (Arm?): περιφερής F (v), περιφερές AH δεῖγμα AH (Turn.) 12 δὲ AH ἐστί post ὑπὲρ γῆν (11) transp. AH 13 τετραστοιχεί RF: τετραστοίχων A, τετραστίχων H 13. 14 τοῦ ζῳδιακοῦ AH: τὸ ζῳδιακὸν F, τὸν ζῳδιακὸν R (ut vid.) 15 τρία] τρεῖς AH 16 λογεῖον] λόγιον F 18 λογίου H, λόγου F[1] προσαγορεῦον F 19 δ' F 20 τοῦθ' (τοῦτ' F[1]) ἅπαν RF: τοῦτο πᾶν AH (Turn.) 21 εἰς τὸ . . . χωρίον F ἐναγῶν RF: ἀναγώγων AH; ἐξαγῶν v 23 ἂν om. AH 24 ἡλίου ἥλιος scripsi (cf. § 284): ἡλίου R (ut vid.) Arm, ἥλιος F, ἥλιος δ' AH (v); ἡλιῶδες coni. Mang. vel ἥλιος διανέλαμψε

ἀμύθητοι ποιότητες διεφάνησαν, πῶς δ' ἂν αἱ πολύμορφοι τῶν χρωμάτων
καὶ σχημάτων ἰδέαι; ἡμέρας δὲ καὶ νύκτας μῆνάς τε καὶ ἐνιαυτοὺς καὶ
συνόλως χρόνον τίς ἀνέδειξεν ὅτι μὴ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων
ἀστέρων αἱ ἐναρμόνιοι καὶ παντὸς λόγου χρείττους περιφοραί; τίς δὲ τὴν 91
ἀριθμοῦ φύσιν εἰ μὴ τὰ λεχθέντα κατὰ τὰς τῶν μερῶν τοῦ χρόνου συν-
θέσεις; τίς δὲ τὰς ἐν θαλάσσῃ καὶ τοσούτοις πελάγεσιν ὁδοὺς ἀνέτεμε
καὶ διέδειξε πλωτῆρσιν εἰ μὴ αἱ τῶν ἀστέρων στροφαὶ καὶ περίοδοι;
σοφοὶ δ' ἄνδρες καὶ μυρία ἄλλα παρατηρήσαντες ἀνέγραψαν, ἐκ τῶν 92
οὐρανίων σημειωσάμενοι νηνεμίας καὶ βίας πνευμάτων, φορὰς καὶ ἀφορίας
καρπῶν, ἀνειμένα καὶ φλογωδέστατα θέρη, χειμῶνας ἐξαισίους καὶ ἐαρί-
ζοντας, αὐχμοὺς καὶ ἐπομβρίας, εὐγονίας ζῴων καὶ φυτῶν καὶ τοὐναντίον
ἑκατέρων ἀγονίας καὶ ὅσα τοιουτότροπα· πάντων γὰρ ἐστηλίτευται τῶν ἐπὶ
γῆς ἐν οὐρανῷ τὰ σημεῖα. (6.) πρὸς δὲ τοῖς κατωτάτω μέρεσι τοῦ ποδή- 93
ρους ἀπῃώρηνται χρυσοῖ ῥοΐσκοι κώδωνές τε καὶ ἄνθινα· τὰ δ' ἐστὶ σύμ-
βολα γῆς καὶ ὕδατος, γῆς μὲν τὰ ἄνθινα, παρόσον βλαστάνει καὶ ἀνθεῖ
πάντα ἐκ ταύτης, ὕδατος δὲ οἱ ῥοΐσκοι λεχθέντες ἐτύμως παρὰ τὴν ῥύσιν,
τὴν δ' ἁρμονίαν καὶ συμφωνίαν καὶ συνήχησιν τῶν τοῦ κόσμου μερῶν οἱ
κώδωνες ἐμφαίνουσιν. εὖ δ' ἔχει καὶ ἡ θέσις· ἀνωτάτω μέν, ἐν ᾧ οἱ 94
λίθοι, τὸ καλούμενον περιστήθιον, οὐρανοῦ μίμημα, διότι καὶ ὁ οὐρανὸς
ἀνωτάτω, ὁ δὲ ποδήρης ὑπ' αὐτῷ, ὅλος δι' ὅλων ὑακίνθινος, ἐπειδὴ
227 M. | καὶ ὁ ἀὴρ μέλας ὢν τὴν μετ' οὐρανὸν δευτέραν τάξιν κεκλήρωται, τὰ δ'
ἄνθινα καὶ οἱ ῥοΐσκοι πρὸς τοῖς ἐσχάτοις, διότι γῆ καὶ ὕδωρ τὴν κατω-
τάτω τοῦ παντὸς μοῖραν ἔλαχον. ἥδ' ἐστὶν ἡ τῆς ἱερᾶς ἐσθῆτος κατα- 95
σκευή, μίμημα τοῦ παντός, θαυμάσιον ἔργον καὶ ὀφθῆναι καὶ νοηθῆναι·

---

1. 2 χρωμάτων καὶ om. H 2 σχημάτων καὶ σκιῶν Arm δὲ R: τε F, om. AH 4 αἱ om. H (Turn.) καὶ om. H 5 εἰ R: ὅτι FAH (v) μερῶν] ἡμερῶν F 6 θαλάττῃ v 7 διέδειξε R: ἔδειξε F, ἀνέδειξε AH (v) 8 ἄλλα RF: ἄλλ' ἄττα AH (v) ἀνέγραψαν F: ἀνεγράψαντο RAH (v) 9 οὐρανῶν F βίας πνευμάτων, φορὰς scripsi: βιαίας πνευμάτων φορὰς F, πνευμάτων βιαίας φορὰς R, πνεύματα βίαια καὶ φορὰς AH, πνευμάτων βίας φορὰς L[2] (v) 10 ἀνειμένα RF Arm: καὶ ἀνειμένα AH (v) 10. 11 ἀερίζοντας AH 11. 12 καὶ τοὐναντίον ἑκατέρων ἀγονίας om. F Arm 13 κατωτάτω RF: κάτω AH (v) 14 ἀπαιώρηνται F[1] χρυσοῖ RF: χρύσεοι AH (v) ἀνθινά F (v) τάδ' Mang. 15 ἀνθινά F (v) 16 οἱ om. F 17 συμφωνίαν] συμφώνησιν AH 18 μὲν γὰρ Arm οἱ om. F 20 ὑπ' αὐτῷ RAH: ὑπ' αὐτὸ F (Mang.) δι' ὅλων RF: δι' ὅλου AH (v) 21 μετ' οὐρανὸν RF: μετὰ τὸν οὐρανὸν A (v), μετὰ τῶν οὐρανῶν H τάξιν δευτέραν transp. H (v) κεκλήρωται] τετίμηται FL[2] (v): νενέμηται coni. Mang. 22 ἀνθινὰ F (v) οἱ om. F 22. 23 κατωτάτω] κάτω AH 23 ἥδ'] ὧδ' AH ἡ om. F ἔστι δ' ἡ Arm

καὶ γὰρ ὄψιν ἔχει καταπληκτικωτάτην οἵαν οὐδὲν ὕφασμα τῶν παρ' ἡμῖν
ἕνεκα ποικιλίας ὁμοῦ καὶ πολυτελείας καὶ νόησιν τὴν περὶ τῶν αὐτῆς
96 μερῶν φιλόσοφον. βούλεται γὰρ τὸν ἀρχιερέα πρῶτον μὲν εἰκόνα τοῦ
παντὸς ἔχειν ἐμφανῆ περὶ ἑαυτόν, ἵν' ἐκ τῆς συνεχοῦς θέας ἄξιον παρέχῃ
τὸν ἴδιον βίον τῆς τῶν ὅλων φύσεως, ἔπειθ' ὅπως ἐν ταῖς ἱερουργίαις
συλλειτουργῇ πᾶς ὁ κόσμος αὐτῷ· πρεπωδέστατον δὲ τὸ τὸν ἱερώμενον
τῷ τοῦ κόσμου πατρὶ καὶ τὸν υἱόν, τὸ πᾶν, ἐπάγεσθαι πρὸς θεραπείαν
97 τοῦ δεδημιουργηκότος καὶ γεγεννηκότος. ἔστι δὲ καὶ τρίτον τι τῆς ἱερᾶς
ἐσθῆτος σύμβολον ἀναγκαῖον μὴ ἡσυχασθῆναι· τῶν μὲν γὰρ ἄλλων οἱ
ἱερεῖς ὑπὲρ οἰκείων καὶ φίλων καὶ πολιτῶν αὐτὸ μόνον εἰώθασι τάς τε
εὐχὰς καὶ θυσίας ἐπιτελεῖν, ὁ δὲ τῶν Ἰουδαίων ἀρχιερεὺς οὐ μόνον ὑπὲρ
ἅπαντος ἀνθρώπων γένους ἀλλὰ καὶ ὑπὲρ τῶν τῆς φύσεως μερῶν, γῆς,
ὕδατος, ἀέρος, πυρός, τάς τε εὐχὰς καὶ τὰς εὐχαριστίας ποιεῖται, τὸν
κόσμον, ὅπερ ἐστὶ ταῖς ἀληθείαις, ἑαυτοῦ πατρίδα εἶναι νομίζων, ὑπὲρ
ἧς ἱκεσίαις καὶ λιταῖς εἴωθεν ἐξευμενίζεσθαι τὸν ἡγεμόνα ποτνιώμενος
τῆς ἐπιεικοῦς καὶ ἵλεω φύσεως αὐτοῦ μεταδιδόναι τῷ γενομένῳ.
98 (7.) Ταῦθ' ὑπειπὼν προσνομοθετεῖ κελεύων τὸν προσιόντα τῷ βωμῷ
καὶ ψαύοντα θυσιῶν, ἐν ᾧ χρόνῳ τέτακται τὰς ἱερὰς λειτουργίας ἐπιτελεῖν,
μήτ' οἶνον μήτε τι ἄλλο μέθυσμα πίνειν, τεττάρων ἕνεκα τῶν ἀναγκαιοτά-
99 των, ὄκνου καὶ λήθης καὶ ὕπνου καὶ ἀφροσύνης. ἄκρατος γὰρ τὰς μὲν

---

1 οἵαν R Arm: οἷον F, καὶ οἵαν AH (v) 2 νόησιν—(3) ἀρχιερέα] νόησις περὶ τῶν αὐτῶν μερῶν φιλοσοφίας γίνεται τῷ ἀρχιερεῖ Arm αὐτῆς] αὐτῶν F 5 ἔπειθ' RF: ἔπειτα AH 6 συλλειτουργεῖ H δὲ] γὰρ F τὸ RAH: om. F (v) ἱερωμένον codd. (v) 7 τὸν υἱόν, τὸ πᾶν scripsi: τὸν υἱὸν F Arm (v), τὸ πᾶν RAH 8 δε(δημιουρ)γηκότος καὶ γεγεννηκότος R: δεδημιουργηκότος AH, γεγεννηκότος F Arm (v) ἔστι] ἔτι F τρίτον τι RF: τι om. AH (v) ἱερᾶς om. F 9 γὰρ om. F 10 τε R: τ' AH, om. F 11 Ἰουδαίων] ἱερέων Arm 12 ἀνθρώπου F 13 πυρὸς RF Arm: καὶ πυρός AH (v) τ' AH 13. 14 καὶ τὸν κόσμον R, τόν τε κόσμον Arm 14 ἑαυτοῦ πατρίδα εἶναι RF: πατρίδα εἶναι ἑαυτοῦ AH (Turn.) 15 ἐξευμενίζεσθαι RF: ἐξευμενίζειν AH (v) 16 αὑτοῦ H (v) 17 ταῦτα προειπὼν Arm βωμῷ] θυσιαστηρίῳ AH 19 μήτ' RF Vind.: μὴ AH (v) ἄλλο om. RF πίνειν μέθυσμα transp. AH (v) τεσσάρων Vind. 20 καὶ ante ὕπνου om. H (Turn.)

---

17 sqq. Lev. 10,9. Ezech. 44,21. *Ioseph. Ant. Iud. III § 279* 19—25,10 Vind. hist. gr. 67 fol. 58v τοῦ αὐτοῦ περὶ ἱερωσύνης: (οὔτε κληρωτοὺς οὔτε ἐκ γένους οὔτε ἐξ ἑνὸς ψήφου βούλεται ὁ νόμος τοὺς ἱερεῖς εἶναι, ἀλλ' ὃν τὸ πλῆθος ἕλοιτο· καὶ γὰρ ἱκανὸς πρὸς πίστιν ὁ παρὰ τῶν τοιούτων γινόμενος ἔπαινος· ἀλλὰ) δεῖ τὸν ἱερέα τὸν μέλλοντα εἰς τὰ ἄδυτα εἰσιέναι μήτ' οἶνον πίνειν μήτε μὴν μέθυσμα, τεσσάρων ἕνεκα τῶν ἀναγκαιοτάτων — ἐμπόδιός ἐστιν.

τοῦ σώματος δυνάμεις ἀνιεὶς δυσκινητότερα τὰ μέλη ποιεῖ καὶ ὀκνηροτέρους ἀπεργάζεται καὶ βίᾳ καταδαρθάνειν ἀναγκάζει, τοὺς δὲ τῆς ψυχῆς τόνους ἐπιχαλῶν λήθης ὁμοῦ καὶ ἀφροσύνης αἴτιος γίνεται· νήφοντος δὲ τά τε μέρη τοῦ σώματος ἐπελαφριζόμενα εὐκινητότερα αἵ τε αἰσθήσεις καθαρώτεραι καὶ εἰλικρινέστεραι ὅ τε νοῦς ὀξυωπέστερος, ὡς καὶ προϊδέσθαι πράγματα δύνασθαι καὶ ἃ πρότερον εἶδεν ἀπομνημονεῦσαι. συνόλως μὲν 100
οὖν τὴν οἴνου χρῆσιν ἅπασι τοῖς κατὰ τὸν βίον ἀλυσιτελεστάτην ὑποληπτέον, ψυχῆς πιεζομένης, αἰσθήσεων ἀμαυρουμένων, βαρυνομένου σώματος — ἐλεύθερον γὰρ καὶ ἄφετον οὐδὲν ἐᾷ τῶν παρ' ἡμῖν, ἀλλ' ἑκάστῳ πρὸς ὃ πέφυκεν ἐμπόδιός ἐστιν —, ἐν δὲ ταῖς ἁγιστείαις καὶ ἱερουργίαις
228 M. τὸ βλάβος | ἀργαλεώτερον, ὅσῳ καὶ τὸ περὶ θεὸν ἐξαμαρτεῖν τοῦ περὶ ἄνθρωπον ἀφορητότερον. ὅθεν εἰκότως προστέτακται νηφαλίους θύειν, „εἰς διαστολὴν καὶ διάκρισιν ἁγίων καὶ βεβήλων καὶ καθαρῶν καὶ ἀκαθάρτων“ καὶ νομίμων καὶ παρανόμων.

(8.) Ἐπεὶ δ' ὁ ἱερεὺς πολὺ πρότερον ἀνήρ ἐστι καὶ ταῖς πρὸς 101
συνουσίαν ὁρμαῖς ἐξ ἀνάγκης ὀφείλει χρῆσθαι, γάμον αὐτῷ μνᾶται παρθένου καθαρᾶς καὶ ἐκ καθαρῶν γονέων καὶ πάππων καὶ προγόνων εἴς τε καλοκἀγαθίαν καὶ εὐγένειαν ἀριστίνδην ἐπικριθέντων. πόρνῃ μὲν 102
γὰρ καὶ βεβήλῳ σῶμα καὶ ψυχὴν οὐδὲ προσελθεῖν ἐᾷ, κἂν τὴν ἐργασίαν ἀποθεμένη σχῆμα κόσμιον καὶ σῶφρον ὑποδύηται, διὰ τὸ τὴν ἀρχαίαν προαίρεσιν ἀνίερον αὐτῇ γενέσθαι. αὕτη δὲ πρὸς μὲν τὰ ἄλλα ἐπιτιμίαν

---

1 μέλη] μέρη F Vind. Arm 2 καταδαρθάνειν] καταλαμβάνειν AH δὲ FA Vind.: τε RH (v) 3 νήφοντος RAH: νηφόντων F Vind. Arm (v) τε om. F Vind. 4. 5 καθαρώταται καὶ εἰλικρινέσταται F Vind., καθαρώτεραι καὶ εἰλικρινέσταται (sic) R 5 ὅ τε] ὅτι F[1] ὀξύτερος H ὡς καὶ F Vind.: ὥστε καὶ RA, ὥστε H (v) προειδέσθαι R 6 εἶδον Vind. 7 ἀλυσιτελέστατον Vind. 7. 8 εἶναι ante ὑποληπτέον add. F Vind. (v) 9 ἐᾷ τῶν] ἑαυτῶν Vind. ἕκαστον (?) Arm 10 ἁγιστίαις F 11 τὸ om. R βλάβος] βάρος AH (Turn.) ἀργαλαιότερον F[1], ἀργαλεώτατον AH (Turn.) καὶ om. Arm τὸ om. AH ἐξαμαρτεῖν RAH: ἐξαμαρτάνειν F (v), ἁμαρτάνειν D 12 νηφαλίους scripsi: νηφάλια RAH (v), om. F 13 εἰς RAH: κατὰ τὴν F (v) τῶν ἁγίων FH (v) 15 ἀρχιερεὺς coni. Mang. 16 χρᾶσθαι AH γάμῳ F[1] 16. 17 μνᾶται παρθένου καθαρᾶς RF: παρθενίας καθαρᾶς μνᾶται AH 17 καὶ προγόνων om. AH 18 ἐπικριθείσης coni. Mang. 19 σῶμα καὶ ψυχὴν F: σώματι καὶ ψυχῇ RAH (v) προσελθεῖν scripsi: προσιδεῖν codd. (v) 21 γενέσθαι] γεγενῆσθαι F (Mang.) αὕτη] αὐτὴ AH (v) τἄλλα F

---

11. 12 D^{R} fol. 38r D^{L} fol. 43r et 182r Φίλωνος: τὸ περὶ θεὸν ἁμαρτάνειν τοῦ περὶ ἄνθρωπον ἀφορητότερον. 13 Lev. 10,10 16 sqq. Lev. 21,13. 14. cf. *Ioseph. Ant. Iud. III § 277. c. Ap. I § 30. 31.*

ἐχέτω σπουδάσασα μιασμάτων καθαρεῦσαι· μετάνοια γὰρ ἀδικημάτων
ἐπαινετόν· καὶ μηδεὶς ἕτερος αὐτὴν ἄγεσθαι κεκωλύσθω, ἱερεῖ δὲ μὴ
προσίτω· τὰ γὰρ ἱερωσύνης ἐξαίρετα δίκαια συμφωνίαν ἐπιζητούσης τὴν
103 ἀπὸ γενέσεως [ἀρχῆς] ἄχρι τελευτῆς ἀνυπαίτιον. εὔηθες γὰρ διὰ μὲν
τὰς ἐκ τῶν τραυμάτων ἐπιγενομένας οὐλὰς ἐν τοῖς σώμασιν εἴργεσθαί
τινας ἱερωσύνης, αἳ σύμβολον ἀτυχίας, οὐ μοχθηρίας, εἰσί, τὰς δὲ μὴ
κατ' ἀνάγκην μόνον ἀλλ' ἔστιν ὅτε καὶ ἑκουσίοις γνώμαις πεπραχυίας
τὴν ἰδίαν ὥραν, ἐπειδήπερ ὀψὲ καὶ μόλις μετέγνωσαν, εὐθὺς ἀπὸ ἐρα-
στῶν ἱερεῦσιν ἁρμόζεσθαι καὶ ἀπὸ χαμαιτυπείων εἰς ἱερὰ χωρία μετοικί-
ζεσθαι· μένουσι γὰρ οὐδὲν ἧττον ἐν ταῖς ψυχαῖς τῶν μετανοούντων
104 οὐλαὶ καὶ τύποι τῶν ἀρχαίων ἀδικημάτων. εὖ καὶ παγκάλως ἐν ἑτέροις
διείρηται „μηδὲ μίσθωμα πόρνης εἰσκομίζειν εἰς τὸ ἱερόν“ (Deut. 23,18)·
καίτοι τό γε νόμισμα καθ' αὑτὸ οὐκ ἔνοχον, ἀλλὰ διὰ τὴν λαβοῦσαν καὶ
τὴν πρᾶξιν ἐφ' ᾗ δέδοται. σχολῇ γ' ἂν ἔτι προσοῖτό τις εἰς κοινωνίαν
ἱερέων γυναῖκας, ὧν καὶ τὰ χρήματα βέβηλα καὶ παράσημα, εἰ καὶ ταῖς
ὕλαις καὶ τοῖς χαρακτῆρσι δόκιμα.

---

1 σπουδάσασα μιασμάτων καθαρεῦσαι RF Arm: διὰ τὸ τῶν πρὶν σπουδασμάτων καθαρεῦσαι AH (Turn.); διὰ τὸ τῶν πρὶν μιασμάτων καθαρεῦσαι Mang. μετάνοιαν L (Turn.) 2 ἐπαινετόν RF: ἐπαινετέον AH (v) ἕτερος] ἐξ ἑτέρων Arm ἄγεσθαι αὐτὴν transp. F μὴ RF: μηδὲ AH (v) 3 προσίτω] „concedatur“ (προσιέσθω?) Arm δικαίας συμφωνίας R ἐπιζητοῦσι F[1], ἐπιζητούση F[2], ἐπιζητοῦσιν ἧς (ortum ex ἐπιζητοῦσιν, superscr. ης) R 4 γεννήσεως A ἀρχὴν RF ἀρχῆς seclusi 5 τὰς om. R ἐκ om. F ἐπιγινομένας AH (Turn.) εἴργασθαι F[1] 6 ἱερωσύνης] ἱερέων F αἳ] καὶ Arm εἰσί] εἰσὶν αὗται Arm 7 καὶ om. AH (Turn.) 8 μόλις καὶ ὀψὲ Arm ἀπ' F 9 χαμαιτυπίων R, χαμαιτύπων F 11 εὖ RF Arm: ὅθεν AH, ὅθεν L (superscr. εὖ), ὅθεν εὖ v 12 μηδὲ] μηδὲν AH (Turn.) εἰσκομίζειν] μὴ κομίζειν AH (Turn.); κομίζειν Mang. εἰς τὸ ἱερὸν ante μὴ κομίζειν transp. A, om. H ἱερὸν θεοῦ Arm 13 τό γε RF Vind.: γε τὸ AHD (v) καθ' ἑαυτὸ Vind., κατ' αὐτὸ D ἔνοχον] ἐναγὲς coni. Mang. διὰ om. D λαβοῦσαν] βαλοῦσαν coni. Mang. 14 σχολὴ F γ' ἂν RAH: γὰρ F (v) ἔτι] εἰ AH προσοῖτό RF: πρόσοιτό AH (Mang.); προσεῖτό Turn. 15 καὶ τὰ om. AH 16 τοῖς] ταῖς H

---

10. 11 cf. *Zeno* frg. 158 Pearson (215 Arnim) ap. Sen. de ira I 16,7 nam, ut dixit Zeno, in sapientis quoque animo, etiam cum vulnus sanatum sit, cicatrix manet. sentiet itaque suspiciones quasdam et umbras affectuum; ipsis quidem carebit. 12—14 D[R] fol. 41[v] Φίλωνος εἰς τὸν δεκάλογον (sic), D[H] fol. 129[r] Φίλωνος: μίσθωμα πόρνης εἰσκομίζειν εἰς τὸ ἱερὸν ἀπηγόρευσεν ὁ νομοθέτης· καίτοι γε τὸ νόμισμα — δέδοται. Vind. hist. gr. 67 fol. 60[r]: μίσθωμα πόρνης οὐ θέμις τὸν ἱερέα εἰς τὸ ἱερὸν εἰσκομίζειν· καίτοι τοὺς (sic pro τό γε) νόμισμα — δέδοται.

(9.) Τὰ μὲν οὖν περὶ γάμον οὕτως ἠκρίβωται τῷ ἀρχιερεῖ, ὥστ' 105
οὐδὲ χήραν ἐφεῖται γαμεῖν αὐτῷ, οὔτε τετελευτηκότος ἀνδρὸς μονωθεῖσαν
οὔτε ἀπηλλαγμένην ἔτι ζῶντος, ἵνα πρῶτον μὲν εἰς ἄβατον καὶ καθαρὰν
ἄρουραν ὁ ἱερὸς σπόρος χωρῇ καὶ μηδεμίαν κρᾶσιν αἱ γοναὶ πρὸς ἑτέραν
οἰκίαν λαμβάνωσιν, εἶτα δ' ὅπως ἀκακωτάταις καὶ ἀδιαστρόφοις ταῖς
229 M. ψυχαῖς συνερχόμενοι ῥᾳδίως διαπλάττωσι τὰ | ἤθη καὶ τοὺς τρόπους
αὐτῶν· ὁλκοὶ γὰρ καὶ εὐάγωγοι διάνοιαι παρθένων πρὸς ἀρετήν, εἰς διδα-
σκαλίαν ἑτοιμόταται· ἡ δ' ἑτέρου πεῖραν ἀνδρὸς λαβοῦσα κατὰ τὸ εἰκὸς 106
ἀπειθεστέρα πρὸς μάθησιν, ἅτε τὴν ψυχὴν ἀκραιφνεστάτην οὐκ ἔχουσα
καθάπερ τινὰ λελειασμένον κηρὸν εἰς τρανότητα τῶν ἐγγραφησομένων
δογμάτων, ἀλλὰ τραχεῖαν ὑπὸ τῶν προεγχαραχθέντων τύπων, οἳ δυσ-
εξάλειπτοι παραμένοντες ἢ οὐ παραδέχονται σφραγῖδας ἑτέρας ἢ παραδεξά-
μενοι συγχέουσι ταῖς ἑαυτῶν ἀνωμαλίαις. παρθένον οὖν ὁ ἀρχιερεὺς 107
ἀγέσθω γάμων ἁγνήν· λέγω δὲ παρθένον οὐ μόνον ᾗ μὴ ἕτερος ὡμίλησεν,
ἀλλὰ καὶ ἐφ' ᾗ μηδεὶς ἄλλος ἀνὴρ ὠνομάσθη διά τινων ὁμολογιῶν,
κἂν ἁγνεύῃ τὸ σῶμα.

(10.) Τοῖς δὲ κατὰ μέρος ἱερεῦσι τὰ μὲν ἄλλα περὶ γάμων δια- 108
τέτακται ταὐτὰ ἃ καὶ τοῖς τὴν μεγίστην ἔχουσιν ἱερωσύνην, ἐφεῖται δ'
οὐ μόνον παρθένους ἀλλὰ καὶ χήρας, οὐ πάσας ἀλλ' ὧν τετελευτήκασιν
ἄνδρες, μετ' ἀδείας ἄγεσθαι. φιλονεικίας γὰρ καὶ στάσεις ἐκ τοῦ βίου
τῶν ἱερέων οἴεται δεῖν ὁ νόμος ἀναιρεῖν· πρὸς μὲν οὖν τοὺς ζῶντας
γένοιντ' ἂν ἴσως ἔριδες ἐκ πάθους γυναικείου, ζηλοτυπίας, τοῖς δ' ἀπο-

1 μὲν οὖν] δὲ F (fort. recte) γάμον R: γάμου FAH (v) 2 ἐφεῖται RF: ἐφίεται AH (Mang.) οὔτε F: οὐδὲ RAH (v) 3 οὔτε R: οὔτ' FAH; οὔτ' ἂν Mang. 4 ἄρουραν om. Arm ἱερὸς] ἴδιος AH χωρῇ R: χώρει F, χωρήσῃ AH (Turn.) 5 οἰκίαν] οἰκείαν AH, ὁμιλίαν Arm ἀκακωτάτοις RF (ἀκακωτάταις scripsi): ἀκακώτοις AH (v) 7 αὐτῶν Turn. γὰρ Arm (coni. Mang.): δὲ RF, om. AH ⟨καὶ⟩ εἰς coni. Mang. 10 λελιασμένον F, λελεγμένον (?) Arm 11 ἐγχαραχθέντων AH 11. 12 ἀνεξάλειπτοι AH 12 παραμένοντες RF: περιμένοντες AH (v) 12. 13 παραδεχόμενοι AH 13 συγχέουσι] οὐκ ἐῶσι Arm 13. 14 ἀγέσθω ὁ ἀρχιερεὺς transp. F 14 ἀγέσθω —παρθένον om. Arm γάμων RF (coni. Mang.): γάμω A, γάμου H ἀγνῶν F δὲ R (sic scripseram): δὴ FAH (v) μὴ ἕτερος RF: ἕτερος οὐχ AH; μὴ ἕτερος οὐχ v 15 μηδεὶς RF: οὐδεὶς AH ὠνομάσθη ἢ F 18 τὰ αὐτὰ F ἐφίεται Mang. 19 οὐχ ἁπάσας F 20 μετὰ AH 21 τῶν] τοῦ F (Turn.) 22 γένοιντ' ἂν ἴσως RF: ἴσως γένοιντ' ἂν AH (Turn.)

2 Lev. 21,14. cf. *Ioseph. Ant. Iud. III § 277* 17 Lev. 21,7. cf. *Ioseph. Ant. Iud. III § 276.*

θανοῦσι συναποθνήσκει καὶ τὰ τῆς πρὸς τοὺς δευτέρους ἄνδρας ἔχθρας.
109 ἄλλως τε τὸν ἀρχιερέα πλείονος ἐδικαίωσεν ἁγιστείας καὶ καθάρσεως
ὥσπερ ἐν ἅπασι τοῖς ἄλλοις καὶ ἐν γάμου κοινωνίᾳ μεταλαχεῖν, οὐκ
ἐάσας ὅτι μὴ κόρην ἄγεσθαι· τοῖς δὲ τῆς δευτέρας τάξεως ὑπανῆκε τὰ
περὶ συνόδους γυναικῶν, ἐφιεὶς καὶ πεπειραμένας ἑτέρων ἀνδρῶν ἐγγυᾶ-
110 σθαι. (11.) πρὸς δὲ τούτῳ καὶ τὸ γένος ἠκρίβωσε τῶν μελλουσῶν
γαμεῖσθαι, προστάξας τῷ μὲν ἀρχιερεῖ μνᾶσθαι μὴ παρθένον μόνον
ἀλλὰ καὶ ἱέρειαν ἐξ ἱερέων, ἵν' ἐκ μιᾶς οἰκίας καὶ τρόπον τινὰ τοῦ αὐτοῦ
αἵματος ὦσι νυμφίος τε καὶ νύμφη πρὸς ἁρμονίαν ἐπιδειξάμενοι παρ'
111 ὅλον τὸν βίον κρᾶσιν ἠθῶν βεβαιοτάτην. ἐπετράπη δὲ τοῖς ἄλλοις καὶ
μὴ ἱερέων γαμεῖν θυγατέρας, τῇ μὲν ὅτι μικρὰ τούτων καθάρσια, τῇ
δ' ὅτι τὸ ἔθνος οὐκ ἐβουλήθη γενεᾶς εἰς ἅπαν ἱερατικῆς ἀμοιρῆσαί τε
καὶ παντελῶς ἀπεζεῦχθαι. δι' ἣν αἰτίαν οὐκ ἐκώλυσε τοὺς ἄλλους ἱερέας
ἐπιγαμίας ποιεῖσθαι πρὸς τοὺς ἀπὸ τοῦ ἔθνους, | αἵπερ εἰσὶ δεύτεραι p. 230
συγγένειαι· γαμβροὶ γὰρ ἀνθ' υἱῶν πενθεροῖς καὶ ἀντὶ πατέρων γαμβροῖς
πενθεροί.
112 (12.) Τὰ μὲν δὴ περὶ γάμου ταῦτα καὶ τὰ τούτοις ὅμοια χάριν
παίδων γενέσεως. ἐπεὶ δ' ἕπεται γενέσει φθορά, καὶ τοὺς ἐπὶ τελευταῖς
ἀνέγραψε τοῖς ἱερεῦσι νόμους, κελεύσας μὴ ἐφ' ἅπασιν αὐτοὺς μιαίνεσθαι
τοῖς ὁπωσοῦν ἢ κατὰ φιλίαν ἢ κατὰ συγγένειαν ᾠκειωμένοις, ἀλλ' ἐπὶ
μόνοις πατράσι καὶ μητράσιν, υἱοῖς καὶ θυγατράσιν, ἀδελφοῖς καὶ ἀδελφαῖς
113 παρθένοις. τὸν δ' ἀρχιερέα παντὸς πένθους ὑπεξείλετο· καὶ μήποτ'
εἰκότως· τὰς μὲν γὰρ τῶν ἄλλων ἱερέων ὑπηρεσίας ἀνθ' ἑτέρων ἕτεροι
λειτουργεῖν δύνανται, ὡς, κἂν πενθῶσί τινες, μηδὲν τῶν ἐξ ἔθους ὑστε-

---

1 τὰ τῆς ... ἔχθρας RF: ἡ ... ἔχθρα AH (v) 2 καθάρσεως] κρίσεως AH 3 ἐν γάμῳ κοινωνίαν F 4 ὅτι] εἰ AH τῆς om. RF τάξεως om. AH ἐπανῆκε F (Turn.) 5 συνόδους R: συνόδου FAH (v) ἐφεὶς F ἑτέρων ἀνδρῶν RF: ἀνδρῶν ἑτέρων AH (v) ἐγγυᾶσθαι] μνᾶσθαι AH 7 παρθένον μόνον RF Arm: γυναῖκα παρθένον μόνον AH; μόνον γυναῖκα παρθένον Turn., μόνον παρθένον γυναῖκα Mang. 8 ἵνα AH 9 ἐπιδειξάμενοι codd.: ἐπιδειξόμενοι v 10 δὲ] δὲ καὶ R 12 τε om. AH (Turn.) 13 ἀπεζεῦχθαι scripsi: ἀποζεῦξαι codd. (v) 18 τελεταῖς (sic) R 20 ᾠκειωμένους H 21 μόνοις] μόνοις ἐξ F (v) pr. καὶ] ἢ F υἱοῖς καὶ θυγατράσιν om. R 22 ἅπαντος F πένθους v: πάθους codd. ὑπεξεῖλατο A 23 γὰρ om. AH ἱερέων om. AH 24 λειτουργοὶ H μηδὲ AH ! ἔθνους L (Turn.)

---

8 Lev. 21,13. cf. *Ioseph. Ant. Iud. III § 277* τὸν ἀρχιερέα μέντοι οὐδὲ τεθνηκότος ἀνδρὸς ἠξίωσε γυναῖκα λαβεῖν, τοῦτο τοῖς ἄλλοις ἱερεῦσι συγχωρῶν, μόνην δ' αὐτῷ (αὐτὸν?) γαμεῖν παρθένον καὶ ταύτην φυλάττειν (φυλέτιν recte coni. Mang.). *c. Ap. I § 30. 31*
19 sqq. Lev. 21,1—3. Ezech. 44,25. cf. *Ioseph. l. l.* 22 Lev. 21,11. cf. *Ioseph. l. l.*

ρίζειν, τὰς δὲ τοῦ ἀρχιερέως οὐδενὶ δρᾶν ἐφεῖται. παρ' ἣν αἰτίαν ἀμί-
αντος ἀεὶ διατελείτω μὴ προσαπτόμενος νεκροῦ σώματος, ὅπως τὰς ὑπὲρ τοῦ
ἔθνους εὐχὰς καὶ θυσίας ἕτοιμος ὢν ἐν καιροῖς τοῖς προσήκουσιν ἀκωλύτως
ἐπιτελῇ. καὶ γὰρ ἄλλως προσκεκληρωμένος θεῷ καὶ τῆς ἱερᾶς τάξεως 114
γεγονὼς ταξίαρχος ὀφείλει πάντων ἀλλοτριοῦσθαι τῶν ἐν γενέσει, μὴ
γονέων, μὴ τέκνων, μὴ ἀδελφῶν εὐνοίας οὕτως ἡττώμενος, ὡς ἢ παρελ-
θεῖν ἢ ὑπερθέσθαι τι τῶν ὁσίων, ὃ πραχθῆναι πάντως αὐτίκα ἄμεινον.
κελεύει δὲ μήτε τὰ ἱμάτια περιρρήττειν ἐπὶ τοῖς οἰκειοτάτοις ἀποθανοῦσι 115
μήτε ἀφαιρεῖν ἀπὸ τῆς κεφαλῆς τὰ παράσημα τῆς ἱερωσύνης μήτε συνόλως
ἐκ τῶν ἁγίων ἐξιέναι κατὰ πρόφασιν πένθους, ἵνα καὶ τὸν τόπον αἰδού-
μενος καὶ τὰ περὶ ἑαυτὸν προκοσμήματα οἷς ἀνέστεπται, κρείττων οἴκτου
γενόμενος, ἄλυπος εἰς ἀεὶ διατελῇ. βούλεται γὰρ αὐτὸν ὁ νόμος μείζονος 116
μεμοιρᾶσθαι φύσεως ἢ κατ' ἄνθρωπον, ἐγγυτέρω προσιόντα τῆς θείας,
μεθόριον, εἰ δεῖ τἀληθὲς λέγειν, ἀμφοῖν, ἵνα διὰ μέσου τινὸς ἄνθρωποι
μὲν ἱλάσκωνται θεόν, θεὸς δὲ τὰς χάριτας ἀνθρώποις ὑποδιακόνῳ τινὶ
χρώμενος ὀρέγῃ καὶ χορηγῇ.

(13.) Ταῦτ' εἰπὼν ἑξῆς εὐθὺς νομοθετεῖ περὶ τῶν χρησομένων ταῖς 117
ἀπαρχαῖς. ἐὰν οὖν τις, φησί, τῶν ἱερέων ὀφθαλμοὺς ἢ χεῖρας ἢ βάσεις
ἤ τι μέρος ἄλλο πηρωθῇ τοῦ σώματος ἢ καί τινα μῶμον ἐνδέξηται,
λειτουργιῶν μὲν ἀνεχέτω διὰ τὰς ἐγγενομένας κῆρας, τὰ δὲ κοινὰ τῶν
ἱερέων γέρα καρπούσθω διὰ τὴν ἀνυπαίτιον εὐγένειαν. ἐὰν μέντοι λέ- 118
πραι τινὸς ἐξανθήσασαι κατάσχωσιν ἢ καὶ γονορρυής τις γένηται τῶν
ἱερέων, μήτε τραπέζης ἱερᾶς ψαυέτω μήτε τῶν προκειμένων ἄθλων τῷ
γένει, μέχρις ἂν ἥ τε ῥύσις ἐπίσχῃ καὶ ἡ λέπρα μεταβαλοῦσα τῷ τῆς
ὑγιοῦς σαρκὸς ἐξομοιωθῇ χρώματι. κἂν προσάψηται μέντοι τις ὅτου 119

1 τάς F: τὰ RAH (Turn.) ἐφεῖται codd.: ἐφίεται Mang. 3 ἔθνους RAH Arm: κόσμου F (v) 4 alt. καὶ] ἐκ R 6 μηδὲ ἀδελφῶν AH (Turn.) 7 ὁσίων F Arm: θείων R, ὄντων AH (Turn.) 8 ἱμάτια RF: εἵματα AH (v) 9 μήτε R: μήτ' FAH ἀπὸ om. F 11 ἑαυτὸν RA: αὐτὸν FH προκοσμήματα F: κοσμήματα RAH ἂν ἔστεπται F 13 κατὰ AH 14 τἀληθῆ F 17 ἑξῆς εὐθὺς Turn.: ἑξῆς RF (Mang.), εὐθὺς AH 18 φησί τις transp. F 19 μέρος RF: μέλος AH (v) πηρωθῇ RF: παραπηρωθῇ AH (v) ἐνδείξηται AH (Turn.) 20 ἀνεχέτω RF: μὴ μετεχέτω AH (v) ἐγγινομένας AH (Turn.) κῆρας] λώβας AH κοινὰ] λοιπὰ AH 21 καρποῦσθαι H 22 τινὸς RF: τινὲς AH (v) καὶ om. AH 24 μεταβαλλοῦσα (sic) F 25 ὑγιοῦς] ἄλλης (?) Arm ἐξωμοιωθῇ (sic) FH

8 Lev. 21,10. 12 18 Lev. 21,17—23. cf. *Ioseph. Ant. Iud. III § 278. c. Ap. I § 284* 21 sqq. Lev. 22,4—7.

δήποτε τῶν | ἀκαθάρτων ἱερεὺς ἢ καὶ νύκτωρ, οἷα φιλεῖ πολλάκις, p. 231
ὀνειρώξῃ, τὴν ἡμέραν ἐκείνην μηδὲν προσφερέσθω τῶν καθιερωθέντων,
120 λουσάμενος δ' ἐπιγενομένης ἑσπέρας χρῆσθαι μὴ κεκωλύσθω. πάροικος
δ' ἱερέως καὶ μισθωτὸς εἰργέσθω τῶν ἀπαρχῶν, ὁ μὲν πάροικος, ἐπειδὴ
γείτονες τὰ πολλὰ συνέστιοι καὶ ὁμοτράπεζοι· δέος γάρ, μὴ προῆταί τις
τὰ καθιερωθέντα προφάσει καταχρησάμενος εἰς ἀσέβειαν ἀκαίρῳ φιλαν-
θρωπίᾳ· μεταδοτέον γὰρ οὐ πᾶσι πάντων, ἀλλὰ τῶν ἐφαρμοζόντων τοῖς
λη(ψ)ομένοις· εἰ δὲ μή, τὸ κάλλιστον καὶ λυσιτελέστατον τῶν ἐν τῷ βίῳ,
τάξις, ἀναιρεθήσεται ὑπὸ τοῦ βλαβερωτάτου παρευημερηθεῖσα, συγχύσεως.
121 εἰ γὰρ ἴσον μὲν μέρος ἐν ὁλκάσιν οἴσονται ναῦται κυβερνήταις, ἴσον δὲ
ἐν ταῖς μακραῖς τριήρεσι τριηράρχοις καὶ ναυάρχοις ἐρέται καὶ τὸ ἐπι-
βατικόν, ἐν δὲ στρατοπέδοις ἴσον ἱππεῖς μὲν ἱππάρχοις, ὁπλῖται δὲ
ταξιάρχοις, λοχαγοὶ δὲ στρατηγοῖς, ἐν δὲ πόλεσι κρινόμενοι δικασταῖς
καὶ βουλευταὶ προβούλοις καὶ συνόλως ἄρχουσιν ἰδιῶται, ταραχαὶ καὶ
στάσεις γενήσονται καὶ ἡ ⟨διὰ⟩ λόγων ἰσότης τὴν δι' ἔργων ἀνισότητα
γεννήσει· τὸ γὰρ τοῖς τὰς ἀξίας ἀνομοίοις ὅμοια ἀπονέμειν ἄνισον,
122 τὸ δ' ἄνισον πηγὴ κακῶν. οὗ χάριν καὶ τὰ γέρα τῶν ἱερέων οὐ
δοτέον ὥσπερ ἄλλοις οὐδὲ τοῖς παροίκοις ἕνεκα τοῦ γειτνιᾶν ἐφαψο-
μένοις ὧν οὐ θέμις· οὐ γὰρ οἰκίας ἀλλὰ γένους ἐστὶν ἡ τιμή.
123 (14.) ὁμοίως μέντοι μηδὲ μισθωτῷ μηδεὶς παρεχέτω μήτε μισθὸν
μήθ' ὑπηρεσίας ἀμοιβὴν ἱερὸν γέρας· χρήσεται γὰρ ὁ λαβὼν ἔστιν ὅτε

1 καὶ om. AH 2 ὀνειρώξει H 3 δὲ AH ἐπιγινομένης F ἑσπέρας] ἡμέρας Arm 4 δὲ AH 5 γείτονες τὰ πολλὰ RF Arm: μὴ πάντες γείτονες AH (v) προῆταί] πρόηταί codd. (v) 6 καταχρησάμενος RF: χρησάμενος AH (v) 7 post γὰρ add. τούτων Arm 9 τοῦ βλαβερωτάτου R: τῆς βλαβερωτάτης FAHD (v) 10 μὲν μέρος scripsi: μὲν F Arm, μέρος RAH (v) δ' AH 11 τριήρεσι τριηράρχοις scripsi: τριήρεσι AHD (v), τριηράρχοις RF ναυάρχαις AH (v) 12 ἐν δὲ RF: ἔν τε AHD (v) μὲν ἱππεῖς transp. F ἱππάρχοις F: χιλιάρχοις RD, χιλιάρχαις AH 13 ταξιάρχαις AH (v) κρινόμενοι δικασταῖς RF: δικασταῖς κρινόμενοι AHD (v) 14 βουλευταὶ προβούλοις D: βουλευταῖς πρόβουλοι RF, βουλευταὶ AH προβούλοις—ἰδιῶται om. AH 15 διὰ λόγων scripsi: λόγων F (Turn.), λόγω RAHD (Mang.) 16 τοῖς om. D[P] 17 καὶ om. Arm τὰ γέρα RA: γέρα H (Turn.), τὰ γέρα τὰ F (Mang.) 18 ἄλλοις] ἀλλογενέσι coni. Mang. 18. 19 ἐφαψομένοις Turn. (R?): ἐφαψαμένοις FAH 19 γενῶν Arm 20 μισθωτὸν H μηδεὶς RAH: τις F Arm (Mang.) μισθῶν A 21 μήθ' RF: μήτε AH post ὅτε add. ἀνίερος F (v), om. RAH Arm

3. 4 Lev. 22,10 7—9 D[K] fol. 179[r] Φίλωνος ἐκ τῶν περὶ τοῦ ἱεροῦ (sic): μεταδοτέον οὐ πᾶσι—συγχύσεως. pergit lin. 16 7—17 D[P] fol. 334[r] Φίλωνος: μεταδοτέον οὐ πᾶσι—πηγὴ κακῶν. 16. 17 D[K] l. l. ἐκ τοῦ αὐτοῦ: τὰ ὅμοια τοῖς ἀναξίοις ἀπονέμειν ἄνισον, τὸ δὲ ἄνισον πηγὴ κακῶν.

πρὸς ἃ μὴ δεῖ, βέβηλα τὰ τῆς εὐγενείας ἆθλα καὶ τῆς περὶ τὸν νεὼν
λειτουργίας ἀπεργασάμενος. δι' ἣν αἰτίαν οὐδ' ἀλλογενεῖ συνόλως ὁ νόμος 124
ἐπιτρέπει μεταλαμβάνειν τῶν ἁγίων, κἂν εὐπατρίδης ὢν τυγχάνῃ τῶν
αὐτοχθόνων καὶ πρὸς ἀνδρῶν καὶ πρὸς γυναικῶν ἀνεπίληπτος [ὤν], ἵνα αἱ
τιμαὶ μὴ νοθεύωνται, μένωσι δ' ἐν τῇ ἱερατικῇ τάξει βεβαίως φυλαττό-
μεναι. καὶ γὰρ ἄτοπον τὰς μὲν θυσίας καὶ ἱερουργίας καὶ ὅσα ἄλλα περὶ 125
τὸν βωμὸν ἁγιστεύεται μὴ πᾶσιν ἀλλὰ τοῖς ἱερεῦσι μόνοις ἐπιτετράφθαι,
τὰ δὲ ἀντὶ τούτων ἆθλα κοινὰ γίνεσθαι καὶ τῶν ἐπιτυχόντων, ὡς δέον μὲν
πόνοις πολλοῖς καὶ καμάτοις καὶ ταῖς μεθ' ἡμέραν καὶ νύκτωρ φροντίσιν
ἀποτρύχειν τοὺς ἱερέας, τὰ δ' ἆθλα κοινὰ καὶ τοῖς ἀργοῦσιν ἀποφαίνειν.
οἰκογενεῖ δέ, φησίν, καὶ ἀργυρωνήτῳ μεταδιδότω δεσπότης ἱερεὺς σιτίων 126
καὶ ποτῶν ἐκ τῶν ἀπαρχῶν· πρῶτον μὲν ὅτι θεράποντι πόρος εἷς ὁ
δεσπότης, ὁ δὲ τοῦ δεσπότου κλῆρος αἱ ἱεραὶ φιλανθρωπίαι, ἐξ ὧν ἀνάγκη
τὸν δοῦλον τρέφεσθαι· δεύτερον δ' ὅτι τὰ γενησόμενα πάντως ἀνάγκη 127
δρᾶν ἑκόντας· οἱ δ' οἰκέται, κἂν μὴ θέλωμεν, ἅτε ἀεὶ συνόντες καὶ
232 M. συνδιαιτώμενοι, σιτία | τε καὶ ποτὰ καὶ ὄψα τοῖς δεσπόταις προευτρεπι-
ζόμενοι καὶ τραπέζαις ἐφεστῶτες καὶ τὰ λείψανα ἐκκομίζοντες, κἂν μὴ
φανερῶς λαμβάνωσι, λάθρα γοῦν ὑφαιρήσονται, κλέπτειν ὑπὸ τῆς ἀνάγκης
βιασθέντες, ὡς ἀνθ' ἑνὸς ἐγκλήματος, εἴπερ ἐστὶν ἀδίκημα τὸ ἐκ τῶν
δεσποτικῶν τρέφεσθαι, καὶ ἕτερον προσκατασκευάζεσθαι, κλοπήν, ἵνα οἷα
φῶρες πρὸ τῶν ἀνυπαιτίως ζώντων ἀπολαύσωσι τῶν καθιερωθέντων,
ὅπερ ἐστὶν ἀτοπώτατον· τρίτον κἀκεῖνο χρὴ λογίζεσθαι, ὅτι τὰ τῶν 128
ἀπαρχῶν οὐ παρόσον ἐπινέμεται τοῖς οἰκέταις ὀλιγωρηθήσεται, διὰ τὸν
δεσποτικὸν φόβον· ἱκανὸς γὰρ οὗτος ἐπιστομίζειν τήν τινων εὐχέρειαν
ῥᾳθυμεῖν οὐκ ἐφιείς.

---

2 ἀπεργασάμενος] ποιησάμενος AH   ἀλλογενῆ F[1]   3 ἐπιτρέπεται AH   4 alt. πρὸς om. FA   πρὸς γυναικῶν καὶ πρὸς ἀνδρῶν transp. Arm   ὢν secl. Mang.   ἵν' F   5 μείνωσι AH   6 ὅσ' F   8 ἀντὶ τούτων] ἐπὶ τούτοις AH   post ὡς add. οὐ F (Mang.)   8. 9 δέον μὲν πόνοις F: δέον πόνοις μὲν AH, μὲν om. R; μὲν δέον πόνοις Mang.   9 μεθ'] καθ' AH   12 θεράποντι πόρος] θεράποντος πόθος AH   14 ⟨καὶ⟩ τὸν δοῦλον coni. Mang.   15 δρᾶν ἑκόντας RF Arm: χρὴ δρᾶν ἑκόντας AH; μὴ δρᾶν ἄκοντας v   ἐθέλωμεν AH   19 ὡς] ὡς ἂν F   ἐγκλήματος RF Arm: ἀδικήματος AH (Mang.)   20 δεσποτῶν R (ut vid.)   ἕτερον F (coni. Mang.): ἑτέραν RAH (v)   προσκατασκευάζεσθαι R: προκατασκευάζεσθαι F, προσπαρασκευάζεσθαι AH (v)   20. 21 οἷα φῶρες RAH: φωρὸς F (v)   21 πρὸ τῶν Mang.: πρὸς τῶν AH, τρόπον RF; (φωρὸς) τρόπον πρὸς τῶν v   22 χρὴ κἀκεῖνο transp. F   23 ἀπονέμεται AH   24 οὗτος] ὁ αὐτὸς F

---

2 Lev. 22,10   11 Lev. 22,11.

129 (15.) Ταῦθ᾽ ὑπειπὼν φιλανθρωπίας μεστὸν νόμον ἑξῆς ἀναγράφει.
ἐὰν θυγάτηρ, φησίν, ἱερέως γημαμένη μὴ ἱερεῖ χηρεύσῃ, τελευτήσαντος
ἀνδρὸς ἢ καὶ ἔτι ζῶντος, ἄπαις καταλειφθεῖσα, πάλιν ἐπὶ τὸν πατρῷον
οἶκον ἐπανερχέσθω μεταληψομένη τῶν ἀπαρχῶν, ὧν καὶ ἡνίκα παρθένος
ἦν ἐκοινώνει· τρόπον γάρ τινα καὶ νῦν ἐστι δυνάμει παρθένος ἡ καὶ
ἀνδρὸς καὶ παίδων ἔρημος, οὐδεμίαν ἑτέραν ἔχουσα καταφυγὴν ὅτι μὴ
130 τὸν πατέρα. υἱῶν δὲ ὄντων ἢ θυγατέρων, ἀνάγκη τὴν μητέρα τοῖς
τέκνοις συντετάχθαι· υἱοὶ γὰρ καὶ θυγατέρες τῆς τοῦ γεννήσαντος οἰκίας
ὄντες εἰς ταύτην συνεφέλκονται καὶ τὴν μητέρα.

Γέρα ἱερέων.

131 (1.) Τοῖς ἱερεῦσιν οὐκ ἀπένειμε χώρας ἀποτομὴν ὁ νόμος, ἵν᾽ ὡς
ἕτεροι τὰς ἀπὸ τῆς γῆς καρπούμενοι προσόδους τῶν ἀναγκαίων εὐπο-
ρῶσιν, ἀλλ᾽ ὑπερβολῇ χρησάμενος τιμῆς τὸν θεὸν ἔφη κλῆρον αὐτῶν
εἶναι (Num. 18,20. Deut. 18,2), κατ᾽ ἀναφορὰν τὴν ἐπὶ τὰ καθιερού-
μενα, δυεῖν ἕνεκα, τῆς τε ἀνωτάτω τιμῆς, ἐπεὶ κοινωνοὶ τῶν κατ᾽ εὐχα-
ριστίαν ἀπονεμομένων γίνονται θεῷ, καὶ τοῦ περὶ μόνα πραγματεύεσθαι δεῖν
132 τὰ περὶ τὰς ἁγιστείας ὥσπερ τινὰς κλήρων ἐπιμελητάς. ἃ δὲ | προτίθησιν p. 233 M
ἆθλα καὶ ἀριστεῖα ταῦτ᾽ ἐστί. πρῶτον μὲν ἄπονον καὶ ἀταλαίπωρον
τροφὴν ἑτοίμην· κελεύει γὰρ τοὺς σιτοπονοῦντας ἀπὸ παντὸς στέατός τε
καὶ φυράματος ἄρτον ἀφαιρεῖν ἀπαρχὴν εἰς ἱερέων χρῆσιν, προνοούμενος
ἅμα καὶ τῆς εἰς εὐσέβειαν ἀγούσης ὁδοῦ νομίμῳ διδασκαλίᾳ τῶν ἀφαι-
133 ρούντων. ἐθιζόμενοι γὰρ ἀεὶ καὶ τῆς ἀναγκαίας τροφῆς ἀπάρχεσθαι τὴν
θεοῦ μνήμην ἄληστον ἕξουσιν, οὗ μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν.

---

2 φησίν] μὲν F μὴ om. F Arm 3 ἀνδρὸς RFH: τοῦ ἀνδρὸς A (v) καταληφθεῖσα H 4 ἐπανερχέσθω RF: ἀνερχέσθω AH (v) καὶ om. L (Turn.) 5 ἡ RFA: εἰ H (v) 7 δ᾽ F 8 γὰρ scripsi: δὲ codd. 9 συνεφέλκονται RF: συνυφέλκονται AH (v) 10 tit. γέρα ἱερέων RF: τίνα γέρα ἱερέων A, τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ τοῦ τίνα γέρα ἱερέων H, περὶ ἱερέων Arm 12 τὰς] τὰ F τῆς om. F 13 τιμῆς om. F 14 κατὰ AH 15 δυεῖν RF: δυοῖν AH τ᾽ F 16 δεῖν RA Arm: δ spat. 1—2 litt. F, δὴ H (v) 17 τὰς] τῆς AH 18 ἄπονον— παντὸς (19) om. AH 19 ἑτοίμην τροφὴν transp. R 20 ἄρτον] ἄρτου Arm, ἄρτιον AH 21 ἅμα om. F διδασκάλῳ AH 22 καὶ om. F ἄρχεσθαι AH

---

2 Lev. 22,13 19 Num. 15,19—21. 18,11. cf. *Ioseph. Ant. Iud. IV § 71* ... τούς τε πέττοντας τὸν σῖτον καὶ ἀρτοποιουμένους τῶν πεμμάτων αὐτοῖς τινα χορηγεῖν.

πολυανθρωποτάτου δ' ἔθνους ἀναγκαῖον εἶναι καὶ τὰς ἀπαρχὰς ἀφθόνους,
ὡς καὶ τὸν ἀπορώτατον τῶν ἱερέων ἕνεκα περιουσίας τροφῶν εὐπορώ-
τατον δοκεῖν εἶναι. δεύτερον δὲ προστάττει καὶ ἀπὸ τῆς ἄλλης ἁπάσης 134
κτήσεως ἀπάρχεσθαι, καθ' ἑκάστην μὲν ληνὸν οἶνον, καθ' ἑκάστην δ'
ἅλωνα σῖτόν τε καὶ κριθήν, ὁμοίως δ' ἐξ ἐλαιῶν ἔλαιον καὶ ἀπὸ τῶν
ἄλλων ἀκροδρύων ἡμέρους καρπούς, ἵνα μὴ τἀναγκαῖα μόνον ἔχοντες
αὐχμηρότερον ἀποζῶσιν, ἀλλὰ καὶ τῶν πρὸς ἁβροδίαιτον βίον εὐποροῦντες
ἱλαρώτερον ἐξ ἀφθόνων τρυφῶσι μετὰ κόσμου τοῦ προσήκοντος. τρίτον 135
ἐστὶ γέρας τὰ πρωτότοκα ἀρρενικὰ πάντα τῶν χερσαίων ὅσα πρὸς ὑπη-
ρεσίαν καὶ χρῆσιν ἀνθρώπων· ταῦτα γὰρ κελεύει διαδίδοσθαι τοῖς ἱερεῦσι,
βοῶν μὲν καὶ προβάτων καὶ αἰγῶν αὐτὰ τὰ ἔκγονα, μόσχους καὶ κριοὺς
καὶ χιμάρους, ἐπειδὴ καθαρὰ καὶ πρὸς ἐδωδὴν καὶ πρὸς θυσίας ἐστί
τε καὶ νενόμισται, λύτρα δὲ τῶν ἄλλων κατατιθέναι, ἵππων καὶ ὄνων
καὶ καμήλων καὶ τῶν παραπλησίων, μὴ μειοῦντας τὴν ἀξίαν. ἔστι δὲ 136
καὶ ταῦτα παμπληθῆ· κτηνοτροφοῦσι γὰρ καὶ ζῳοτροφοῦσιν ἐν τοῖς
μάλιστα οἱ ἀπὸ τοῦ ἔθνους αἰπόλια καὶ βουκόλια καὶ ποίμνας καὶ μυρίας
ἄλλας ἀγέλας παντοδαπῶν ζῴων ἐκνέμοντες. ἤδη μέντοι καὶ προσυπερ- 137
βάλλων ὁ νόμος οὐ μόνον ἀπὸ τῆς κτήσεως καθ' ἑκάστην ἰδέαν ἀπάρ-
χεσθαι προστάττει, ἀλλὰ καὶ ἀπὸ τῶν οἰκείων ψυχῶν τε καὶ σωμάτων·
μέρη γὰρ διαιρετὰ γονέων παῖδές εἰσιν, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν,

---

1 δὲ AH   2 τῶν ἀπορωτάτων H   3 εἶναι δοκεῖν transp. F   ἄλλης om. Arm   3.4 κτήσεως πάσης transp. AH   4 καθ' ἑκάστην δ'] τὴν δ' AH (Turn.)   5 τε] μὲν AH   κριθὰς AH (Turn.)   ἐξ ἐλαιῶν ἔλαιον καὶ om. F Arm   6 ἄλλων om. Arm.   τὰ ἀναγκαῖα AH   7 τῶν] τὸν H   8 τρυφῶσιν R   9 πρωτότοκ' F   post ἀρρενικὰ add. καὶ AH (v)   9.10 ὑπηρεσίαν codd.: ὑπηρεσίας v   10 δίδοσθαι AH   ἱερεῦσι] ἱερωμένοις ἀνθρώποις H (v), ἱερουμένοις ἀνθρώποις A   12 καὶ πρὸς θυσίας RF: καὶ θυσίαν AH (Turn.)   13 κατατιθέναι τῶν ἄλλων transp. AH (v)   14 μὴ μειοῦντας τὴν ἀξίαν om. Arm   16 μάλισθ' F   17.18 προσυποβάλλων A   18 τῆς om. F   19 προστέταχεν AH (v)   τε om. AH (v)

---

3 Exod. 22,29. 34,26. Num. 18,13. Deut. 18,4. 26,2sqq. cf. *Ioseph. Ant. Iud. IV § 70* ἔτι δὲ ἀπαρχὰς τὸν λαὸν δίκαιον τῷ θεῷ πάντων τῶν ἐκ τῆς γῆς φυομένων καρπῶν ἐπιφέρειν.   9 Exod. 13,2. 12. 22,30. 34,19. 20. Lev. 27,26. 27. Num. 18,15. 17. Deut. 15,19. cf. *Ioseph. l. l.* καὶ τῶν τετραπόδων δὲ τῶν εἰς τὰς θυσίας νενομισμένων τὸ γεννηθὲν πρῶτον, ἂν ἄρσεν ᾖ, καταθῦσαι παρασχεῖν τοῖς ἱερεῦσιν, ὥστε αὐτοὺς πανοικὶ σιτεῖσθαι ἐν τῇ ἱερᾷ πόλει. (71) τῶν δ' οὐ νενομισμένων ἐσθίειν παρ' αὐτοῖς κατὰ τοὺς πατρίους νόμους τοὺς δεσπότας σίκλον καὶ ἥμισυ αὐτοῖς ἀναφέρειν, ἀνθρώπου δὲ πρωτοτόκου πέντε σίκλους.

[illegible] συγγενικοῦ [illegible] λόγους [illegible] ἀοράτοις εἴδεσιν. εἰς ἐκγόνους [illegible] τε ἐνωτικῆς εὐνοίας καὶ [illegible]
138 ἡρμοσμένοι. [illegible] ὅπως καὶ τούτων τῶν πρωτοτόκων [illegible] τρόπον ὑπὲρ τῆς κοινωνοῦ γὰρ [illegible] εὐτεκνίας καὶ εὐγονίας αὐτῆς τε καὶ ἐλπιζομένων καὶ [illegible] οὐ μόνον ἀμέμπτους ἀλλὰ καὶ σφόδρα ἐπαινετοὺς εἶναι τοὺς γάμους. ἐξ ὧν ὁ πρῶτος βλαστήσας καρπὸς καθιεροῦται· ὅπως γὰρ ἁρμοζομένους καὶ ἄνδρας καὶ γυναῖκας σωφρονοῦντας καὶ οἰκουροῦσας καὶ ἡνωμένας παρέχεσθαι καὶ συμπνέοντας ἀλλήλοις ἔν τε λόγῳ
139 καὶ ἔργῳ τὴν [illegible] κοινωνίαν ἀληθείᾳ παγίως βεβαιοῦσθαι. τῆς δὲ τῶν πρωτοτόκων υἱῶν καθιερώσεως, ὑπὲρ τοῦ μήτε γονεῖς τέκνων p. 23 μήτε τέκνα γονέων διαζεύγνυσθαι, τιμᾶται τὴν ἀπαρχὴν ἀργυρίῳ ῥητῷ, προστάξας ἴσον εἰσφέρειν καὶ πένητα καὶ πλούσιον, οὐ πρὸς ἀξίωμα τῶν εἰσφερόντων οὐδὲ πρὸς εὐεξίαν καὶ κάλλος τῶν γεννηθέντων ἀπιδών, ἀλλ'
140 ὅσον δυνατὸν εἰσενεγκεῖν καὶ τῷ λίαν ἀπόρῳ σταθμησάμενος. ἐπειδὴ γὰρ ἡ παίδων γένεσις ἐν ἴσῳ καὶ τοῖς λαμπροτάτοις καὶ τοῖς ἀφανεστάτοις εἴωθε συμβαίνειν, ἴσην ἐδικαίωσε καὶ τὴν εἰσφορὰν νομοθετῆσαι
141 στοχασάμενος, ὡς ἔφην, μάλιστα τοῦ πᾶσι δυνατοῦ. (2.) μετὰ δὲ ταῦτα καὶ ἄλλον πόρον οὐ βραχὺν ἐπινέμει τοῖς ἱερεῦσιν, ἕκαστον τῶν προσόδων ἀπάρχεσθαι κελεύσας ἀπό τε σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ ἔτι θρεμμάτων ἐπιγονῆς κατά τε ποίμνας καὶ βουκόλια καὶ αἰπόλια καὶ τὰς ἄλλας ἀγέλας. ὅση δὲ καὶ τούτων ἐστὶν
142 ἀφθονία, τεκμήραιτ' ἄν τις ἐκ τῆς περὶ τὸ ἔθνος πολυανθρωπίας. ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν, ὅτι βασιλέων σεμνότητα καὶ τιμὴν περιάπτει

1 λόγους—εἴδεσιν] τοῖς προγόνων ἀοράτοις εἴδεσιν coni. Mang.   ἀοράτοις εἴδεσιν RL²: ἀοράτοις εἴδεσιν AH, ἀοράτοις (om. εἴδεσιν) F Arm.   2 ἐγγόνους R   τ' F   ἐννοίας Arm   4 εὐγονίας καὶ εὐτεκνίας transp. F   5 σφόδρ' F   6 εἶναι post ἀμέμπτους 5 transp. AH (Turn.)   βλαστήσας F: βλαστήσει R, βλαστὸς ἢ AH, βλαστὸς ἢ καὶ Arm   7 καὶ ante ἄνδρας om. Arm   8. 9 ἔργῳ καὶ λόγῳ transp. H (v)   9 ἀληθεῖ AH   παγίως scripsi: παγίῳ codd. (v)   9. 10 τῆς ... καθιερώσεως RAH: τὴν ... καθιέρωσιν F (Turn.): τὴν καθιέρωσιν (οὐ δέχεται) conicio, τῆς ... καθιερώσεως εἴργων coni. Wendl.   10 ante ὑπὲρ add. ὡς H   11 τιμᾶται] ἀλλὰ τιμᾶσθαι Arm: ἀλλὰ τιμᾶται conicio   13 εὐεξίαν] ἀξίαν H, ὀξίαν A   κάλλος codd. Arm: θάλλος v   16 εἴωθε] πέφυκε Arm   καὶ om. F   νομοθετῆσαι F Arm: om. RAH   18 ἐπινέμει] ἐπινοεῖ AH   ἕκαστον F, ἑκατοστὸν Arm   19 καὶ οἴνου R Arm: καὶ om. FAH (Turn.)   20 ἐπὶ γονῆς F   22 τεκμήραιτ' R: τεκμήραιτο FAH   περὶ RF: παρὰ AH (Turn.)   23 δῆλόν ἐστιν RF: ἐστὶ δῆλον AH (v)   βασιλέων RAH: βασιλέως εἰς F (Turn.)

3 Exod. 13,2. 22,29   11 Exod. 34,20. Num. 18,15. 16   19 Num. 18,12.

τοῖς ἱερεῦσιν ὁ νόμος· ὡς γοῦν ἡγεμόσι φόρους ἀπὸ παντὸς μέρους κτήσεως δίδοσθαι κελεύει, καὶ δίδονται τὸν ἐναντίον τρόπον ἢ ὃν αἱ πόλεις τοῖς δυνάσταις εἰσφέρουσιν· αἱ μὲν γὰρ ἐξ ἀνάγκης καὶ μόλις, 143 ἐπιστένουσαι, τοὺς ἐκλογεῖς τῶν χρημάτων ὡς κοινοὺς λυμεῶνας ὑποβλεπόμεναι καὶ προφάσεις ἄλλοτε ἀλλοίας σκηπτόμεναι καὶ τῶν προθεσμιῶν ἀλογοῦσαι τὰ ὁρισθέντα τέλη καὶ δασμοὺς κατατιθέασιν· οἱ δ' ἀπὸ 144 τοῦ ἔθνους [τὰ ἱερατικὰ] γεγηθότες, χαίροντες, τοὺς αἰτοῦντας φθάνοντες, τὰς προθεσμίας ἐπιτέμνοντες, λαμβάνειν ἀλλ' οὐ διδόναι νομίζοντες, μετ' εὐφημίας καὶ εὐχαριστίας καθ' ἑκάστην τῶν ἐτησίων ὡρῶν ποιοῦνται τὰς εἰσφοράς, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, αὐτοκελεύστῳ προθυμίᾳ καὶ ἑτοιμότητι καὶ σπουδῇ παντὸς λόγου κρείττονι.

(3.) Καὶ ταῦτα μὲν ἀπὸ τῆς ἑκάστου κτήσεως ἐπινέμεται· ἄλλαι 145 δέ εἰσιν ἐξαίρετοι πρόσοδοι πρεπωδέσταται ἱερεῦσιν αἱ ἀπὸ τῶν ἀναγομένων θυσιῶν. παντὸς γὰρ ἱερείου προστέτακται δύο τοῖς ἱερεῦσιν ἀπὸ δυεῖν δίδοσθαι μελῶν, βραχίονα μὲν ἀπὸ χειρὸς δεξιᾶς, ἀπὸ δὲ τοῦ στήθους ὅσον πῖον, τὸ μὲν ἰσχύος καὶ ἀνδρείας καὶ πάσης νομίμου πράξεως ἔν τε τῷ διδόναι καὶ λαμβάνειν καὶ ἐνεργεῖν σύμβολον, τὸ δὲ τῆς περὶ τὸν θυμὸν ἵλεω πραότητος. ἐνοικεῖν γὰρ αὐτὸν λόγος ἔχει 146 τοῖς στήθεσιν, ἐπειδὴ χωρίον οἰκειότατον ἡ φύσις ἀπένειμε τὰ στέρνα θυμῷ πρὸς ἐνδιαίτησιν, ᾧ καθάπερ στρατιώτῃ περιέβαλεν εἰς τὸ δυσάλωτον ἕρκος ὀχυρώτατον, τὸν ἐπικαλούμενον θώρακα, ὃν ἐκ πολλῶν
5 M. καὶ συνεχῶν καὶ κραταιοτάτων ὀστέων ἀπειργάσατο | σφίγξας αὐτὸν εὖ μάλα νεύροις ἀρραγέσιν. ἀπὸ δὲ τῶν ἔξω τοῦ βωμοῦ θυομένων ἕνεκα 147 κρεωφαγίας τρία προστέτακται τῷ ἱερεῖ δίδοσθαι, βραχίονα καὶ σιαγόνας καὶ τὸ ἔνυστρον καλούμενον, τὸν μὲν βραχίονα διὰ τὴν ὀλίγῳ πρότερον εἰρημένην αἰτίαν, τὰς δὲ σιαγόνας τοῦ τε κυριωτάτου τῶν

1 γοῦν om. Arm 2 ἢ F: εἰς R, om. AH 4 λυμεῶνας AH: ἐχθροὺς RF Arm 5 ἀλλοίας] ἄλλας coni. Mang. σκεπτόμεναι AH 7 τὰ ἱερατικὰ seclusi 9 καθ' ἑκάστην om. H ὡρῶν] ὁρῶν F ποιοῦντες (sic) Mang. 11 ἑτοιμότητι] ὁσιότητι H σπουδῇ om. R 12 ἀπονέμεται AH 13 δ' F πρεπωδέστατοι H 13. 14 ἐναγομένων AH
15 δυεῖν RF: δυοῖν (ει supra) AH 16 ἀνδρίας AH 20 στρατιώτης AH 21 ὀχυρώτατον RF: ἐχυρώτατα AH 24 κρεηφαγίας R τρία ταῦτα Arm 24. 25 σιαγόνας F: σιαγόνα RAH 25 ἔνυστρον καλούμενον RF: καλούμενον ἤνυστρον (ἔνυστρον A) AH (v) post ἔνυστρον add. F: ἔνυστρον τὸ ἔντερον λέγει

14 Lev. 7,21—24. 10,14. 15. Num. 18,18 23 Deut. 18,3. cf. *Ioseph. Ant. Iud.* IV § 74 εἶναι δὲ καὶ τοῖς κατ' οἶκον θύουσιν εὐωχίας ἕνεκα τῆς αὐτῶν, ἀλλὰ μὴ θρησκείας, ἀνάγκην κομίζειν τοῖς ἱερεῦσιν ἔνυστρόν τε καὶ χελύνιον καὶ τὸν δεξιὸν βραχίονα τοῦ θύματος.

μελῶν, κεφαλῆς, καὶ λόγου τοῦ κατὰ προφορὰν ἀπαρχήν, οὗ τὸ νᾶμα
ῥεῖν ἔξω δίχα τῆς τούτων κινήσεως οὐκ ἂν δύναιτο· σειομένων γὰρ — ἀφ'
οὗ καὶ προσωνομάσθησαν ἐτύμως — ὅταν πληχθῶσιν ὑπὸ γλώττης, ἅπασα
148 ἡ τῆς φωνῆς ὀργανοποιία συνηχεῖ. τὸ δὲ ἔνυστρον ἔκφυσις κοιλίας
ἐστί· κοιλίαν δὲ φάτνην ἀλόγου θρέμματος, ἐπιθυμίας, εἶναι συμβέβηκεν,
ἥτις ὑπ' οἰνοφλυγίας καὶ ὀψοφαγίας ἀρδομένη τροφαῖς ἐπαλλήλοις σιτίων
ὁμοῦ καὶ ποτῶν ἀεὶ κατακλύζεται καὶ συὸς τρόπον ἐν βορβόρῳ διαιτωμένη χαίρει· παρὸ καὶ τόπος ἀπενεμήθη σφόδρα οἰκειότατος ὁ τῶν
149 περιττωμάτων ἀκολάστῳ καὶ ἀπρεπεστάτῳ θρέμματι. ἀντίπαλον δὲ ἐπιθυμίας ἐγκράτεια, ἣν ἀσκητέον καὶ διαπονητέον καὶ σπουδαστέον μηχανῇ
πάσῃ περιποιεῖσθαι ὡς μέγιστον ἀγαθὸν καὶ τελειότατον ἰδίᾳ τε καὶ
150 κοινῇ συμφέρον. ἐπιθυμία μὲν οὖν βέβηλος καὶ ἀκάθαρτος καὶ ἀνίερος
οὖσα πέρα τῶν ἀρετῆς ὅρων ἐλήλαται καὶ πεφυγάδευται δεόντως·
ἐγκράτεια δέ, καθαρὰ καὶ ἀκηλίδωτος ἀρετή, πάντων ὅσα πρὸς
βρῶσιν καὶ πόσιν ἀλογοῦσα καὶ ἐπάνω τῶν γαστρὸς ἡδονῶν αὐχοῦσα
ἵστασθαι, βωμῶν ἱερῶν ψαυέτω καὶ τὴν πρόσφυσιν ἐπιφερομένη τῆς
κοιλίας, ὑπόμνημα τοῦ καταφρονητικῶς ἔχειν ἀπληστίας καὶ λαι-
151 μαργίας καὶ πάντων ὅσα τὰ εἰς τὰς ἐπιθυμίας ἀναφλέγει. (4.) ἐφ'
ἅπασι μέντοι καὶ τὰς τῶν ὁλοκαυτωμάτων — ἀμύθητα δὲ ταῦτ'
ἐστί — δορὰς προστάττει τοὺς ὑπηρετοῦντας ταῖς θυσίαις ἱερεῖς
λαμβάνειν, οὐ βραχεῖαν ἀλλ' ἐν τοῖς μάλιστα πολυχρήματον δωρεάν.
ἐξ ὧν δῆλόν ἐστιν, ὅτι κλῆρον ἕνα μὴ παρασχὼν τῇ ἱερωμένῃ φυλῇ

1 μερῶν AH ἀπαρχῆς F οὗ RF: καὶ γὰρ AH; καὶ γὰρ τούτου v
1. 2 τὸ νᾶμα ῥεῖν RF: ἁμαρτάνειν AH Arm 2 ἔξω om. Arm δίχα τῆς τούτων κινήσεως RF: καὶ δίχα τῆς κινήσεως τούτων AH (v) δύναιτό τις AH σειομένων] σειόμεναι exspectaveris γὰρ om. H (Turn.) 3 προσωνομάσθη AH (Turn.) ἐτύμως F: ἑτοίμως RAH 4 δ' F ἔνυστρον RFA: ἤνυστρον H (v) 5 ἐστίν R 6 τροφαῖς] τρυφαῖς L (Turn.) 7 αἰεὶ AH
8 τόπος ἀπενεμήθη σφόδρα RF: σφόδρα ἀπενεμήθη τόπος AH ἀπενεμήθη codd.: ἐπενεμήθη v οἰκειότατος] οἰκεῖος coni. Mang. vel σφόδρα delendum
9 εὐπρεπεστάτῳ F δ' F 9. 10 ἐπιθυμία AH 10 σπουδαστέον καὶ διαπονητέον transp. F 10. 11 μηχανῇ πάσῃ RF: πάσῃ μηχανῇ AH (v) 11 τελεώτατον F 13 πέραν R τῶν] τῆς R ἐλήλασται F 14 καθαρὰ] καὶ καθαρὰ AH ἀρετή AH: ἐν ἀρετῇ RF 16 καὶ secludendum videtur πρόσφυσιν] ἔκφυσιν coni. Mang. 17 καταφρονητικῶς] κατηγορητικῶς AH
18 τὰ εἰς τὰς RAH: τὰς εἰς τοῦτ' F (Mang.), τοιαύτας Arm 19 τὰς ἐπὶ τῶν Arm
20 δορὰς] δωρεὰς Arm 21 βραχείας R 22 ἱερωμένῃ] ἐρωμένη H

5 φάτνην ἀλόγου θρέμματος: cf. Plat. Tim. p. 70e 19 Lev. 6,38.

κατὰ ταὐτὰ ταῖς ἄλλαις τοῦ πασῶν ἔδωκε σεμνότερον πόρον καὶ ἁγιώ-
τερον, κατὰ πρόφασιν ἀπαρχῶν τῶν ἐξ ἅπαντος θυσίας εἴδους. ὑπὲρ 152
δὲ τοῦ μηδένα τῶν διδόντων ὀνειδίζειν τοῖς λαμβάνουσι, κελεύει τὰς
6 M. ἀπαρχὰς εἰς τὸ ἱερὸν κομίζεσθαι πρότερον, εἶτ' | ἐνθένδε τοὺς ἱερεῖς
λαμβάνειν· ἥρμοττε γὰρ θεῷ μὲν τοὺς εὐεργετουμένους ἐν ἅπασι τοῖς
κατὰ τὸν βίον χαριστηρίους ἀνάγειν ἀπαρχάς, τὸν δὲ ἅτε μηδενὸς ἐπι-
δεᾶ τοῖς ἀμφὶ τὸ ἱερὸν ὑπηρέταις καὶ λειτουργοῖς χαρίζεσθαι μετὰ σεμ-
νότητος καὶ τιμῆς τῆς ἁπάσης· τὸ γὰρ μὴ παρ' ἀνθρώπων ἀλλὰ παρὰ
τοῦ πάντων εὐεργέτου δοκεῖν λαμβάνειν ἀδυσώπητον ἔχει δωρεάν.
(5.) Τοσούτων οὖν προκειμένων ἄθλων, ἐάν τινες ἀπορῶσι τῶν 153
ἱερέων κοσμίως καὶ ἀνυπαιτίως ζῶντες, τῆς ἡμετέρας παρανομίας ἐφε-
στᾶσι κατήγοροι, κἂν ἡσυχάζωσιν· εἰ γὰρ ἐπειθαρχοῦμεν τοῖς κελευσθεῖσι
καὶ τὰς ἀπαρχὰς ἐποιούμεθα ᾗ προστέτακται, οὐχ ἂν μόνον ἐκεῖνοι τῶν
ἀναγκαίων εὐπόρουν, ἀλλὰ καὶ τῶν ἄλλων ὅσα πρὸς ἁβροδιαίτους χορη-
γίας ἀνεπίμπλαντο. κἂν ἄρα ποτὲ αὖθις ἡ φυλὴ τῶν ἱερέων ἐν ἅπασι 154
τοῖς κατὰ τὸν βίον ἀφθόνοις ἐξετάζηται, μέγα δεῖγμα γενήσεται τοῦτο
κοινῆς ὁσιότητος καὶ τῆς τῶν νομίμων ἐπ' ἀκριβὲς εἰς ἅπαν φυλακῆς.
ἀλλ' ἡ τινων ὀλιγωρία — ἅπαντας γὰρ οὐκ ἀσφαλὲς αἰτιᾶσθαι — γέγονεν
αἰτία πενίας τοῖς ἱερωμένοις, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, καὶ αὐτοῖς
ἐκείνοις. τὸ γὰρ παρανομεῖν ἐπιζήμιον τοῖς παρανομοῦσι, κἂν πρὸς 155
ὀλίγον δελεάζῃ χρόνον· τὸ δὲ ἕπεσθαι τοῖς τῆς φύσεως νόμοις ὠφελι-
μώτατον, κἂν παραυτίκα αὐστηρὸν ᾖ καὶ μηδὲν προσηνὲς ἐμφαίνῃ.
(6.) Τοσαύτας προσόδων ἀφορμὰς χαρισάμενος τοῖς ἱερεῦσιν οὐδὲ 156
τῶν ἐν τῇ δευτέρᾳ τάξει κατωλιγώρησεν· εἰσὶ δὲ νεωκόροι. τούτων οἱ
μὲν ἐπὶ θύραις ἵδρυνται παρ' αὐταῖς ταῖς εἰσόδοις πυλωροί, οἱ δ' εἴσω
κατὰ τὸ πρόναον ὑπὲρ τοῦ μή τινα ὧν οὐ θέμις ἑκόντα ἢ καὶ ἄκοντα
ἐπιβῆναι, οἱ δ' ἐν κύκλῳ περινοστοῦσιν ἐν μέρει διακληρωσάμενοι νύκτα

1 τοῦ RF: τῶν AH (v) πόρον Mang.: τρόπον codd., τόπον Arm 1. 2 ἁγιώτερον RF Arm: ἀπονώτερον AH 2 εἴδους] δοὺς Arm 3 λαμβάνουσιν R 5 ἥρμοττεν R θεῷ μὲν τοὺς F: θεῷ τοὺς μὲν RAH (v) 6 ἀνάγειν F: ἐνάγειν RAH δ' F 6. 7 ἐπιδεῆ R 8 τῆς ἁπάσης RF: τῆς om. AH (Turn.) τὸ codd.: τῷ v 9 εὐεργέτου RF: δημιουργοῦ AH δοκεῖν RF: ἐκεῖνα AH 11 ὑμετέρας Arm 11. 12 ἐφεστᾶσι codd.: ἐφεστῶσι v 13 ἐποιούμεθα codd.: ἐπονούμεθα v μόνων corr. ex μόνον A 15 ἀνεπίμπλαντο R: ἐνεπίμπλαντο AH (v), om. F ποτ' F 16 γενήσεται τοῦτο codd.: τοῦτο γενήσεται v 17 τῆς] τοῖς F 18 ἅπαντας RF: πάντας AH 18. 19 γέγονεν αἰτία πενίας RF: γέγονε πενίας αἰτία AH (v) 21 δ' F 22 μηδὲν RF: μὴ AH ἐμφαίνῃ] ἦν H 24 νωκόροι F 25 ταῖς om. F 26 τιν' F ἢ καὶ RF Arm: καὶ om. AH (Turn.) ἄκοντ' F

καὶ ἡμέραν, ἡμεροφύλακες καὶ νυκτοφύλακες, ἕτεροι δὲ τὰς στοὰς καὶ
τὰ ἐν ὑπαίθρῳ χοροῦντες τὸν φορυτὸν ἐκκομίζουσιν ἐπιμελούμενοι καθα-
ριότητος· οἷς ἅπασι μισθὸς ὡρίσθησαν αἱ δεκάται, κλῆρος γὰρ νεωκόρων
157 οὗτος. οὐ πρότερον γοῦν εἴασεν ὁ νόμος αὐταῖς χρῆσθαι τοὺς λαβόντας
ἢ πάλιν ἄλλας δεκάτας ὡς ἀπὸ κτημάτων ἰδίων ἀπάρξασθαι καὶ δοῦναι
τοῖς τῆς ἀμείνονος τάξεως ἱερεῦσι· τηνικαῦτα γὰρ ἐφῆκεν ἀπολαύειν,
158 πρότερον δ' οὐκ ἐᾷ. ἀπένειμε δὲ καὶ πόλεις αὐτοῖς ὀκτὼ πρὸς ταῖς
τεσσαράκοντα καὶ καθ' ἑκάστην προάστεια εἰς δισχιλίους πήχεις ἐν κύκλῳ
πρὸς νομὰς θρεμμάτων καὶ τὰς ἄλλας ὧν δεῖ πόλεσιν ἀναγκαίας ὑπη-
ρεσίας. ἐκ δὲ τούτων ἀπεκληρώθησαν ἕξ, αἱ μὲν ἐκτὸς αἱ δὲ ἐντὸς
Ἰορδάνου τοῦ ποταμοῦ, τρεῖς ἑκατέρωθεν, εἰς καταφυγὴν τοῖς ἀκούσιον
159 φόνον δράσασιν. ἐπειδὴ γὰρ | τὸν ὁπωσοῦν γενόμενον ἀνθρώπῳ τελευ- p. 237
τῆς παραίτιον οὐχ ἦν εὐαγὲς εἴσω περιρραντηρίων παρέρχεσθαι χρώ-
μενον πρὸς ἀσφάλειαν καταφυγῇ τῷ ἱερῷ, τὰς εἰρημένας ἀνῆκε πόλεις,
ἱερὰ δεύτερα, πολλὴν ἀσυλίαν ἐχούσας ἕνεκα τῆς περὶ τοὺς οἰκήτορας
προνομίας τε καὶ τιμῆς, οἳ τοὺς ἱκέτας διασῴζειν ἔμελλον, εἰ βιάζοιτό
τις ἐχυρωτέρα δύναμις, οὐ παρασκευαῖς ταῖς εἰς πόλεμον οὔσαις, ἀλλ'
ἀξιώμασι καὶ προνομίαις, ἅπερ ἐκ τῶν νόμων διὰ τὴν σεμνότητα τῆς

1. 2 καὶ τὰ RF: καὶ τὸ A, τὰς (om. καὶ) H 2 χοροῦντες] ὡρῶντες AH ἐπιμελούμενοι RF: ἐπιμελόμενοι AH (Turn.) 2. 3 καθαρειότητος F (καθαριότητος scripsi): καθαρότητος RAH (v) 3 ὡρίσθησαν αἱ δεκάται RF: ὡρίσθη δεκάται AH (prob. Mang.) ὁ νεωκόρων F (Mang.) 4 γ' οὖν F εἴασεν RF: ἐᾷ AH 7 ταῖς] τοῖς H 8 καὶ om. Turn. χιλίους Arm 10 ἕξ F: ἀνὰ ἕξ RAH (v) αἱ μὲν ἐντὸς αἱ δ' ἐκτὸς F Arm 11 τρεῖς] πρὸς AH 12 ἐπειδὴ γάρ] ἐπειδήπερ R ἄνθρωπον H; ἀνθρώπων Turn. 13 εὐαγὲς] εὐγενὲς A 14 καταφυγῇ om. Arm 15 ἐχούσης H 16 τιμῆς] φυγῆς AH ἱκέτας RA: οἰκέτας FH (Turn.) 17 ἐχυρωτέρα R: ὀχυρωτέρα FAH (v) οὖσαις RF: om. AH (v) 18 προνομείαις (ι supra) A

3 sqq. Num. 18,21. 24. 26—28. cf. *Ioseph. Ant. Iud. IV* § 68 πρὸς τούτοις δὲ καὶ τὸν λαὸν ἐξέταξε τῶν ἐπετείων καρπῶν δεκάτην αὐτοῖς τε τοῖς Λευίταις καὶ ἱερεῦσι τελεῖν. καὶ ἃ μὲν ἡ φυλὴ παρὰ τοῦ πλήθους λαμβάνει ταῦτ' ἐστίν· ἀναγκαῖον δ' ἡγησάμην ἃ τοῖς ἱερεῦσιν ἰδίᾳ παρὰ πάντων γίνεται δηλῶσαι. (69) τῶν μὲν τεσσαράκοντα καὶ ὀκτὼ πόλεων τρισκαίδεκα παραχωρῆσαι τοὺς Λευίτας αὐτοῖς προσέταξε καὶ τῆς δεκάτης, ἧς παρὰ τοῦ λαοῦ κατ' ἔτος λαμβάνουσι, δεκάτην αὐτοῖς ἀπομερίζειν. 7 sqq. Num. 35,2—8. 11—15. cf. *Ioseph. l. l.* § 67 Μωυσῆς δ' ἐπεὶ πολέμου καὶ στρατείας ἡ τῶν Λευιτῶν ἀφεῖτο φυλὴ θεραπεύουσα τὸν θεόν, ἵνα μὴ δι' ἀπορίαν μηδὲ ζήτησιν τῶν εἰς τὸν βίον ἀναγκαίων ἀμελοῖεν τοῦ ἱεροῦ, κατὰ βούλησιν τοῦ θεοῦ τὴν Χαναναίων κτησαμένους τοὺς Ἑβραίους ἐκέλευε κατανεῖμαι τοῖς Λευίταις ὀκτὼ καὶ τεσσαράκοντα πόλεις ἀγαθὰς καὶ καλὰς τῆς τε πρὸ αὐτῶν γῆς περιγράψαντας εἰς δισχιλίους πήχεις ἀπὸ τῶν τειχῶν αὐτοῖς ἀνεῖναι.

ἱερωσύνης εἶχον. ὁ δὲ φυγὰς ἐντὸς ὅρων τῆς πόλεως, εἰς ἣν πεφυγά- 160
δευται, κατακεκλείσθω διὰ τοὺς ἐφέδρους κολαστάς, οἳ γένει προσήκοντες
τῷ τεθνεῶτι πόθῳ τοῦ συγγενοῦς, κἂν μὴ ὑφ' ἑκόντος ἀναιρεθῇ, κατὰ
τοῦ κτείναντος φονῶσι, νικῶντος τοῦ οἰκείου πάθους τὸν ἀκριβῆ τῶν
δικαίων λογισμόν. ἔξω δὲ προϊὼν ἐπ' ὀλέθρῳ ἀνενδοιάστῳ προελευ-
σόμενος ἴστω· λήσεται γὰρ οὐδένα τῶν ἀφ' αἵματος, ὑφ' ὧν αὐτίκα
λίνοις καὶ πάγαις σαγηνευθεὶς οἰχήσεται. προθεσμία δ' ἔστω τῆς φυγῆς 161
ὁ βίος τοῦ μεγάλου ἱερέως, οὗ τελευτήσαντος ἀμνηστίας ἀξιωθεὶς
κατίτω. ταῦτα καὶ τὰ τούτοις παραπλήσια νομοθετήσας περὶ τῶν ἱερέων
ἑξῆς ἀναδιδάσκει περὶ ζῴων, ἃ πρὸς θυσίας ἐστὶν ἐπιτήδεια.

Περὶ ζῴων τῶν εἰς τὰς ἱερουργίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη.

(1.) Τῶν εἰς τὰς ἱερουργίας ζῴων τὰ μέν ἐστι χερσαῖα, τὰ δὲ ἀερο- 162
πόρα. τὰ μὲν οὖν τῶν πτηνῶν ἔθνη μυρία ὅσα παρελθὼν δύο μόνα
ἐξ ἁπάντων εἵλετο, περιστερὰν καὶ τρυγόνα, διότι περιστερὰ μὲν τῶν
238 M. φύσει | τιθασῶν καὶ ἀγελαστικῶν ἡμερώτατον, τρυγὼν δὲ τῶν φύσει
μονωτικῶν τιθασώτατον. τὰς δὲ τῶν χερσαίων ἀμυθήτους ἀγέλας, 163
ὧν οὐδ' ἀριθμὸν εὑρεῖν εὔπορον, ὑπερβὰς τρεῖς ἀριστίνδην ἐπέκρινε,
βοῶν καὶ προβάτων καὶ αἰγῶν· ἡμερώταται γὰρ αὗται καὶ χειροηθέ-
σταται· βουκόλια γοῦν μεγάλα καὶ ποίμνια καὶ αἰπόλια πρὸς ἑνὸς ἄγεται
τοῦ τυχόντος, οὐκ ἀνδρὸς μόνον ἀλλὰ καὶ κομιδῇ νηπίου παιδός, εἴς τε

1 ἔσχον F post ἣν add. τις R 2 κατακαλείσθω (?) Arm 3 πόθου F ἀνῃρέθη F 4. 5 τῶν δικαίων RAH: τοῦ δικαίου F (v) 5. 6 προσελευσόμενος F (Turn.) 7 φυγῆς] φύσεως Arm 8 ἀμνηστίας RFA: ἀμνηστείας H (Turn.) 10 θυσίας RF: θυσίαν AH (Turn.) ἐστὶν] ἦν F 11. 12 tit. περὶ ζώων τῶν εἰς ἱερουργίας καὶ τίνα τῶν θυσιῶν εἴδη R (τὰς ἱερουργίας et τὰ εἴδη scripsi): περὶ τῶν εἰς τὰς ἱερουργίας ζώων καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη F (cf. Euseb. Hist. Eccl. II 18,5), περὶ ζώων τῶν εἰς τὰς θυσίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη A, τοῦ αὐτοῦ περὶ ζώων τῶν εἰς θυσίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη H (v) 13 εἰς τὰς ἱερουργίας RF: ἐν ταῖς ἱερουργίαις AH (Turn.) δ' F 15 περιστερὰν καὶ τρυγόνα RF: om. AH (Turn.) 16 τιθασῶν R, τιθασσῶν FA: τιθασσικῶν H (Turn.) 17 τιθασώτατον R: τιθασσότατον F (v), τιθασσότερον AH; χειροηθέστατον coni. Mang. τὰς δὲ RF: τάς τε AH 18 εὔπορον, ὑπερβὰς] προσυπερβὰς F τρεῖς ἀριστίνδην] τρισαρίστην δεῖν H 20 γοῦν] γὰρ F ποίμνια καὶ αἰπόλια RF: αἰπόλια καὶ ποίμνια AH (v) ἄγεται F: ἄγονται RAH (v) 21 εἴς τε νομὴν F: εἴς γε νομὰς RA (v), εἴς γε νομ[illegible] H

5 Num. 35,26. 27 7 Num. 35,25. 28 15 Lev. 1,14 19 Lev. 1,2.

καὶ ἡμέραν, ἡμεροφύλακες καὶ νυκτοφύλακες, ἕτεροι δὲ τὰς στοὰς καὶ
τὰ ἐν ὑπαίθρῳ κοροῦντες τὸν φορυτὸν ἐκκομίζουσιν ἐπιμελούμενοι καθα-
ριότητος· οἷς ἅπασι μισθὸς ὡρίσθησαν αἱ δεκάται, κλῆρος γὰρ νεωκόρων
157 οὗτος. οὐ πρότερον γοῦν εἴασεν ὁ νόμος αὐταῖς χρῆσθαι τοὺς λαβόντας
ἢ πάλιν ἄλλας δεκάτας ὡς ἀπὸ κτημάτων ἰδίων ἀπάρξασθαι καὶ δοῦναι
τοῖς τῆς ἀμείνονος τάξεως ἱερεῦσι· τηνικαῦτα γὰρ ἐφῆκεν ἀπολαύειν,
158 πρότερον δ' οὐκ ἐᾷ. ἀπένειμε δὲ καὶ πόλεις αὐτοῖς ὀκτὼ πρὸς ταῖς
τεσσαράκοντα καὶ καθ' ἑκάστην προάστεια εἰς δισχιλίους πήχεις ἐν κύκλῳ
πρὸς νομὰς θρεμμάτων καὶ τὰς ἄλλας ὧν δεῖ πόλεσιν ἀναγκαίας ὑπη-
ρεσίας. ἐκ δὲ τούτων ἀπεκληρώθησαν ἕξ, αἱ μὲν ἐκτὸς αἱ δὲ ἐντὸς
Ἰορδάνου τοῦ ποταμοῦ, τρεῖς ἑκατέρωθεν, εἰς καταφυγὴν τοῖς ἀκούσιον
159 φόνον δράσασιν. ἐπειδὴ γὰρ | τὸν ὁπωσοῦν γενόμενον ἀνθρώπῳ τελευ- p. 237
τῆς παραίτιον οὐκ ἦν εὐαγὲς εἴσω περιρραντηρίων παρέρχεσθαι χρώ-
μενον πρὸς ἀσφάλειαν καταφυγῇ τῷ ἱερῷ, τὰς εἰρημένας ἀνῆκε πόλεις,
ἱερὰ δεύτερα, πολλὴν ἀσυλίαν ἐχούσας ἕνεκα τῆς περὶ τοὺς οἰκήτορας
προνομίας τε καὶ τιμῆς, οἳ τοὺς ἱκέτας διασῴζειν ἔμελλον, εἰ βιάζοιτό
τις ἐχυρωτέρα δύναμις, οὐ παρασκευαῖς ταῖς εἰς πόλεμον οὔσαις, ἀλλ'
ἀξιώμασι καὶ προνομίαις, ἅπερ ἐκ τῶν νόμων διὰ τὴν σεμνότητα τῆς

1. 2 καὶ τὰ RF: καὶ τὸ A, τὰς (om. καὶ) H 2 κοροῦντες] ὡρῶντες AH ἐπιμελούμενοι RF: ἐπιμελόμενοι AH (Turn.) 2. 3 καθαρειότητος F (καθαριότητος scripsi): καθαρότητος RAH (v) 3 ὡρίσθησαν αἱ δεκάται RF: ὡρίσθη δεκάται AH (prob. Mang.) ὁ νεωκόρων F (Mang.) 4 γ' οὖν F εἴασεν RF: ἐᾷ AH 7 ταῖς] τοῖς H 8 καὶ om. Turn. χιλίους Arm 10 ἕξ F: ἀνὰ ἕξ RAH (v) αἱ μὲν ἐντὸς αἱ δ' ἐκτὸς F Arm 11 τρεῖς] πρὸς AH 12 ἐπειδὴ γὰρ] ἐπειδήπερ R ἄνθρωπον H; ἀνθρώπων Turn. 13 εὐαγὲς] εὐγενὲς A 14 καταφυγῇ om. Arm 15 ἐχούσης H 16 τιμῆς] φυγῆς AH ἱκέτας RA: οἰκέτας FH (Turn.) 17 ἐχυρωτέρα R: ὀχυρωτέρα FAH (v) οὔσαις RF: om. AH (v) 18 προνο-
ϊ
μείαις A

3 sqq. Num. 18,21. 24. 26—28. cf. *Ioseph. Ant. Iud. IV* § *68* πρὸς τούτοις δὲ καὶ τὸν λαὸν ἐξέταξε τῶν ἐπετείων καρπῶν δεκάτην αὐτοῖς τε τοῖς Λευίταις καὶ ἱερεῦσι τελεῖν. καὶ ἃ μὲν ἡ φυλὴ παρὰ τοῦ πλήθους λαμβάνει ταῦτ' ἐστίν· ἀναγκαῖον δ' ἡγησάμην ἃ τοῖς ἱερεῦσιν ἰδίᾳ παρὰ πάντων γίνεται δηλῶσαι. (69) τῶν μὲν τεσσαράκοντα καὶ ὀκτὼ πόλεων τρισκαίδεκα παραχωρῆσαι τοὺς Λευίτας αὐτοῖς προσέταξε καὶ τῆς δεκάτης, ἧς παρὰ τοῦ λαοῦ κατ' ἔτος λαμβάνουσι, δεκάτην αὐτοῖς ἀπομερίζειν. 7 sqq. Num. 35,2—8. 11—15. cf. *Ioseph. l. l.* § *67* Μωυσῆς δ' ἐπεὶ πολέμου καὶ στρατείας ἡ τῶν Λευιτῶν ἀφεῖτο φυλὴ θεραπεύουσα τὸν θεόν, ἵνα μὴ δι' ἀπορίαν μηδὲ ζήτησιν τῶν εἰς τὸν βίον ἀναγκαίων ἀμελοῖεν τοῦ ἱεροῦ, κατὰ βούλησιν τοῦ θεοῦ τὴν Χαναναίων κτησαμένους τοὺς Ἑβραίους ἐκέλευε κατανεῖμαι τοῖς Λευίταις ὀκτὼ καὶ τεσσαράκοντα πόλεις ἀγαθὰς καὶ καλὰς τῆς τε πρὸ αὐτῶν γῆς περιγράψαντας εἰς δισχιλίους πήχεις ἀπὸ τῶν τειχῶν αὐτοῖς ἀνεῖναι.

ἱερωσύνης εἶχον. ὁ δὲ φυγὰς ἐντὸς ὅρων τῆς πόλεως, εἰς ἣν πεφυγά- 160
δευται, κατακεκλείσθω διὰ τοὺς ἐφέδρους κολαστάς, οἳ γένει προσήκοντες
τῷ τεθνεῶτι πόθῳ τοῦ συγγενοῦς, κἂν μὴ ὑφ' ἑκόντος ἀναιρεθῇ, κατὰ
τοῦ κτείναντος φονῶσι, νικῶντος τοῦ οἰκείου πάθους τὸν ἀκριβῆ τῶν
δικαίων λογισμόν. ἔξω δὲ προϊὼν ἐπ' ὀλέθρῳ ἀνενδοιάστῳ προελευ-
σόμενος ἴστω· λήσεται γὰρ οὐδένα τῶν ἀφ' αἵματος, ὑφ' ὧν αὐτίκα
λίνοις καὶ πάγαις σαγηνευθεὶς οἰχήσεται. προθεσμία δ' ἔστω τῆς φυγῆς 161
ὁ βίος τοῦ μεγάλου ἱερέως, οὗ τελευτήσαντος ἀμνηστίας ἀξιωθεὶς
κατίτω. ταῦτα καὶ τὰ τούτοις παραπλήσια νομοθετήσας περὶ τῶν ἱερέων
ἑξῆς ἀναδιδάσκει περὶ ζῴων, ἃ πρὸς θυσίας ἐστὶν ἐπιτήδεια.

Περὶ ζῴων τῶν εἰς τὰς ἱερουργίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη.

(1.) Τῶν εἰς τὰς ἱερουργίας ζῴων τὰ μέν ἐστι χερσαῖα, τὰ δὲ ἀερο- 162
πόρα. τὰ μὲν οὖν τῶν πτηνῶν ἔθνη μυρία ὅσα παρελθὼν δύο μόνα
ἐξ ἁπάντων εἵλετο, περιστερὰν καὶ τρυγόνα, διότι περιστερὰ μὲν τῶν
238 M. φύσει | τιθασῶν καὶ ἀγελαστικῶν ἡμερώτατον, τρυγὼν δὲ τῶν φύσει
μονωτικῶν τιθασώτατον. τὰς δὲ τῶν χερσαίων ἀμυθήτους ἀγέλας, 163
ὧν οὐδ' ἀριθμὸν εὑρεῖν εὔπορον, ὑπερβὰς τρεῖς ἀριστίνδην ἐπέκρινε,
βοῶν καὶ προβάτων καὶ αἰγῶν· ἡμερώταται γὰρ αὗται καὶ χειροηθέ-
σταται· βουκόλια γοῦν μεγάλα καὶ ποίμνια καὶ αἰπόλια πρὸς ἑνὸς ἄγεται
τοῦ τυχόντος, οὐχ ἀνδρὸς μόνον ἀλλὰ καὶ κομιδῇ νηπίου παιδός, εἴς τε

1 ἔσχον F   post ἣν add. τις R   2 κατακαλείσθω (?) Arm   3 πόθου F   ἀνῃρέθη F   4. 5 τῶν δικαίων RAH: τοῦ δικαίου F (v)   5. 6 προσελευσόμενος F (Turn.)   7 φυγῆς] φύσεως Arm   8 ἀμνηστίας RFA: ἀμνηστείας H (Turn.)   10 θυσίας RF: θυσίαν AH (Turn.)   ἐστίν] ἦν F   11. 12 tit. περὶ ζώων τῶν εἰς ἱερουργίας καὶ τίνα τῶν θυσιῶν εἴδη R (τὰς ἱερουργίας et τὰ εἴδη scripsi): περὶ τῶν εἰς τὰς ἱερουργίας ζώων καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη F (cf. Euseb. Hist. Eccl. II 18,5), περὶ ζώων τῶν εἰς τὰς θυσίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη A, τοῦ αὐτοῦ περὶ ζώων τῶν εἰς θυσίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη H (v)   13 εἰς τὰς ἱερουργίας RF: ἐν ταῖς ἱερουργίαις AH (Turn.)   δ' F   15 περιστερὰν καὶ τρυγόνα RF: om. AH (Turn.)   16 τιθασῶν R, τιθασσῶν FA: τιθασσικῶν H (Turn.)   17 τιθασώτατον R: τιθασσότατον F (v), τιθασσότερον AH; χειροηθέστατον coni. Mang.   τὰς δὲ RF: τάς τε AH   18 εὔπορον, ὑπερβὰς] προσυπερβὰς F   τρεῖς ἀριστίνδην] τρισαρίστην δεῖν H   20 γοῦν] γὰρ F   ποίμνια καὶ αἰπόλια RF: αἰπόλια καὶ ποίμνια AH (v)   ἄγεται F: ἄγονται RAH (v)   21 εἴς τε νομὴν F: εἴς γε νομὰς RA (v), εἴς γε νομ[illegible] H

5 Num. 35,26. 27   7 Num. 35,25. 28   15 Lev. 1,14   19 Lev. 1,2.

νομὴν ἐξιόντα καὶ ὁπότε δέοι πάλιν εἰς σηκοὺς ὑποστρέφοντα ἐν
164 κόσμῳ. τῆς δ' ἡμερότητος πολλὰ μὲν καὶ ἄλλα σημεῖα, σαφέστατα
δὲ ταυτί· τό τε πάντα εἶναι χλοηφάγα καὶ μηδὲν αὐτῶν σαρκοβόρον
καὶ τὸ μήτε γαμψοὺς ἔχειν ὄνυχας μήτε τὴν ἔκφυσιν τῶν ὀδόντων
παντελῆ· τὸ γὰρ ἀνωτέρω φάτνιον οὐκ ὀδοντοφυεῖ, ἀλλ' ὅσοι τομίαι
165 τῶν ὀδόντων κατ' αὐτὸ ἐπιλελοίπασι. πρὸς δὲ τούτοις καὶ βιωφελέστατα
τῶν ζῴων ἐστί· κριοὶ μὲν εἰς ἐσθῆτας, τὴν ἀναγκαιοτάτην σκέπην
σωμάτων, βόες δὲ εἰς τὸ ἀρόσαι γῆν καὶ προετοιμάσασθαι πρὸς σπόρον
καὶ τὸν γενόμενον ἀλοῆσαι καρπὸν εἰς μετουσίαν καὶ ἀπόλαυσιν τροφῆς,
αἰγῶν δὲ αἱ τρίχες καὶ δοραὶ συνυφαινόμεναί τε καὶ συρραπτόμεναι
φορηταὶ γεγόνασιν ὁδοιπόροις οἰκίαι καὶ μάλιστα τοῖς ἐν στρατείαις, οὓς
ἔξω πόλεως ἐν ὑπαίθρῳ τὰ πολλὰ διατρίβειν ἀναγκάζουσιν αἱ χρεῖαι.
166 (2.) πάντα δ' ὁλόκληρα, περὶ μηδὲν μέρος κηραίνοντα τοῦ σώματος,
ὅλα δι' ὅλων ἀσινῆ, μώμων ἀμέτοχα· τοσαύτη γοῦν ἐστι πρόνοια, οὐ
μόνον τοῖς ἀνάγουσι τὰς θυσίας ἀλλὰ καὶ τοῖς ἱερωμένοις, ὥστε οἱ
δοκιμώτατοι τῶν ἱερέων ἀριστίνδην ἐπικριθέντες εἰς τὴν τῶν μώμων
ἐπίσκεψιν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν ἄκρων ἐρευνῶσιν ὅσα τε ἐμφανῆ
καὶ ὅσα ὑπὸ γαστρὶ καὶ μηροῖς ἀποκέκρυπται, μή που τις βραχεῖα
167 λώβη διαλέληθε. τὸ δ' ἀκριβὲς καὶ περιττὸν τῆς ἐξετάσεως οὐχ ἕνεκα

1 ὑποστρέφοντ' F 3 πάντ' F εἶναι χλοηφάγα RF: χλοηφάγα εἶναι AH (v) 4 ἔχειν ὄνυχας RF: ὄνυχας ἔχειν AH (v) τὴν ἔκφυσιν R: τὴν ἔκφυσιν τὴν FAH (v) 5 ἀνωτέρω RF: ἐνδοτέρω AH (Turn.) φατνεῖον F 5. 6 ὅσοι τομίαι τῶν ὀδόντων R (Mang.): τομίαι om. AH (Turn.), ὀδόντων om. F 6 κατ' αὐτὸ RFA: κατ' αὐτοῦ H (Turn.) 7 τῶν om. R ἐστί F: εἰσί RAH (v) ἐσθῆτας τὴν ἀναγκαιοτάτην om. F 8 δ' F εἰς τἀρόσαι F προετοιμάσαι F πρὸς σπόρον R: πρὸς om. FAH (v); εἰς σπόρον coni. Mang. 9 γενόμενον RF: γινόμενον AH (v) 10 αἱ τρίχες καὶ δοραὶ R: τρίχες καὶ δοραὶ F, αἱ τρίχες, αἱ δοραὶ AH (Turn.); καὶ τρίχες καὶ δοραὶ Mang. 11 οἰκίαι (εῖ supra) A, οἰκεῖαι R 12 τὰ πολλὰ διατρίβειν RF: τὰ πολλὰ post χρεῖαι transp. AH (v) 13 κηραίνεται L (Turn.) τοῦ σώματος RAH: τὰ τοῦ σώματος F (v) 14 ὅλα] ἀλλὰ F 15 ὥστε AH: ὥστ' (sic) F, ὡς R 16. 17 ἐπὶ ποδῶν ἄκρων (om. κριθέντες— ἄχρι) Turn. 17 ἐπίσκεψιν RF: σκέψιν AH (v) ἀπὸ κεφαλῆς codd.: ἀπὸ τῆς κεφαλῆς v ἄχρις AH τ' F ἐμφανῆ] ἐμφαίνει F 18 ὅσ' F ὑπὸ RF: ἐπὶ AH (v) ἀποκέκρυπται F: ὑποκέκρυπται R, ἀνακέκρυπται AH (v) 19 δὲ AH

5 cf. *Arist. Hist. anim. II 1 p. 501ª10* ὅσα μὲν γάρ ἐστι κερατοφόρα, οὐκ ἀμφώδοντά ἐστιν· οὐ γὰρ ἔχει τοὺς προσθίους ὀδόντας ἐπὶ τῆς ἄνω σιαγόνος. 13 Lev. 22,18—25. cf. *Arist. ap. Athen. XV 674 f (frg. 101 Rose).*

τῶν καταθυομένων ἀλλὰ τοῦ περὶ τοὺς καταθύοντας ἀνυπαιτίου γίνεται·
βούλεται γὰρ αὐτοὺς ἀναδιδάξαι διὰ συμβόλων, ὁπότε προσέρχοιντο
βωμοῖς ἢ εὐξόμενοι ἢ εὐχαριστήσοντες, μηδὲν ἀρρώστημα ἢ νόσημα
ἢ πάθος ἐπιφέρεσθαι τῇ ψυχῇ, πειρᾶσθαι δ' ὅλην δι' ὅλων ἀχηλίδωτον
ἁγιάζειν, ὡς ἰδόντα μὴ ἀποστραφῆναι θεόν.
(3.) Ἐπεὶ δὲ τῶν θυσιῶν αἱ μέν εἰσιν ὑπὲρ ἅπαντος τοῦ ἔθνους, 168
εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, ὑπὲρ ἅπαντος ἀνθρώπων γένους, αἱ δ' ὑπὲρ
p. 239 M. ἑκάστου | τῶν ἱερουργεῖν ἀξιούντων, λεκτέον πρότερον περὶ τῶν κοινῶν.
θαυμαστὴ τούτων ἡ τάξις ἐστίν· αἱ μὲν γὰρ ἀνάγονται καθ' ἑκάστην
ἡμέραν, αἱ δὲ ταῖς ἑβδόμαις, αἱ δὲ νουμηνίαις καὶ ἱερομηνίαις, αἱ δὲ
νηστείαις, αἱ δὲ τρισὶ καιροῖς ἑορτῶν. καθ' ἑκάστην μὲν οὖν ἡμέραν 169
δύο ἀμνοὺς ἀνάγειν διείρηται, τὸν μὲν ἅμα τῇ ἕῳ, τὸν δὲ δείλης ἑσπέ-
ρας, ὑπὲρ εὐχαριστίας ἑκάτερον, τὸν μὲν ὑπὲρ τῶν μεθ' ἡμέραν, τὸν
δ' ὑπὲρ τῶν νύκτωρ εὐεργεσιῶν, ἃς ἀπαύστως καὶ ἀδιαστάτως ὁ θεὸς
τῷ γένει τῶν ἀνθρώπων χορηγεῖ. ταῖς δ' ἑβδόμαις διπλασιάζει τὸν 170
τῶν ἱερείων ἀριθμόν, ἴσα προστιθεὶς ἴσοις, ἰσότιμον ἡγούμενος αἰῶνι
τὴν ἑβδόμην, ἣν καὶ γενέθλιον τοῦ κόσμου παντὸς ἀνέγραψεν· οὗ χάριν
τὴν τῆς ἑβδόμης θυσίαν ἐξομοιῶσαι τῇ „ἐνδελεχείᾳ“ τῶν ἡμερησίων
ἀμνῶν διενοήθη. δὶς δὲ καθ' ἑκάστην ἡμέραν ἐπιθυμιᾶται τὰ πάντων 171
εὐωδέστατα θυμιαμάτων εἴσω τοῦ καταπετάσματος, ἀνίσχοντος ἡλίου
καὶ δυομένου, πρό τε τῆς ἑωθινῆς θυσίας καὶ μετὰ τὴν ἑσπερινήν, ὡς
εἶναι τὰ μὲν ἔναιμα εὐχαριστίαν ὑπὲρ ἡμῶν τῶν ἐναίμων, τὰ δὲ θυ-
μιάματα ὑπὲρ τοῦ ἡγεμονικοῦ, τοῦ ἐν ἡμῖν λογικοῦ πνεύματος, ὅπερ

---

1 ἀλλὰ τοῦ codd.: ἀλλὰ ὑπὸ τοῦ Mang. in textu (sed cf. append.) ἀνυπαιτίου RF (coni. Mang.): ὑπαιτίου AH 2 διὰ codd.: ἀπὸ Mang. προσέρχοιντο R: προέρχοιντο FAH (v) 3 βωμοῖς RF: εἰς βωμοὺς AH (v) ἢ νόσημα om. AH (Turn.), ἢ νόσον post πάθος (4) add. A 5 ἁγιάζειν Mang.: ἀγάζειν R, αὐγάζειν FAH 9 θαυμαστὴ τούτων ἡ R: θαυμαστὴ δὲ τούτων ἡ F, θαυμαστὴ δ' ἡ τούτων AH (v) γὰρ om. F 10 ἑβδόμαις αἱ δὲ om. Richt. Tauchn. ἑβδομάδαις (sic) F 14. 15 ὁ θεὸς τῷ γένει τῶν ἀνθρώπων RF: τῷ γ. τ. ἀ. ὁ θεὸς AH (Turn.) 15 διπλασιάζειν H 16 προτιθεὶς AH 16. 17 αἰῶνι τὴν ἑβδόμην RF: τὴν ἑβδόμην αἰῶνι AH (v) 18 ἐντελεχείᾳ R 19 ἑκάστην τὴν ἡμέραν F ἐπιθυμιᾶσαι L (Turn.) τὰ om. RF 20 ἴσω H 21 πρό] πρός R

---

6 cf. *Ioseph. Ant. Iud. III § 224* δύο μὲν γάρ εἰσιν ἱερουργίαι, τούτων δ' ἡ μὲν ὑπὸ τῶν ἰδιωτῶν ἑτέρα δ' ὑπὸ τοῦ δήμου συντελούμεναι κατὰ δύο γίνονται τρόπους. 11 Exod. 29,38—42. Num. 28,3—8. cf. *Joseph. Ant. Iud. III § 237* 15 Num. 28,9. 10. cf. *Ioseph. l. l.* 19 Exod. 30,6—8. cf. *Ioseph. l. l. § 199.*

172 ἐμορφώθη πρὸς ἀρχέτυπον ἰδέαν εἰκόνος θείας. ἄρτοι δὲ προτίθενται ταῖς ἑβδόμαις ἐπὶ τῆς ἱερᾶς τραπέζης ἰσάριθμοι τοῖς μησὶ τοῦ ἐνιαυτοῦ, δυσὶ θέμασιν ἀνὰ ἕξ, [δώδεκα,] κατὰ τὸν λόγον τῶν ἰσημεριῶν ἑκάτερα — δύο γάρ εἰσιν ἀνὰ πᾶν ἔτος, ἐαρινή τε καὶ μετοπωρινή, αἳ μησὶν ἓξ καταριθμοῦνται —· δι' ἣν αἰτίαν * * * ⟨ἐαρινῇ μὲν⟩ τὰ σπαρτὰ πάντα τελειογονεῖται, καθ' ὃν χρόνον τὰ δένδρα γεννᾶν ἄρχεται, μετοπωρινῇ δὲ καὶ ὁ τῶν δένδρων καρπὸς τελεσφορεῖται, ἐν ᾧ καιρῷ πάλιν ἀρχὴ σπορᾶς. οὕτως δολιχεύουσα ἡ φύσις τὸν αἰῶνα ἄλλας ἐπ' ἄλλαις ἀμείβει δωρεὰς ἀνθρώπων γένει, ὧν εἰσι σύμβολα αἱ διτταὶ τῶν προ-
173 κειμένων ἄρτων ἑξάδες. αἰνίττονται δὲ καὶ τὴν ὠφελιμωτάτην τῶν ἀρετῶν ἐγκράτειαν, ἣ δορυφορεῖται πρὸς εὐτελείας καὶ εὐκολίας καὶ ὀλιγοδεΐας, διὰ τὸν ἐξ ἀκολασίας καὶ πλεονεξίας βλαβερώτατον ἐπιτειχισμόν· ἄρτος γὰρ ἐραστῇ σοφίας διαρκὴς τροφή, παρέχουσα καὶ τὰ σώματα ἄνοσα καὶ τὸν λογισμὸν ὑγιῆ καὶ ἐν τοῖς μάλιστα νηφάλιον·
174 ὄψα δὲ καὶ μελίπηκτα καὶ ἡδύσματα καὶ ὅσα σιτοπόνων καὶ ὀψαρτυτῶν περιεργίαι τεχνιτεύουσι καταγοητεύουσαι τὴν ἄμουσον καὶ ἀφιλόσοφον καὶ ἀνδραποδωδεστάτην τῶν αἰσθήσεων γεῦσιν, ὑπηρετοῦσαν καλῷ μὲν οὐδενὶ θεάματι ἢ ἀκούσματι, γαστρὸς δὲ τῆς ταλαίνης ἐπιθυμίαις, νόσους
175 σώματι καὶ ψυχῇ κατασκευάζει πολλάκις ἀνιάτους. συνεπιτίθεται δὲ τοῖς ἄρτοις λιβανωτὸς καὶ | ἅλες, ὁ μὲν σύμβολον τοῦ μηδὲν ἥδυσμα p. 240

1 εἰκόνα θείαν coni. Mang. προτιθέναι H 2 τῆς] ταῖς H 3 θέμασιν] θύμασιν F, θρέμμασιν L (Turn.) δώδεκα seclusi τὸν om. F ἑκάτερα] ὧν ἑκατέρᾳ F (Mang., qui αἳ l. 4 delendum et καταριθμεῖται l. 5 scribendum censuit); ὧν ἑκατέρᾳ Wendl. Useneri sententiam secutus 4 μεθοπωρινή F, ὀπωρινή L (Turn.) 5 δι' ἣν αἰτίαν codd.: om. v post αἰτίαν lacunam indicavi; δι' ἣν αἰτίαν ⟨τοῦτο προστέτακται, αὐτίκα λεκτέον⟩ e. gr. suppleo ἐαρινῇ μὲν add. Turn. τὰ om. H 6. 7 μεθοπωρινῇ F 7 ᾧ om. F 8 ἀρχῆς F οὕτω F (v) ἄλλας] ἄλλαις H (Turn.) ἐπ' ἄλλαις codd.: ἐπ' ἄλλας Mang. 9 δωρεαῖς (sic) ἀμείβει transp. F 9. 10 προκειμένων] προτεθειμένων F 11 δωρυφορεῖται H, δωροφορεῖται A εὐτελείας καὶ εὐκολίας RF: εὐκολίας καὶ εὐτελείας (-λίας H) AH (v) 12 ὀλιγοδείας FA 13 τροφή F Vind.: τροφὴν R, τρυφή AH 14 ὑγιῆ R: ὑγιᾶ FAH Vind. (v) ἐν τοῖς μάλιστα RF Vind.: om. AH (Turn.) 16 τεχνιτεύουσι F Vind.: τεχνιτεύουσαι RAH καταγοητεύουσαι FH Vind.: καταγοητεύουσι RA 17 ἀνδραποδεστάτην F, ἀνδραποδέστατον Vind. 18 ἐπιθυμίαις F Vind.: ἐπιθυμίᾳ AH (-ίᾳ v), ἐπιθυμίαν R ante νόσους add. ἢ F, ἡ Vind. 19 σώματι καὶ] σωματικὰς F, σωματικοὺς Vind.

1 Lev. 24,5. 6. 8. cf. *Ioseph. l. l.* § *142. 143. 255. 256* 13—19 Vind. hist. gr. 67 fol. 56v τοῦ αὐτοῦ: ἄρτος γὰρ — ἀνιάτους. 19 Lev. 24,7.

εὐωδέστερον ὀλιγοδείας εἶναι καὶ ἐγκρατείας παρὰ σοφίᾳ δικαζούσῃ, οἱ
δ' ἅλες διαμονῆς τε τῶν συμπάντων — οἷς γὰρ ἂν παραπασθῶσι δια-
τηροῦσι — καὶ ἱκανοῦ προσοφήματος. οἶδ' ὅτι γέλωτα καὶ χλεύην 176
ταῦτα θήσονται οἱ περὶ τὰ συμπόσια καὶ τὰς εὐωχίας πραγματευόμενοι
καὶ πολυτελεῖς τραπέζας μεταδιώκοντες, οἱ ὀρνέων καὶ ἰχθύων καὶ
κρεῶν καὶ τῆς ὁμοιοτρόπου φλυαρίας ἄθλιοι δοῦλοι, μηδ' ὄναρ ἀληθοῦς
ἐλευθερίας γεύσασθαι δυνάμενοι. ὧν ὀλίγα φροντιστέον τοῖς κατὰ θεὸν
καὶ πρὸς τὴν τοῦ ὄντως ὄντος ἀρέσκειαν ζῆν ἐγνωκόσιν, οἳ τῶν σαρκὸς
ἀλογεῖν ἡδονῶν πεπαιδευμένοι τὰς διανοίας χαρὰς καὶ εὐπαθείας θεωρίᾳ
τῶν τῆς φύσεως ἐνασκούμενοι μεταδιώκουσι.

Ταῦτα περὶ τῆς ἑβδόμης διαταξάμενος ταῖς νουμηνίαις φησὶ δεῖν 177
θύειν ὁλόκαυτα δέκα τὰ σύμπαντα· μόσχους δύο, κριὸν ἕνα, ἀμνοὺς
ἑπτά. ἐπειδὴ γὰρ ὁ μὴν τέλειος, ἐν ᾧ σελήνη τὸν ἑαυτῆς κύκλον
περατοῦται, τέλειον ἀριθμὸν ζῴων ἠξίωσεν ἱερουργεῖσθαι. ἡ δεκὰς δὲ 178
παντελὴς ἀριθμός, ὃν εὖ μάλα διένειμεν εἰς τὰ λεχθέντα, τοὺς μὲν
δύο μόσχους, ἐπειδὴ δύο κινήσεις εἰσὶ σελήνης ἀεὶ διαυλοδρομούσης,
ἡ μὲν κατ' αὔξησιν ἄχρι πλησιφαοῦς, ἡ δὲ κατὰ μείωσιν ἄχρι συνόδου,
τὸν δ' ἕνα κριόν, ἐπειδὴ λόγος εἷς ἐστι, καθ' ὃν αὔξεταί τε καὶ μειοῦται
τοῖς ἴσοις διαστήμασι καὶ φωτιζομένη καὶ ἐπιλείπουσα, τοὺς δὲ ἑπτὰ
ἀμνούς, ὅτι καθ' ἑβδομάδας ἐπιδέχεται τοὺς τελείους σχηματισμούς,
πρώτῃ μὲν ἑβδομάδι τῇ ἀπὸ συνόδου τὸν διχότομον, δευτέρᾳ δὲ τὸν
πλησιφαῆ, καὶ ὅταν ἀνακάμπτῃ πάλιν, εἰς διχότομον τὸ πρῶτον, ἔπειτ'
εἰς σύνοδον ἀπολήγει. μετὰ δὲ τῶν ἱερείων σεμίδαλιν ἀναδεδευμένην 179
ἐλαίῳ προσφέρειν καὶ οἶνον εἰς σπονδὰς μέτροις ⟨ὡρισμέν⟩οις διετάξατο,
διότι καὶ ταῦτα σελήνης περιόδοις κατὰ τὰς ἐτησίους ὥρας τελεσφο-
ρεῖται διαφερόντως τοὺς καρποὺς πεπαινούσης, σῖτος δὲ καὶ οἶνος καὶ

1 ὀλιγοδείας FA 2 δ' R: δὲ ceteri τε codd.: τῆς v παραπασθῶσι R (Wendl.): παραπαθῶσι F, περιπασθῶσι A (v), περιπαθῶσι H 3. 4 γέλωτα καὶ χλεύην ταῦτα θήσονται RF: χλεύην θήσουσι καὶ γέλωτα ταῦτα AH (v) 6 ὁμοιοτρόπου RF: ὁμοτρόπου AH (Turn.) δοῦλοι] δ' οὗτοι F 8 καὶ om. Turn. ὄντως ὄντος codd.: ὄντος ὄντως v 9 ἀλογεῖν ἡδονῶν RF: ἡδονῶν ἀλογεῖν AH (v) διανοίας RF: τῆς διανοίας AH (v) 11—47,6 Ταῦτα — καινοτομεῖν RF: om. AH (v) 12. 13 ἀμνοὺς ἑπτά R: ἑπτὰ ἀμνούς F 14 περατοῦται Wendl.: περαιοῦται RF; περατοῖ conicio ἡ om. F 15 διένειμεν R: om. F; διαιρεῖ post λεχθέντα add. Wendl. 16 εἰσὶ R: om. F 19 δὲ R: δ' F 20 καθ' ἑβδομάδος R 21 τὸν διχότομον R: τὴν διχότομον F 24 σπονδὰς R: σπονδὴν F μέτροις ὡρισμένοις scripsi: μέτροις οἷς RF; μέτροις οἷς ⟨πρέπει⟩ olim conieceram

11 Num. 28,11—14. cf. *Ioseph. Ant. Iud. III* § *238*.

ἔλαιον, βιωφελέσταται οὐσίαι καὶ πρὸς χρῆσιν ἀνθρώποις ἀναγκαιόταται,
πάσαις εἰκότως θυσίαις συγκαθιεροῦνται.
180 Τῇ δ' ἱερομηνίᾳ διττὰ θύματα προσάγεται προσηκόντως, ἐπεὶ καὶ
διττὸς ὁ περὶ αὐτῆς λόγος, ὁ μὲν ὡς νουμηνίας, ὁ δὲ ὡς ἱερομηνίας.
ᾗ μὲν οὖν νουμηνία, τὰ ἴσα ταῖς ἄλλαις ἱερουργεῖσθαι διείρηται, ᾗ δὲ
καὶ ἱερομηνία, διπλασιάζεται τὰ δῶρα, δίχα τῶν μόσχων· εἷς γὰρ
ἀντὶ δυεῖν προσάγεται, τοῦ βραβευτοῦ δικαιώσαντος ἀδιαιρέτῳ φύσει
μονάδος πρὸ διαιρετῆς δυάδος χρήσασθαι ἐν ἀρχῇ τοῦ ἐνιαυτοῦ.
181 Ἐν δὲ τῷ πρώτῳ καιρῷ — πρῶτον δὲ καιρὸν τὴν ἐαρινὴν ὥραν
καὶ ἰσημερίαν καλεῖ — προστάξας ἑπτὰ ἡμέρας ἑορτὴν ἄγειν τὴν ἐπι-
καλουμένην τῶν ἀζύμων ἰσοτίμους ἀπέφηνε πάσας ἐν ταῖς ἱερουργίαις·
δέκα γὰρ ὅσα καὶ ταῖς νουμηνίαις θύειν καθ' ἑκάστην κελεύει, τὰ σύμ-
182 παντα ὁλόκαυτα, δίχα τῶν περὶ πλημμελείας, ἀριθμὸν ἑβδομήκοντα. τὸν
γὰρ αὐτὸν ἔχειν ᾠήθη λόγον πρὸς μῆνα νουμηνίαν ὃν πρὸς ἰσημερίαν
ἑβδόμῳ μηνὶ γινομένην τὰς ἑπτὰ τῆς ἑορτῆς ἡμέρας, ἵν' ἀποφήνῃ καὶ
τὴν ἀρχὴν ἑκάστου μηνὸς ἱερὰν καὶ ἀθρόων τῶν ἑπτὰ τὰς ἰσαρίθμους
ταῖς νουμηνίαις ἡμέρας.
183 Μεσοῦντος δὲ ἔαρος ἄμητος ἐνίσταται, καθ' ὃν καιρὸν χαριστήρια
μὲν ἀνάγεται τῷ θεῷ τῆς πεδιάδος ἐπὶ τῷ πλήρη τὸν καρπὸν ἐνηνοχέναι
καὶ τὰ θέρη συγκομίζεσθαι, δημοτελεστάτη δ' ἄγεται ἑορτὴ προσαγο-
ρευομένη πρωτογεννημάτων ἐτύμως ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ τῶν
184 γεννημάτων τὰ πρῶτα, αἱ ἀπαρχαί, τότε καθιεροῦνται. προστέτακται
δ' ἀνάγειν θυσίας μόσχους δύο, κριὸν ἕνα καὶ ἑπτὰ ἀμνούς, ταῦτα μὲν
δέκα ἱερεῖα ὁλόκαυτα, δύο δ' ἀμνοὺς εἰς βρῶσιν ἱερέων, οὓς ἐπικαλεῖ
σωτηρίου διὰ τὸ τὰς τροφὰς ἀνθρώποις ἐκ πολλῶν καὶ παντοδαπῶν
διασεσῶσθαι· φθοραὶ γὰρ εἰώθασι καταλαμβάνειν, αἱ μὲν ἐπομβρίαις,
αἱ δ' αὐχμοῖς, αἱ δ' ἄλλαις ἀμυθήτοις νεωτεροποιίαις, αἱ δ' αὖ χειρο-

---

2 πάσαις F: πᾶσαι R συγκαθιεροῦνται] R: καθιεροῦνται F 3 θύματα R: θυμιάματα F 4 δὲ R: δ' F 5 ᾗ R (ut vid.): τῇ F 5. 6 ᾗ δὲ καὶ R: τῇ δ' F 9 πρώτῳ] πρωτοτόκῳ F[1] 11 ἀπέφηνεν R 12 νεομηνίαις R 12. 13 σύμπαντα R: σύμπανθ' F 13 ἀριθμῶν R 18 δὲ R: δ' F 21 πρωτογενημάτων F 22 γενημάτων F 25 σωτηρίου F: σωτηρίους R διὰ τὸ R: ἅτε F παντοδαπῶν ⟨κινδύνων⟩ vel ⟨κακῶν⟩ coni. Wendl. 26 φθοραὶ R: φοραὶ F 27 ἄλλαις] ἄλλως R

---

3 Num. 29,1—6. cf. *Ioseph. l. l.* § 239 9 Num. 28,16—25. cf. *Ioseph. l. l.* § 249 18 Num. 28,26—31. Lev. 23,18. cf. *Ioseph. l. l.* § 253. 24 δύο δ' ἀμνοὺς κτλ. Lev. 23,19. 20. cf. *Ioseph. l. l.* § 252. 253.

ποίητοι κατ' ἐφόδους ἐχθρῶν τὴν τῶν πέλας γῆν δῃοῦν ἐπιχειρούντων.
εἰκότως οὖν τὰ σῶστρα τῷ πάσας ἀποσκεδάσαντι τὰς ἐπιβουλὰς ἀνάγεται 185
χαριστήρια καὶ ἀνάγεται ἄρτοις, οὓς προσενεγκόντες τῷ βωμῷ καὶ ἄνω
πρὸς οὐρανὸν ἀνατείναντες ἐπιδιανέμουσι τοῖς ἱερεῦσι μετὰ τῶν κρεῶν
τῆς τοῦ σωτηρίου θυσίας εἰς ἱεροπρεπεστάτην εὐωχίαν.

Ὅταν δ' ὁ τρίτος ἐνστῇ καιρὸς ἐν τῷ ἑβδόμῳ μηνὶ κατ' ἰσημερίαν 186
μετοπωρινήν, ἐν ἀρχῇ μὲν ἱερομηνία ἄγεται προσαγορευομένη σαλπίγγων,
περὶ ἧς ἐλέχθη πρότερον, δεκάτῃ δ' ἡ νηστεία, περὶ ἣν ἐσπουδάκασιν
οὐ μόνον οἷς ζῆλος εὐσεβείας καὶ ὁσιότητος, ἀλλὰ καὶ οἷς κατὰ τὸν
ἄλλον βίον εὐαγὲς οὐδὲν δρᾶται· πάντες γὰρ ἡττώμενοι τοῦ περὶ αὐτὴν
ἱεροπρεποῦς τεθήπασι καὶ οἱ χείρους τοῖς βελτίοσι τότε γοῦν εἰς ἐγκρά-
τειαν καὶ ἀρετὴν ἁμιλλῶνται. διττοὺς δ' ἔχει λόγους τὸ ἀξίωμα τῆς 187
ἡμέρας, τοὺς μὲν ὡς ἑορτῆς, τοὺς δὲ ὡς καθάρσεως καὶ φυγῆς ἁμαρ-
τημάτων, ἐφ' οἷς ἀμνηστία δέδοται χάρισι τοῦ ἵλεω θεοῦ μετάνοιαν
ἐν ἴσῳ τῷ μηδὲ ἁμαρτάνειν τετιμηκότος. τὰς μὲν οὖν ὡς ἑορτῆς 188
θυσίας ἰσαρίθμους ἀπέφηνε ταῖς τῶν ἱερομηνιῶν, μόσχον καὶ κριὸν καὶ
ἑπτὰ ἄρνας, ἀνακερασάμενος μονάδα ἑβδομάδι καὶ πρὸς ἀρχὴν τὸ τέλος
ἀπευθύνας — τέλος μὲν γὰρ ἔργων ἑβδομάς, ἀρχὴν δὲ μονὰς κεκλή-
ρωται —, τὰς δ' ὡς καθάρσεως ⟨τρεῖς⟩· προστάττει γὰρ δύο χιμάρους
ἀνάγειν καὶ κριόν, εἶτά φησι δεῖν τὸν μὲν ὁλοκαυτοῦν, διακληροῦν δὲ
τοὺς χιμάρους, καὶ τὸν μὲν λαχόντα τῷ θεῷ θύειν, τὸν δ' ἕτερον εἰς
ἀτριβῆ καὶ ἄβατον ἐρημίαν ἐκπέμπειν ἐφ' ἑαυτῷ κομίζοντα τὰς ὑπὲρ
τῶν πλημμελησάντων ἀράς, οἳ μεταβολαῖς ταῖς πρὸς τὸ βέλτιον ἐκαθάρ-
θησαν, εὐνομίᾳ καινῇ παλαιὰν ἀνομίαν ἐκνιψάμενοι.

Τῇ δὲ πεντεκαιδεκάτῃ τῆς πλησιφαοῦς σελήνης ἄγεται ἡ ἐπι- 189
καλουμένη σκηνῶν ἑορτή, καθ' ἣν πλείους εἰσὶν αἱ χορηγίαι τῶν θυσιῶν·
καταθύονται γὰρ ἐφ' ἡμέρας ἑπτὰ μόσχοι μὲν ἑβδομήκοντα, κριοὶ δὲ

---

3 καὶ ἀνάγεται secl. Wendl. (haud recte) 4 τῶν om. R 6 ἐνστῇ καιρὸς F: καιρὸς ἐνστῇ R ἐν τῷ om. F 7 μεθοπωρινήν F 8 περὶ ἧς F: ὡς R πρότερον R: τὸ πρό(τερον) F πρὸ δεκάτ' ἡ νηστεία (sic) F 9 alt. οἷς om. F 10 οὐδὲν εὐαγὲς F (εὐαγὲς οὐδὲν scripsi): εὐγενὲς οὐδὲν R 13 τοὺς μὲν ... τοὺς δὲ RF: τὸν μὲν ... τὸν δ' Wendl. δ' F 14 ἀμνηστεία δέδοται F: δέδοται ἀμνηστία R χάρισι ... μετάνοιαν R (Wendl.): χάρις ἡ ... μετάνοια F 15 μηδὲ scripsi: μηδὲν RF ἑορτῆς F: ἑορτῇ R 18 ἀρχὴν F: ἀρχὴ R 19 τὰς δ' Wendl.: τὰ δ' RF τρεῖς addidi; ⟨προσέθηκε⟩ coni. Wendl. 20 ἀνάγειν R: αἰγῶν F; αἰγῶν ⟨ἀνάγειν⟩ Wendl. φησιν R τὸν R: τὸ F

---

8 Num. 29,7—11. Lev. 16,5sqq. cf. *Ioseph. l. l.* *§ 240—243* 25 Num. 29,12sqq. cf. *Ioseph. l. l. § 246.*

τέσσαρες καὶ δέκα, ἄρνες δὲ δυοῖν δεόντων ἑκατόν, ἅπαντα ζῷα ὁλό-
καυτα. προστέτακται δὲ καὶ τὴν ὀγδόην ἱερὰν νομίζειν, περὶ ἧς ἀκριβω-
τέον, ὅταν σύμπας ὁ περὶ τῶν ἑορτῶν ἐξετάζηται λόγος, ἐν ᾗ προσ-
άγεται ὅσα καὶ ἐν ταῖς ἱερομηνίαις.
190 Αἱ μὲν οὖν ὑπὲρ τοῦ ἔθνους ἢ κυριώτερον εἰπεῖν ὑπὲρ παντὸς
ἀνθρώπων γένους κοιναὶ καὶ ὁλόκαυτοι θυσίαι κατ' ἐμὴν δύναμιν εἴρηνται.
ταῖς δ' ὁλοκαύτοις καθ' ἑκάστην ἡμέραν ἑορτῆς παρέπεται χίμαρος, ὃς
καλεῖται μὲν περὶ ἁμαρτίας, καταθύεται δὲ εἰς ἁμαρτημάτων ἄφεσιν,
191 οὗ τὰ κρέα τοῖς ἱερεῦσιν εἰς ἐδωδὴν ἀπονέμεται. τίς οὖν αἰτία; ἢ
ὅτι ἑορτὴ καιρός ἐστιν εὐφροσύνης, ἡ δ' ἀψευδὴς καὶ πρὸς ἀλήθειαν
εὐφροσύνη φρόνησίς ἐστιν ἐνιδρυμένη ψυχῇ βεβαίως, φρόνησιν δ' ἀκλινῆ
λαβεῖν οὐκ ἔνεστιν ἄνευ θεραπείας ἁμαρτημάτων καὶ παθῶν ἐκτομῆς;
ἄτοπον γὰρ ἕκαστον μὲν τῶν ὁλοκαυτουμένων ἀσινὲς καὶ ἀβλαβὲς ἀνευ-
ρισκόμενον καθιεροῦσθαι, τὴν δὲ τοῦ θύοντος διάνοιαν μὴ οὐ κεκαθάρθαι
πάντα τρόπον καὶ πεφαιδρύνθαι λουτροῖς καὶ περιρραντηρίοις χρησαμένην,
ἅπερ ὁ τῆς φύσεως ὀρθὸς λόγος δι' ὑγιαινόντων καὶ ἀδιαφθόρων ὤτων
192 ψυχαῖς φιλοθέοις ἐπαντλεῖ. πρὸς δὲ τούτῳ κἀκεῖνο δεόντως ἂν λέγοιτο·
αἱ ἑορτώδεις ἀνέσεις αὗται καὶ ἐκεχειρίαι μυρίας ἤδη πολλάκις ἁμαρτη-
μάτων ὁδοὺς ἀνέτεμον· ἄκρατος γὰρ καὶ αἱ μετ' οἰνοφλυγίας ὀψοφαγίαι
τὰς γαστρὸς ἀκορέστους ἐπιθυμίας ἐγείρουσαι προσαναφλέγουσι καὶ τὰς
ὑπὸ γαστέρα, καὶ ῥέουσαι καὶ χεόμεναι πάντῃ φορὰν ἀμυθήτων ἀπερ-
γάζονται κακῶν τὸ τῆς ἑορτῆς ἀδεὲς ὁρμητήριον ἔχουσαι καὶ πρὸς τὸ
193 μηδὲν παθεῖν καταφυγήν. ἅπερ συνιδὼν οὐκ ἐφῆκε κατὰ τὰ αὐτὰ τοῖς
ἄλλοις ἑορτάζειν, ἀλλ' ἐν αὐτῷ τῷ τῆς εὐφροσύνης καιρῷ πρῶτον μὲν
ἐκέλευσεν ἁγνεύειν ἐπιστομίζοντας τὰς ἐφ' ἡδονὴν ὁρμάς, εἶτα εἰς τὸ
ἱερὸν ἐπὶ μετουσίαν ὕμνων καὶ εὐχῶν καὶ θυσιῶν ἐκάλεσεν, ἵνα κἀκ

1 δυοῖν R (Wendl.): om. F 2 δὲ R (Wendl.): om. F 3 ἐξετάζηται λόγος R: λόγος ἐξετάζηται F 7 ὁλοκαύταις R 8 δὲ R: δ' F 9 τοῖς ἱερεῦσιν εἰς ἐδωδὴν R: εἰς ἐδωδὴν τοῖς ἱερεῦσιν F 9. 10 ἢ. ὅτι F 13 καὶ ἀβλαβὲς R: om. F 13. 14 ἀνευρισκόμενον R: εὑρισκόμενον F 15 περιραντηρίοις F χρησαμένην F: κεκαθαρμένην R 19 ἄκρατος F: ἄκρατοι R αἱ R: om. F 20 ἐγείρουσαι προσαναφλέγουσι R: ἐξεγείρουσι (sic) προσαναφλέγουσαι F 23 ἅπερ] ὅπερ coni. Wendl. τὰ αὐτὰ R: ταῦτα F 25 ἐπιστομίζοντας R (Wendl.): ἐπιστοματίζοντας F τὰς om. R εἶτα R: εἶτ' F 26 μετουσίαν R (Wendl.): μετουσία F ἐκάλεσεν F: ἐκέλευσεν R

2 Num. 29,35. 36. cf. *Ioseph. l. l.* § 247 7 Num. 28,15. 22. 30. 29,5. 11. 16. 19. 22. 25. 28. 31. 34. 38.

τοῦ τόπου κἀκ τῶν ὁρωμένων καὶ λεγομένων διὰ τῶν κυριωτάτων αἰσθήσεων, ὄψεως καὶ ἀκοῆς, ἐγκρατείας ἅμα καὶ εὐσεβείας ἐρασθῶσιν, εἶτ' ἐπὶ πᾶσιν ὑπέμνησε τοῦ μὴ ἁμαρτάνειν διὰ τῆς θυσίας τοῦ περὶ ἁμαρτίας· ὁ γὰρ ἀμνηστίαν ἐφ' οἷς ἥμαρτεν αἰτούμενος οὐχ οὕτως ἐστὶ κακοδαίμων, ὥστ' ἐν ᾧ χρόνῳ παλαιῶν ἀδικημάτων αἰτεῖται λύσιν ἕτερα καινοτομεῖν.

(4.) Τοσαῦτα περὶ τούτων διαλεχθεὶς ἄρχεται διαιρεῖν τὰ τῶν 194 θυσιῶν γένη καὶ τέμνων εἰς εἴδη τρία τὰ ἀνωτάτω τὸ μὲν ὁλόκαυτον καλεῖ, τὸ δὲ σωτήριον, τὸ δὲ περὶ ἁμαρτίας· εἶθ' ἕκαστον τοῖς ἁρμόττουσιν ἐπικοσμεῖ τοῦ πρέποντος ἅμα καὶ εὐαγοῦς οὐ μετρίως στοχασάμενος. παγκάλη 195 δὲ καὶ προσφυεστάτη τοῖς πράγμασιν ἡ διαίρεσις ἀκολουθίαν ἔχουσα καὶ εἱρμόν· εἰ γὰρ βούλοιτό τις ἐξετάζειν ἀκριβῶς τὰς αἰτίας, ὧν ἕνεκα τοῖς πρώτοις ἔδοξεν ἀνθρώποις ἐπὶ τὰς διὰ θυσιῶν εὐχαριστίας ὁμοῦ καὶ λιτὰς ἐλθεῖν, εὑρήσει δύο τὰς ἀνωτάτω· μίαν μὲν τὴν πρὸς θεὸν τιμήν, τὴν ἄνευ τινὸς ἑτέρου δι' αὐτὸν μόνον γινομένην ὡς ἀναγκαῖον ⟨καὶ⟩ καλόν, ἑτέραν δὲ τὴν τῶν θυόντων προηγουμένην ὠφέλειαν· διττὴ δ' ἐστίν, ἡ μὲν ἐπὶ μετουσίᾳ ἀγαθῶν, ἡ δὲ ἐπὶ κακῶν ἀπαλλαγῇ. τῇ μὲν οὖν κατὰ θεὸν καὶ δι' αὐτὸν μόνον γινομένῃ προσήκουσαν ὁ 196 νόμος ἀπένειμε θυσίαν τὴν ὁλόκαυτον, ὁλοκλήρῳ καὶ παντελεῖ μηδὲν ἐπιφερομένῃ τῆς θνητῆς φιλαυτίας ὁλόκληρον καὶ παντελῆ· τὴν δὲ χάριν ἀνθρώπων, ἐπειδὴ διαίρεσιν ἐπεδέχετο ἡ δόξα, καὶ αὐτὸς διεῖλε, κατὰ μὲν τὴν μετουσίαν τῶν ἀγαθῶν ὁρίσας θυσίαν ἣν ὠνόμασε σωτήριον, τῇ δὲ φυγῇ τῶν κακῶν ἀπονείμας τὴν περὶ ἁμαρτίας.

---

1 (ὁρω)μένων καὶ R: om. F διὰ τῶν RF: δύο Wendl. 2 ἅμα F: om. R 3 θύσεως N τοῦ RF: τῆς Wendl. 6 καινοτομεῖ conicio 8 γένη] εἴδη F εἴδη τρία codd.: τρία εἴδη v καλεῖ RF: ποιεῖ AH (Turn.) 9. 10 ἐπικοσμεῖ RF: ἐπιδιώκει AH (Turn.) 11 αἱ διαίρεσις (sic) H 13 διὰ RF: om. AH (Turn.) ὁμοῦ RAH: ἅμα F (Mang.) 14 εὑρήσω H 15 δι' αὐτὸν Mang.: δι' αὐτὸ A, διὰ τὸ ceteri ὡς ἀναγκαῖον RF: καὶ ἀναγκαῖον AH (v); ἀκέραιον coni. Bernays 16 καὶ καλόν scripsi; ⟨ὃν τιμᾶσθαι⟩ ἀναγκαῖον ⟨καὶ⟩ καλὸν coni. Mang. προηγουμένην RAH: προηγουμένως F 17 δέ ἐστιν AH μετουσίαν R δ' F ἀπαλλαγήν R 18 τῇ ... γινομένῃ F: τὴν ... γινομένην RAH κατὰ θεὸν] κατὰ τὸ δέον coni. Mang. καὶ om. AH (Turn.) 20 ἐπιφερομένῃ RF: ἐπιφερομένην AH (v) 21 δόξα] θυσία coni. Mang. 22 μὲν F: om. RAH (v) 23 σωτηρίου coni. Mang.

3–6 N fol. 156r: εἶτα ἐπὶ—καινοτομεῖν τοσαῦτα. 14 cf. J. Bernays, Theophrasts Schrift über die Frömmigkeit p. 105.

197 ὡς τρεῖς εἶναι δεόντως ἐπὶ τρισί, τὴν μὲν ὁλόκαυτον δι' αὐτὸν μόνον
τὸν | θεόν, ὃν καλὸν τιμᾶσθαι, μὴ δι' ἕτερον, τὰς δ' ἄλλας δι' ἡμᾶς, p. 241
τὴν μὲν σωτήριον ἐπὶ σωτηρίᾳ καὶ βελτιώσει τῶν ἀνθρωπίνων πραγ-
μάτων, τὴν δὲ περὶ ἁμαρτίας ἐπὶ θεραπείᾳ ὧν ἐπλημμέλησεν ἡ ψυχή.
198 (5.) Λεκτέον δὲ περὶ ἑκάστης τὰ νομοθετηθέντα τὴν ἀρχὴν
ποιησαμένους ἀπὸ τῆς ἀρίστης· ἀρίστη δ' ἐστὶν ἡ ὁλόκαυτος. ἔστω
δή, φησί, πρῶτον μὲν τὸ ἱερεῖον ἄρρεν, ἐκ τῶν πρὸς τὰς θυσίας
ἀριστίνδην ζῴων ἐπικριθέντων, μόσχος ἢ ἀμνὸς ἢ ἔριφος· ἔπειτα δ'
ἀπονιψάμενος ὁ προσάγων τὰς χεῖρας ἐπιφερέτω τῇ τοῦ ἱερείου κεφαλῇ·
199 καὶ μετὰ ταῦτα λαβών τις τῶν ἱερέων καταθυέτω καὶ φιάλην ἕτερος
ὑποσχὼν καὶ δεξάμενος τοῦ αἵματος ἐν κύκλῳ περιϊὼν τὸν βωμὸν
ἐπιρραινέτω, καὶ τὸ ἱερεῖον ἀποδαρὲν εἰς ὁλόκληρα μέλη διανεμέσθω,
κοιλίας ἀποπλυνομένης καὶ ποδῶν· εἶτα σύμπαν τῷ ἱερῷ πυρὶ τοῦ
βωμοῦ παραδιδόσθω, γεγονὸς καὶ ἐξ ἑνὸς πολλὰ καὶ ἐκ πολλῶν ἕν.
200 ταῦτα μὲν ἡ ῥητὴ πρόσταξις περιέχει. μηνύεται δὲ καὶ νοῦς ἕτερος
αἰνιγματώδη λόγον ἔχων τὸν διὰ συμβόλων· σύμβολα δ' ἐστὶ τὰ λεχθέντα
φανερὰ ἀδήλων καὶ ἀφανῶν. ἄρρεν εὐθέως τὸ ὁλόκαυτον ἱερεῖον,
ἐπειδὴ τοῦ θήλεος καὶ τελειότερον καὶ ἡγεμονικώτερον καὶ συγγενέστερον
αἰτίῳ δραστικῷ· τὸ γὰρ θῆλυ ἀτελές, ὑπήκοον, ἐν τῷ πάσχειν μᾶλλον
201 ἢ ποιεῖν ἐξεταζόμενον. δυοῖν δ' ὄντων, ἐξ ὧν ἡ ἡμετέρα ψυχὴ συνέστη,
λογικοῦ τε καὶ ἀλόγου, τὸ μὲν λογικὸν τῆς ἄρρενος γενεᾶς ἐστιν, ὅπερ
νοῦς καὶ λογισμὸς κεκλήρωται, τὸ δ' ἄλογον τῆς πρὸς γυναικῶν, ὅπερ
ἔλαχεν αἴσθησις. νοῦς δὲ αἰσθήσεως, ὡς ἀνὴρ γυναικός, καθ' ὅλον
γένος ἀμείνων, ὃς ἄμωμος ὢν καὶ καθαρθεὶς καθάρσεσι ταῖς ἀρετῆς

---

1 ὡς τρεῖς εἶναι RF: om. AH (Turn.) ἐπὶ τρισί] ἐπιτίθησι Turn. 3 μὲν RF: μὲν οὖν AH (v) 4 ἐπλημμέλησεν ἡ ψυχή RF: ἐπλημμέλησε ψυχή AH (v) 5 ἑκάστης RF: ἑκάστης ψυχῆς AH; ἑκάστης θυσίας coni. Mang. 6 δέ ἐστιν AH ὁλόκαυτος RAH: ὁλοκαύτωσις F 7 δή] δέ Richt. 8 ἐπικριθέντων RF: ἐπικριθέν AH (Turn.) 9 ἀπονιψάμενος post χεῖρας transp. F ἱερείου] ἱεροῦ A 11 ἐν om. F 12 μέλη scripsi (cf. p. 50,7 et LXX): μέρη codd. (v) 13 τῷ ἱερῷ RF: τὸ ἱερὸν A, τὸ ἱερεῖον H (Turn.) πυρὶ F: πυρὶ θεοῦ AH (Turn.), πυρὶ τῷ θεοῦ R 13. 14 τοῦ βωμοῦ FAH: βωμῷ R 14 γεγονὼς FH 16 δέ ἐστι AH 17 ἄρρεν εὐθέως RF: εὐθέως· ἄρρεν AH (Turn.) 18 καὶ τελειότερον καὶ ἡγεμονικώτερον RF: καὶ τελειότερον om. AH (Turn.); καὶ ἡγ. καὶ τελ. Mang. 20 ὄντων codd.: ὄντοιν Turn. συνέστηκε F 22 πρὸς RF: τῶν AH (Turn.) 23 ἔλαχεν] ἔλαβεν A δ' F 24 ἀρετῆς RF: ἀρεταῖς AH (v)

---

6 Lev. 1,2—9. cf. *Ioseph. Ant. Iud. III § 226. 227.*

τελείας αὐτός ἐστιν ἡ εὐαγεστάτη θυσία καὶ ὅλη δι' ὅλων εὐάρεστος
θεῷ. τὰς δὲ ἐπιτιθεμένας τῇ τοῦ ζῴου κεφαλῇ χεῖρας δεῖγμα σαφέ- 202
στατον εἶναι συμβέβηκε πράξεων ἀνυπαιτίων καὶ βίου μηδὲν ἐπιφερο-
μένου τῶν εἰς κατηγορίαν ἀλλὰ τοῖς τῆς φύσεως νόμοις καὶ θεσμοῖς
συνᾴδοντος. βούλεται γὰρ τοῦ θύοντος πρῶτον μὲν τὸν νοῦν ὡσιῶσθαι 203
γνώμαις ἀγαθαῖς καὶ συμφερούσαις ἐνασκούμενον, ἔπειτα δὲ τὸν βίον
ἐξ ἀρίστων συνεστάναι πράξεων, ὡς ἅμα τῇ τῶν χειρῶν ἐπιθέσει δύνα-
σθαί τινα παρρησιασάμενον ἐκ καθαροῦ τοῦ συνειδότος τοιαῦτα εἰπεῖν·
αἱ χεῖρες αὗται οὔτε δῶρον ἐπ' ἀδίκοις ἔλαβον οὔτε τὰς ἐξ ἁρπαγῆς 204
p. 242 M. καὶ πλεονεξίας διανομὰς οὔτε αἵματος | ἀθῴου προσήψαντο, οὐ πήρωσιν,
οὐχ ὕβριν, οὐ τραῦμα, οὐ βίαν ἐξειργάσαντο, οὐκ ἄλλο τὸ παράπαν
οὐδὲν τῶν κατηγορίαν καὶ ψόγον ἐχόντων ὑπηρέτησαν, ἀλλ' ὑποδιάκονοι
πάντων ἐγένοντο τῶν καλῶν καὶ συμφερόντων, ἃ παρὰ σοφίᾳ καὶ νόμοις
καὶ σοφοῖς καὶ νομίμοις ἀνδράσι τετίμηται. (6.) τὸ δ' αἷμα κύκλῳ 205
προσχεῖται τῷ βωμῷ, διότι κύκλος σχημάτων ⟨τὸ⟩ τελειότατον καὶ ὑπὲρ
τοῦ μέρος μηδὲν ἔρημον καὶ κενὸν ἀπολειφθῆναι ψυχικῆς σπονδῆς·
ψυχῆς γὰρ κυρίως εἰπεῖν ἐστι σπονδὴ τὸ αἷμα. συμβολικῶς οὖν ἀνα-
διδάσκει τὴν διάνοιαν ὅλην δι' ὅλων ἐν κύκλῳ χορεύουσαν ἐν πάσαις
ἰδέαις λόγων καὶ βουλευμάτων καὶ ἔργων ἐπιδείκνυσθαι τὴν πρὸς τὸν
θεὸν ἀρέσκειαν. ἀποπλύνεσθαι δὲ κοιλίαν καὶ πόδας διείρηται, πάνυ 206
συμβολικῶς· διὰ μὲν γὰρ τῆς κοιλίας αἰνίττεται τὴν ἐπιθυμίαν, ἣν
ἐκνίπτεσθαι συμφέρον κηλίδων καὶ μιασμάτων καὶ μέθης καὶ παροινίας
μεστήν, κακὸν βλαβερώτατον ἐπὶ λύμῃ τοῦ βίου τῶν ἀνθρώπων συγ-
κροτούμενόν τε καὶ συνασκούμενον· διὰ δὲ τοῦ τοὺς πόδας ἀπολούεσθαι 207

1 τελείας scripsi: τελείαις codd. (v) 2 δ' AH ἐπιτεθειμένας AH (Turn.) 3 συμβέβηκεν R 5 συνᾴδοντα FN 8 τοῦ om. N τοιαῦτ' F 9 δῶρα FN οὔτε τὰς — διανομὰς (10) om. L (Turn.) 10 οὔτε R: οὐθ' FAH 11 εἰργάσαντο H (Turn.) 11. 12 οὐκ ἄλλω τω παρ' οὐδενὶ AH (Turn.) 12 καὶ ψόγον R: ἢ ψόγον FAH (v) 13 πάντως ἐγένετο N τῶν καλῶν RFNA: τῶν om. H (v) καὶ τῶν συμφερόντων N ἃ παρὰ σοφία R: ἃ περὶ σοφίας F(N?), ἅπερ τῇ σοφίᾳ AH (v) 14 καὶ σοφοῖς R: σοφοῖς FN, καὶ καλοῖς AH (v) 15 προχεῖται AH (Turn.) τὸ addidi τελεώτατον F 16 τοῦ] οὗ AH μέρος μηδὲν RAH: μηδὲν μέρος F; μέρος οὐδὲν v σπουδῆς A 17 γὰρ κυρίως RF: δ' ὡς AH (Turn.) ἔστιν εἰπεῖν transp. RF 19. 20 πρὸς θεὸν F 20 ἀποπλύνεσθαι] ἐκνίπτεσθαι F 21 τὴν ἐπιθυμίαν RF: ὡς τὴν ἐπιθυμίαν AH (v) ἣν F: om. RAH (v) 22 ἐκνίπτεσθαι RF: ἀπονίπτεσθαι AH (v) καὶ μιασμάτων om. H (Turn.) 23 κακῶν F 24 συνασκούμενον] συναυξόμενον coni. Mang.

2—14 N fol. 156r: τὰς — τετίμηται.

τὸ μηκέτι βαίνειν ἐπὶ γῆς, ἀλλ' αἰθεροβατεῖν· ἡ γὰρ τοῦ φιλοθέου
ψυχὴ πρὸς ἀλήθειαν ἀπὸ γῆς ἄνω πρὸς οὐρανὸν πηδᾷ καὶ πτερωθεῖσα
μετεωροπολεῖ συντάττεσθαι γλιχομένη καὶ συγχορεύειν ἡλίῳ καὶ σελήνῃ
καὶ τῇ τῶν ἄλλων ἀστέρων ἱερωτάτῃ καὶ παναρμονίῳ στρατιᾷ, ταξιαρ-
χοῦντος καὶ ἡγεμονεύοντος τοῦ θεοῦ τοῦ τὴν ἀνανταγώνιστον καὶ ἀν-
208 αφαίρετον βασιλείαν ἔχοντος, δι' ἧς ἐνδίκως ἕκαστα πρυτανεύεται. ἡ δὲ
εἰς μέλη τοῦ ζῴου διανομὴ δηλοῖ, ἤτοι ὡς ἓν τὰ πάντα ἢ ὅτι ἐξ ἑνός
τε καὶ εἰς ἕν, ὅπερ οἱ μὲν κόρον καὶ χρησμοσύνην ἐκάλεσαν, οἱ δ'
ἐκπύρωσιν καὶ διακόσμησιν, ἐκπύρωσιν μὲν κατὰ τὴν τοῦ θερμοῦ
δυναστείαν τῶν ἄλλων ἐπικρατήσαντος, διακόσμησιν δὲ κατὰ τὴν τῶν
209 τεττάρων στοιχείων ἰσονομίαν, ἣν ἀντιδιδόασιν ἀλλήλοις. ἐμοὶ δὲ
εὐθυβολώτερον σκοπουμένῳ δοκεῖ τοῦτο δηλοῦσθαι· ἡ τιμῶσα ψυχὴ
τὸ ὂν δι' αὐτὸ τὸ ὂν ὀφείλει μὴ ἀλόγως μηδ' ἀνεπιστημόνως ἀλλὰ
σὺν ἐπιστήμῃ καὶ λόγῳ τιμᾶν. ὁ δὲ περὶ αὐτοῦ λόγος τομὴν ἐπι-
δέχεται καὶ διαίρεσιν καθ' ἑκάστην τῶν θείων δυνάμεων καὶ ἀρετῶν·
ὁ γὰρ θεὸς ἀγαθός τέ ἐστι καὶ ποιητὴς καὶ γεννητὴς τῶν ὅλων καὶ
προνοητικὸς ὧν ἐγέννησε, σωτήρ τε καὶ εὐεργέτης, μακαριότητος καὶ
πάσης εὐδαιμονίας ἀνάπλεως· ὧν ἕκαστον καὶ καθ' αὑτὸ ἰδίᾳ σεμνὸν
210 καὶ ἐπαινετὸν καὶ μετὰ τῶν ὁμογενῶν ἐξεταζόμενον. ἔχει δὲ καὶ τὰ
ἄλλα ταύτῃ. ὅταν | βουληθῇς, ὦ διάνοια, εὐχαριστῆσαι περὶ γενέσεως p. 243 M.
κόσμου θεῷ, καὶ περὶ τοῦ ὅλου ποιοῦ τὴν εὐχαριστίαν καὶ περὶ τῶν
ὁλοσχερεστάτων αὐτοῦ μερῶν ὡς ἂν ζῴου τελειοτάτου μελῶν, οἷον
οὐρανοῦ λέγω καὶ ἡλίου καὶ σελήνης, πλανήτων καὶ ἀπλανῶν ἀστέρων,

3 μετεωροπολεῖ R (sic scripseram): μετεωροπορεῖ FAH (v) 6 δ' F 7 ἤτοι ὡς RF: ἤτοι εἰς AH; ἢ ὅτι εἰς Turn. ἓν τὰ πάντα] εισ απαντα R 8 εἰς ἓν RF: εἰς ἕνα AH (Turn.) 9 ἐκπύρωσιν μὲν—διακόσμησιν δὲ (10) om. AH (Turn.) θερμοῦ R: θεοῦ F; πυρὸς coni. Bernays 11 ἰσονομίαν] οἰκονομίαν H (Turn.) δ' F 12 ψυχὴ RF: om. AH (Turn.) 13 ἀλλὰ codd.: ἀλλὰ καὶ v 15 post διαίρεσιν add. καὶ AH (Turn.) 16 γεννητὴς F: γενέτης RAH (v) 17 ἐγέννησεν R μακαριότητος RF: καὶ μακαριώτατος AH (v) 18 καθ' αὑτὸν R, καθ' ἑαυτὸ F ϊδιασεμνον (sic) R 19 post ἐπαινετὸν add. R: ἐν ἄλλω π(ᾶσι?) τοῖς δεδημιουργημένοις θεωρούμενον 19. 20 τἄλλα F τὰ ἄλλα βουλησεισ ολοκληρω . . . . . . ταυτη R 20 ὦ διάνοια RF: σῇ διανοίᾳ AH (v) 20. 21 περὶ γενέσεως κόσμου θεῷ RF: θεῷ post εὐχαριστῆσαι (20) transp. AH 21 καὶ—ποιοῦ om. Richt. ὅλου ποιοῦ] ὅλων ποιητοῦ R 22 ὁλοσχερεστάτων RF: ὁλοσχερεστέρων AH; ὁλοσχερῶν v μελῶν] μερῶν Turn. 23 καὶ πλανήτων AH

7 sqq. cf. Heracliti frg. 1. 24 Byw. (50. 65 Diels). Bernays Heraklit. Briefe p. 125.

εἶτα γῆς καὶ τῶν ἐν αὐτῇ ζῴων καὶ φυτῶν, εἶτα πελαγῶν καὶ ποταμῶν
αὐθιγενῶν τε καὶ χειμάρρων καὶ τῶν ἐν αὐτοῖς, ἔπειτα ἀέρος καὶ
τῶν κατ᾽ αὐτὸν μεταβολῶν· χειμὼν γὰρ καὶ θέρος, ἔαρ τε καὶ μετό-
πωρον, αἱ ἐτήσιοι καὶ βιωφελέσταται ὧραι, παθήματα ἀέρος γεγόνασιν
ἐπὶ σωτηρίᾳ τῶν μετὰ σελήνην τρεπομένου. κἂν ἄρα ποτὲ περὶ 211
ἀνθρώπων εὐχαριστῇς, μὴ μόνον περὶ τοῦ γένους ἀλλὰ καὶ περὶ τῶν
εἰδῶν καὶ ἀναγκαιοτάτων μερῶν εὐχαρίστει, ἀνδρῶν, γυναικῶν, Ἑλλήνων,
βαρβάρων, τῶν ἐν ἠπείροις, τῶν τὰς νήσους εἰληχότων· κἂν περὶ ἑνὸς
ἀνδρός, τέμε τῷ λόγῳ τὴν εὐχαριστίαν, μὴ εἰς τὰ λεπτότατα μέχρι
τῶν ἐσχάτων, ἀλλὰ εἰς τὰ συνεκτικώτατα, σῶμα καὶ ψυχὴν τὸ πρῶτον,
ἐξ ὧν συνέστηκεν, εἶτα εἰς λόγον καὶ νοῦν καὶ αἴσθησιν· οὐ γὰρ ἂν
γένοιτο ἀναξία θεοῦ ἀκοῆς καὶ ἡ ὑπὲρ ἑκάστου τούτων εὐχαριστία
καθ᾽ αὑτήν.

(7.) Ἀπόχρη τοσαῦτα περὶ τῆς ὁλοκαύτου θυσίας λελέχθαι. τὴν 212
δὲ τοῦ σωτηρίου λεγομένην ἑξῆς ἐπισκεπτέον. ἐπὶ ταύτης ἀδιαφορεῖ,
ἐάν τε ἄρρεν ᾖ τὸ ἱερεῖον ἐάν τε καὶ θῆλυ. σφαγέντος δὲ τρία ταῦτα
ὑπεξαιρεῖται τῷ βωμῷ, τὸ στέαρ καὶ λοβὸς ἥπατος καὶ νεφροὶ δύο· τὰ
δ᾽ ἄλλα τῷ καταθύσαντι εὐωχία. διὰ τί δὲ τὰ μέρη ταῦτα τῶν ἐντο- 213
σθιδίων καθιεροῦται, μετὰ ἀκριβείας ἐπισκεπτέον ἐκεῖνο μὴ παρελθόντας·
διαλογιζόμενος ἐν ἐμαυτῷ πολλάκις ταῦτα καὶ διερευνώμενος ἐπηπόρησα,
τί δήποτε λοβὸν μὲν ἥπατος καὶ νεφροὺς καὶ στέαρ ἀπαρχὰς τῶν κατα-
θυομένων ζῴων ὑπεξείλετο ὁ νόμος, οὔτε δὲ καρδίαν οὔτε ἐγκέφαλον,
τοῦ ἡγεμονικοῦ τῷ ἑτέρῳ τούτων ἐνδιαιτωμένου. τὸ δ᾽ αὐτὸ νομίζω 214
καὶ ἄλλους οὐκ ὀλίγους τῶν διανοίᾳ μᾶλλον ἢ ὀφθαλμοῖς ταῖς ἱεραῖς

---

1 ἐν αὐτῇ RF: ἀπ᾽ αὐτῆς AH (v); ἐπ᾽ αὐτῆς coni. Mang. εἶτα καὶ AH (Turn.) 2 τε om. F ἔπειτ᾽ F 3 μεταβολῶν RF: μελῶν AH (Turn.) 3. 4 μεθόπωρον F 4 παθήματ᾽ F 5 τρεπομένου F (Mang.): τρεπομένων RAH 6 γένους μόνου R καὶ περὶ RF: περὶ om. AH (v) 7 εἰδῶν RF: ὁδῶν AH (Turn.) μερῶν] ἐν μέρει coni. Mang. εὐχαριστήσει L, εὐχαριστήσεις Turn. 10 ἀλλ᾽ F ψυχὴ H 11 εἶτ᾽ F νοῦν καὶ λόγον transp. F 12 ἡ R: om. FAH (v) εὐχαριστεία F 13 καθ᾽ ἑαυτήν F 14 ὁλοκαύτου θυσίας RF: θυσίας τῆς ὁλοκαύτου AH (v) λελέχθαι] λέγεσθαι F 15 ἐπὶ ταύτης RF: ἐπὶ ταύτης γὰρ AH (v) ἀδιαφόρει F 16 ταῦτα om. F 17 τό τε στέαρ F λωβὸς H 18. 19 ἐντοσθιδίων RF: ἐντοσθίων AH (v) 19 καθιεροῦνται codd. μὴ παρέλθῃς F 20 ἐν ἑαυτῷ H (Turn.) ταῦτα RF: τοιαῦτα AH (Turn.) ταῦτα καὶ scripsi: καὶ ταῦτα (τοιαῦτα) codd. (v) 21 καὶ δύο νεφροὺς F 23 ἑταίρῳ F[1]

---

15 Lev. cap. 3. cf. *Ioseph. Ant. Iud. III § 228. 229.*

γραφαῖς ἐντυγχανόντων ἐπιζητήσειν· ἐὰν μὲν οὖν ἐπισκεψάμενοι πιθα-
νωτέραν αἰτίαν εὕρωσιν, ἑαυτούς τε καὶ ἡμᾶς ὠφελήσουσιν· εἰ δὲ μή,
τὴν ἐπινοηθεῖσαν ὑφ' ἡμῶν ἐπικρινάτωσαν, εἰ δόκιμος. ἔστι δὲ ἥδε·
τὸ ἡγεμονικὸν μόνον τῶν ἐν ἡμῖν ἀφροσύνην καὶ ἀδικίαν καὶ δειλίαν
καὶ τὰς ἄλλας κακίας δέχεταί τε καὶ χωρεῖ· τούτου δὲ οἶκος τὸ ἕτερον
215 τῶν λεχθέντων ἐστίν, | ἐγκέφαλος ἢ καρδία. ἐδικαίωσεν οὖν ὁ ἱερὸς p. 2
λόγος τῷ τοῦ θεοῦ βωμῷ, δι' οὗ πάντων ἁμαρτημάτων καὶ παρανομη-
μάτων ἀπολύσεις γίνονται καὶ παντελεῖς ἀφέσεις, μὴ προσφέρειν ἀγγεῖον,
ἐν ᾧ ποτε φωλεύσας ὁ νοῦς ἐπὶ τὴν ἀδικίας καὶ ἀσεβείας ἀνοδίαν
ἐχώρησεν ἐκτραπόμενος τὴν ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν ἄγουσαν
ὁδόν· εὔηθες γὰρ τὰς θυσίας ὑπόμνησιν ἁμαρτημάτων ἀλλὰ μὴ λήθην
αὐτῶν κατασκευάζειν. τοῦτ' αἴτιον εἶναί μοι δοκεῖ τοῦ μηδέτερον τῶν
216 ἡγεμονίαν ἐχόντων, ἐγκέφαλον ἢ καρδίαν, προσφέρεσθαι. ἃ δὲ διεί-
ρηται, λόγον ἔχει προσήκοντα· τὸ μὲν στέαρ, ὅτι καὶ πιότατον καὶ τῶν
σπλάγχνων φυλακτήριον — ἐπαμπίσχει γὰρ αὐτὰ καὶ πιαίνει καὶ τῇ μαλα-
κότητι τῆς ἐπαφῆς ὠφελεῖ —, οἱ δὲ νεφροὶ διὰ τοὺς παραστάτας καὶ
τὰ γεννητικά, οἷς παροικοῦντες ἀγαθῶν τρόπον γειτόνων βοηθοῦσι καὶ
συμπράττουσιν, ὅπως ὁ τῆς φύσεως σπόρος εὐοδῇ, μηδενὸς τῶν πλησίον
ἐμποδίζοντος — αὐτοὶ μὲν γὰρ αἱμοειδεῖς εἰσι δεξαμεναί, οἷς ἡ τῶν
περιττωμάτων ὑγρὰ κάθαρσις ἀποκρίνεται, οἱ δὲ παραστάται πλησίον,
δι' ὧν ἄρδεται ὁ σπόρος —, λοβὸς δ' ἥπατος τοῦ κυριωτάτου τῶν
σπλάγχνων ἐστὶν ἀπαρχή, δι' οὗ τὴν τροφὴν ἐξαιματοῦσθαι συμβέβηκε
καὶ ἐποχετευομένην τῇ καρδίᾳ φέρεσθαι διὰ φλεβῶν εἰς τὴν τοῦ ὅλου
217 σώματος διαμονήν. στόμαχος μὲν γὰρ παρακείμενος τῇ καταπόσει τὴν

1 γραφαῖς ἐντυγχανόντων RF: ἐντυγχανόντων γραφαῖς AH (v) 2 ἀνεύρωσιν N ἑαυτούς] αὐτοὺς FN 4 τὸ ἡγεμονεῦον AH (Turn.) μόνον om. AH (Turn.) ἐν] ἐφ' AH (Turn.) 5 δέχεται Mang.: δύναται codd. δ' FN 7. 8 παρανομημάτων] ἀνομημάτων FN 9 ἐν ᾧ ποτε φωλεύσας] ἐν ὁποτέρῳ νεύσας (sic) Turn. φωλεύων N, φωλεύει F ἀδικίας καὶ ἀσεβείας ἀνοδίαν FN: ἀδικίας καὶ ἀσεβείας ἄνοιαν R, ἀδικίαν καὶ ἄνοιαν AH (Turn.) 10. 11 τὴν . . . ἄγουσαν (ἀνάγουσαν N) ὁδόν RFN: τῆς . . . ἀγούσης ὁδοῦ AH (Turn.) 11 ὑπόμνησιν ἁμαρτημάτων ἀλλὰ μὴ λήθην RFN: μὴ λήθην ἁμαρτημάτων ἀλλ' ὑπόμνησιν AH (v) 12 μηδ' ἕτερον FN 13. 14 διείρηται F, διήρηται N: διαιρεῖται RAH (Turn.) 15 ἐπαμφίσχει F, ἐπαμπίσχει N 19 αἱμοειδεῖς] ἰσθμοειδεῖς FN 21 ἄρδεται om. F 23 ἐποχετευομένην FN: ἐποχετευομένη R, ἐποχετευμένην H, ἐπωχετευμένην A (Turn.) 24 διανομήν FN (prob. Mang.) γὰρ om. F
α α
περικείμενος A

1—53.21 N fol. 155v: ἐὰν μὲν οὖν — τὰ μέλλοντα.

ὑπὸ τῶν ὀδόντων τμηθεῖσαν πρότερον καὶ λεανθεῖσαν αὖθις τροφὴν ὑποδέχεται καὶ προκατεργάζεται κοιλίᾳ· κοιλία δὲ παρὰ στομάχου λαμβάνουσα τὴν δευτέραν ὑπηρεσίαν ἐπιτελεῖ, πρὸς ἣν ὑπὸ φύσεως ἐτάχθη, χύλωσιν ἀπεργαζομένη τῆς τροφῆς· αὐλοὶ δὲ δύο τῆς κοιλίας σωληνοειδεῖς ἐκπεφύκασιν εἰς ἧπαρ ἐπαντλοῦντες ταῖς διαπεφυκυίαις ἐν αὐτῷ δεξαμεναῖς. ἔχει δὲ διττὴν δύναμιν ἧπαρ, διακριτικήν τε καὶ τὴν πρὸς 218 ἐξαιμάτωσιν· ἡ μὲν οὖν διακριτικὴ πᾶν ὅσον ἀτέραμνον καὶ δυσκατέργαστον εἰς τὸ παρακείμενον χολῆς ἀγγεῖον ἀποκρίνει, ἡ δ' ἑτέρα τὸ καθαρὸν καὶ διηθημένον τῷ περὶ αὐτὴν φλογμῷ τρέπει μὲν εἰς αἷμα ζωτικώτατον, ἀναθλίβει δ' εἰς καρδίαν, ἀφ' ἧς ὡς ἐλέχθη ταῖς φλεψὶν ἐποχετευόμενον διὰ παντὸς εἰλεῖται τοῦ σώματος γινόμενον αὐτῷ τροφή. πρόσεστι δὲ κἀκεῖνο τοῖς εἰρημένοις· τὴν τοῦ ἥπατος φύσιν μετέωρον 219 καὶ λειοτάτην οὖσαν [καὶ] διὰ λειότητα φανοτάτου κατόπτρου λόγον ἔχειν συμβέβηκεν, ἵν' ἐπειδὰν τῶν ἡμερινῶν φροντίδων ἀναχωρήσας ὁ νοῦς, ὕπνῳ μὲν παρειμένου τοῦ σώματος, μηδεμιᾶς δὲ τῶν αἰσθήσεων
245 M. | ἱσταμένης ἐμποδών, ἀνακυκλεῖν αὐτὸν ἄρξηται καὶ τὰ νοήματα καθαρῶς ἐφ' αὑτοῦ σκοπεῖν, οἷα εἰς κάτοπτρον ἀποβλέπων τὸ ἧπαρ ἕκαστα εἰλικρινῶς καταθεᾶται τῶν νοητῶν καὶ περιβλεπόμενος ἐν κύκλῳ τὰ εἴδωλα, μή τι πρόσεστιν αἶσχος, [ἵνα] τὸ μὲν φύγῃ, τὸ δ' ἐναντίον ἕληται, καὶ πάσαις ταῖς φαντασίαις εὐαρεστήσας προφητεύῃ διὰ τῶν ὀνείρων τὰ μέλλοντα.

(8.) Δυσὶ δὲ μόναις ἡμέραις ἐπιτρέπει τὴν χρῆσιν τῆς τοῦ 220 σωτηρίου θυσίας ποιεῖσθαι μηδὲν εἰς τὴν τρίτην ἀπολείποντας, πολλῶν χάριν· ἑνὸς μὲν ὅτι τὰ τῆς ἱερᾶς τραπέζης πάντα καιρίως δεῖ προσ-

2 κοιλίᾳ· κοιλία RFN: pr. κοιλία om. AH (Turn.) 2. 3 λαβοῦσα FN 3 ἐπιτελεῖ RFN: ἀποτελεῖ AH (v) 4 χύμωσιν FN ἀπεργαζομένης N δὲ om. FN 5 ἐμπεφύκασιν H ἧπαρ — ἧπαρ (6) om. AH (Turn.) 6. 7 τὴν πρὸς ἐξαιμάτωσιν scripsi: πρὸς τὴν ἐξαιμάτωσιν RAH (Turn.), προσεξαιμάτωσιν FN (Mang.) 8 pr. τὸ om. FN περικείμενον AH (Turn.) χολῆς RFN: χωλῆς AH ἐπικρίνει Turn. 11 αὐτῷ] αὐτῇ AH 12 πρόσεστι RFN: προσθετέον AH (v) ante τὴν add. ὅτι v, om. codd. post μετέωρον add. τε Mang. (non F) 13 λειοτάτην] τελειοτάτην FN οὖσαν RFN: om. AH (Turn.) καὶ seclusi φανοτάτην FN 16 ἐκποδὼν F, ἐκποδῶν N ἀνακυκλεῖν] ἀνακινεῖν coni. Mang. αὐτὸν FNH 17 αὐτοῦ F, ἑαυτοῦ AH οἷα δ' R 19 μή τι] μήτε F ἵνα seclusi 20 καὶ om. FN εὐαρεστήσας] ἀριστεύσας vel κρατιστεύσας coni. Mang. προφητεύῃ scripsi: προφητεύει codd. (v) ὀνειράτων N 23 ἀπολιπόντας F

13 cf. Plat. Tim. p. 71 b. 22 Lev. 19,5. 6. cf. *Ioseph. Ant. Iud. III § 229.*

φέρεσθαι σπουδὴν ποιουμένους, ὡς μὴ μεταβάλῃ μήκει χρόνου· χρεῶν
221 δὲ ἑώλων εὔσηπτος ἡ φύσις, κἂν ἡδύσμασι παραρτυθῇ. ἑτέρου δ' ὅτι τὰς θυσίας ἀταμιεύτους εἶναι προσήκει καὶ πᾶσιν εἰς μέσον προκεῖσθαι τοῖς δεομένοις· εἰσὶ γὰρ οὐκέτι τοῦ τεθυκότος, ἀλλ' ᾧ τέθυται τὸ ἱερεῖον, ὃς εὐεργέτης καὶ φιλόδωρος ὢν κοινωνὸν ἀπέφηνε τοῦ βωμοῦ καὶ ὁμοτράπεζον τὸ συμπόσιον τῶν τὴν θυσίαν ἐπιτελούντων, οἷς παραγγέλλει μὴ νομίζειν ἑστιᾶν· ἐπίτροποι γὰρ εὐωχίας εἰσίν, οὐχ ἑστιάτορες, ὁ δ' ἑστιάτωρ ἐστὶν οὗ συμβέβηκεν εἶναι καὶ τὴν παρασκευήν, ἣν οὐ θέμις ἀποκρύπτειν φειδωλίαν, ἀνελεύθερον κακίαν, φιλανθρωπίας,
222 ἀρετῆς εὐγενοῦς, προκρίνοντας. τελευταίου δ' ὅτι τὴν τοῦ σωτηρίου θυσίαν ὑπὲρ δυεῖν προσάγεσθαι συμβέβηκε, ψυχῆς τε καὶ σώματος, ὧν ἑκατέρῳ μίαν ἡμέραν ἀπένειμεν εἰς εὐωχίαν τῶν κρεῶν· ἥρμοττε γὰρ ἰσάριθμον χρόνον ὁρισθῆναι τοῖς πεφυκόσι σῴζεσθαι τῶν ἐν ἡμῖν, ὡς τῇ μὲν προτεραίᾳ λαμβάνειν ἅμα τῇ βρώσει τῆς ψυχικῆς σωτηρίας
223 ὑπόμνησιν, τῇ δ' ὑστεραίᾳ τῆς κατὰ τὸ σῶμα ὑγείας. ἐπεὶ δὲ τρίτον οὐδὲν ἦν ὃ κυρίως πέφυκε σωτηρίαν ἐνδέχεσθαι, τὴν εἰς τὴν τρίτην ἡμέραν χρῆσιν ἀνὰ κράτος ἀπηγόρευσε προστάξας, εἰ καὶ τύχοι τι κατ' ἄγνοιαν ἢ λήθην ἀπολειφθέν, εὐθὺς ἀναλίσκεσθαι πυρί. τὸν δὲ γευσάμενον αὐτὸ μόνον ἔνοχον ἀποφαίνει καί φησιν αὐτῷ· τεθυκέναι νομίζων, ὦ καταγέλαστε, οὐ τέθυκας· οὐ προσηκάμην ἀθύτων, ἀνιέρων, βεβήλων, ἀκαθάρτων, ὧν ἥψηκας κρεῶν, ὦ γατρίμαργε, θυσιῶν οὐδ' ὄναρ ἐπῃσθημένος.

1 ὡς μὴ μεταβάλῃ μήκει χρόνου AH: ὡς οὐ μήκει χρόνου μεταβάλλει RF 2 ἡδύσματι F ἕτερον F δὲ AH 3 ἀταλψεύτους (sic) F 5 κοινωνὸν] κοινὸν F 7 γὰρ om. H 7. 8 οὐκ ἑστιάτορες F 9 post φειδωλίαν add. καὶ RAH, om. F 10 προκρίναντας RF τελευταίου F: τελευταῖον RAH δὲ AH 11 δυοῖν AH (v) προσάγεσθαι συμβέβηκε RF: συμβέβηκε προσάγεσθαι AH (v) 13 τῶν fort. secludendum 14 ψυχικῆς] ψυχῆς F 15 ὑπόμνησιν R: ὑπόμνημα FAH (v) ὑγείας RF: ὑγιείας AH 16 τὴν τρίτην R: τὴν om. FAH (v) 17 τύχοι R: τύχῃ FAH 18 πυρί RF: ποιεῖν AH (Turn.) 19 ἀποφαίνειν AH καί φησιν RF: λέγων AH (v) 20 νομίζεις F ⟨οὐδὲν τῶν⟩ vel ⟨χρῆσιν⟩ ἀθύτων conicio, ⟨θοίνην⟩ ἀθύτων coni. Wendl. 21 καὶ ἀκαθάρτων F ἔψηκας F κρεῶν] κρέα conicio ὦ om. F 22 ἐπῃσθημένος] ἐφήσθημαι (sic) F

3 cf. *Theodoret. Quaest. VI in Levit.* (Migne T. 80 Col. 312): Διὰ τί μετὰ (κατὰ?) τὴν τρίτην ἡμέραν οὐ κελεύει τῶν ἱερείων ἐσθίειν, τῷ δὲ παραβαίνοντι τὸν νόμον ἐπιφέρει ζημίαν, ἄθυτον εἶναι λέγων τὴν θυσίαν ἐκείνην; βούλεται μὴ μόνους αὐτοὺς εὐωχεῖσθαι, ἀλλὰ καὶ τοῖς ἐνδεέσι τῶν κρεῶν μεταδιδόναι. τούτου χάριν τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ ἡμέρᾳ τῶν κρεῶν ἐκείνων μεταλαμβάνειν κελεύει, τὰ δὲ περιττεύοντα ἀποκαίεσθαι, ἵνα ὑπὸ τῆς ἀνάγκης ταύτης ὠθούμενοι κοινωνοὺς ἔχωσι τοὺς πένητας τῆς εὐωχίας. 16 Lev. 7,6—11. 19,7.8.

(9.) Τῆς δὲ τοῦ σωτηρίου θυσίας ἐν εἴδει περιλαμβάνεται ἡ λεγο- 224
μένη τῆς αἰνέσεως, ἥτις λόγον ἔχει τοιόνδε· ὁ μηδενὶ τὸ παράπαν
ἀβουλήτῳ περιπεσών, μήτε κατὰ σῶμα μήτε κατὰ τὰ ἐκτός, ἀλλ' ἀπο-
λέμῳ καὶ εἰρηνικῷ βίῳ χρώμενος ἐν εὐπαθείαις τε καὶ εὐτυχίαις ἐξετα-
ζόμενος, ἀπήμων καὶ ἄπταιστος ὢν καὶ τὸ μακρὸν τοῦ βίου πέλαγος
εὐθύνων ἐν εὐδίᾳ καὶ γαλήνῃ πραγμάτων, ἐπιπνεούσης ἀεὶ κατ' οἰάκων
p. 246 M. εὐπραγίας, | ἀναγκαίως ὀφείλει τὸν κυβερνήτην θεὸν καὶ ἄνοσον μὲν
σωτηρίαν ἀζημίους δ' ὠφελείας καὶ συνόλως ἀμιγῆ κακῶν τὰ ἀγαθὰ
δωρούμενον ὕμνοις τε καὶ εὐδαιμονισμοῖς καὶ εὐχαῖς θυσίαις τε καὶ
ταῖς ἄλλαις εὐχαριστίαις εὐαγῶς ἀμείβεσθαι· ἃ δὴ πάντα ἀθρόα συλ-
λήβδην ἓν ὄνομα τὸ αἰνέσεως ἔλαχε. ταύτην τὴν θυσίαν οὐχ ὥσπερ 225
τὴν προτέραν τοῦ σωτηρίου δυσὶν ἡμέρας ἀναλίσκεσθαι προστάττει, μιᾷ
δ' αὐτὸ μόνον, ἵν' οἱ ἐπιτυχόντες ἑτοίμων καὶ προχείρων εὐεργεσιῶν
ἑτοίμην καὶ ἀνυπέρθετον ποιῶνται τὴν μετάδοσιν.
(10.) Ταῦτα μὲν ἐπὶ τοσοῦτον. τὴν δὲ τρίτην ἑξῆς ἐπισκεπτέον, 226
ἣ καλεῖται περὶ ἁμαρτίας. αὕτη τέτμηται πολλαχῇ, κἂν τοῖς προσ-
ώποις κἂν τοῖς τῶν ἱερείων εἴδεσι, προσώποις μὲν ἀρχιερέως καὶ τοῦ
σύμπαντος ἔθνους καὶ ἄρχοντος ἐν μέρει καὶ ἰδιώτου, ἱερείοις δὲ μόσχου
καὶ χιμάρου καὶ χιμαίρας ἢ ἀμνάδος. διακέκριται δὲ καὶ μάλιστ' ἦν 227
ἀναγκαῖον διακεκρίσθαι τά θ' ἑκούσια καὶ ἀκούσια, τροπὰς λαμβανόντων
τὰς πρὸς τὸ βέλτιον τῶν δοξάντων ἁμαρτεῖν καὶ κακιζόντων μὲν αὑτοὺς
ἐφ' οἷς ἐπλημμέλησαν, μεθορμιζομένων δὲ πρὸς ζωὴν ἀνυπαίτιον. τὰ 228
μὲν οὖν τοῦ ἀρχιερέως ἁμαρτήματα καὶ τοῦ ἔθνους ἰσοτίμῳ καθαίρεται

1 παραλαμβάνεται R 2 αἰνήσεως F ὁ μηδενὶ] οὐδενὶ L (Turn.) 3 τὰ ἐκτός RF: ἐντός (om. τὰ) AH 4 εἰρηνικῷ R: εἰρηναίῳ FAH (v) εὐπαθείᾳ L (Turn.) εὐτυχίαις τε καὶ εὐπαθείαις transp. F 6 ἀεὶ om. H (Turn.) κατ' οἰάκων] κατ' οἶκον F 8 δὲ AH 9 τε post ὕμνοις om. AH (Turn.) καὶ εὐχαῖς F: om. RAH (Turn.) 10 εὐαγωγῶς (sic) H πάντ' AH 11 ἓν om. L (Turn.) αἰνήσεως F ἔλαχεν R, ἔλαχον F 12 πρότερον R 13 μόνον RF: μόνη AH (Turn.) ἐπιτυχόντες R (Mang.): τυχόντες F, ἐπιτυγχάνοντες AH (Turn.) 14 post μετάδοσιν tit. περὶ ἁμαρτίας add. R 15 ταῦτα—καλεῖται (16) om. AH (Turn.) 16 κἂν] καὶ F 17 ἀρχιερέων F 19 μάλιστ' ἦν R (sic scripseram): μάλισθ' ἣν F (Mang.), δάμαλις ἣν AH (Turn.) 20 τροπὰς codd.: τὰς τροπὰς Mang. 21 τὰς πρὸς RF: τὰς om. AH (v) ἁμαρτῆσαι AH (Turn.) αὐτοὺς F 22 μεθορμιζομένων scripsi: μεθαρμοζομένων F (Mang.), μεθορμιζόντων RAH (Turn.) 23 οὖν om. H (Turn.)

2 Lev. 7,2 11 Lev. 7,5 16 Lev. cap. 4. cf. *Ioseph. Ant. Iud. III* § 230—232
23 Lev. 4,3. 13. 14.

ζῴῳ — μόσχον γὰρ ἀνάγεσθαι περὶ ἑκατέρου προστέτακται —, τὰ δὲ
τοῦ ἄρχοντος ἐλάττονι μέν, ἄρρενι δὲ καὶ τούτῳ — χίμαρος γάρ ἐστι
τὸ ἱερεῖον —, τὰ δὲ τοῦ ἰδιώτου καταδεεστέρῳ τὸ εἶδος — θῆλυ γὰρ
229 ἀλλ' οὐκ ἄρρεν θῦμα, χίμαιρα, καταθύεται —. ἔδει γὰρ ἰδιώτου μὲν
πλέον ἄρχοντα φέρεσθαι κἂν ταῖς ἱερουργίαις, ἄρχοντος δὲ τὸ ἔθνος,
ἐπεὶ τὸ ὅλον τοῦ μέρους ἀεὶ κρεῖττον εἶναι δεῖ, τὸν δ' ἀρχιερέα τῷ
ἔθνει τῆς αὐτῆς ἠξιῶσθαι προνομίας ἐν τῷ καθαίρεσθαι καὶ παρὰ τῆς
ἵλεω τοῦ θεοῦ δυνάμεως ἀμνηστίαν ἀδικημάτων αἰτεῖσθαι· τὸ δ' ἰσό-
τιμον οὐ δι' αὐτόν, ὡς ἔοικε, καρποῦται μᾶλλον ἢ διότι τοῦ ἔθνους
ὑπηρέτης ἐστὶ τὰς κοινὰς ὑπὲρ ἁπάντων ποιούμενος εὐχαριστίας ἐν ταῖς
230 ἱερωτάταις εὐχαῖς καὶ ἐν ταῖς εὐαγεστάταις θυσίαις. σεμνὴ δὲ καὶ
θαυμάσιος καὶ ἡ περὶ ταῦτα διάταξις· „ἐὰν" φησίν „ὁ ἀρχιερεὺς ἄκων
ἁμάρτῃ," καὶ προστίθησιν „ὥστε τὸν λαὸν ἁμαρτεῖν" (cf. Lev. 4, 3),
μόνον οὐκ ἄντικρυς ἀναδιδάσκων, ὅτι ὁ πρὸς ἀλήθειαν ἀρχιερεὺς καὶ
μὴ ψευδώνυμος ἀμέτοχος ἁμαρτημάτων ἐστίν, εἰ δ' ὀλισθήσοι
ποτέ, πείσεται τοῦτο οὐ δι' αὐτόν, ἀλλὰ διὰ κοινὸν τοῦ ἔθνους
σφάλμα· τὸ δὲ σφάλμα οὐκ ἀνίατον, ἀλλὰ ῥᾳδίως τὴν θεραπείαν ἐνδε-
231 χόμενον. ὅταν οὖν σφαγιασθῇ ὁ μόσχος, κελεύει τοῦ αἵματος ἐπιρραίνειν
ἑπτάκις τῷ δακτύλῳ ἀντικρὺ τοῦ πρὸς τοῖς ἀδύτοις καταπετάσματος,
ἐσωτέρω τοῦ προτέρου, καθ' ὃν τόπον ἵδρυται τὰ ἱερώτατα σκεύη,
κἄπειτα ⟨τὰ⟩ τοῦ | θυμιατηρίου τέτταρα κέρατα — τετράγωνον γάρ ἐστι — p. 247
χρίειν καὶ ἐπαλείφειν, τὸ δ' ἄλλο αἷμα προσχεῖν παρὰ τῇ βάσει τοῦ
232 ἐν ὑπαίθρῳ βωμοῦ· ἐφ' ὃν ἀναφέρειν τρία διείρηται, στέαρ καὶ λοβὸν

1 ἑκατέρου RF: ἑκατέρων AH (v) 2 ἐλάττον (sic) F 3 τὸ εἶδος RA (coni. Mang): τοῦ εἴδους FH (v) 4 ἀλλ' om. Turn. θῦμα, χίμαιρα, scripsi: θῦμα AH (Turn.), χίμαιρα RF (Mang.) ἰδιώτην A 5 πλέον ἄρχοντα F: ἄρχοντα (-ος A) πλέον RAH (v) 6 ἐπεὶ] ἐπὶ F αἰεὶ A, om. F δεῖ R (Mang): δοκεῖ AH (Turn.), om. h. l. F δὲ R 7 post ἠξιῶσθαι add. δεῖ F προνομίας RFA: προνοίας H (Turn.) 9 αὑτὸν codd. καρποῦται AH: καρποῦσθαι RF 10 ἐστὶν R 10. 11 ἔν τε ταῖς ἱερ. F 11 καὶ ἐν ταῖς εὐαγ. R: ἐν om. FAH (v) 12 θαυμάσιος RF: θαυμασία AH (v) ταῦτα RF: αὐτὰς AH (Turn.) 14 μόνον οὐκ RF: οὐκ om. AH 15 ὀλισθήσοι R: ὀλισθήσῃ AH (Turn.), ὀλισθείη F (Mang.!); ὀλισθῆσαι Wendl. 16 αὑτὸν H, ἑαυτὸν F 17. 18 ἐνδεχόμενον R: δεχόμενον FAH (v) 19 ἄντικρυς F 20 τόπον] τρόπον R 21 κἄπειτα RF: κἀπὶ τὰ AH τὰ addidi θυμιατηρίου RF: θυσιαστηρίου AH (v) 22 ἐπαλείφειν codd.: ἀλείφειν v τὴν βάσιν F 23 ἐφ' ὃν RF: ἐφ' ὧν AH ἀναφέρει F

2 Lev. 4,22. 23 3 Lev. 4,27. 28 18sqq. Lev. 4,6—12.

ἥπατος καὶ διττοὺς νεφρούς, κατὰ τὴν ἐπὶ τοῦ σωτηρίου διάταξιν, δορὰν
δὲ καὶ κρέα καὶ σύμπαν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν τὸ ἄλλο σῶμα τοῦ
μόσχου μετὰ τῶν ἐντοσθιδίων προφέρειν ἔξω καὶ κατακαίειν ἐν χωρίῳ
καθαρῷ, ἔνθα τὴν ἱερὰν ἀπὸ τοῦ βωμοῦ τέφραν ἐκκομίζεσθαι συμβέβηκε.
τὰ δ' αὐτὰ νομοθετεῖ καὶ περὶ παντὸς τοῦ ἔθνους ἁμαρτόντος. εἰ δέ 233
τις ἄρχων πλημμελήσειε, χιμάρῳ ποιεῖται τὴν κάθαρσιν, ὡς εἶπον, ἐὰν
δὲ ἰδιώτης, χιμαίρᾳ ἢ ἀμνάδι· τῷ μὲν γὰρ ἄρρεν, τῷ δ' ἰδιώτῃ θῆλυ
ζῷον ἀπένειμε, τὰ δ' ἄλλα διαταξάμενος ἐπ' ἀμφοῖν ὅμοια, χρίσαι τὰ
κέρατα τοῦ ἐν ὑπαίθρῳ βωμοῦ τῷ αἵματι, στέαρ καὶ λοβὸν ἥπατος καὶ
διττοὺς νεφροὺς ἀνενεγκεῖν, τὰ δ' ἄλλα τοῖς ἱερεῦσι παρασχεῖν ἐδωδήν.

(11.) ἐπεὶ δὲ τῶν ἁμαρτημάτων τὰ μὲν εἰς ἀνθρώπους, τὰ δ' εἰς 234
ἱερὰ καὶ ἅγια δρᾶται, περὶ μὲν τῶν εἰς ἀνθρώπους γινομένων ἀκουσίως
διείλεκται, τὴν δ' ἐπὶ τοῖς ἱεροῖς κάθαρσιν ἱλάσκεσθαι κριῷ νομοθετεῖ,
πρότερον ἀποτίσαντας ἐκεῖνο περὶ ὃ γέγονεν ἡ πλημμέλεια, τὸ πέμπτον
προσεπιτιθέντας τῆς ἀξίας τιμῆς.

Ταῦτα καὶ τὰ τούτοις ὅμοια νομοθετήσας ἐπὶ τοῖς ἀκουσίοις καὶ 235
περὶ τῶν ἑκουσίων ἑξῆς διατάττεται. ἐάν τις, φησί, ψεύσηται περὶ
κοινωνίας ἢ περὶ παρακαταθήκης ἢ ἁρπαγῆς ἢ εὑρέσεως ὧν ἀπώλεσεν
ἕτερος καὶ ὑπονοηθείς, ὅρκου προταθέντος, ὀμόσῃ καὶ δόξας ἐκπεφευ-
γέναι τὸν ἀπὸ τῶν κατηγόρων ἔλεγχον αὐτὸς ἑαυτοῦ γένηται κατήγορος,
ἔνδον ὑπὸ τοῦ συνειδότος ἐλεγχθείς, καὶ κακίσῃ μὲν ἑαυτὸν ὧν ἠρνήσατο
καὶ ἐπιώρκησεν, ὁμολογῶν δ' ἄντικρυς τὸ πραχθὲν ἀδίκημα συγγνώμην
αἰτῆται, κελεύει τῷ τοιούτῳ παρέχειν ἀμνηστίαν, ἐπαληθεύσαντι τὴν 236
μετάνοιαν οὐχ ὑποσχέσει ἀλλ' ἔργοις, ἀποδόσει τῆς παρακαταθήκης καὶ

---

1 ἐπὶ om. AH (Turn.) 2 κρέα RF: δέρμα AH (Turn.) 3 ἐντοσθιδίων RAH: ἐντοσθίων F (v) προφέρειν Mang.: προσφέρειν codd. 4 ἀπὸ τοῦ βωμοῦ τέφραν RF: τέφραν ἀπὸ τοῦ βωμοῦ AH (v) εἰσκομίζεσθαι L (Turn.) 5 περὶ om. F ἁμαρτάνοντος F 6 πλημμελήσειε F, πλημμελήσειεν R: πλημμελήσει, ἐν AH (Mang.) 8 τὰ δ' ἄλλα codd.: τὰ ἄλλα v 10 ἀνενεγκεῖν RF: ἐνεγκεῖν AH (Turn.) 12 ἀκουσίως] ἑκουσίως H 13 κάθαρσιν] ἁμαρτίαν conicio κριῷ RA: κριῶν F, κριὸν H (Turn.) 14 ἀποτίσαντος F γέγονε πλημμέλεια F 15 προσεπιτιθέντας RF: προσεπιθέντας AH (Turn.) 17 pr. περὶ] ἐπὶ R 18 περὶ om. F 19 προτεθέντος Turn. 20 κατηγόρων RF: κατηγοριῶν AH (Turn.) 21 ἑαυτὸν RF: αὑτὸν AH ὧν] ὃν H (Turn.) 23 αἰτεῖται H ἀμνηστείαν F ἐπαληθεύσαντι RAH: ἐπαληθεύοντι L (Turn.), ἐπαληθεύουσαν ἔτι F 24 ὑποσχέσεσιν F (Mang.) ἀποδώσει FH

---

13 Lev. 5,15. 16 17 Lev. 6,2—7. cf. *Ioseph. Ant. Iud. III § 232* ὁ δὲ ἁμαρτὼν μὲν αὑτῷ δὲ συνειδὼς καὶ μηδένα ἔχων τὸν ἐξελέγχοντα κριὸν θύει, τοῦ νόμου τοῦτο κελεύοντος, οὗ τὰ κρέα κατὰ τὸ ἱερὸν ὁμοίως οἱ ἱερεῖς αὐθημερὸν σιτοῦνται.

ὧν ἥρπασεν ἢ εὗρεν ἢ συνόλως ἐσφετερίσατο τοῦ πλησίον, προσαποτίσας
237 καὶ τὸ ἐπίπεμπτον εἰς παρηγορίαν τοῦ πλημμεληθέντος. ὅταν δὲ ἱλά-
σηται τὸν ἠδικημένον πρότερον, ἴτω, φησί, μετὰ ταῦτα καὶ εἰς τὸ ἱερὸν
αἰτησόμενος ὧν ἐξήμαρτεν ἄφεσιν, ἐπαγόμενος παράκλητον οὐ μεμπτὸν
τὸν κατὰ ψυχὴν ἔλεγχον, ὃς ἀνιάτου συμφορᾶς αὐτὸν ἐρρύσατο τὴν
238 θανατοῦσαν νόσον ἀνεὶς καὶ πρὸς ὑγείαν παντελῆ μεταβαλών. κριὸν δ'
εἶναι καὶ τούτῳ διείρηται σφάγιον, καθὰ | καὶ τῷ πρὸς τὰ ἅγια πλημ- p. 248
μελήσαντι· τὸ γὰρ ἐν τοῖς ἁγίοις ἀκούσιον ἁμάρτημα ἰσότιμον ἀπέφηνε
τῷ περὶ τὰ ἀνθρώπινα ἑκουσίῳ, εἰ μὴ ἄρα καὶ τοῦτ' ἐστί τι ἅγιον,
ἐπειδὴ προσγέγονεν ὅρκος, ὃν οὐχ ἐφ' ὑγιεῖ γενόμενον ἐπηνωρθώσατο
τροπῇ τῇ πρὸς τὸ βέλτιον.
239 Παρατηρητέον δ' ὅτι τὰ μὲν ἐπιφερόμενα τῷ βωμῷ ἐκ τοῦ περὶ
ἁμαρτίας ἱερείου ταὐτά ἐστιν ἃ καὶ ἐπὶ τῆς τοῦ σωτηρίου θυσίας, λοβὸς
ἥπατος καὶ στέαρ καὶ νεφροί· τρόπον γάρ τινα καὶ ὁ μετανοῶν σῴζεται,
τὴν χαλεπωτέραν τῶν ἐν τῷ σώματι παθῶν νόσον ψυχῆς ἐκτρεπόμενος.
240 τὰ δ' ἄλλα μέρη τοῦ ζῴου πρὸς ἐδωδὴν ἀπονέμεται διαφερόντως. ἐν
τρισὶ δ' ἡ διαφορά· τόπῳ, χρόνῳ, τοῖς λαμβάνουσι· τόπος μὲν οὖν τὸ
ἱερόν, χρόνος δὲ ἀντὶ δυεῖν ἡμερῶν μία, οἱ δὲ μεταλαμβάνοντες ἱερεῖς,
241 ἀλλ' οὐχ ὧν ἐστιν ἡ θυσία, καὶ ἱερέων ἄρσενες. ἔξω μὲν οὖν οὐκ ἐᾷ
τοῦ ἱεροῦ προφέρειν βουλόμενος, εἴ τι τῷ μετανοοῦντι πρότερον ἡμάρ-
τηται, μὴ περίφημον εἶναι βασκάνων καὶ φιλαπεχθημόνων γνώμαις

1 τοῦ πλησίον om. AH (Turn.) προσαποτίσαντι exspectaveris 2 εἰς] πρὸς F δ' R 2. 3 ἱλάσηται RF: ἱλεώσηται AH (v) 3 ἴτω] ἔστω F 4 ὧν ἐξήμαρτεν ἄφεσιν RFA: ἄφεσιν ὧν ἐξήμαρτεν H (v) 5 τὸν om. R κατὰ ψυχὴν ἔλεγχον RF: περὶ ψυχῆς ἔλεον AH (Turn.) ἀνιάτων H (Turn.) ἐρρύσατο αὐτόν transp. F 6 θανατοῦσαν scripsi: θανατῶσαν RAH (v), θανατώσασαν F παντελῆ RF: παντελῶς AH (v) 6. 7 κριὸν δ' εἶναι scripsi: κριὸν δεῖν R (ut vid.), κριὸν ἀναγαγεῖν F, κριὸν δ' ἄγειν κελεύει AH (v) 7 τούτω RF: τοῦτο AH (v) καθὰ RF: καθὼς AH (v) 9 περὶ τὰ ἀνθρώπινα RF: παρ' ἀνθρώπινον AH; παρ' ἀνθρωπίνου Turn. ἐστί τι ἅγιον R: ἐστὶν ἅγιον FAH (v) 10 ἐπειδὴ προσγέγονεν RF: ἐπεὶ δὲ προγέγονεν AH (Turn.) ἐφ' ὑγιεῖ RF: ἐκφεύγει AH (Turn.) 12 τοῦ βωμοῦ H 13 ταὐτά] ταῦτα H, ταῦτ' F τῆς ... θυσίας RF: τῇ ... θυσίᾳ AH (v) 15 ψυχῆς] ἐκ ψυχῆς F

16 διαφέροντος A 17 δ' ἡ διαφορά F: διαφοραῖς RAH (Turn.) 18 δυοῖν [ει] H

19 ὧν RF: ὅλων A, οὕτως H 20 προφέρειν R: προφέρειν [σ] F, προσφέρειν AH (Turn.)
21 περίφημον F: περίφοιτον RAH (v) φιλαπεχθήμοσι F

16 Lev. 6,25. 26. 29.

ἀγνώμοσι καὶ στόμασιν ἀχαλίνοις, ἐπ' ὀνείδει καὶ διαβολαῖς ἐκδεδομένον, ἀλλ' ἐντὸς ὅρων ἱερῶν, ἐν οἷς καὶ ἡ κάθαρσις γέγονεν, εἶναι. (12.) τοῖς 242
δ' ἱερεῦσιν εὐωχεῖσθαι τὴν θυσίαν κελεύει διὰ πολλά· πρῶτον μὲν ἵνα τιμήσῃ τοὺς τεθυκότας, ἡ γὰρ τῶν ἑστιωμένων ἀξίωσις ἐπικοσμεῖ τοὺς ἑστιάτορας· δεύτερον δὲ ἵνα βεβαιότατα πιστεύσωσιν, ὅτι οἷς ἁμαρτημάτων εἰσέρχεται μεταμέλεια ἵλεω τὸν θεὸν ἔχουσιν· οὐ γὰρ ἂν τοὺς προσπόλους αὐτοῦ καὶ θεράποντας ἐπὶ μετουσίαν τῆς τοιαύτης τραπέζης ἐκάλεσεν, εἰ μὴ παντελὴς ἐγεγένητο ἀμνηστία· τρίτον δ' ὅτι λειτουργεῖν οὐδενὶ τῶν ἱερέων ἔξεστιν, ὃς ἂν μὴ ὁλόκληρος ᾖ· καὶ γὰρ τῷ βραχυτάτῳ μώμῳ σκορακίζεται. παρηγορεῖ δὴ τοὺς μηκέτι τὴν τῶν ἀδικη- 243
μάτων ὁδὸν ἰόντας ὡς ἱερατικοῦ γένους ἕνεκα προαιρέσεως καθαρᾶς μεταλαχόντας καὶ πρὸς ἱερέων ἰσοτιμίαν ἐπαχθέντας. ὅθεν καὶ μιᾷ ἡμέρᾳ τὸ περὶ ἁμαρτίας ἱερεῖον ἀναλίσκεται, ὡς δέον ὑπερτίθεσθαι μὲν τὸ ἁμαρτάνειν μέλλοντας ἀεὶ πρὸς αὐτὸ καὶ βραδύνοντας, πρὸς δὲ τὸ κατορθοῦν ἐπεσπευσμένῳ τάχει χρῆσθαι. τὰ δ' ὑπὲρ τοῦ ἀρχιερέως 244
ἢ τοῦ ἔθνους ἕνεκα πλημμελείας σφαγιαζόμενα πρὸς μὲν ἐδωδὴν οὐ σκευάζεται, κατακαίεται δ' ἐπὶ τῆς ἱερᾶς τέφρας, ὡς ἐλέχθη· κρείττων γὰρ οὐδεὶς ἀρχιερέως ἢ τοῦ ἔθνους ἐστίν, ὃς ἁμαρτησάντων γενήσεται παραιτητής. εἰκότως οὖν ἀναλίσκεται τὰ κρέα πυρί, κατὰ μίμησιν τῶν 245
ὁλοκαυτουμένων, ἐπὶ τιμῇ τῶν προσώπων, οὐχ ὅτι πρὸς ἀξίωσιν αἱ ἱεραὶ γίνονται κρίσεις, ἀλλ' ὅτι τῶν τὰς ἀρετὰς μεγάλων καὶ ὡς ἀληθῶς ἁγίων ἁμαρτήματα τοιαῦτά ἐστιν, ὡς ἑτέρων κατορθώματα νομίζεσθαι.
p. 249 M. καθάπερ γὰρ ἡ βαθεῖα καὶ | ἀρετῶσα πεδιάς, κἂν ἀφορήσῃ ποτέ, τῆς 246
λυπρογέω φύσει καρπὸν φέρει πλείονα, τὸν αὐτὸν τρόπον καὶ τῶν σπουδαίων καὶ φιλοθέων συμβαίνει τὰς πρὸς καλοκἀγαθίαν ἀφορίας

---

1 ἐκδεδομένον FA: ἐκδεχόμενον R, ἐκδεχομένων H (v) 3 πρῶτον scripsi: πρότερον codd. (v) 4 τοὺς τεθυκότας RF: τὸν τεθυκότα AH (v) 5 δ' F βεβαιότατα R: βεβαιότερον FAH (v) 6 ἵλεω codd.: ἵλεων Turn. 7 προπόλους A θεράποντας] θεραπευτὰς F μετουσίαν RFA: μετουσία H (v) 9 τῶν om. F 10 μώμῳ σκορακίζεται RF: μῶμος κομίζεται AH (Turn.) παρηγορεῖ δὴ RF: παρηγορεῖν δὲ AH τοὺς F (coni. Mang.): τούτους RAH (v) 12 ἰσοτιμίαν RF: ἰσοτιμίας AH (v) ἐπαχθέντας F, ἐπευχθέντας (sic) R: ἐκπεμφθέντας AH (v) μιᾷ] ἀνα (sic) R (μιᾶ ss.) 13 δέον RF: δὲ A, om. H (Turn.) μὲν ss. R 15 ἐπεσπευσμένῳ RF: ἐσπευσμένῳ AH (Turn.) 18 ἢ] εἰ F 19 καὶ πυρὶ F 20 ὁλοκαυτουμένων R: ὁλοκαυτωμένων FAH (v) προσώπων RF: προσιόντων AH (v) ἀξίωσιν] ἀξιώμασιν F 21 τῶν τὰς] τὰ τῶν F ὡς om. F 22 ἁμαρτήματα RF: τὰ ἁμαρτήματα AH (v) τοιαῦτ' F 24 καὶ om. AH

ἀμείνους εἶναι ὧν ἐκ τύχης οἱ φαῦλοι κατορθοῦσι· γνώμῃ γὰρ οὐδὲν
ὑγιὲς δρᾶν ὑπομένουσι.
247 (13.) Ταῦτα διαταξάμενος περὶ ἑκάστης ἰδέας τῶν θυσιῶν ἐν
μέρει, τῆς τε ὁλοκαύτου καὶ σωτηρίου καὶ περὶ ἁμαρτίας, ἄλλην προσ-
νομοθετεῖ κοινὴν τῶν τριῶν, ἵνα ταύτας ἐπιδείξῃ φίλας καὶ συγγενεῖς
248 οὔσας· ἡ δὲ συναγωγὸς αὐτῶν εὐχὴ μεγάλη καλεῖται. διὰ τί δὲ
ταύτης ἔτυχε τῆς προσρήσεως, λεκτέον· ὅταν ἀπάρξωνταί τινες ἀπὸ
παντὸς μέρους κτήσεως, πυρούς, κριθάς, ἔλαιον, οἶνον, τὰ κάλλιστα
τῶν ἀκροδρύων, ἔπειτα τῶν ζῴων τὰ πρωτότοκα ἀρρενικά, τὰ μὲν ἐκ
τῶν καθαρῶν καθιερώσαντες, τὰ δ' ἐκ τῶν μὴ καθαρῶν κατ' ἀξίαν
τιμησάμενοι, μηκέτ' ἔχοντες ὕλας, ἐν αἷς διαθήσονται τὴν εὐσέβειαν,
αὑτοὺς ἀνατιθέασι καὶ καθιεροῦσιν, ἄλεκτον ἐπιδεικνύμενοι ὁσιότητα καὶ
ὑπερβολήν τινα γνώμης φιλοθέου. διὸ καὶ μεγάλη προσηκόντως εὐχὴ
καλεῖται· κτημάτων γὰρ τὸ μέγιστον αὐτός τίς ἐστιν αὑτῷ· οὗ παρα-
249 χωρεῖ καὶ ἐξίσταται. ποιησαμένῳ δὲ τὴν εὐχὴν τάδε διαγορεύει·
πρῶτον μὲν ἄκρατον μὴ προσφέρεσθαι μηδ' „ὅσα ἐκ σταφυλῆς κατερ-
γάζεται“ μηδ' ἄλλο τι μέθυσμα πίνειν ἐπὶ καθαιρέσει λογισμοῦ, νομί-
ζοντα τὸν χρόνον ἐκεῖνον ἱερᾶσθαι· καὶ γὰρ τοῖς λειτουργοῖς τῶν ἱερέων
250 δίψαν ἀκουμένοις ὕδατι τὰ περὶ μέθην ἀπείρηται· δεύτερον δὲ τὰς
τρίχας τῆς κεφαλῆς μὴ ἀποκείρεσθαι, σύμβολον ἐναργὲς τοῖς ὁρῶσι
παρέχοντα τοῦ μὴ παρακόπτειν τὸ νόμισμα τῆς εὐχῆς· τρίτον δὲ τὸ
σῶμα φυλάττειν καθαρὸν καὶ ἀμίαντον, ὡς μὴ γονεῦσιν ἐπεισιέναι
τετελευτηκόσι μηδ' ἀδελφοῖς, τὴν φυσικὴν εὔνοιαν καὶ συμπάθειαν πρὸς
τὰ οἰκεῖα καὶ φίλτατα νικώσης εὐσεβείας, ἣν ἀεὶ νικᾶν καλὸν ὁμοῦ καὶ
251 συμφέρον. (14.) ἠκούσης δὲ τῆς προθεσμίας, τρία ζῷα κελεύει προσ-
άγειν ἐπὶ λύσει τῆς εὐχῆς, ἄρνα καὶ ἀμνάδα καὶ κριόν, τὸν μὲν

1 γὰρ RF: δὲ AH (v)   2 ὑγιὲς F: ὑπαίτιον RAH (v); ἀνυπαίτιον coni. Mang.
4 ἄλλην RF: ἄλλο AH (Turn.)   5 κοινῇ (κοινὴν scripsi) τῶν τριῶν RA: τῶν τριῶν κοινήν F, τινι τῶν τριῶν H (Turn.)   ἵνα ταύτας RAH: ἵν' αὐτὰς F (Mang.)   ἐπιδείξῃ RF: ἀποδείξῃ AH (v)   6 συναγωγὸς RF: συναγωγὴ AH (v)   8 καὶ κριθὰς F   9 ἀρρενικά om. AH (Turn.)   10 καθιερώσαντες R: καθιέρωσαν AH (Turn.), ἀνιερώσαντες F (Mang.)   11 μηκέτ' ἔχοντες RAH, μηκέτι ἔχοντες F: μηκέτι δ' ἔχοντες v   ἐν αἷς διαθήσονται] αἷς ἐνδιαθήσονται F   12 αὐτοὺς F
14 αὑτῷ· οὗ] ὃς αὐτῷ F   17 λογισμοῦ RFA: λογισμῶν H (v)   19 ἀκουμένοις A: ἀσκουμένοις F, ἀρκουμένοις RH   δεύτερον—συμφέρον (25) om. AH (Turn.)
21 παρέχοντα scripsi: παρέχοντας RF (v)   26 ἐπιλύσει F

6 Num. 6,2 sqq. cf. *Ioseph. Ant. Iud. IV* § 72   19 δίψαν ἀκουμένοις Hom. Il. X 2

εἰς ὁλοκαύτωσιν, τὴν δὲ περὶ ἁμαρτίας, τὸν δὲ κριὸν εἰς θυσίαν τοῦ σωτη-
ρίου. πᾶσι γὰρ τούτοις ἐμφέρεταί πως ὁ εὐξάμενος, τῇ μὲν ὁλοκαύτῳ θυσίᾳ 252
διὰ τὸ μὴ τῶν ἄλλων μόνον ἀπαρχῶν ἀλλὰ καὶ ἑαυτοῦ παραχωρεῖν,
τῇ δὲ περὶ ἁμαρτίας διὰ τὸ ἄνθρωπος εἶναι — καὶ γὰρ ὁ τέλειος ᾗ
γενητὸς οὐκ ἐκφεύγει τὸ διαμαρτάνειν —, τῇ δὲ τοῦ σωτηρίου, διότι
τὸν σωτῆρα ὄντως θεὸν ἐπιγέγραπται τῆς σωτηρίας αἴτιον, ἀλλ' οὐχ
250 M. ἰατροὺς καὶ τὰς παρ' αὐτοῖς δυνάμεις· οἱ | μὲν γὰρ ἐπίκηροι καὶ θνητοὶ
μηδ' αὐτοῖς ὑγείαν ἱκανοὶ παρασχεῖν, αἱ δ' οὔτε πάντας οὔτ' ἀεὶ τοὺς
αὐτοὺς ὠφελοῦσιν, ἀλλ' ἔστιν ὅτε καὶ μέγα βλάπτουσιν, ἐπειδὴ τὸ κῦρος
ἕτερος ἀνῆπται καὶ τῶν δυνάμεων καὶ τῶν χρωμένων αὐταῖς. ἐκπλήττει 253
δέ με τὸ τῶν τριῶν ζῴων προσαγομένων εἰς διαφερούσας θυσίας μηδὲν
εἶναι ἑτερογενές, ἀλλὰ ταὐτοῦ γένους τὰ πάντα, κριὸν καὶ ἄρνα καὶ
ἀμνάδα· βούλεται γάρ, ὅπερ ἔφην μικρῷ πρότερον, διὰ τούτου παρα-
στῆσαι, ὅτι ἀδελφαὶ καὶ συγγενεῖς εἰσιν αἱ τρεῖς ἰδέαι τῶν θυσιῶν, τῷ
καὶ τὸν μετανοοῦντα σῴζεσθαι καὶ τὸν σῳζόμενον ἐκ τῶν ψυχικῶν ἀρρω-
στημάτων μετανοεῖν καὶ ἑκάτερον σπεύδειν πρὸς ὁλόκληρον καὶ παντελῆ
διάθεσιν, ἧς ἡ ὁλόκαυτος θυσία σύμβολον. ἐπεὶ δ' αὐτὸν ηὔξατο προσ- 254
αγαγεῖν, τὸν δ' ἱερὸν βωμὸν οὐ θέμις αἵματι ἀνθρωπίνῳ μιαίνεσθαι,
ἔδει δέ τι πάντως μέρος ἱερουργηθῆναι, μέρος ἐσπούδασε λαβεῖν, ὅπερ
ἀφαιρεθὲν οὔτ' ἀλγηδόνας οὔτε λώβην ἀπεργάζεται· τοῦ γὰρ κατὰ τὸ
σῶμα φυτικοῦ καθάπερ δένδρου περιττοὺς κλάδους τὰς τῆς κεφαλῆς
τρίχας ἀπέκειρε καὶ παρέδωκε πυρί, ᾧ τὰ κρέα τῆς τοῦ σωτηρίου
θυσίας ἕψεται· προσηκόντως, ἵνα τι τῶν τοῦ εὐξαμένου μέρος, ὃ μὴ

---

1 εἰς ὁλόκαυτον F τοῦ om. F 2 ἐμφέρεται RF: συμφέρεται AH (v) 3 μόνον RF: μόνων AH (v) αὐτοῦ AH post παραχωρεῖν add. τῷ σωτῆρι AH (v), omisi cum RF 4 καὶ γὰρ RF: κἂν γὰρ AH (v) ᾗ RF: ἢ AH (ᾖ v) 5 γεννητὸς FAH διαμαρτάνειν RF: ἁμαρτάνειν AH (v) τῇ] τὸ F 7 ἰατροὺς RF: ἰατρὸν AH (Turn.) αὐτοῖς RF: αὐτοῦ AH (Turn.) ⟨ἅτε⟩ ἐπίκηροι conicio θνητοὶ RF: γεννητοὶ AH (Turn.) 8 αὐτοῖς F ὑγίειαν F αἱ δ' RF: εἰ δ' οὖν AH (Turn.) 9 μέγα R: μεγάλα FAH (v) 10 ἕτερος RF: ἑτέρου AH (v) χρωμένων] χρωμάτων H (Turn.) αὐτοῖς Turn. 11 διαφερούσας RF: διαφόρους AH (Turn.) 12 ἄρνα] ἀμνὸν F 13 καὶ ante διὰ add. F τούτους F 13. 14 παραστῆσαι] παρασχεῖν καὶ F 14 καὶ συγγενεῖς om. AH (Turn.) ἰδέαι] ἰδέαι τῶν ἰδεῶν AH 15 τῶν om. Mang. 17 ἡ om. F, ss. R δὲ F αὐτὸν H ηὔξατο R (coni. Mang.): ἤρξατο FAH 19 alt. μέρος RF: om. AH (v) λαβεῖν] ἀνάγειν coni. Mang. 20 ἀπεργάζεται F: ἀπεργάσεται RAH (v) γὰρ om. R 20. 21 τὸ σῶμα RF: τὸ om. AH (Turn.) 21 φυτικοῦ F: φυσικοῦ (R?)AH (v) 23 τῶν om. Richt. μέρος om. F; μερῶν voluit Mang.

ἐπιφέρειν ἔξεστι τῷ βωμῷ, θυσίας γοῦν εἴδει συναναχραθῇ, γενόμενον
ὕλη φλογὸς ἱερᾶς.
255 (15.) Ταῦτα μὲν κοινὰ τῶν ἄλλων. ἔδει δὲ καὶ τοὺς ἱερεῖς
ἀπάρξασθαί τι τῷ βωμῷ, μὴ νομίσαντας ἀσυλίαν εὑρῆσθαι τὰς ὑπηρεσίας
καὶ λειτουργίας ἐφ' ὧν ἐτάχθησαν. ἡ δ' ἀπαρχὴ πρέπουσα ἱερεῦσιν
ἀπ' οὐδενὸς τῶν ἐναίμων, ἀλλ' ἀπὸ τοῦ καθαρωτάτου τῆς ἀνθρωπίνης
256 τροφῆς· σεμίδαλις γάρ ἐστιν ἡ ἐνδελεχὴς αὐτῶν θυσία, μέτρου ἱεροῦ
τὸ δέκατον καθ' ἑκάστην ἡμέραν, οὗ τὸ μὲν ἥμισυ πρωίας, τὸ δὲ ἥμισυ
δείλης προσάγεται, ταγηνισθὲν ἐν ἐλαίῳ, μηδενὸς εἰς βρῶσιν ὑπολειφθέντος· χρησμὸς γάρ ἐστι, πᾶσαν θυσίαν ἱερέως ὁλόκαυτον εἶναι καὶ
μηδὲν αὐτῆς εἰς ἐδωδὴν ἀπονέμεσθαι. εἰρηκότες οὖν, ὡς οἷόν τε ἦν,
τὰ περὶ θυσιῶν ἑξῆς καὶ περὶ τῶν θυόντων λέξομεν.

Περὶ θυόντων.

257 (1.) | Βούλεται τὸν ἀνάγοντα θυσίας ὁ νόμος καθαρὸν εἶναι σῶμα καὶ p. 251 M
ψυχήν, ψυχὴν μὲν ἀπό τε τῶν παθῶν καὶ νοσημάτων καὶ ἀρρωστημάτων
καὶ κακιῶν τῶν ἔν τε λόγοις καὶ πράξεσι, τὸ δὲ σῶμα ἀφ' ὧν ἔθος
258 αὐτῷ μιαίνεσθαι. κάθαρσιν δ' ἐπενόησεν ἑκατέρῳ τὴν προσήκουσαν,
ψυχῇ μὲν διὰ τῶν πρὸς τὰς θυσίας εὐτρεπιζομένων ζῴων, σώματι δὲ
διὰ λουτρῶν καὶ περιρραντηρίων, περὶ ὧν μικρὸν ὕστερον ἐροῦμεν· ἄξιον

---

1 θυσίας γοῦν εἴδει RF: θυσία γοῦν AH (Turn.) συναναχραθῇ γενόμενον F: συναναχραθὲν γενήσεται R, ἀναχραθὲν γένηται AH (Turn.) 2 ἱερᾶς RF: πυρός AH
4 ἀσυλίαν] ἀτέλειαν coni. Mang.; sed cf. *de vita Mos.* II § 236 εὑρῆσθαι RF: εὑρῆσαι AH (v) 5 καὶ λειτουργίας om. AH (Turn.) 6 ἀλλὰ AH
7 γάρ ἐστιν om. AH (Turn.) γάρ ἐστιν ἡ ἐντελεχὴς αὐτῶν θυσία R: ἡ ἐνδελεχὴς αὐτῶν θυσία AH, γὰρ ἡ ἐνδελεχὴς ἐστι θυσία αὐτῶν F 8 δ' F
9 δειλινῆς F ταγηνισθὲν RAH: τηγανισθὲν F 9. 10 μηδενός . . . ὑπολειφθέντος RF: μηδὲν . . . ἀπολειφθέντι AH (Turn.) 10 χρησμός] νόμος F
πᾶσαν θυσίαν ἱερέως ὁλόκαυτον RF: πάσας ἱερέως θυσίας ὁλοκαύτους AH (v) 11 αὐτῆς RF: αὐτῶν AH (v) οὖν om. F τ' AH ἦν om. F 12 θυσιῶν RF: τῶν θυσιῶν AH (Turn.) 13 tit. περὶ θυόντων RFA: τοῦ αὐτοῦ Φίλωνος περὶ θυόντων H
14 ἀνάγοντα θυσίας F: ἄγοντα τὰς θυσίας RAH (Turn.); ἀνάγοντα τὰς θυσίας Mang.
14. 15 σῶμα καὶ ψυχήν, ψυχὴν F: σώματι καὶ ψυχῇ, ψυχῇ RAH (Turn.) 15 τε RF: om. AH καὶ ἀρρωστημάτων RF: om. AH (v) 16 ἔν τε] τε ἐν F
τὸ δὲ σῶμα codd.: τῷ δὲ σώματι Turn. 17 αὐτῶ RFA: αὐτὸ H (v)
ἑκατέρω RF: ἑκατέρου AH (Turn.)

---

7 Lev. 6,20—23. cf. *Ioseph. Ant. Iud. III* § 257.

γὰρ τῷ κρείττονι καὶ ἡγεμονικωτέρῳ τῶν ἐν ἡμῖν, ψυχῇ, καὶ τὰ τῶν
λόγων ἀπονεῖμαι πρεσβεῖα. τίς οὖν ἡ ταύτης κάθαρσις; ἴδε, φησίν, ὦ 259
οὗτος, ὃ προσάγεις ἱερεῖον, ὡς ἔστιν ὁλόκληρον καὶ παντελῶς μώμων
ἀμέτοχον, ἐπικριθὲν ἐκ πολλῶν ἀριστίνδην διανοίαις μὲν ἀδεκάστοις
ἱερέων ὀξυωπεστάταις δ' αὐτῶν ὄψεσι καὶ τῷ συνεχεῖ τῆς ἀσκήσεως
συγκεκροτημέναις εἰς ἀνυπαίτιον ἐπίσκεψιν· ἐὰν γὰρ μὴ τοῖς ὀφθαλμοῖς
μᾶλλον ἢ τῷ λογισμῷ τοῦτο κατίδῃς, ἐκνίψῃ τὰ ἁμαρτήματα καὶ ὅσας
ἐν ἅπαντι τῷ βίῳ κηλῖδας ἀπεμάξω, τὰ μὲν ἀβουλήτοις συντυχίαις, τὰ
δὲ καθ' ἑκούσιον γνώμην. εὑρήσεις γὰρ τὴν τοσαύτην περὶ τὸ ζῷον 260
ἀκριβολογίαν αἰνιττομένην διὰ συμβόλου τὴν τῶν σῶν βελτίωσιν ἠθῶν·
οὐ γὰρ ὑπὲρ ἀλόγων ὁ νόμος, ἀλλ' ὑπὲρ τῶν νοῦν καὶ λόγον ἐχόντων,
ὥστε οὐ τῶν θυομένων φροντίς ἐστιν, ἵνα μηδεμίαν ἔχῃ λώβην, ἀλλὰ
τῶν θυόντων, ἵνα περὶ μηδὲν πάθος κηραίνωσι. τό γε μὴν σῶμα, ὡς 261
εἶπον, λουτροῖς καὶ περιρραντηρίοις καθαίρει καὶ οὐκ ἐᾷ περιρρανάμενον
εἰς ἅπαξ ἢ ἀπολουσάμενον εὐθὺς εἴσω περιβόλων ἱερῶν παρέρχεσθαι,
ἀλλὰ ἑπτὰ ἡμέρας ἔξω διατρίβειν κελεύει καὶ δὶς περιρραίνεσθαι τῇ
τρίτῃ καὶ ἑβδόμῃ καὶ μετὰ ταῦτα λουσαμένῳ παρέχει τάς τε εἰσόδους
252 M. καὶ τὰς ἱερουργίας ἀδεεῖς. (2.) | ὅσον δὲ κἂν τούτῳ τὸ προμηθὲς καὶ 262
φιλόσοφον, ἐπισκεπτέον. οἱ μὲν ἄλλοι σχεδὸν ἅπαντες ἀμιγεῖ ὕδατι
περιρραίνονται, θαλάττῃ μὲν οἱ πολλοί, τινὲς δὲ ποταμοῖς, οἱ δὲ καὶ
κάλπεσιν ἐκ πηγῶν ἀρυόμενοι· Μωυσῆς δὲ τέφραν προετοιμασάμενος

---

1 τῷ ... ἡγεμονικωτέρῳ RF: τῇ ... ἡγεμονικωτέρᾳ AH (Turn.) ψυχῆς H καὶ τὰ RA: κατὰ FH (Turn.) 1.2 τῶν λόγων ἀπονεῖμαι RF: τῶν ὅλων ἀπονέμειν AH (v) 2 πρεσβείαν H (Turn.) οὖν RF: δ' ἂν AH; δ' οὖν v 3 ὃ προσάγεις]. ὁ προσάγων F ἱερεῖον codd.: εἰς ἱερεῖον v 4 ἀδεκάσταις H 6 συγκεκροτημένας F 7 κατίδοις A (sic Mang.!) ἐκνίψῃ F: οὐκ ἐκνίψῃ RAH (v); μὴ (l. 6) delendum censuit Mang. 8 ἀπεμάξω scripsi: ἀνεμάξω codd.: ἐναπεμάξω coni. Mang. 8.9 τὰ δὲ καὶ F 9 γὰρ τὴν R: γὰρ om. F, τὴν om. AH (v) 10 συμβόλου RF: συμβόλων AH (v) 11 ἀλόγων codd.: τῶν ἀλόγων v 12 ἵνα—λώβην RF: om. AH (Turn.) ἔχοι RF (v) 13 περὶ om. AH (Turn.) 14 καθαίρειν R περιρρανάμενον RF: περιρρεόμενον AH (Turn.) 16 ἀλλ' F περιραίνεσθαι R 17 παρέχει F (Mang.): παρέχειν RAH τ' F 18 τὰς om. R ἱερουργίας ἀδεεῖς. ὅσον scripsi: ἱερουργίασ· αδεεισ οσον R, ἱερουργίας· ἃ δὲ εἰς ὅσον F, ἀδεεῖς om. AH (v) κἂν H 19 πάντες A ἀμιγεῖς F 20 δὲ post τινὲς om. Mang. ποταμοῖς] καὶ πολυτίμῳ F οἱ δὲ καὶ RAH: om. F; οἱ δὲ v 21 κάλπεσιν codd.: κάλπισιν Mang. (fort. recte) μωσῆς AH προητοιμασμένος F

---

14 Num. 19,11 sqq. 21 Num. 19,17. 18. cf. *Ioseph. Ant. Iud. IV* § *81*.

ὑπολειφθεῖσαν ἐξ ἱεροῦ πυρὸς — ὃν δὲ τρόπον, αὐτίκα δηλωθήσεται —
ἀπὸ ταύτης φησὶ δεῖν ἀναιρεῖσθαι καὶ ἐμβάλλοντας εἰς ἀγγεῖον αὖθις
ὕδωρ ἐπιφέρειν, εἶτα ἐκ τοῦ κράματος βάπτοντας ὑσσώπου κλάδους τοῖς
263 καθαιρομένοις ἐπιρραίνειν. αἰτία δ' οὐκ ἀπὸ σκοποῦ λέγοιτ' ἂν ἥδε·
βούλεται τοὺς ἐπὶ τὴν τοῦ ὄντος θεραπείαν ἰόντας γνῶναι πρότερον
ἑαυτοὺς καὶ τὴν ἰδίαν οὐσίαν· ὁ γὰρ ἀνεπιστήμων ἑαυτοῦ πῶς ἂν
δυνηθείη καταλαβεῖν τὴν ἀνωτάτω καὶ πάνθ' ὑπερβάλλουσαν θεοῦ δύνα-
264 μιν; ἔστιν οὖν ἡμῶν ἡ κατὰ τὸ σῶμα οὐσία, γῆ καὶ ὕδωρ, ἧς ὑπο-
μιμνήσκει διὰ τῆς καθάρσεως, αὐτὸ τοῦθ' ὑπολαμβάνων εἶναι τὴν ὠφελι-
μωτάτην κάθαρσιν, τὸ γνῶναί τινα ἑαυτὸν καὶ ἐξ οἵων ὡς οὐδεμιᾶς
265 σπουδῆς ἀξίων, τέφρας καὶ ὕδατος, συνεκράθη. τοῦτο γὰρ ἐπιγνοὺς
τὴν ἐπίβουλον οἴησιν εὐθὺς ἀποστραφήσεται καὶ καθελὼν τὸ ὑπέραυχον
εὐαρεστήσει θεῷ καὶ μεταποιήσεται τῆς ἵλεω δυνάμεως αὐτοῦ ⟨τοῦ⟩ μισοῦν-
τος ἀλαζονείαν. εἴρηται γάρ που καλῶς, ὅτι ὁ ἐγχειρῶν ὑπεραύχοις ἢ
λόγοις ἢ ἔργοις οὐκ ἀνθρώπους μόνον ἀλλὰ καὶ „θεὸν παροξύνει“ τὸν
266 ἰσότητος καὶ παντὸς τοῦ ἀρίστου δημιουργόν (Num. 15,30). ἐν οὖν τῷ
περιρραίνεσθαι πληττομένοις καὶ διεγειρομένοις μόνον οὐκ ἄντικρυς αὐτὰ
τὰ στοιχεῖα, γῆ καὶ ὕδωρ, φωνὴν ἀφιέντα φησίν· ἡμεῖς ἐσμεν ἡ τοῦ
σώματος ὑμῶν οὐσία, ἡμᾶς ἡ φύσις κερασαμένη θείᾳ τέχνῃ διέπλασεν
εἰς ἀνθρωπόμορφον ἰδέαν, ἐξ ἡμῶν παγέντες, ὅτε ἐγένεσθε, πάλιν εἰς
ἡμᾶς ἀναλυθήσεσθε, ὅταν δέῃ θνήσκειν· οὐδὲν γὰρ εἰς τὸ μὴ ὂν
φθείρεσθαι πέφυκεν, ἀλλ' ἐξ ὧν ἡ ἀρχή, πρὸς ταῦτα καὶ τὸ τέλος.
267 (3.) Ἤδη δ' ἀναγκαῖον καὶ τὴν ὑπόσχεσιν ἀποδοῦναι τῆς περὶ
τὴν τέφραν ταύτην ἰδιότητος· ἔστι γὰρ οὐ ξύλων αὐτὸ μόνον δαπανη-
θέντων ὑπὸ πυρός, ἀλλὰ καὶ ζῴου πρὸς τὴν τοιαύτην κάθαρσιν ἐπιτη-
268 δείου. κελεύει γὰρ δάμαλιν πυρρὰν ἄζυγον ἄμωμον ἀχθεῖσαν σφαγια-

4 λέγοιτο A, γένοιτο H 6 ὁ γὰρ ἐπιστήμων F 8 γῆ RF: ἡ γῆ AH (v) καὶ om. F 9 τοῦθ' RF: τοῦτο AH (v) ὑπολαμβάνων F: ὑπολαμβάνειν RAH 10 τιν' F 11 συνεκράθη F: συνεκρίθη RAH (v) 13 τοῦ addidi 16 ἰσότητος RF: ἰσότατον AH (Turn.) τοῦ ἀρίστου R: τοῦ om. FAH (v) 17 ἐπιρραίνεσθαι AH (v) μόνον οὐκ RF (Mang.): μόνον οὐ καὶ AH 17. 18 αὐτὰ τὰ codd.: αὐτά γε v 18 φωνὴν ἀφιέντα R: ἀφιέντα φωνήν AH, φωνὴν om. F φησίν R: φασίν FAH 19 ὑμῶν] ἡμῶν H (Turn.) θείᾳ τέχνῃ RF: ἡ θεία τέχνη AH (v) 20 pr. εἰς om. F ὅτε ἐγένεσθε RF: ὅταν ἐγίνεσθε AH (v) 21 ὅταν δέῃ RF: ὅτε δέοι AH (Turn.) 24 αὐτὸ] αὐτῶν F 25 ὑπὸ RF: ἀπὸ AH (Turn.) 26 πυρὰν FAH ἄμωμον om. AH (Turn.)

18 cf. Diels Elementum p. 46. 26 Num. 19,2—9. cf. *Ioseph. Ant. Iud.* *IV* § *79. 80.*

σθῆναι μὲν ἔξω πόλεως, τὸν δ' ἀρχιερέα λαμβάνοντα ἀπὸ τοῦ αἵματος
ἑπτάκις ἐπιρραίνειν ἀντικρὺ τοῦ νεὼ πάντα, εἶθ' ὅλην κατακαίειν σὺν
δορᾷ καὶ κρέασι καὶ αἵματι καὶ πλήρει τῇ κοιλίᾳ περιττωμάτων· ἤδη
53 M. δ' ὑπομαραινομένης τῆς φλογὸς εἰς τὸ μεσαίτατον | τρία ταῦτα ἐμβάλλειν,
ξύλον κέδρινον καὶ ὕσσωπον καὶ κόκκινον, κελεύει, εἶτ' ἐὰν ἀποσβεσθῇ,
τὴν τέφραν συλλέγειν καθαρὸν ἄνθρωπον καὶ ἀποτιθέναι πάλιν ἔξω πόλεως
ἐν χωρίῳ καθαρῷ. τίνα δὲ διὰ τούτων ὡς διὰ συμβόλων αἰνίττεται, 269
δι' ἑτέρων ἠκριβώσαμεν ἀλληγοροῦντες. ἀναγκαῖον οὖν τοὺς μέλλοντας
φοιτᾶν εἰς τὸ ἱερὸν ἐπὶ μετουσίᾳ θυσίας τό τε σῶμα φαιδρύνεσθαι καὶ
τὴν ψυχὴν πρὸ τοῦ σώματος· δεσπότις γὰρ καὶ βασιλὶς καὶ ἐν ἅπασι
κρείττων ἅτε θειοτέρας φύσεως μεταλαχοῦσα. τὰ δὲ φαιδρύνοντα διάνοιάν
ἐστι σοφία καὶ τὰ σοφίας δόγματα πρὸς τὴν θεωρίαν τοῦ κόσμου καὶ
τῶν ἐν αὐτῷ ποδηγετοῦντα καὶ ὁ τῶν ἄλλων ἀρετῶν ἱερὸς χορὸς καὶ
αἱ κατ' ἀρετὰς καλαὶ καὶ σφόδρα ἐπαινεταὶ πράξεις. ὁ μὲν οὖν τούτοις 270
διακεκοσμημένος ἴτω θαρρῶν εἰς οἰκειότατον αὐτῷ τὸν νεών, ἐνδιαίτημα
πάντων ἄριστον, ἱερεῖον ἐπιδειξόμενος αὑτόν· ὅτῳ δ' ἐγκάθηνται καὶ
ἐλλοχῶσιν αἱ πλεονεξίαι καὶ ἐπιθυμίαι τῶν ἀδικιῶν, ἐγκαλυψάμενος
ἠρεμείτω τὴν ἀναίσχυντον ἀπόνοιαν καὶ τὸ λίαν θράσος ἐν οἷς εὐλάβεια
λυσιτελὲς ἐπισχών· τὸ γὰρ τοῦ ὄντως ὄντος ἱερὸν ἀνιέροις ἄβατον θυσίαις.
εἴποιμ' ἄν· ὦ γενναῖε, ὁ θεὸς οὐ χαίρει, κἂν ἑκατόμβας ἀνάγῃ τις· 27
κτήματα γὰρ αὐτοῦ τὰ πάντα, κεκτημένος ὅμως οὐδενὸς δεῖται· χαίρει
δὲ φιλοθέοις γνώμαις καὶ ἀνδράσιν ἀσκηταῖς ὁσιότητος, παρ' ὧν ψαιστὰ
καὶ κριθὰς καὶ τὰ εὐτελέστατα ὡς τιμιώτατα πρὸ τῶν πολυτελεστάτων
ἄσμενος δέχεται· κἂν μέντοι μηδὲν ἕτερον κομίζωσιν, αὑτοὺς φέροντες 272
πλήρωμα καλοκἀγαθίας τελειότατον τὴν ἀρίστην ἀνάγουσι θυσίαν, ὕμνοις
καὶ εὐχαριστίαις τὸν εὐεργέτην καὶ σωτῆρα θεὸν γεραίροντες, τῇ μὲν διὰ

---

1 μὲν om. F (Mang.) λαβόντα F 2 ἄντικρυς AH 3 κρέασι RF: κέρασι AH (Turn.) καὶ αἵματι F: om. RAH (Turn.) 4 ταῦτ' F ἐμβάλειν (sic) F 5 καὶ ὕσσωπον F: καὶ om. RAH (v) κόκκινον RF: κύμινον AH (Turn.) εἶτ' ἐὰν R: εἶτ' ἐπὰν AH (v), καὶ ἐπειδὰν F 9 φυτᾶν F θυσίας] θυσιῶν F τε] γε R 12 τὰ om. F 13 pr. τῶν om. H 14 καλαὶ om. F σφόδρ' F 15 αὐτῷ AH (v) 16 αὐτόν F, ἑαυτόν AH (v) 17 αἱ πλεονεξίαι RF: αἱ om. AH (v) ἀδικιῶν RF: ἀδίκων AH 20 οὐ om. L (Turn.) κἂν] οὐκ ἂν Turn. αἰεὶ ante ἀνάγῃ add. F 21 κεκτημένος ὅμως non sana videntur; κ. δ' οὐδ' ὅλως vel κ. δὲ συνόλως conicio 22 φιλοθέοις γνώμαις] φιλοθέῳ ψυχῇ F 24 αὐτοὺς F φέροντας H 26 καὶ εὐχαριστίαις om. AH (Turn.) alt. καὶ om. F θεὸν om. AH (Turn.) τὴν μὲν ... τὴν δ' (66,1) F

---

20 sqq. cf. Bernays Theophrasts Schrift über die Frömmigkeit p. 65. 67. 75.

τῶν φωνητηρίων ὀργάνων, τῇ δὲ ἄνευ γλώττης καὶ στόματος, μόνῃ ψυχῇ
τὰς νοητὰς ποιούμενοι διεξόδους καὶ ἐκβοήσεις, ὧν ἓν μόνον οὖς ἀντιλαμβά-
νεται τὸ θεῖον· αἱ γὰρ τῶν ἀνθρώπων οὐ φθάνουσιν ἀκοαὶ συναισθέσθαι.
273 (4.) Ὡς δ' ἀψευδής ἐστιν οὗτος ὁ λόγος καὶ οὐκ ἐμὸς ἀλλὰ τῆς
φύσεως, μαρτυρεῖ μέν πως καὶ ἡ ἐνάργεια τρανὴν παρέχουσα πίστιν
τοῖς μὴ διὰ τὸ φιλόνεικον ἐπιτηδεύουσιν ἀπιστίαν, μαρτυρεῖ δὲ καὶ ὁ
νόμος προστάξας δύο κατασκευασθῆναι βωμοὺς καὶ ταῖς ὕλαις καὶ τοῖς
274 τόποις καὶ ταῖς χρείαις διαφέροντας· ὁ μὲν γὰρ ἐκ λίθων λογάδων
ἀτμήτων συνῳκοδόμηται καὶ ἐν ὑπαίθρῳ παρὰ ταῖς τοῦ νεὼ προσβάσεσιν
ἵδρυται καὶ γέγονε πρὸς χρείαν τὴν τῶν ἐναίμων· ὁ δὲ χρυσοῦ μὲν τοῦ
καθαρωτάτου κατεσκεύασται, ἵδρυται δ' ἐν ἀδύτοις εἴσω τοῦ προτέρου
καταπετάσματος, ὃς οὐδενὶ τῶν ἄλλων ἐστὶν | ὁρατὸς ὅτι μὴ τοῖς ἁγνεύουσι p. 254
275 τῶν ἱερέων καὶ γέγονε πρὸς χρείαν τὴν τῶν θυμιαμάτων. ἐξ οὗ δῆλόν
ἐστιν, ὅτι καὶ βραχύτατον λιβανωτὸν παρ' ἀνδρὸς ὁσίου τιμιώτερον ὁ
θεὸς νομίζει μυρίων θρεμμάτων, ὅσα ἂν τις ἱερουργῇ μὴ σφόδρα ἀστεῖος
ὤν· ὅσῳ γάρ, οἶμαι, λίθων μὲν εἰκαίων ἀμείνων χρυσός, τὰ δ' ἐν
ἀδύτοις τῶν ἐκτὸς ἁγιώτερα, τοσούτῳ κρείττων ἡ διὰ τῶν ἐπιθυμιω-
276 μένων εὐχαριστία τῆς διὰ τῶν ἐναίμων. ὅθεν οὐ μόνον ὕλης πολυτελείᾳ
καὶ κατασκευῇ καὶ τόπῳ τετίμηται ὁ τῶν θυμιαμάτων βωμός, ἀλλὰ καὶ
τῷ πρότερον καθ' ἑκάστην ἡμέραν ὑπηρετεῖν ταῖς πρὸς θεὸν ἀνθρώπων
εὐχαριστίαις· οὐ γὰρ ἐφεῖται τὴν ὁλόκαυτον θυσίαν ἔξω προσαγαγεῖν,
277 πρὶν ἔνδον περὶ βαθὺν ὄρθρον ἐπιθυμιᾶσαι. τὸ δ' ἐστὶ σύμβολον οὐχ
ἑτέρου τινὸς ἢ τοῦ παρὰ θεῷ μὴ τὸ πλῆθος τῶν καταθυομένων εἶναι

2 οὖς] νοῦς H (Turn.) 3 τὸ θεῖον RF: τοῦ θείου AH (Turn.) τῶν om. F 5 ἐνάργεια AH: ἐνέργεια RF 9 καὶ ἀτμήτων F (Mang.) προσβάσεσιν RF (Mang.): προβάσεσιν AH 10. 11 τοῦ καθαρωτάτου om. AH (Turn.) 11 ἀδύτοις RF: ἀδύτῳ AH (v) 11. 12 τοῦ καταπετάσματος τοῦ προτέρου F 13 πρὸς τὴν τῶν θυμιαμάτων χρείαν F 14 ὅτι om. R 15 ἱερουργῇ codd.: ἱερουργεῖ Mang. 16 εἰκαίων RF (Mang.): om. AH τὰ δ'] τά τ' F 17 ἀδύτῳ F ἐκτὸς] ἐκεῖ AH (Turn.) 20 πρότερος F ὑπηρετεῖν RF: νομοθετεῖν AH (Turn.) ἀνθρώπων R, ἀνθρώποις F: om. AH (v) 21 post εὐχαριστίαις add. ταῦτ' ἐπιθύειν AH (Turn.) ἐφεῖται codd.: ἐφίεται Mang. ἔξω θυσίαν transp. F προσάγειν F 22 ἐπιθυμιάσει R τόδ' ἔστι FAH; τόδε ἐστὶ Turn. Mang. 23 τοῦ] τῷ H

7 Exod. 27,1 sqq. 30,1 sqq. 9 cf. *Hecat. Abder. ap. Ioseph. c. Ap. I § 198* ἐνταῦθα δ' ἐστὶ ... περίβολος λίθινος ..., ἐν ᾧ βωμός ἐστι τετράγωνος, ἀτμήτων συλλέκτων ἀργῶν λίθων οὕτως συγκείμενος ... καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον ἀμφότερα χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν. 21 Exod. 30,7. 23 cf. Bernays l. l.

τίμιον, ἀλλὰ τὸ καθαρώτατον τοῦ θύοντος πνεῦμα λογικόν· εἰ μὴ ἄρα δικαστὴς μέν, ᾧ μέλει τῆς ὁσίας κρίσεως, παρά τινος τῶν κρινομένων οὐκ ἂν λάβοι δῶρα ἢ λαβὼν ἔνοχος ἔσται δωροδοκίᾳ, οὐδ᾽ ἀνὴρ ἀστεῖος παρὰ μοχθηροῦ τινος, ἄνθρωπος παρ᾽ ἀνθρώπου πλουτοῦντος αὐτὸς ἴσως δεόμενος, σὺ δ᾽ ᾠήθης τὸν θεὸν δεκάζεσθαι, τὸν αὐταρκέστατον ἑαυτῷ καὶ μηδενὸς τῶν ἐν γενέσει χρεῖον, ὅστις ὢν τὸ πρῶτον ἀγαθόν, τὸ τελειότατον, ἡ ἀέναος πηγὴ φρονήσεως καὶ δικαιοσύνης καὶ πάσης ἀρετῆς, ἀποστρέφεται τὰς παρὰ τῶν ἀδίκων δωρεάς. ὁ δὲ κομίζων οὐ 278
πάντων ἀναισχυντότατος ἐξ ὧν ἔκλεψεν ἢ ἥρπασεν ἢ ἠρνήσατο ἢ ἀπεστέρησε μέρος ὡς κοινωνῷ τῆς ἑαυτοῦ κακίας καὶ πλεονεξίας διδούς; πάντων κακοδαιμονέστατε, εἴποιμ᾽ ἂν τῷ τοιούτῳ, δυοῖν θάτερον ἢ λήσεσθαι προσδοκᾷς ἢ καταφανήσεσθαι· λήσεσθαι μὲν οὖν ὑπολαμβάνων ἀνεπιστή- 279
μων εἶ θεοῦ δυνάμεως, καθ᾽ ἣν ἅμα πάντα ὁρᾷ καὶ πάντων ἀκούει· νομίζων δ᾽ ἐμφανήσεσθαι θρασύτατος εἶ· δέον ἐφ᾽ οἷς ἥμαρτες ἐγκαλύπτεσθαι, προφέρεις εἰς μέσον τὰ δείγματα ὧν ἠδίκησας καὶ ἐπισεμνυνόμενος διανέμῃ πρὸς θεόν, ἀπαρχὰς αὐτῷ κομίζων ἀνοσίους, καὶ οὐκ ἐλογίσω τοῦθ᾽ ὅτι οὔτε νόμος ἀνομίαν παραδέχεται οὔτε φῶς ἡλιακὸν σκότος. ὁ δὲ θεὸς καὶ νόμων ἐστὶ παράδειγμα ἀρχέτυπον καὶ ἡλίου ἥλιος, νοητὸς αἰσθητοῦ, παρέχων ἐκ τῶν ἀοράτων πηγῶν ὁρατὰ φέγγη τῷ βλεπομένῳ.

I p. 264 M. **Περὶ τοῦ μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ κομίζειν.**

Πάνυ καλῶς ἐν ταῖς ἱεραῖς τοῦ νόμου στήλαις κἀκεῖνο ἀναγέγραπται, 280
μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ κομίζειν πεπρακυίας τὴν ἰδίαν ὥραν,

2 μέλλει F   κρίσεως om. F   3 λάβη (οι supra) AH   ἔνοχος] ἔναγχος AH   δωροδοκία RF: δωροδόκος AH; δωροδοκίας v   4 ἄνθρωπος παρ᾽ om. AH (Turn.)   4. 5 αὐτὸς ἴσως δεόμενος RF: om. AH (Turn.)   δ᾽ ἴσως Maug.   6 χρεῖον R (sic scripseram): χρειῶν F, χρήζοντα AH (v)   alt. τὸ om. AH (Turn.)   7 ἀέναος R: ἀένναος FAH (v)   9 ἀναισχύντατος H   ἔκλεψεν RF: ἔβλαψεν AH (v)   10 μέρος RF: om. AH (Turn.)   καὶ πλεονεξίας RF: om. AH (Turn.)   11 κακοδαιμονέστατον εἴποιμ᾽ ἂν τὸν τοιοῦτον AH (Turn.)   12 προσδοκήσας F   13 πάνθ᾽ ὁρᾷ F   14 δ᾽ ἐμφανήσεσθαι R, δ᾽ ἐμφανίσεσθαι F (Mang.): δὲ φανήσεσθαι AH (Turn.)   εἶ] εἰ coni. Wendl.   19 ὁρατὰ] ἀόρατα F   20 expositionem *de mercede meretricis* (67,20—68,22) hoc loco om. AH (v)   tit. περὶ τοῦ μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ κομίζειν R: om. F, περὶ τοῦ—μὴ προσδέχεσθαι ceteri
21 κἀκεῖνο RFN: om. ceteri (Turn.)   ἀναγέγραπται RFN: γέγραπται ceteri (Turn.)
22 μὴ ante μίσθωμα transp. N   κομίζειν] προσδέχεσθαι H (v)

21—68,11 N fol. 156r: ἐν ταῖς ἱεραῖς—ἀδύνατα.   22 Deut. 23,18.

281 ἑλομένης ἕνεκα λημμάτων αἰσχρῶν ἐπονείδιστον βίον. εἰ δὲ τὰ παρὰ γυναικὸς ἡταιρηκυίας δῶρα ἀνίερα, πῶς οὐχὶ μᾶλλον τὰ παρὰ ψυχῆς πεπορνευμένης, ἥτις παρέρριψεν | ἑαυτὴν ἐπ' αἰσχύνῃ καὶ ὕβρεσι ταῖς p. ἐσχάταις, οἰνοφλυγίαις, ὀψοφαγίαις, φιλαργυρίαις, φιλοδοξίαις, φιληδονίαις, ἄλλαις μυρίαις παθῶν τε αὖ καὶ νοσημάτων καὶ κακιῶν ἰδέαις; ὧν τὰ μιάσ-
282 ματα ἐκεῖνα τίς ἂν ἐκνίψαι χρόνος; ἔγωγε οὐκ οἶδα. τῶν μὲν γὰρ ἑταιρῶν τὴν ἐργασίαν κατέλυσε πολλάκις γῆρας, ἐπειδήπερ ἐξώροις γενομέναις οὐδεὶς ἔτι πρόσεισιν, ἀπομαρανθείσης ὥσπερ τινῶν ἀνθῶν τῆς ἀκμῆς· ψυχῆς δὲ πορνείαν ἀκολασίᾳ συντρόφῳ καὶ συνήθει πεπαιδοτριβημένης τίς ἂν αἰὼν μεταβάλοι πρὸς εὐκοσμίαν; αἰὼν μὲν οὔ, θεὸς δὲ μόνος, ᾧ δυνατὰ
283 τὰ παρ' ἡμῖν ἀδύνατα. δεῖ δὴ τὸν μέλλοντα θύειν σκέπτεσθαι, μὴ εἰ τὸ ἱερεῖον ἄμωμον, ἀλλ' εἰ ἡ διάνοια ὁλόκληρος αὐτῷ καὶ παντελὴς καθέστηκε. διερευνάτω μέντοι καὶ τὰς αἰτίας, ὧν ἕνεκα ἀνάγειν ἀξιοῖ θυσίας· ἤτοι γὰρ εὐχαριστῶν ἐπὶ προϋπηργμέναις εὐεργεσίαις ἢ βεβαιότητα παρόντων ἢ μελλόντων κτῆσιν ἀγαθῶν αἰτούμενος ἢ κακῶν παρόντων ἢ προσδοκωμένων ἀποτροπήν, ἐφ' οἷς ἅπασιν ὑγείαν καὶ σωτηρίαν ἐκπο-
284 ρίζειν ὀφείλει τῷ λογισμῷ. εἴτε γὰρ ἐπὶ προϋπηργμένοις εὐχαριστεῖ, μὴ ἀχαριστησάτω φαῦλος γενόμενος — σπουδαίῳ γὰρ ἐδόθησαν αἱ χάριτες —, εἴτε βεβαιούμενος τὰ παρόντα ἀγαθὰ καὶ χρηστὰ περὶ τῶν μελλόντων προσδοκῶν, ἄξιον αὐτὸν παρεχέτω τῶν εὐπραγιῶν ἀστεῖος ὤν, εἴτε κακῶν τινων φυγὴν αἰτούμενος, μὴ δράτω κολάσεων ἐπάξια καὶ τιμωριῶν.

---

1 περὶ N 3 πεπορνευκυίας FN ἥτις codd: ἢ v 5 αὖ om. FNA
6 ἐκεῖνα] om. N, ἀνέκπλυτα coni. Mang. ἔγωγ' FA γὰρ om. A
ἑταίρων FN 7 πολλάκις κατέλυσε transp. F, πολλάκις om. N ἐπείπερ A
9 πεπαιδοτριβημένης RFN: πεπαιδοτριβημένην ceteri (Turn.) ἂν om. FN
10 μεταβάλοι F: μεταβάλλει N, μεταβαλεῖ ceteri; μεταβάλλοι v οὔ] οὖν Mang.
12 ἄμωμον ⟨μόνον⟩ conicio ἡ om. A 13 ἕνεκ' F ἀνάγειν] ἀγαγεῖν A
15 κτῆσιν ἀγαθῶν R: ἀγαθῶν κτῆσιν ceteri (v) 16 ὑγίειαν F 17 ἐπὶ om. GP[1] 18 σπουδαίοις A 18. 19 αἱ χάριτες ἐδόθησαν transp. F
19 παρόντ' F χρηστὰ] χρὴ τὰ GHP 20 προσδοκῶν RFA: προσδοκᾶν ceteri (Turn.) αὐτὸν F, αυτω^{ὸν} R, αὐτῷ P, αὐτὸν ex αὐτῷ corr. H, ἑαυτὸν A
21 κακῶν . . . ω̃ . R (τινῶν supplevi): κακῶν ceteri (v)

254 M. **Τὰ ἄλλα περὶ τὸ θυσιαστήριον.**

(5.) Πῦρ, φησίν, ἐπὶ τοῦ θυσιαστηρίου καυθήσεται διὰ παντὸς ἄσβε- 285
στον· εἰκότως, οἶμαι, καὶ προσηκόντως· ἐπειδὴ γὰρ αἱ τοῦ θεοῦ χάριτες
ἀέναοι καὶ ἀνελλιπεῖς καὶ ἀδιάστατοι, ὧν μεθ' ἡμέραν καὶ νύκτωρ οἱ ἄνθρω-
ποι τυγχάνουσιν, καὶ τὸ σύμβολον τῆς εὐχαριστίας, ἡ ἱερὰ φλόξ, ζωπυρείσθω
255 M. καὶ ἀεὶ ἄσβεστος | ἔστω. τάχα μέντοι καὶ διὰ τοῦδε βούλεται τὰς παλαιὰς 286
ταῖς νέαις θυσίαις ἁρμόσασθαι καὶ ἑνῶσαι τῇ μονῇ καὶ παρουσίᾳ τοῦ αὐτοῦ
πυρός, ᾧ πᾶσαι καθιεροῦνται, πρὸς ἔνδειξιν τοῦ τελείας ἐν εὐχαριστίαις
εἶναι, κἂν ἀπὸ μυρίων ὅσων ἀφορμῶν γίνωνται κατὰ περιουσίας ἀφθόνους
ἢ τοὐναντίον ἐνδείας τῶν προσαγομένων. τὰ μὲν ῥητὰ ταῦτα [σύμβολα 287
νοητῶν], τὰ δὲ πρὸς διάνοιαν τοῖς τῆς ἀλληγορίας κανόσιν ἐπισκεπτέον·
πρὸς ἀλήθειαν τοῦ θεοῦ θυσιαστήριόν ἐστιν ἡ εὐχάριστος τοῦ σοφοῦ ψυχὴ
παγεῖσα ἐκ τελείων ἀρετῶν ἀτμήτων καὶ ἀδιαιρέτων· οὐδὲν γὰρ μέρος
ἀρετῆς ἀχρεῖον. ἐπὶ ταύτης ἀεὶ τὸ ἱερὸν φῶς ἀνακαίεται φυλαττόμενον 288
ἄσβεστον· διανοίας δὲ φῶς ἐστι σοφία, ἐπεὶ καὶ τοὐναντίον σκότος ψυχῆς
ἀφροσύνη· ὅπερ γὰρ αἰσθητὸν φῶς ὀφθαλμοῖς πρὸς κατάληψιν
σωμάτων, τοῦτ' ἐπιστήμη λογισμῷ πρὸς θεωρίαν τῶν ἀσωμάτων καὶ νοη-
τῶν, ἧς ἀεὶ τὸ φέγγος ἐπιλάμπει μηδέποτε ἀμαυρούμενον ⟨ἢ⟩ σβεννύμενον.

(6.) Μετὰ ταῦτά φησιν· „ἐπὶ παντὸς δώρου προσοίσετε ἅλα“, δι' 289
οὗ, καθάπερ καὶ πρότερον εἶπον, τὴν εἰς ἅπαν διαμονὴν αἰνίττεται·

---

1 tit. τὰ ἄλλα περὶ τὸ θυσιαστήριον R, Φίλωνος τὰ ἄλλα περὶ τὸ θυσιαστήριον Arm: τὰ ἄλλα τὰ περὶ τὸ θυσιαστήριον in textu AH, τὰ ἄλλα τὰ περὶ τὸν βωμόν F 2 πῦρ —καυθήσεται] πῦρ φησὶ καιέσθω ἐπὶ τοῦ βωμοῦ καὶ ἔστω F 3 post ἐπειδὴ pergit F: τινὰς τῶν ἀποκόπων ἔθετο κτλ. (p. 83,21), cetera sine indicio lacunae om. αἱ τοῦ θεοῦ χάριτες R: τοῦ θεοῦ αἱ χάριτες AH (v) 4 ἀέναοι R: ἀένναοι AH (v) νύκτωρ R: νύκτα AH (v) 5 τυγχάνουσιν R (conieceram): τυγχάνομεν AH (v) 6 μέντοι R (sic scripseram): μὲν AH (v) διὰ τοῦδε Mang.: διὰ τόδε codd. 9 ὅσων] νόσων ἢ Arm γίνονται H 10 προσαγομένων] προσαγόντων conicio 10. 11 σύμβολα νοητῶν seclusi 11 τῆς om. R post ἐπισκεπτέον interpunxi (sic Arm): post ἀλήθειαν (12) interpung. codd. (v) 13 ἀρετῶν R Arm (coni. Mang.): ἀριθμῶν AH (v) 14 τὸ ἱερὸν] ἐν τῷ ἱερῷ Arm 16 ὀφθαλμοῖς scripsi: εἰς ὀφθαλμοὺς codd. (v) 16. 17 πρὸς κατάληψιν σωμάτων R Arm: om. AH (v) 17 πρὸς om. R 18 ἧς RA: οἷς H (Turn.) ἀμαυρούμενον ἢ σβεννύμενον scripsi: ἀμαυρούμενον R, σβεννύμενον AH (v) 19 φησί R ἐπὶ om. R προσοίσεται H ἅλα R: ἅλας AH (v) 20 καὶ om. R

---

1 Lev. 6,9. 12. 13 19 Lev. 2,13. cf. *Ioseph. Ant. Iud. III* § *227* (de holocaustis) ... καὶ πάσαντες ἁλσὶν ἐπὶ τὸν βωμὸν ἀνατιθέασι.

φυλακτήριον γὰρ οἱ ἅλες σωμάτων, τετιμημένοι ψυχῆς δευτερείοις· ὡς
γὰρ αἰτία τοῦ μὴ διαφθείρεσθαι τὰ σώματα ψυχή, καὶ οἱ ἅλες ἐπὶ
290 πλεῖστον αὐτὰ συνέχοντες καὶ τρόπον τινὰ ἀθανατίζοντες. διὸ καὶ κέκληκε
θυσιαστήριον, ἴδιον καὶ ἐξαίρετον ὄνομα θέμενος αὐτῷ παρὰ τὸ δια-
τηρεῖν, ὡς ἔοικε, τὰς θυσίας, καίτοι τῶν κρεῶν ἀναλισκομένων ὑπὸ
πυρός· ὡς εἶναι σαφεστάτην πίστιν, ὅτι οὐ τὰ ἱερεῖα θυσίαν ἀλλὰ τὴν
διάνοιαν καὶ προθυμίαν ὑπολαμβάνει τοῦ καταθύοντος εἶναι, ἐν ᾗ τὸ μόνι-
291 μον καὶ βέβαιον ἐξ ἀρετῆς. προσέτι κἀκεῖνο προσνομοθετεῖ, κελεύων πᾶσαν
θυσίαν δίχα ζύμης καὶ μέλιτος προσάγεσθαι, μηδέτερον ἀξιῶν ἀναφέρειν
ἐπὶ τὸ θυσιαστήριον· μέλι μὲν ἴσως, ἐπειδήπερ ἡ συναγωγὸς αὐτοῦ
μέλιττα ζῷόν ἐστιν οὐ καθαρόν, ἐκ σήψεως καὶ φθορᾶς νεκρῶν, ὡς ὁ
292 λόγος, βοῶν γεννώμενον, καθὰ καὶ οἱ σφῆκες ἐξ ἱππείων σωμάτων· ἢ
κατὰ σύμβολον τοῦ πᾶσαν ἀνίερον εἶναι τὴν περιττὴν ἡδονήν, τὰ μὲν
περὶ τὴν κατάποσιν γλυκαίνουσαν, πικρὰς δὲ καὶ δυσιάτους αὖθις ἐπι-
φέρουσαν ἀλγηδόνας, ὑφ' ὧν ἀνάγκη τὴν ψυχὴν σείεσθαι καὶ κλονεῖσθαι
293 παγίως ἱδρυθῆναι μὴ δυναμένην· ζύμην δὲ διὰ τὴν γινομένην ἔπαρσιν
ἐξ αὐτῆς, πάλιν συμβολικῶς, | ἵνα μηδεὶς προσιὼν τῷ θυσιαστηρίῳ τὸ p. 256
παράπαν ἐπαίρηται φυσηθεὶς ὑπ' ἀλαζονείας, ἀλλ' εἰς τὸ τοῦ θεοῦ
μέγεθος ἀποβλέπων αἴσθησιν λαμβάνῃ τῆς περὶ τὸ γενητὸν ἀσθενείας,
κἂν εὐτυχίαις ἑτέρων διαφέρῃ, καὶ τὸν εἰκότα ποιησάμενος λογισμὸν
στέλλῃ τὸ τοῦ φρονήματος ὑπέραυχον ὕψος, τὴν ἐπίβουλον οἴησιν
294 καθαιρῶν. εἰ γὰρ ὁ τῶν ὅλων κτίστης καὶ ποιητὴς καὶ πάντων ἀνεπι-

---

1 δευτερείοις R: δευτερείων A, δευτερείω H   ὡς R: ἴσως AH   3. 4 κέκληκε θυσιαστήριον v (Turn.): κέκληται θυσιαστήριον R, κύκλωμα θυσιαστηρίου AH
7 ὑπολαμβάνειν H   εἶναι, ἐν ᾗ τὸ μόνιμον Arm: ἵνα ἡ μόνιμον codd. (v)
8 προσνομοθετεῖ R: νομοθετεῖ AH (v)   8. 9 πᾶσαν θυσίαν R: θυσίαν πᾶσαν AH
9 ἀναφέρειν scripsi (sic Arm?): R quid habeat, incertum, διαφέρειν AH (v); προσφέρειν coni. Mang.   13. 14 τὰ μὲν περὶ τὴν κατάποσιν om. in textu, add. mg R   14 καταγλυκαίνουσαν R   14. 15 ἐπιφέρουσα H   16 ἱδρυνθῆναι A
17 πάλιν] πάνυ coni. Mang.   19 γεννητὸν AH   γενητὸν πᾶν Arm   20 ἑτέρων R: om. AH (v)   καὶ om. Arm   21 στέλλει AH   22 εἰ γὰρ R: εἰ δ' AH (v)

---

9 Lev. 2,11   11 cf. Nicand. Ther. 741 sq. ἵπποι γὰρ σφηκῶν γένεσις, ταύρων δὲ μέλισσαι | σκήνεσι πυθομένοισι λυκοσπάδες ἐξεγένοντο. ubi schol.: φησὶν ὅτι τῶν ἵππων ἀποθνῃσκόντων σηπόμενα τὰ σκηνώματα γεννῶσι τοὺς σφῆκας, τῶν δὲ ταύρων ὁμοίως σηπομένων γεννῶσι τὰς μελίσσας. Ael. Nat. anim. I 28 ἵππος ἐρριμμένος σφηκῶν γένεσίς ἐστιν· ὁ μὲν γὰρ ὑποσήπεται, ἐκ δὲ τοῦ μυελοῦ ἐκπέτονται οἱ θῆρες οὗτοι. II 57 καὶ ἀποθανὼν δὲ βοῦς γενναῖόν τι χρῆμα καὶ ἀξιέπαινον· μέλισσαι γοῦν ἐκ τῶν ἐκείνου λειψάνων ἐκφύονται. Hesych. βουγενέων· . . . καὶ ἡ μέλισσα βουγενής, ὅτι ἐκ βοείων ὀστέων γεννᾶται.

δεὴς ὧν ἐγέννησεν, οὐ πρὸς τὰς ὑπερβολὰς τοῦ κράτους αὐτοῦ καὶ τῆς ἐξουσίας ἀπιδὼν ἀλλὰ πρὸς τὴν σὴν ἀσθένειαν, μεταδίδωσί σοι τῆς ἵλεω δυνάμεως αὐτοῦ τὰς ἐνδείας ἀναπληρῶν αἷς κέχρησαι, σὲ τί ποιεῖν ἁρμόττει πρὸς ἀνθρώπους τοὺς φύσει συγγενεῖς καὶ ἀπὸ τῶν αὐτῶν στοιχείων σπαρέντας, τὸν μηδὲν εἰς τὸν κόσμον ἀλλὰ μηδὲ σαυτὸν
εἰσενηνοχότα; γυμνὸς μὲν γάρ, θαυμάσιε, ἦλθες, γυμνὸς δὲ πάλιν ἄπεις, 295
τὸν μεταξὺ χρόνον γενέσεως καὶ θανάτου παρὰ τοῦ θεοῦ χρῆσιν λαβών, ἐν ᾧ τί ποιεῖν προσῆκον ἦν ἢ κοινωνίας καὶ ὁμονοίας ἰσότητός τε καὶ φιλανθρωπίας καὶ τῆς ⟨ἄλλης⟩ ἀρετῆς ἐπιμελεῖσθαι, ἀποβαλλόμενον τὴν ἄνισον καὶ ἄδικον καὶ ἀσύμβατον κακίαν, ἣ τὸ ἡμερώτατον φύσει ζῷον, ἄνθρωπον, ὠμὸν καὶ ἀτίθασον ἐργάζεται;

(7.) Πάλιν ἀφ' ἑσπέρας ἕως πρωίας προστάττει καίεσθαι λύχνους 296
ἐπὶ τῆς ἱερᾶς λυχνίας εἴσω τοῦ καταπετάσματος, πολλῶν χάριν· ἑνὸς μὲν ἵνα ἐκ διαδοχῆς τοῦ μεθημερινοῦ φωτὸς καταλάμπηται τὰ ἅγια γινόμενα ἀεὶ σκότους ἀμέτοχα καθ' ὁμοιότητα τῶν ἀστέρων· καὶ γὰρ οὗτοι δύντος ἡλίου τὸ ἴδιον ἀναφαίνουσι φέγγος ἣν ἐτάχθησαν ἐν τῷ
κόσμῳ τάξιν οὐ λείποντες· ἑτέρου δὲ τοῦ καὶ νύκτωρ ἀδελφόν τι καὶ 297
συγγενὲς ταῖς μεθημεριναῖς θυσίαις ἐπιτελεῖσθαι πρὸς ἀρέσκειαν θεοῦ καὶ μηδένα χρόνον ἢ καιρὸν εὐχαριστίας παραλείπειν· ἐπιτηδειοτάτη δὲ καὶ προσφυεστάτη νυκτὶ τῆς εὐχαριστίας θυσία — θυσίαν γὰρ αὐτὴν ἄξιον
καλεῖν — ἡ τοῦ ἱερωτάτου φέγγους ἐν τοῖς ἀδύτοις αὐγή· τρίτου δὲ καὶ 298
σφόδρα ἀναγκαίου· ἐπειδὴ γὰρ οὐ μόνον ἐγρηγορότες εὖ πάσχομεν ἀλλὰ

---

1 αὐτοῦ AH (v) 1. 2 τῆς ἐξουσίας R Arm: τὰς ἐξουσίας AH (v) 2 ἀπιδὼν] ὑπεριδὼν AH σοι om. H (Turn.) 3 αὐτοῦ AH, αὐτοῦ om. Arm αἷς om. R κέχρησαι R Arm: κέχωσαι AH (v) 5 σπαρέντας] συγκραθέντας vel συγκριθέντας coni. Mang. τὸν κόσμον codd.: τὸν om. v 6 μὲν γάρ om. Arm, γάρ om. R δὲ R: om. AH (v) ἄπεις scripsi (an ἄπει?): ἀπίῃς codd. (v) 7 τὸν μεταξὺ χρόνον] οὐ μετὰ πολὺν χρόνον Arm ⟨εἰς⟩ χρῆσιν coni. Mang.; sed cf. vol. I 197,3 9 ἄλλης Arm (coni. Mang.): om. codd. (v) προβαλλόμενον Arm 11 ἀτίθασον R: ἀτίθασσον AH (v) 12 πρωίας R: πρωὶ AH (v) 13 τῆς ἱερᾶς R Arm (Mang.): τὰς ἱερὰς AH 14 διαδοχῆς R: διαδόχου AH 16 δύντος R (sic scripseram): δύνοντος AH (v) 19 παραλείπεσθαι conicio post παραλείπειν interpungit R: post νυκτί (20) AH (v) 19. 20 ἐπιτηδειοτάτη δὲ καὶ προσφυεστάτη νυκτὶ R (Arm?): ἐπιτηδειότατον καὶ προσφυέστατον τῇ νυκτί AH (v) 20 τῆς εὐχαριστίας θυσία scripsi: τὴν εὐχαριστίας θυσίαν εἶναι R, om. AH (v) 21 ἡ . . . αὐγή R: τὴν . . . αὐγήν AH (v) 22 οὐ] οὗ H εὖ] οὗ H

---

12 Exod. 27,21. 30,8. Lev. 24,3. 4.

καὶ καθεύδοντες, τοῦ φιλοδώρου θεοῦ μεγάλην ἐπικουρίαν, ὕπνον, τῷ θνητῷ γένει παρασχόντος ἐπ' ὠφελείᾳ σώματός τε καὶ ψυχῆς, τοῦ μὲν σώματος τῶν μεθημερινῶν πόνων ἀφιεμένου, τῆς δὲ ψυχῆς ἐπικουφιζομένης τὰς φροντίδας καὶ ἀναχωρούσης εἰς ἑαυτὴν ἀπὸ τοῦ τῶν αἰσθήσεων ὄχλου καὶ θορύβου καὶ δυναμένης τότε γοῦν ἰδιάζειν καὶ ἐνομιλεῖν ἑαυτῇ, προσηκόντως ἐδικαίωσεν ὁ νόμος τὰς εὐχαριστίας διακληρῶσαι, ὑπὲρ μὲν ἐγρηγόρσεως διὰ τῶν προσαγομένων ἱερείων, ὑπὲρ δὲ ὕπνου καὶ τῶν ἀπὸ τοῦδε ὠφελειῶν διὰ τῆς τῶν ἱερῶν λύχνων ἐξάψεως.

299 (8.) | Ἃ μὲν οὖν πρὸς εὐσέβειαν νομοθετεῖται κατὰ προστάξεις p. 257
καὶ ἀπαγορεύσεις, ταῦτα καὶ τὰ τούτοις παραπλήσιά ἐστιν· ἃ δὲ κατὰ
τὰς φιλοσόφους ὑποθήκας καὶ παραινέσεις, ὧδε λεκτέον. αἰτεῖται γάρ,
φησίν, ὦ διάνοια, παρὰ σοῦ ὁ θεὸς οὐδὲν βαρὺ καὶ ποικίλον ἢ δύσεργον
300 ἀλλὰ ἁπλοῦν πάνυ καὶ ῥᾴδιον. ταῦτα δ' ἐστὶν ἀγαπᾶν αὐτὸν ὡς εὐεργέτην, εἰ δὲ μή, φοβεῖσθαι γοῦν ὡς ἄρχοντα καὶ κύριον, καὶ διὰ πασῶν ἰέναι τῶν εἰς ἀρέσκειαν ὁδῶν καὶ λατρεύειν αὐτῷ μὴ παρέργως ἀλλὰ ὅλῃ τῇ ψυχῇ πεπληρωμένῃ γνώμης φιλοθέου καὶ τῶν ἐντολῶν αὐτοῦ περιέχεσθαι καὶ τὰ δίκαια τιμᾶν.

ἐξ ὧν ἁπάντων αὐτὸς μὲν ἐν ὁμοίᾳ μένει φύσει μὴ τρεπόμενος. ἔτι δὲ τῶν ἄλλων ὅσα κατὰ τὸν κόσμον ἐστὶ βελτίωσιν ἴσχει, ἥλιος ἢ σελήνη ἢ τὸ πλῆθος τῶν ἄλλων ἀστέρων ἢ ὁ σύμπας οὐρανός. ἀλλὰ καὶ τῆς γῆς τὰ μὲν ὄρη πρὸς ὕψος αἴρεται περιμηκέστατον, ἡ δὲ πεδιὰς ὥσπερ αἱ χυταὶ οὐσίαι ἐπὶ πλεῖστον εὐρύνεται, καὶ ἡ θάλαττα μεταβάλλει πρὸς πότιμον ἢ οἱ ποταμοὶ πελαγῶν ἐξισοῦνται μεγέθεσιν. ἐπὶ μὲν οὖν τῶν αὐτῶν ὅρων ἕκαστον ἵδρυται ἐφ' οἷς εὐθὺς ἐξ ἀρχῆς ὅτε ἐποίησεν ⟨ὁ θεὸς⟩ ἐτάχθη· σὺ δὲ βελτίων ἔσῃ ζῶν ἀνυπαιτίως.

---

1 τοῦ φιλοδώρου RH: τοῦ μεγαλοδώρου καὶ φιλοδώρου A (Mang.) 4 τὰς φροντίδας om. Arm τοῦ om. Turn. 5 ἰδιάζειν om. H (Turn.) 9 ἃ] τὰ Arm 10 ἃ] τὰ Arm 11 ὑποθήκας] ὑποθέσεις R 13 ἁπλοῦν om. R πάνυ] πάλιν H (Turn.) ταῦτα] τοῦτο coni. Mang. 15 ἀλλὰ R: ἀλλ' AH 18—25 verba ἐξ ὧν ἁπάντων—ζῶν ἀνυπαιτίως, quibus sententiarum concinnitatem turbari nemo non videt, Philonis videntur esse, sed aliunde hic inculcata 18 αὐτὸς] ὁ κόσμος coni. Mang. φύσει om. R 18. 19 ἔτι δὲ R ut vid. (coni. Mang.): εἴ τι δὲ AH 19 καὶ ante βελτίωσιν add. Arm 21 καὶ om. R τῆς γῆς RA: τῆς om. H (v) περιμηκέστερον R 23 πελαγῶν ἐξισοῦνται μεγέθεσιν R: πελάγεσιν ἐξισοῦνται AH (v) 24 ἐφ' οἷς εὐθὺς R Arm: εὐθὺς ἐφ' οἷς AH (v) 25 ὅτε ἐποίησεν ὁ θεὸς ἐτάχθη scripsi: ὅτε . . . ἐτάχθη R (om. ἐποίησεν), ὁ θεὸς supplevi, ὅτε ἐποίησεν ἐτάχθη Arm, ἐποίησεν ὅτε ἐτάχθη AH (v)

---

13 Deut. 10,12. 13.

τί δὴ τούτων ἀργαλέον ἐστὶν ἢ ἐπίπονον; οὐχ ἄπλωτα πελάγη δεῖ 301
περαιοῦσθαι καὶ μέσου χειμῶνος κλύδωνι καὶ βίαις ἐναντίων πνευμάτων
κλονουμένους ἄνω καὶ κάτω θαλαττεύειν ἢ τραχείας καὶ ἀτριβεῖς
πεζεύειν ἀνοδίας, οὐχ ὁδούς, λῃστῶν ἢ θηρίων ἐφόδους ἀεὶ κατεπτηχότας
ἢ τειχοφυλακεῖν ἐν ὑπαίθρῳ νυκτερεύοντας, ἐφεδρευόντων πολεμίων καὶ
τοὺς ἀνωτάτω κινδύνους ἀπειλούντων — ἄπαγε, μηδὲν ἐπὶ καλοῖς
λεγέσθω τῶν ἀηδῶν· εὐφημητέον ἐπὶ τοῖς οὕτω συμφέρουσιν. ἐπινεῦσαι 302
μόνον δεῖ τὴν ψυχήν, καὶ πάρεστιν ἐν ἑτοίμῳ τὰ πάντα. ἢ τοῦτο
ἀγνοεῖς, ὅτι τοῦ θεοῦ καὶ ὁ αἰσθητός ἐστιν οὐρανὸς καὶ ὁ νοητός, ὁ
κυρίως, εἴποι τις ἄν, „οὐρανὸς οὐρανοῦ“, καὶ πάλιν ἡ γῆ καὶ τὰ ἐν
αὐτῇ καὶ σύμπας ὁ κόσμος, ὅ τε ὁρατὸς καὶ ὁ ἀόρατος καὶ ἀσώματος,
τὸ παράδειγμα τοῦ ὁρατοῦ οὐρανοῦ; (9.) ἀλλ' ὅμως καὶ ἐξ ἅπαντος 303
ἀνθρώπων γένους τοὺς πρὸς ἀλήθειαν ἀνθρώπους ἀριστίνδην ἐπιλέξας
εἵλετο καὶ προνομίας ἠξίωσε τῆς πάσης, ἐπὶ τὴν θεραπείαν καλέσας
ἑαυτοῦ, τὴν ἀέναον τῶν καλῶν πηγήν, ἀφ' ἧς καὶ τὰς ἄλλας ὤμβρησεν
ἀρετὰς καὶ ἀνέχεεν εἰς ἀπόλαυσιν ὠφελιμωτάτην, νέκταρος μᾶλλον ἢ
οὐχ ἧττον ἀθανατίζον ποτόν. οἰκτροὶ δὲ καὶ κακοδαίμονες ὅσοι μὴ τὸν 304
ἀρετῆς πότον εὐωχήθησαν καὶ κακοδαιμονέστατοι διετέλεσαν οἱ εἰς ἅπαν
258 M. ἄγευστοι καλοκἀγαθίας, παρὸν καὶ ἐνευφρανθῆναι καὶ | ἐντρυφῆσαι δικαιο-
σύνῃ καὶ ὁσιότητι· ἀλλ' εἰσὶν ἀπερίτμητοι τὴν καρδίαν, ᾗ φησιν ὁ νόμος,
καὶ διὰ σκληρότητα τρόπων ἀφηνιασταί, σκιρτῶντες αὐθαδῶς καὶ ἀπαυ-
χενίζοντες· οὓς νουθετεῖ φάσκων· „περιτέμνεσθε τὴν σκληροκαρδίαν“ 305
(Deut. 10, 16), τὸ δέ ἐστι, τὰς περιττευούσας φύσεις τοῦ ἡγεμονικοῦ,

1 οὐκ om. Arm 3 κλονουμένους scripsi: κυκλουμένους codd. (v); κυλιομένους coni. Mang. 4 οὐχ ὁδούς secludendum puto 9 καὶ (post θεοῦ) R: om. AH (v) ὁ αἰσθητός ἐστιν A: ἐστιν ὁ αἰσθητὸς H (v), ἐστιν om. R ὁ νοητός R: ὁ om. AH (v) 9. 10 ὁ κυρίως Arm: om. codd. 10 εἴποι τις ἄν R: εἴποι ἄν τις AH (v) 11 ὁ ἀόρατος RA: ὁ om. H (v) 12 ὁρατοῦ οὐρανοῦ R: ὁρατοῦ om. AH (v) 13 τοὺς R Arm: om. AH (v) 14 προνομίας Mang.: προνοίας codd. 15 ἀέναον R: ἀένναον AH (v) 16 ἀνέχεεν scripsi (*spargens effudit* Arm): ἀνενεχθεὶς codd.; ἀνενεχθὲν Turn. μᾶλλον] μόνον Arm 17 οἰκτροὶ δὲ om. Arm 18 πότον R: πόθον A, πόνον H (v); ποτὸν coni. Mang. διετέλεσαν om. Arm οἳ H (v) 18. 19 οἱ εἰς ἅπαν ἄγευστοι] εἰς ἀνάπαυλαν μέντοι (sic) R 19 pr. καὶ om. R εὐφρανθῆναι R 20 ὁσιότητι RL Arm: ἰσότητι AH (Mang.) ἀπερίτμητοι (om. τὴν) καρδίαν R: ἀπερίτμητοι τῇ καρδίᾳ AH (v) ᾗ] οἷς R ut vid. 21 pr. καὶ om. R (fort. recte) αὐθαδεῖς Turn. 21. 22 ἀπαυχενίζοντες R Arm (coni. Mang.): ἀποσχοινίζοντες AH 22 τὴν σκληροκαρδίαν R: τὰς σκληροκαρδίας AH (v) 23 περιττευούσας R: περιττὰς AH (v) φύσεις] ἐπιφύσεις Arm

1 cf. Deut. 30,13 9 Deut. 10,14 12sq. Deut. 10,15.

ἃς αἱ ἄμετροι τῶν παθῶν ἔσπειράν τε καὶ συνηύξησαν ὁρμαὶ καὶ ὁ
κακὸς ψυχῆς γεωργὸς ἐφύτευσεν, ἀφροσύνη, μετὰ σπουδῆς ἀποκείρασθε.
306 καὶ ὁ τράχηλος, φησίν, ὑμῶν μὴ σκληρὸς ἔστω, τουτέστι, μὴ ἀκαμπὴς
ὁ νοῦς καὶ αὐθαδέστατος, μηδ' ὑπὸ τῆς ἄγαν σκαιότητος ἐπιτηδευέτω
τὴν βλαβερωτάτην ἀμαθίαν, ἀλλὰ τὸ φύσει δύσκολον καὶ δύστροπον ἀπο-
θέμενος ὡς ἐχθρὸν μεταβαλλέτω πρὸς τὸ εὔκολον, πειθαρχήσων νόμοις
307 φύσεως. ἢ οὐχ ὁρᾷς, ὅτι περὶ τὸ ὂν αἱ πρῶται καὶ μέγισται τῶν
δυνάμεών εἰσιν, ἥ τε εὐεργέτις καὶ κολαστήριος; καὶ προσηγόρευται ἡ
μὲν εὐεργέτις θεός, ἐπειδὴ κατὰ ταύτην ἔθηκε καὶ διεκόσμησε τὸ πᾶν,
ἡ δὲ ἑτέρα κύριος, καθ' ἣν ἀνῆπται τῶν ὅλων τὸ κράτος. θεὸς δὲ
οὐκ ἀνθρώπων μόνον ἀλλὰ καὶ θεῶν ἐστι θεός, καὶ ἄρχων οὐκ ἰδιωτῶν
μόνον ἀλλὰ καὶ ἀρχόντων, μέγας τέ ἐστιν ὢν ὄντως καὶ ἰσχυρὸς καὶ
308 κραταιός. (10.) ἀλλ' ὅμως ὁ τοσοῦτος ἐν ἀρεταῖς καὶ δυνάμεσιν ἔλεον
καὶ οἶκτον λαμβάνει τῶν ἐν ἐνδείαις ἀπορωτάτων, οὐκ ἀπαξιῶν γενέσθαι
κριτὴς προσηλύτοις ἢ ὀρφανοῖς ἢ χήραις, ἀλλὰ βασιλέων καὶ τυράννων
καὶ τῶν ἐν μεγάλαις δυναστείαις ὑπεριδὼν τὸ ταπεινὸν τῶν λεχθέντων
309 ἀξιοῖ προνοίας. τῶν μὲν ἐπηλύτων διὰ τόδε· καταλιπόντες οὗτοι τὰ
πάτρια οἷς ἐνετράφησαν ψευδῶν πλασμάτων γέμοντα καὶ τύφου, γενό-
μενοι ἀτυφίας καὶ ἀληθείας ἐρασταὶ γνήσιοι, μετεχώρησαν πρὸς εὐσέβειαν,
ἱκέται τε καὶ θεραπευταὶ τοῦ ὄντως ὄντος ἀξίως ὄντες τῆς προνοίας
τῆς ἁρμοττούσης εἰκότως μεταλαγχάνουσι, καρπὸν εὑράμενοι τῆς ἐπὶ
310 τὸν θεὸν καταφυγῆς τὴν ἀπ' αὐτοῦ βοήθειαν. ὀρφανῶν δὲ καὶ χηρῶν,
ἐπειδὴ κηδεμόνας ἀφῄρηνται, οἱ μὲν γονεῖς, αἱ δὲ ἄνδρας, καταφυγὴ δ'
οὐδεμία τοῖς οὕτως ἐρήμοις ἐξ ἀνθρώπων ἀπολείπεται· διὸ τῆς μεγίστης

---

2 ἀποκείρασθαι R, δ' ἀποκείρασθε A 4 μηδ' scripsi: μήθ' codd. (v) 5 δύσκολον καὶ δύστροπον RA: δύστροπον καὶ δύσκολον H (v) 5. 6 ἀποθέμενος R: μεθέμενος AH (v) 6 μεταβαλέτω H εὔκολον scripsi: εἰκός codd. (v); ἐπιεικές coni. Mang. 8 προσηγόρευται R: προσαγορεύεται AH (v) 9 κατὰ ταύτην] αὐτη καθ' ἑαυτὴν Arm 10 δ' AH θεὸς δὲ R: δὲ om. AH (v) 11 καὶ ἄρχων—ἀρχόντων (12) R: om. AH (v) 14 ἐν ἐνδείαις R: ἐν om. AH (Turn.) 15 ἢ ὀρφανοῖς R: καὶ ὀρφανοῖς AH (v) ἢ χήραις om. Arm ἀλλὰ καὶ Arm 17 προνοίας Mang.: προνομίας codd., προνομίας προνοίας (sic) Arm 18 ἐνετράφησαν R: ἀνετράφησαν AH ψευδῶν R: ψεύδους AH (v) 19 (ἀτυφί)ας καὶ ἀληθείας R: ἀτυφίας καὶ om. AH (v) 20 τε codd.: δὲ v ἀξίως om. Arm; vel secludendum vel ἀληθῶς scribendum cens. Mang. προνοίας Mang.: προνομίας codd. 21 μεταλαγχάνουσι(ν) RA: μεταλαμβάνουσι H (v) 22 τὸν om. A 23 αἱ] οἱ R δὲ AH 24 ἐρήμοις ἐξ ἀνθρώπων R: ἐξ ἀνθρώπων ἐρήμοις AH (v) ἀπολείπεται om. Arm

---

3 Deut. 10,16 7 sqq. Deut. 10,17 15 Deut. 10,18.

ἐλπίδος οὐκ ἀμοιροῦσι, τοῦ θεοῦ, διὰ τὴν ἵλεω φύσιν αὐτοῦ τὴν πρόνοιαν
καὶ ἐπιμέλειαν μὴ ἀποστραφέντος τῶν οὕτως ἐρήμων. ἔστω δή, φησί, 311
μόνος θεὸς αὔχημά σου καὶ μέγιστον κλέος, καὶ μήτ' ἐπὶ πλούτῳ μήτε
δόξῃ μήτε ἡγεμονίᾳ μήτε σώματος εὐμορφίᾳ μήτε ῥώμῃ μήτε τοῖς
παραπλησίοις, ἐφ' οἷς εἰώθασιν οἱ κενοὶ φρενῶν ἐπαίρεσθαι, σεμνυνθῇς,
λογισάμενος ὅτι πρῶτον μὲν ἀμέτοχα ταῦτ' ἐστὶ τῆς ⟨τοῦ⟩ ἀγαθοῦ φύσεως,
ἔπειτα δ' ὅτι καιρὸν ὀξὺν ἔχει τῆς μεταβολῆς, μαραινόμενα τρόπον τινά,
πρὶν ἀνθῆσαι βεβαίως. ὃ δὴ πάγιον καὶ ἄτρεπτον καὶ ἀμετάβλητον 312
259 M. ἀγαθὸν μεταδιώκωμεν καὶ τῆς | ἱκεσίας καὶ θεραπείας αὐτοῦ περιε-
χώμεθα καὶ μήτε κρατήσαντες ἐχθρῶν ζηλώσωμεν τὰς ἐκείνων ἐν αἷς
εὐσεβεῖν δοκοῦσιν ἀσεβείας υἱοὺς καὶ θυγατέρας τοῖς αὐτῶν κατακαίοντες
θεοῖς — οὐχ ὅτι τὰ τέκνα πᾶσι τοῖς βαρβάροις ἐμπιμπράναι δι' ἔθους 313
ἐστίν· οὐ γὰρ οὕτως ἐξηγρίωνται τὰς φύσεις, ὡς, ἃ μηδὲ πολεμίους καὶ
ἐχθροὺς ἀσυμβάτους ἐν πολέμῳ, ταῦτα τοὺς φιλτάτους καὶ οἰκειοτάτους
ἐν εἰρήνῃ δρᾶν ὑπομένειν· ἀλλ' ὅτι τὰς ψυχὰς τῷ ὄντι καταφλέγουσι
καὶ διαφθείρουσιν ὧν ἐγέννησαν ἐξ ἔτι σπαργάνων ἁπαλαῖς ἔτι μὴ ἐγχα-
ράττοντες τὰς ἀληθείας δόξας περὶ τοῦ ἑνὸς καὶ πρὸς ἀλήθειαν ὄντος
θεοῦ — μήτ' οὖν ἡττηθέντες ἀναπέσωμεν καὶ ὑπαχθῶμεν ταῖς ἐκείνων
εὐτυχίαις ὡς δι' εὐσέβειαν νενικηκότων· πολλοῖς γὰρ ἐπ' ἐνέδρᾳ συμ- 314
βαίνουσιν αἱ παραυτίκα εὐπραγίαι δέλεαρ σφοδρῶν καὶ ἀνιάτων οὖσαι
κακῶν· εἰκὸς δὲ καὶ ἀναξίους ὄντας κατορθοῦν, μὴ δι' ἑαυτούς, ἀλλὰ
ὑπὲρ τοῦ λυπεῖσθαι καὶ ἀνιᾶσθαι σφοδρότερον ἡμᾶς οὐχ ὅσια δρῶντας,
οἳ γεννηθέντες ἐν πολιτείᾳ φιλοθέῳ καὶ ἐντραφέντες νόμοις ἐπὶ πᾶσαν
ἀρετὴν ἀλείφουσι καὶ ἐκ πρώτης ἡλικίας παιδευόμενοι τὰ κάλλιστα

---

1 ἵλεω codd.: ἵλεων v 3 ἐπὶ τῷ πλούτῳ R 3. 4 μήτε δόξῃ R: μήτ' ἐπὶ δόξῃ AH (v) 4 μήτε ἡγεμονίᾳ R: μήθ' ἡγεμονίᾳ AH 4. 5 μήτε τοῖς παραπλησίοις R: ἢ τ. π. AH (v) 6 τοῦ addidi; τοῦ pro τῆς coni. Mang. 7 καιρὸν (ὀξὺν) ἔχει τῆς μεταβολῆς R: καὶ ὀξεῖαν ἔχει τὴν μεταβολήν AH (v) μαραινόμενα R: μαραινομένην AH 8. 9 ὃ (an τὸ?) δὴ πάγιον καὶ ἄτρεπτον καὶ ἀμετάβλητον ἀγα(θὸν) μεταδιώκωμεν R Arm: om. AH (v) 9 καὶ θεραπείας R Arm: om. AH (v) 9. 10 περιεχώμεθα R Arm: περιεχόμεθα AH 10 κρατησάντων male coni. Mang.; respicit Philo Deut. 12,29 αἷς scripsi (sic R?): οἷς (R)AH (v) 11 αὐτῶν AH 12 ἐμπιμπράναι R: ἐμπιπρᾶν AH 13 ὡς] ὥστε R 13. 14 ἃ μηδὲ πολεμίους καὶ ἐχθροὺς R: ἃ μόλις ἐχθροὺς AH (v) 17 τὰς scripsi: τῆς codd. (v) δόξαις AH 18 μήτ' οὖν scripsi: μὴ οὖν codd. (v) 21 μὴ R: οὐ AH (v) δι' ἑαυτούς] δέον αὐτοὺς Arm 22 ἀνιᾶσθαι v (Turn.): ἀλᾶσθαι AH; R quid habeat, dubium δρῶντες H

---

3 Deut. 10,21 9. 10 Deut. 10,20 11 Deut. 12,31.

παρὰ θεσπεσίοις ἀνδράσι τῶν μὲν ὀλιγωροῦμεν, τῶν δ᾿ ὡς ἀληθῶς
ὀλιγωρίας ἀξίων περιεχόμεθα, παιδιὰν μὲν τὰ σπουδαῖα, σπουδὴν δὲ τὰ
παιδιᾶς ἄξια ἡγούμενοι.
315 (11.) Κἂν μέντοι τις ὄνομα καὶ σχῆμα προφητείας ὑποδύς, ἐνθου-
σιᾶν καὶ κατέχεσθαι δοκῶν, ἄγῃ πρὸς τὴν τῶν νενομισμένων κατὰ πόλεις
θρησκείαν θεῶν, οὐκ ἄξιον προσέχειν ἀπατωμένους ὀνόματι προφήτου·
γόης γὰρ ἀλλ᾿ οὐ προφήτης ἐστὶν ὁ τοιοῦτος, ἐπειδὴ ψευδόμενος λόγια
316 καὶ χρησμοὺς ἐπλάσατο. κἂν ἀδελφὸς ἢ υἱὸς ἢ θυγάτηρ ἢ γυνὴ ἢ
οἰκουρὸς ἢ γνήσιος φίλος ἤ τις ἕτερος εὔνους εἶναι δοκῶν εἰς τὰ ὅμοια
ἐνάγῃ προτρέπων συνασμενίζειν τοῖς πολλοῖς καὶ ἐπὶ τὰ αὐτὰ ἱερὰ καὶ
τὰς αὐτὰς σπονδάς τε καὶ θυσίας ἀφικνεῖσθαι, κολαστέον ὡς δήμιον
καὶ κοινὸν ἐχθρὸν ὄντα ὀλίγα φροντίσαντας οἰκειότητος καὶ τὰς παραι-
νέσεις αὐτοῦ διαγγελτέον πᾶσι τοῖς εὐσεβείας ἐρασταῖς, οἳ ἀνυπερθέτῳ
τάχει ταῖς κατ᾿ ἀνδρὸς ἀνοσίου τιμωρίαις ἐπιδραμοῦνται κρίνοντες εὐαγὲς
317 τὸ κατ᾿ αὐτοῦ φονᾶν. ἔστω γὰρ ἡμῖν μία οἰκειότης καὶ φιλίας ἓν σύμ-
βολον ἡ πρὸς θεὸν ἀρέσκεια καὶ τὸ πάντα λέγειν τε καὶ πράττειν ὑπὲρ
εὐσεβείας· αἱ δ᾿ ἐκ προγόνων ἀφ᾿ αἵματος αὗται λεγόμεναι συγγένειαι
καὶ αἱ κατ᾿ ἐπιγαμίας ἤ τινας ἄλλας ὁμοιοτρόπους αἰτίας οἰκειότητες
ἀπορριπτέσθωσαν, εἰ μὴ πρὸς τὸ αὐτὸ τέλος ἐπείγονται, τὴν τοῦ θεοῦ
τιμήν, ἣ πάσης ἑνωτικῆς εὐνοίας ἄλυτος δεσμός ἐστιν· ἀντιλήψονται
318 γὰρ οἱ τοιοῦτοι σεμνοτέρας καὶ | ἱεροπρεπεστέρας συγγενείας. βεβαιοῦται p. 260
δέ μου τὴν ὑπόσχεσιν ὁ νόμος λέγων, ὅτι οἱ „τὸ ἀρεστὸν“ τῇ φύσει
δρῶντες καὶ „τὸ καλὸν“ υἱοί εἰσι τοῦ θεοῦ, φησὶ γάρ· „υἱοί ἐστε κυρίῳ
τῷ θεῷ ὑμῶν“ (Deut. 14, 1), δηλονότι προνοίας καὶ κηδεμονίας ἀξιω-

1 παρὰ θεσπεσίοις ἀνδράσιν R (Arm): παρὰ θεσπεσίοις om. AH (v) 2 παιδειαν R σπουδὴν R (coni. Mang.): σπουδῆς AH 3 παιδειας R. 5 κατέχεσθαι] καταδέχεσθαι H 6 ἄξιον] ἐξὸν coni. Mang. 7 ἐπειδὴ R (sic scripseram): ἐπεὶ δὲ AH (v) ψευδόμενος λόγια R (Arm?): ψευδολογίας λόγους AH (v) 8 ἐπλάσατο AH: . . . (οὓς?) ἐπλάσατο R, οὓς ἐπλάσατο Arm ἤ] ἢ AH (Turn.) 9 ὅμοια] ἄνομα vel ἀνόσια coni. Mang. 10 ἐνάγει H προτρέπει H συνασμενίζειν scripsi: ἐνασμενίζειν codd. (v); conieceram συναρμόζειν 11 σπονδάς τε καὶ θυσίας R: τε καὶ θυσίας om. AH (v) 12 ὀλίγα om. R 13 αὐτοῦ]· τὰς δι᾿ αὐτοῦ Arm τοῖς] τῆς H οἳ om. et γὰρ post ἀνυπερθέτῳ add. Arm 14 τιμωρίαις ἐπιδραμοῦνται R (sic scripseram): ἐπιδραμοῦνται τιμωρίαις AH (v) 15 κατ᾿ αὐτῶν (sic) R 17 αὗται] αἱ Arm; τ᾿ αὖ αἱ coni. Conybeare ⟨κυρίως⟩ λεγόμεναι conicio 21 σεμνωτέρας H 23 φησὶν R 24 ὑμῶν R (Mang.): ἡμῶν AH

4 Deut. 13,1 sqq. 8 Deut. 13,6 sqq. 22 Deut. 13,18.

θησόμενοι τῆς ὡς ἐκ πατρός· ἡ δὲ ἐπιμέλεια τοσοῦτον διοίσει τῆς ἀπ' ἀνθρώπων, ὅσονπερ, οἶμαι, καὶ ὁ ἐπιμελούμενος διαφέρει.

(12.) Πρὸς τούτοις ἔτι τὰ περὶ τελετὰς καὶ μυστήρια καὶ πᾶσαν 319
τὴν τοιαύτην τερθρείαν καὶ βωμολοχίαν ἐκ τῆς ἱερᾶς ἀναιρεῖ νομοθεσίας, οὐκ ἀξιῶν τοὺς ἐν τοιαύτῃ πολιτείᾳ τραφέντας ὀργιάζεσθαι καὶ μυστικῶν πλασμάτων ἐκκρεμαμένους ὀλιγωρεῖν ἀληθείας καὶ τὰ νύκτα καὶ σκότος προσκεκληρωμένα μεταδιώκειν παρέντας τὰ ἡμέρας καὶ φωτὸς ἄξια. μηδεὶς οὖν μήτε τελείτω μήτε τελείσθω τῶν Μωυσέως φοιτητῶν καὶ γνωρίμων· ἑκάτερον γὰρ καὶ τὸ διδάσκειν καὶ τὸ μανθάνειν τελετὰς οὐ
μικρὸν ἀνοσιούργημα. τί γάρ, εἰ καλὰ ταῦτ' ἐστίν, ὦ μύσται, καὶ 320
συμφέροντα, συγκλεισάμενοι ἑαυτοὺς ἐν σκότῳ βαθεῖ τρεῖς ἢ τέτταρας μόνους ὠφελεῖτε, παρὸν ἅπαντας ἀνθρώπους ἐν ἀγορᾷ μέσῃ τὰ τῆς ὠφελείας προθέντας, ἵνα πᾶσιν ἀδεῶς ἐξῇ βελτίονος καὶ εὐτυχεστέρου κοινω-
νῆσαι βίου; φθόνος γὰρ ἀρετῆς διῴκισται. οἱ μὲν γὰρ τὰ βλαβερὰ 321
πράττοντες αἰσχυνέσθωσαν καὶ καταδύσεις ἐπιζητοῦντες καὶ γῆς μυχοὺς καὶ βαθὺ σκότος ἐπικρυπτέσθωσαν τὴν πολλὴν ἀνομίαν αὐτῶν ἐπισκιάζοντες, ὡς μηδεὶς ἴδοι· τοῖς δὲ τὰ κοινωφελῆ δρῶσιν ἔστω παρρησία καὶ μεθ' ἡμέραν διὰ μέσης ἴτωσαν ἀγορᾶς ἐντευξόμενοι πολυανθρώποις ὁμίλοις, ἡλίῳ καθαρῷ τὸν ἴδιον βίον ἀνταυγάσοντες καὶ διὰ τῶν κυριωτάτων αἰσθήσεων τοὺς συλλόγους ὀνήσοντες, ὁρῶντας μὲν ἡδίστας ὁμοῦ καὶ καταπληκτικωτάτας ὄψεις, ἀκούοντας δὲ καὶ ἑστιωμένους λόγων ποτίμων, οἳ τὰς διανοίας τῶν μὴ σφόδρα ἀμούσων εἰώθασιν εὐφραίνειν.

---

1 δ' AH   διοίσει τῆς scripsi (sic Arm?): ϊδιοισειστα (sic) R, ἰδίοις τοῖς AH (v); ἰδίας τῆς coni. Mang.   2 ὅσωπερ R   ἐπιμελούμενος R Arm (coni. Mang.): ἐπιβουλευόμενος AH   3 πᾶσαν R: πρὸς AH (v)   5 τραφέντας] ἐγγραφέντας Arm   ὀργιάζεσθαι Arm (coni. Mang.): ἐργάζεσθαι codd.   5. 6 μυστικῶν πλασμάτων R: μυθικῶν πλασμάτων Arm (coni. Mang.), μυστικῶν πραγμάτων AH   7 προσκεκληρωμένα RAH: ἐκκεκληρωμένα L, κεκληρωμένα v   παρέντες H   ἡμέρας καὶ φωτὸς R: φωτὸς καὶ ἡμέρας AH (v)   8 μήτε τελείτω μήτε τελείσθω scripsi (sic R ut vid.): μήτε τελείτω post γνωρίμων (9) transp. AH (v)   μωσέως AH   9 καὶ τὸ διδάσκειν καὶ τὸ μανθάνειν R Arm: τό τε διδάσκειν καὶ τὸ μανθάνειν A, τό τε μανθάνειν καὶ τὸ διδάσκειν H (v)   11 ἑαυτοὺς] δύο ἐνιαυτοὺς Arm (?)   13 προθέντες AH   πᾶσιν] πάλιν Arm   16 αὐτῶν AH   20 ὁρῶντας AH: ὁρῶντες R (Mang.)   20. 21 ἡδίστας ὁμοῦ καὶ καταπληκτικωτάτας ὄψεις R: ὧν ἥδιστον ὁμοῦ (ἔστι H) καὶ καταπληκτικώτατον ὄψις AH (v)   21 ἀκούοντας δὲ καὶ ἑστιωμένους AH: ἀκούοντες δὲ καὶ ἑστιώμενοι R (Mang.)   22 ποτίμων om. Arm   τὰς διανοίας R: καὶ τὰς διανοίας AH (v)

---

8 Deut. 23, 17 (LXX)   21. 22 cf. Plat. Phaedr. 243d ποτίμῳ λόγῳ.

322 ἢ οὐχ ὁρᾷς, ὅτι καὶ ἡ φύσις τῶν ἑαυτῆς ἀοιδίμων καὶ παγκάλων ἔργων
οὐδὲν ἀπέκρυψεν, ἀλλὰ ἀστέρας μὲν καὶ τὸν σύμπαντα οὐρανὸν εἴς τε
τὴν δι' ὄψεως τέρψιν καὶ πρὸς φιλοσοφίας ἵμερον ἀπέφηνεν, πελάγη δὲ
καὶ πηγὰς καὶ ποταμοὺς καὶ τὰς ἀέρος εὐκρασίας δι' ἀνέμων τε καὶ
πνευμάτων εἰς τὰς ἐτησίους ὥρας, φυτῶν τε καὶ ζῴων ἔτι δὲ καρπῶν
323 ἀμυθήτους ἰδέας εἰς χρῆσιν καὶ ἀπόλαυσιν ἀνθρώπων; εἶτ' οὐκ ἐχρῆν
καὶ ἡμᾶς ἑπομένους τοῖς ἐκείνης βουλήμασι πάνθ' ὅσα ἀναγκαῖα καὶ
χρήσιμα | προτιθέναι πᾶσι τοῖς ἀξίοις ἐπ' ὠφελείᾳ; νῦν δὲ συμβαίνει p. 261 M.
πολλάκις τῶν μὲν ἀγαθῶν ἀνδρῶν μηδένα μυεῖσθαι, λῃστὰς δ' ἔστιν ὅτε
καὶ καταποντιστὰς καὶ γυναικῶν θιάσους βδελυκτῶν καὶ ἀκολάστων,
ἐπειδὰν ἀργύριον παράσχωσι τοῖς τελοῦσι καὶ ἱεροφαντοῦσιν. ὑπερόριοι
δὴ πάντες οὗτοι φυγαδευέσθωσαν πόλεως καὶ καταστάσεως, ἐν ᾗ τὸ
καλὸν καὶ ἡ ἀλήθεια δι' αὐτὰ τιμᾶται. ταῦτα μὲν ἐπὶ τοσοῦτον.

324 (13.) Κοινωνίας δὲ καὶ φιλανθρωπίας εἰσηγητὴς ὢν ἐν τοῖς μάλιστα
ὁ νόμος ἑκατέρας ἀρετῆς τήν τε ἀξίωσιν καὶ τὴν σεμνότητα διετήρησεν,
οὐδενὶ τῶν ἀνιάτως ἐχόντων ἐπιτρέψας καταφυγεῖν ἐπ' αὐτάς, ἀλλὰ πορρω-
325 τάτω σκορακίσας. ἐπιστάμενος γοῦν ἐν ταῖς ἐκκλησίαις οὐκ ὀλίγους τῶν
μοχθηρῶν παρεισρέοντας καὶ διὰ τὸ συνειλεγμένον πλῆθος λανθάνοντας,
ἵνα μὴ τοῦτο γένηται, προανείργει πάντας τοὺς ἀναξίους ἱεροῦ συλλόγου
τὴν ἀρχὴν ποιούμενος ἀπὸ τῶν νοσούντων τὴν θήλειαν νόσον ἀνδρο-
γύνων, οἳ τὸ φύσεως νόμισμα παρακόπτοντες εἰς ἀκολάστων γυναικῶν
πάθη καὶ μορφὰς εἰσβιάζονται· θλαδίας γὰρ καὶ ἀποκεκομμένους τὰ
γεννητικὰ ἐλαύνει τό τε τῆς ὥρας ταμιεύοντας ἄνθος, ἵνα μὴ ῥᾳδίως
μαραίνοιτο, καὶ τὸν ἄρρενα τύπον μεταχαράττοντας εἰς θηλύμορφον ἰδέαν.

---

2 ἀλλ' AH 3 δὲ Turn.: τε codd. (Mang.) 4 τὰς ἀέρος εὐκρασίας R: ἀέρος εὐκρασίαν AH (v) 4. 5 δι' ἀνέμων τε καὶ πνευμάτων scripsi: διανεμοντεσ αυτων (sic) R, ἀνέμων τε AH (v) 6 ἀμυθήτους Arm (coni. Mang.): ἀμυθήτων codd. 7 ὑμᾶς Turn. τοῖς om. Richt. Tauchn. 7. 8 καὶ χρήσιμα R: om. AH (v) 8 πᾶσι R Arm: om. AH (v) ἐπ' ὠφελείᾳ] ἐπωφελείας coni. Mang. (sic Arm?) 9 τῶν] τοῖς Turn. 10 θιάσους om. Arm 11 ἐπειδὰν R: ἐπὰν δὲ AH; ἐπὰν v 12 καταστάσεως AH: πολιτείας R; fort. scribendum καὶ πολιτείας καταστάσεως 14 δὲ om. A 15 τ' AH 17 σκορακίσας R: ἀποσκορακίσας AH (v) 18 παρεισρέοντας R: ἐπεισρέοντας AH (v) 20 θήλειαν R Arm (Mang.): ἀληθῆ AH 21 τὸ φύσεως νόμισμα] τὰ φύσεως νόμιμα Arm 22 πάθη R: πάθος AH (v) εἰσβιβάζονται A γὰρ om. L (Turn.) 23 τῆς om. Richt. ὥρας] σωτηρίας (sic) R ταμιεύοντες H 24 τὸν ἄρρενα τύπον] τὴν ἀρχέτυπον μορφὴν Arm

---

9 cf. E. Rohde Psyche I[2] p. 295[1] 20 sqq. Deut. 23,1.

ἐλαύνει δὲ οὐ μόνον πόρνας ἀλλὰ καὶ τοὺς ἐκ πόρνης, ἐπιφερομένους 326
μητρῷον αἶσχος, [καὶ] διότι ἡ πρώτη σπορὰ καὶ γένεσις αὐτοῖς κεκιβδή-
λευται καὶ συγκέχυται διὰ τὸ πλῆθος τῶν ὡμιληκότων ταῖς μητράσιν,
ὡς μὴ δύνασθαι τὸν ἀληθῆ πατέρα διαγνῶναι καὶ διακρῖναι. ὁ δὲ τόπος 327
οὗτος, εἰ καί τις ἄλλος, ἀλληγορίαν ἐπιδέχεται φιλοσόφου θεωρίας ὢν
ἀνάπλεως· τῶν γὰρ ἀσεβῶν καὶ ἀνοσίων οὐχ εἷς τρόπος, ἀλλὰ πολλοὶ
καὶ διαφέροντες. οἱ μὲν γὰρ τὰς ἀσωμάτους ἰδέας ὄνομα κενὸν ἀμέτοχον
ἀληθοῦς πράγματος εἶναί φασι, τὴν ἀναγκαιοτάτην οὐσίαν ἐκ τῶν ὄντων
ἀναιροῦντες, ἥτις ἐστὶν ἀρχέτυπον παράδειγμα πάντων ὅσα ποιότητες
οὐσίας, καθ' ἣν ἕκαστον εἰδοποιεῖτο καὶ διεμετρεῖτο. τούτους αἱ ἱεραὶ 328
τοῦ νόμου στῆλαι μηνύουσι „θλαδίας"· ὡς γὰρ τὸ τεθλασμένον ἀφῄρηται
τὴν ποιότητα καὶ τὸ εἶδος καὶ οὐδὲν ἕτερόν ἐστιν ἢ κυρίως εἰπεῖν
ἄμορφος ὕλη, οὕτως καὶ ἡ ἀναιροῦσα δόξα ἰδέας πάντα συγχεῖ καὶ πρὸς
τὴν ἀνωτέρω τῶν στοιχείων οὐσίαν τὴν ἄμορφον καὶ ἄποιον ἐκείνην ἄγει.
οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; ἐξ ἐκείνης γὰρ πάντ' ἐγέννησεν ὁ θεός, 329
οὐκ ἐφαπτόμενος αὐτός — οὐ γὰρ ἦν θέμις ἀπείρου καὶ πεφυρμένης
ὕλης ψαύειν τὸν εὐδαίμονα καὶ μακάριον —, ἀλλὰ ταῖς ἀσωμάτοις δυνά-
μεσιν, ὧν ἔτυμον ὄνομα αἱ ἰδέαι, κατεχρήσατο πρὸς τὸ γένος ἕκαστον
p. 262 M. τὴν ἁρμόττουσαν λαβεῖν μορφήν. ἡ δὲ πολλὴν ἀταξίαν | εἰσηγεῖται καὶ
σύγχυσιν· ἀναιροῦσα γὰρ ταῦτα, δι' ὧν αἱ ποιότητες, συναναιρεῖ ποιότητας.
ἕτεροι δ' ὡς ἐν ἄθλοις κακίας τὰ ἐπ' ἀσεβείᾳ νικητήρια σπεύδοντες 330

---

1 δ' AH   πόρνας] πόρνους A   ἐκ πόρνης R: ἐκ τῆς πόρνης AH (v)   2. 3 καὶ (καὶ seclusit Wendl.) διότι ἡ πρώτη σπορὰ καὶ γένεσις αὐτοῖς κεκιβδήλευται R (Arm?): διὰ τὸ τὴν πρώτην σπορὰν καὶ γένεσιν αὐτοῖς κεκιβδηλεῦσθαι AH (v)   3 καὶ συγκέχυται—διακρῖναι (4) add. R Arm: om. AH (v)   διὰ . . . . . θος R, τὸ πλῆθος supplevi   4 μ . . . . . σθαι R, μὴ δύνασθαι supplevi   δια . . . . αι καὶ διακρῖναι R, διαγνῶναι supplevi   ὁ δὲ τόπος R (δὲ conieceram): τόπος γὰρ AH (v)   5 ἀλληγορίαν ἐπιδέχεται R: ἐπιδέχεται ἀλληγορίαν AH (v)   ὢν om. Arm   7 κενὸν] καινὸν R   9 ὅσα] ὅσαι R   10 οὐσίας] ἡ ποιότητες Arm (?)   εἰδοποιεῖ(το) καὶ διεμετρεῖτο R: εἰδοποιεῖται καὶ διαμετρεῖται AH (v)   11 ὡς γὰρ τὸ R: τὸ γὰρ AH (v)   13 οὕτως καὶ R: καὶ om. AH (v)   ἡ om. R   ἀναιροῦσα] αἱροῦσα R   14 ἀνωτέρω R: ἀνωτέραν AH (v)   οὐσίαν codd.: οὐσίας Turn.   τὴν ἄμορφον καὶ ἄποιον ἐκείνην ἄγει R: τὴν ἀμορφίαν καὶ ἀποιότητα ἐκεῖνα ἄγει (?) Arm, τὴν ἀμορφίαν ἄπο δὲ σχηνοῦν ἄγει AH; τὴν ἀμορφίαν, ἀπὸ δὲ σχηνῶν ἄγει Turn., τὴν ἀμορφίαν, ἀπὸ σχηνῶν ἄγει Mang.   17 εὐδαίμονα R Arm (coni. Mang.): ἴδμονα AH (v)   18 ἔτυμον] ἕτοιμον L (Turn.)   19 πολλὴν] πάλιν Arm

---

1 Deut. 23,17. Deut. 23,2.

αἱρεσθαι προσυπερβάλλουσιν ἅμα ταῖς ἰδέαις καὶ ὕπαρξιν θεοῦ παρα-
καλυπτόμενοι ὡς οὐκ ὄντος λεγομένου δ' εἶναι χάριν τοῦ συμφέροντος
ἀνθρώποις, οἳ δὴ δι' εὐλάβειαν τοῦ δοκοῦντος πάντῃ παρεῖναι καὶ πάντα
καθορᾶν ὄμμασιν ἀκοιμήτοις [οἷς] ἔμελλον ἀνέξειν ἀδικημάτων. τούτους ὁ
νόμος εὐθυβόλως „ἀποκόπους“ προσαγορεύει τὴν περὶ τοῦ πάντα γεννῶντος
ἐκτετμημένους ὑπόληψιν, ἀγόνους μὲν σοφίας, ἐπιτηδεύοντας δὲ τὴν μεγί-
331 στην κακιῶν, ἀθεότητα. τρίτοι δ' εἰσὶν οἳ τὴν ἐναντίαν ἔτεμον εἰσηγησάμενοι
πλῆθος ⟨θεῶν⟩ ἀρρένων τε καὶ θηλειῶν, πρεσβυτέρων τε αὖ καὶ νεωτέρων,
πολυαρχίας λόγῳ τὸν κόσμον ἀναπλήσαντες, ἵνα τὴν τοῦ ἑνὸς καὶ ὄντως
332 ὄντος ὑπόληψιν ἐκ τῆς ἀνθρώπων διανοίας ἐκτέμωσιν. οὗτοι δ' εἰσὶν
οἱ συμβολικῶς „ἐκ πόρνης“ ὑπὸ τοῦ νόμου προσαγορευόμενοι· καθάπερ
γὰρ ὧν μητέρες πόρναι τὸν μὲν ἀληθῆ πατέρα οὔτε ἴσασιν οὔτ' ἐπι-
γράψασθαι δύνανται, πολλοὺς δὲ καὶ σχεδὸν ἅπαντας τοὺς ἐραστὰς καὶ
ὡμιληκότας, τὸν αὐτὸν τρόπον καὶ οἱ ἀγνοοῦντες τὸν ἕνα καὶ ἀληθινὸν
θεὸν πολλοὺς καὶ ψευδωνύμους ἀναπλάττοντες περὶ τὸ ἀναγκαιότατον
τῶν ὄντων τυφλώττουσιν, ὅπερ ἢ μόνον ἢ πρώτιστον ἐξ αὐτῶν σπαρ-
γάνων εἰκὸς ἦν ἀναδιδάσκεσθαι· τί γὰρ μάθημα κάλλιον ἢ τοῦ ὄντως
333 ὄντος θεοῦ; (14.) τετάρτους δὲ καὶ πέμπτους ἐλαύνει πρὸς μὲν τὸ
αὐτὸ τέλος ἐπειγομένους, οὐ μὴν ἀπὸ τῶν αὐτῶν βουλευμάτων· ἀμφό-
τεροι γὰρ ζηλωταὶ μεγάλου κακοῦ, φιλαυτίας, ὄντες ὥσπερ τινὰ κοινὴν
οὐσίαν διενείμαντο τὴν ὅλην ψυχὴν ἐκ λογικοῦ καὶ ἀλόγου μέρους συν-
εστῶσαν· καὶ οἱ μὲν τὸ λογικόν, ὃ δὴ νοῦς ἐστι, διεκληρώσαντο, οἱ δὲ

1 ὕπαρξιν Arm: προσύπαρξιν R, πρὸς ὕπαρξιν AH (v); conieceram προΰπαρξιν vel πᾶσαν ὕπαρξιν 1. 2 παρακαλυπτόμενοι RA: ἐπικαλυπτόμενοι H (v) 3 οἳ δὴ Wendl.: οἱ δὲ codd. (οἱ δ' Turn.) δι' εὐλάβειαν codd.: δι' om. Turn. 4 ὄμμασιν— ὑπόληψιν (6) add. R (Arm?): om. AH (v) οἷς seclusi 6 ἀγόνους . . . ἐπιτηδεύοντας R: ἄγονοι . . . ἐπιτηδεύοντες AH (v) 7 τρίτοι δ' εἰσὶν R, τρίτοι δέ εἰσιν AH: τρίτοι δή εἰσιν coni. Mang. et cum praecedentibus falso coniunxit 8 θεῶν add. Arm (conieceram): om. codd. (v) 9 πολυαρχίας λόγῳ scripsi (sic Arm): πολυαρχίας λόγων AH (v), πολυαρχικωτάτῳ λόγῳ R 10 πάντων ἀνθρώπων Arm 11 καθάπερ codd.: καθὰ v 12 γὰρ om. R οὔτε ἴσασιν R, οὔτ' ἴσασιν A: οὐκ ἴσασιν H (v) 13 δὲ] γὰρ A 14 τὸν ante ἕνα om. Turn. 15 post θεόν interpung. et post πολλοὺς add. γὰρ v ἀναγκαιότατον Arm (coni. Mang.): ἀναγκαῖον (R)AH (v) 15. 16 τὸν ἀναγκαι|οντῶν τυφλώττουσιν (sic) R 16 ἢ μόνον codd. Arm: ἢ τέλος μόνον v 17 εἰκὸς ἦν om. R κάλλιον ἢ R: κάλλιον ἐπιστήμης AH (v) 18 δὲ] δὴ τούτους Arm τοὺς ante πρὸς add. Arm (fort. recte) 21 λογικοῦ codd. Arm: λογισμοῦ v

18 Deut. 23,3; quartam enim et quintam classem hominum a Mose exclusas, quas dicit Philo, Moabitas et Ammonitas intellegit: cf. *leg. alleg. III* § *81*. *de post. Caini* § *177*.

τὸ ἄλογον, ὅπερ εἰς τὰς αἰσθήσεις τέμνεται. οἱ μὲν οὖν τοῦ νοῦ προ- 334
στάται τὴν ἡγεμονίαν καὶ βασιλείαν τῶν ἀνθρωπείων πραγμάτων ἀν-
άπτουσιν αὐτῷ καί φασιν ἱκανὸν εἶναι καὶ τὰ παρεληλυθότα μνήμῃ δια-
σῴζειν καὶ τῶν παρόντων ἐρρωμένως ἀντιλαμβάνεσθαι καὶ τὰ μέλλοντα
εἰκότι στοχασμῷ φαντασιοῦσθαί τε καὶ λογίζεσθαι. οὗτος γάρ ἐστιν ὁ 335
γῆν τὴν βαθύγειον καὶ ἀρετῶσαν τῆς ὀρεινῆς καὶ πεδιάδος κατασπείρας
καὶ καταφυτεύσας καὶ τὴν βιωφελεστάτην γεωργίαν εὑρών· οὗτος ὁ
ναῦν κατασκευάσας καὶ τὴν χέρσου φύσιν ἐπινοίαις παντὸς λόγου κρείττοσι
πλωτὴν ἀπεργασάμενος καὶ ὁδοὺς ἐν θαλάττῃ πολυσχιδεῖς ἄχρι λιμένων
τῶν κατὰ πόλεις καὶ ὑποδρόμων λεωφόρους ἀνατεμὼν καὶ γνωρίσας ἠπειρώ-
τας νησιώτας οὐκ ἄν ποτ' εἰς ἑαυτοὺς ἐλθόντας, εἰ μὴ σκάφος ἐναυπηγήθη·
οὗτος ὁ καὶ τῶν βαναύσων καὶ τῶν γλαφυρωτέρων τεχνῶν λεγομένων
εὑρετής· οὗτος γράμματα καὶ ἀριθμοὺς καὶ μουσικὴν καὶ τὴν ἐγκύκλιον 336
ἅπασαν παιδείαν ἐπενόησε καὶ συνηύξησε καὶ πρὸς τὸ τέλος ἤγαγεν·
οὗτος καὶ τὸ μέγιστον ἀγαθόν, φιλοσοφίαν, ἐγέννησε καὶ δι' ἑκάστου τῶν
μερῶν αὐτῆς ὠφέλησε τὸν ἀνθρώπινον βίον, διὰ μὲν τοῦ λογικοῦ πρὸς
p. 263 M. ἀνεξαπάτητον ἑρμηνείαν, διὰ | δὲ τοῦ ἠθικοῦ πρὸς τὴν τῶν τρόπων
ἐπανόρθωσιν, διὰ δὲ τοῦ φυσικοῦ πρὸς ἐπιστήμην οὐρανοῦ τε καὶ κόσμου.
καὶ ἄλλα μέντοι παμπληθῆ λέγουσιν ἐγκώμια νοῦ συμφορήσαντές τε καὶ
ἀγείραντες ἔχοντα τὴν ἀναφορὰν ἐπὶ τὰ λεχθέντα ἤδη, περὶ ὧν οὐ
καιρὸς ἐνοχλεῖν. (15.) οἱ δὲ τῶν αἰσθήσεων προστάται τὸν ἔπαινον 337
αὐτῶν εὖ μάλα σεμνοποιοῦσι διανέμοντες τῷ λόγῳ τὰς ἀπ' αὐτῶν
ἐγγινομένας χρείας καί φασιν, ὅτι δύο μὲν αἴτια τοῦ ζῆν ἐστιν, ὄσφρησις

---

2. 3 ἀνάπτουσιν Mang. (Arm?): ἀνάγουσιν codd. 5 φαντασιοῦ(σθαί) τε καὶ λογίζεσθαι R (Arm): ἀφοσιοῦσθαι AH; ἀνοσιοῦσθαι (sic) v; ἀφεικάσασθαι (sic) coni. Mang. 6 καὶ ἀρετῶσαν R: om. AH (v) 7 καταφυτεύσας R: φυτεύσας AH (v) εὑρών om. R 8 ναῦν R Arm: νῦν οὐρανὸν AH; τὸν οὐρανὸν v χέρσου A: χέρσον H, χερ . διον R ut vid. (voluit fortasse χέρσου ἰδίαν) ἐπινοίαις παντὸς λόγου κρείττοσι R: παντὸς λόγου ἐπινοίαις κρείττοσι AH (v) 9 ἀπεργασάμενος R: ἐργασάμενος AH (v) καὶ ὁδοὺς—εὑρετής (13) add. R (Arm): om. AH (v) ἐν . . . . . . R, ἐν θαλάττῃ supplevi πολυ . . . δεῖσ α. ρ. λιμένων R, πολυσχιδεῖς ἄχρι supplevi 10 κατα . . . . . R, κατὰ πόλεις supplevi 11 ἐ. αυ . . . . . η R, ἐναυπηγήθη supplevi 12 . . . . υ . ωτερων τεχνων R, γλαφυρωτέρων supplevi 13 . . . ετησ R, εὑρετής supplevi γράμματα καὶ ἀριθμοὺς R: καὶ ἀριθμοὺς om. AH (v) 14 ἅπασαν R: om. AH (v) ἐπενόησε καὶ . . . . . . ησεν R, συνηύξησεν supplevi Arm secutus; καὶ συνηύξησε om. AH (v) τὸ ante τέλος om. A 15 δι' ἑκάστου τῶν μερῶν R: διὰ τῶν μερῶν AH (v) 18 post κόσμου add. καὶ τῶν ἐν αὐτῷ Arm 19 παμπληθεῖ AH νοῦ om. Arm 20 ἔχοντα scripsi: ἔχοντες codd. (v) ἤδη (R?) Arm (Mang): εἴδη AH (Turn.) 22 αὐτῶν] αὐτὸν Richt. Tauchn. σεμνοποιοῦσι R Arm (Mang.): σθενοποιοῦσι A, στενοποιοῦσι H 23 ἐστιν] εἰσιν codd.

338 καὶ γεῦσις, δύο δὲ τοῦ καλῶς ζῆν, ὅρασις καὶ ἀκοή. διὰ μὲν οὖν
γεύσεως αἱ τῶν σιτίων τροφαὶ παραπέμπονται, διὰ δὲ μυκτήρων ὁ ἀήρ,
οὗ πᾶν ζῷον ἐξήρτηται· τροφὴ δ' ἐστὶ καὶ οὗτος ἡ συνεχὴς καὶ ἀδιά-
στατος, ὃς οὐκ ἐγρηγορότας μόνον ἀλλὰ καὶ κοιμωμένους διατρέφει τε
καὶ διασῴζει· σαφὴς δὲ πίστις· εἰ γὰρ κἂν βραχύτατον ὁ τῆς ἀναπνοῆς
δίαυλος ἐπισχεθείη κατὰ τὴν τοῦ πεφυκότος ἔξωθεν ἐποχετεύεσθαι
πνεύματος ἀποκοπήν, θάνατος ἀπαραίτητος ἐξ ἀνάγκης ἐπακολουθήσει.
339 τῶν γε μὴν φιλοσόφων αἰσθήσεων, δι' ὧν περιγίνεται τὸ εὖ ζῆν, ὅρασις
μὲν φῶς τὸ κάλλιστον ἐν τοῖς οὖσιν ὁρᾷ, ὁρᾷ δὲ διὰ φωτὸς τἆλλα πάντα,
ἥλιον, σελήνην, ἀστέρας, οὐρανόν, γῆν, θάλατταν, φυτῶν καὶ ζῴων
ἀμυθήτους διαφοράς, καὶ συνόλως πάντα σώματα καὶ σχήματα καὶ χρώ-
ματα καὶ μεγέθη, ὧν ἡ θέα περιττὴν φρόνησιν ἐξειργάσατο καὶ πολὺν
340 ἵμερον ἐπιστήμης ἐγέννησε. παρέχεται δὲ καὶ ἄνευ τούτων ὠφελείας
ὅρασις ἡμῖν τὰς μεγίστας, εἴς τε τὴν οἰκείων καὶ ἀλλοτρίων καὶ φίλων
καὶ ἐχθρῶν διάκρισιν καὶ βλαβερῶν μὲν φυγήν, αἵρεσιν δὲ τῶν ἐπ'
ὠφελείᾳ. γέγονε μὲν οὖν καὶ τῶν ἄλλων ἕκαστον τοῦ σώματος μερῶν
πρὸς ἁρμοττούσας χρείας καὶ σφόδρα ἀναγκαίας, ὡς βάσεις μὲν πρὸς
περίπατον καὶ δρόμον καὶ τἆλλα ὅσα διὰ σκελῶν ἐνεργεῖται, χεῖρες δὲ
πρὸς τὸ πρᾶξαί τι καὶ δοῦναι καὶ λαβεῖν· ὀφθαλμοὶ δὲ ὡσπερεί τι κοινὸν
ἀγαθὸν τὴν τοῦ δύνασθαι κατορθοῦν αἰτίαν καὶ τούτοις καὶ τοῖς ἄλλοις
341 ἅπασι παρέχουσιν. ἀψευδέστατοι δ' οἱ πεπηρωμένοι μάρτυρες, οἳ μήτε
χερσὶ μήτε ποσὶ δύνανται χρῆσθαι κατὰ τὸ βέλτιον τὴν πρόσρησιν ἐπα-
ληθεύοντες, ἣν οὐκ ἐπ' ὀνείδει μᾶλλον ἢ οἴκτῳ θέσθαι φασὶ τοὺς πρό-
τερον ἀδυνάτους ὀνομάσαντας· ἅμα γὰρ τῇ τῶν ὀμμάτων φθορᾷ καὶ
αἱ τοῦ σώματος δυνάμεις οὐχ ὑποσκελίζονται μόνον ἀλλὰ καὶ φθείρονται.

2 σιτίων καὶ ποτῶν Arm μυκτήρων RA: τῶν μυκτήρων H (v) 3. 4 καὶ ἀδιάστατος R: om. AH (v) 9 τοῖς οὖσιν R: ταῖς οὐσίαις AH (v) ὁρᾷ, ὁρᾷ δὲ R ut vid.: ὁρᾷ δὲ AH; ὁρᾷ, καὶ v τἄλλα A 11. 12 καὶ χρώματα om. L (Turn.) 12 περιττὴν] περὶ τὴν Arm πολὺν] πολλὴν H (Turn.) 13 ἵμερος H 15 καὶ ἐχθρῶν R Arm: om. AH (v) 15. 16 τῶν ἐπ' ὠφελείᾳ R: τῶν ἐπωφελῶν AH (v) 18 καὶ δρόμον R: om. AH (v) τἆλλα R: τὰ ἄλλα AH 21 περιέχουσιν A; tum ὅτι δὲ τοῦθ' οὕτως ἔχει add. AH (v), om. R Arm ἀψευδέστατοι δ' R: ψευδέστατοι H, οἱ ψευδέστατοι A; ἀψευδέστατοι v οἱ] καὶ A πεπύρωμένοι A, πεπληρωμένοι Arm 21. 22 μήτε ποσὶ μήτε χερσὶ Arm 22 δύνανται χρῆσθαι R: χρῆσθαι om. AH (v), δύνανται κατορθοῦν Arm 22. 23 ἐπαληθεύοντες R Arm (coni. Mang.): ἐπαληθεύειν AH 23 οἴκτῳ R Arm: οἱ κάτω AH 23. 24 πρότερον R: προτέρους AH (v) 24 ὀνομάσαντας Mang. (sic Arm): ὀνομάσαντες codd. ἅμα γὰρ—φθείρονται (25) add. R Arm: om. AH (v)

θαυμασιώτατον δὲ καὶ ἀκοὴ χρῆμα, δι' ἧς μέλη καὶ μέτρα καὶ ῥυθμοί, 342
ἔτι δὲ ἁρμονίαι καὶ συμφωνίαι καὶ τῶν γενῶν καὶ συστημάτων αἱ μετα-
βολαὶ καὶ πάνθ' ὅσα κατὰ μουσικὴν ἐπικρίνεται, καὶ λόγων [τε] τῶν
κατὰ διεξόδους [καὶ] παμπληθεῖς ἰδέαι δικανικῶν συμβουλευτικῶν ἐγκω-
μιαστικῶν, ἔτι δὲ τῶν ἐν ἱστορίαις καὶ διαλόγοις καὶ τῶν ἐν ὁμιλίαις
ἀναγκαίαις περὶ τῶν ἐν βίῳ πραγμάτων πρὸς τοὺς ἀεὶ πλησιάζοντας·
συνόλως γὰρ διὰ φωνῆς διττὴν ἐχούσης δύναμιν, εἴς τε τὸ λέγειν καὶ
τὸ ᾄδειν, ἑκάτερα ταῦτα διακρίνει πρὸς ὠφέλειαν ψυχῆς· ᾠδὴ γὰρ καὶ 343
λόγος ὑγιεινὰ καὶ σωτήρια φάρμακα, ἡ μὲν τὰ πάθη κατεπᾴδουσα καὶ
τὸ ἄρρυθμον ἐν ἡμῖν ῥυθμοῖς, τὸ δ' ἐκμελὲς μέλεσι, τὸ δ' ἄμετρον
μέτροις ἐπιστομίζουσα — ποικίλον δ' ἐστὶ καὶ παντοδαπὸν ἕκαστον, ὡς
264 M. μουσικοὶ καὶ ποιηταὶ μαρτυροῦσιν, οἷς | πιστεύειν ἀναγκαῖον ἐπιτήδευμα
τοῖς εὖ πεπαιδευμένοις —, ὁ δὲ λόγος ἐπέχων καὶ ἀνακόπτων τὰς ἐπὶ
κακίαν ὁρμὰς καὶ τοὺς κεκρατημένους ἀφροσύναις καὶ ἀηδίαις ἐκνοση-
λεύων, μαλακώτερον μὲν τοὺς ὑπείκοντας, σφοδρότερον δὲ τοὺς ἀφη-
νιάζοντας, αἴτιος γίνεται τῶν μεγίστων ὠφελειῶν. (16.) τοιαῦτα συνεί- 344
ροντες οἵ τε τοῦ νοῦ θιασῶται καὶ οἱ τῶν αἰσθήσεων οἱ μὲν ἐκεῖνον οἱ
δὲ ταύτας θεοπλαστοῦσιν ὑπὸ φιλαυτίας ἐκλαθόμενοι τοῦ πρὸς ἀλήθειαν
ὄντος θεοῦ. διὸ πάντας εἰκότως ἀπήλασεν ἱεροῦ συλλόγου, τούς τε τὰς
ἰδέας ἀναιροῦντας, „θλαδίας" ὑπειπών, καὶ τοὺς κατὰ τὸ παντελὲς ἀθέους,
οἷς ὄνομα οἰκεῖον τὸ „ἀποκόπων" ἔθετο, καὶ τοὺς ἐξ ἐναντίας εἰσηγητὰς
θεογονίας, οὓς ἐκάλεσεν „ἐκ πόρνης", καὶ ἐπὶ πᾶσι τοὺς φιλαύτους, ὧν
οἱ μὲν τὸν λογισμόν, οἱ δ' ἑκάστην τῶν αἰσθήσεων ἐξεθείωσαν· ἐπείγονται

---

1 θαυμασιώτατον δὲ καὶ ἀκοὴ χρῆμα R (Arm?): θαυμασιώτατα· ἡ ἀκοὴ δὲ χρῆμα AH (v) καὶ μέτρα R: om. AH (v) 2. 3 ἔτι τε (δὲ scripsi) ἁρμονίαι—αἱ μεταβολαὶ add. R Arm: om. AH (v) 3 καὶ ante πάνθ' om. R μουσικὴν R: τὴν μουσικὴν AH ἢ (καὶ scripsi) λόγων—πρὸς ὠφέλειαν ψυχῆς (8) add. R Arm: om. AH (v) τε seclusi, δὲ coni. Wendl. 4 κατα ^{δι}εξοδουσ (sic) R καὶ seclusi 6 ἐν . . ω R, βίῳ supplevi 7 γὰρ . ι . R, διὰ supplevi 8 τα . . . δια . . . νει R, ταῦτα διακρίνει supplevi 10 ἄρυθμον AH 11 ἐπιστομίζουσα] ἐπικοσμοῦσα coni. Mang. 12 μαρτυροῦσιν] καρτεροῦσιν H (Turn.) 12. 13 ἐπιτήδευμα (τοῖς εὖ) πεπαιδευμένοις R (τοῖς εὖ supplevi): om. AH (v) 14 ἀηδίαις] ἀδικίαις coni. Mang. (sic Arm) 14. 15 post ἐκνοσηλεύων add. καὶ AH (v), om. R 15 μαλακώτερον . . . σφοδρότερον R: μαλακωτέρους . . . σφοδροτέρους AH; μαλακωτέρως . . . σφοδροτέρως v 16 μεγίστων om. Mang. 17 καὶ οἱ R: οἱ om. AH (v) 18 ταύτας R Arm: ταύτην AH 19 ἀπήλασεν ἱεροῦ συλλόγου R: ἀπήλασεν om. AH; ἱεροῦ συλλόγου ἐλαύνει v 20 θλαδίας ὑπειπὼν R: ὑπειπὼν post ἀθέους transp. AH (v) 21 τῶν (sic) ἀποκόπων rursus incipit F ἀποκόπων RF: ἀπόκοπον AH (v) ἐξ ἐναντίας RF: ἐναντίας H (v), ἐναντίους A 22 τοὺς om. F 23 τὸν] τῶν F ἐξεθείωσαν] ἐξεώθησαν F

γὰρ πάντες οὗτοι πρὸς τὸ αὐτὸ τέλος, εἰ καὶ ἀπὸ διαφερόντων ἄγονται
345 βουλευμάτων, τὸν ἕνα καὶ ὄντως ὄντα θεὸν παρησυχάζοντες. ἀλλ' ἡμεῖς γε οἱ φοιτηταὶ καὶ γνώριμοι τοῦ προφήτου Μωυσέως τὴν τοῦ ὄντος ζήτησιν οὐ μεθησόμεθα, τὴν ἐπιστήμην αὐτοῦ τέλος εὐδαιμονίας εἶναι νομίζοντες καὶ ζωὴν μακραίωνα, καθὰ καὶ ὁ νόμος φησὶ τοὺς προσκειμένους τῷ θεῷ ζῆν ἅπαντας (Deut. 4, 4), δόγμα τιθεὶς ἀναγκαῖον καὶ φιλόσοφον· ὄντως γὰρ οἱ μὲν ἄθεοι τὰς ψυχὰς τεθνᾶσιν, οἱ δὲ τὴν παρὰ τῷ ὄντι θεῷ τεταγμένοι τάξιν ἀθάνατον βίον ζῶσιν.

---

1 πρὸς] εἰς H   ἀπὸ διαφερόντων RF Arm: ἀπὸ τῶν αὐτῶν A, μὴ ἀπὸ τῶν αὐτῶν H (v)   ἀνάγονται F   2 τὸν ἕνα—παρησυχάζοντες RF Arm: om. AH (v)   3 μωσέως FAH   τὴν τοῦ ὄντος] νομοθετοῦντος F   4. 5 εὐδαιμονίας εἶνα νομίζοντες RF: εἶναι νομίζοντες εὐδαιμονίας AH (v)   6 ἅπαντας RF (Arm?): om. AH (v)   τιθεὶς] προσεπιθεὶς F   7 ἄθεοι R Arm (coni. Mang.): ἄθλιοι A (v), ἄθλοι H, ἄλογοι λόγοι F   τεθνᾶσιν] γεγόνασιν R   οἱ δὲ—θεῷ (8)] οἱ δ' ἔνθεον F   παρὰ] περὶ AH

ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ ΕΙΣ ΤΡΙΑ ΓΕΝΗ ΤΩΝ ΔΕΚΑ ΛΟΓΙΩΝ, ΤΟ ΤΡΙΤΟΝ, ΤΟ ΤΕΤΑΡΤΟΝ, ΤΟ ΠΕΜΠΤΟΝ· ΤΟ ΠΕΡΙ ΕΥΟΡΚΙΑΣ ΚΑΙ ΣΕΒΑΣΜΟΥ ΤΗΣ ΙΕΡΑΣ ΕΒΔΟΜΗΣ ΚΑΙ ΓΟΝΕΩΝ ΤΙΜΗΣ

I p. 270 M. (1.) Ἐν μὲν τῇ πρὸ ταύτης συντάξει δύο κεφάλαια ἠκρίβωται 1
τῶν δέκα, τό τε περὶ τοῦ μὴ νομίζειν θεοὺς αὐτοκρατεῖς ἑτέρους καὶ τὸ περὶ τοῦ μηδὲν θεοπλαστεῖν χειρόκμητον· εἴρηται δὲ καὶ τὰ ἑκατέρῳ τῶν κατὰ μέρος διατεταγμένων ἁρμόττοντα νόμιμα. νυνὶ δὲ περὶ τριῶν τῶν κατὰ στοῖχον ἑξῆς διαλεξώμεθα πάλιν ἐφαρμόττοντες τὰ προσήκοντα τῶν ἐν εἴδει. πρῶτον δ' ἐστὶ τῶν τριῶν τὸ μὴ θεοῦ ὄνομα λαμβάνειν 2
ἐπὶ ματαίῳ. ὁ γὰρ τοῦ σπουδαίου, φησί, λόγος ὅρκος ἔστω, βέβαιος, ἀκλινής, ἀψευδέστατος, ἐρηρεισμένος ἀληθείᾳ. κἂν εἰ ὀμνύναι μέντοι βιάζοιντο αἱ χρεῖαι, πατρὸς ἢ μητρὸς ζώντων μὲν ὑγείαν καὶ εὐετηρίαν,

---

1—4 tit. περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τρία γένη τῶν δέκα λόγων (λογίων scripsi), τὸ γ', τὸ δ', τὸ ε'· τὸ περὶ εὐορκίας καὶ σεβασμοῦ τῆς ἱερᾶς ἑβδόμης καὶ γονέων τιμῆς F, Φίλωνος περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς γ' γένη τῶν ι' λόγων, τὸ περὶ εὐορκίας καὶ σεβασμοῦ τῆς ἱερᾶς ἑβδομάδος καὶ γονέων τιμῆς M, in R tit. exstinctus, man. rec. in marg. scr. π(ερὶ) τ(ῶν) ἐν εἴδει νομ(ῶν) τὸ ε (sic) 5 μὲν om. R συντάξει M: βίβλῳ RFN ἠκρίβωνται RM 6 δέκα ⟨λογίων⟩ coni. Mang. τε om. R περὶ τοῦ RF: παρὰ τοῦ N, περὶ τοῦ om. M 7 τὸ om. FN (Turn.) περὶ] παρὰ N χειρότμητον M (Tisch.) 8 περὶ] παρὰ N τριῶν (R?)M: τῶν τριῶν FN (v) 9 κατὰ στοῖχον (R?)M: κατὰ τὸ στοιχεῖον FN διαλεξώμεθα M: διαλεξόμεθα RFN 10 tit. περὶ εὐορκίας add. mg M δ' om. M 11 ὅρκος RFN: εὔορκος M 12 ἐρειρισμένος M ἀληθείᾳ] κλήσει θεία M εἰ RM, εἰ ▤ F: εἰ μὴ NL (Turn.) 13 μητρὸς ἢ πατρὸς transp. N ὑγείαν RM: ὑγίειαν FN εὐετηρίαν RM: εὐγηρίαν FN

5—88,3 N fol. 161r τοῦ αὐτοῦ ἀπὸ τοῦ λόγου τοῦ περὶ εὐορκίας καὶ σεβασμοῦ τῆς ἱερᾶς ἑβδόμης καὶ γονέων τιμῆς: ἐν μὲν — νομίζεσθαι. 11 cf. *de decal.* § 84 κάλλιστον ... τὸ ἀνώμοτον ..., ὡς τοὺς λόγους ὅρκους εἶναι νομίζεσθαι. Plat. Phaedr. 236d ὁ δέ μοι λόγος ὅρκος ἔσται.

| τετελευτηκότων δὲ τὴν μνήμην ὅρκον ποιητέον· ἀπεικονίσματα γὰρ p. 271 M
οὗτοί γε καὶ μιμήματα θείας δυνάμεώς εἰσι, τοὺς μὴ ὄντας εἰς τὸ εἶναι
3 παραγαγόντες. ἀναγέγραπταί τις ἐν τοῖς νόμοις τῶν ἀρχηγετῶν καὶ ἐπὶ
σοφίᾳ μάλιστα θαυμασθέντων ὀμνὺς „κατὰ τοῦ φόβου τοῦ πατρός“
(Gen. 31,53), ὑπὲρ ὠφελείας, οἶμαι, τῶν ἔπειτα καὶ διδαχῆς ἀναγκαίας,
ἵνα τοὺς γονεῖς ὃν χρὴ τρόπον τιμῶσι στέργοντες ὡς εὐεργέτας καὶ
εὐλαβούμενοι ὡς ὑπὸ φύσεως κατασταθέντας ἄρχοντας καὶ μὴ ῥᾳδίως
4 ἐπιχειρῶσιν ὀνομάζειν θεόν. ἄξιον ἐπαινεῖν καὶ τούς, εἴ ποτε βιασθεῖεν
ὀμνύναι, τῷ μέλλειν καὶ βραδύνειν καὶ ἀποκνεῖν ἐμποιοῦντας δέος οὐ μόνον
τοῖς ὁρῶσιν ἀλλὰ καὶ τοῖς προκαλουμένοις εἰς τὸν ὅρκον· εἰώθασι γὰρ ἀνα-
φθεγξάμενοι τοσοῦτον μόνον „νὴ τόν“ ἢ „μὰ τόν“, μηδὲν προσπαραλαβόντες,
5 ἐμφάσει τῆς ἀποκοπῆς τρανοῦν ὅρκον οὐ γενόμενον. ἀλλὰ καὶ προσπαρα-
λαβέτω τις, εἰ βούλεται, μὴ μέντοι τὸ ἀνωτάτω καὶ πρεσβύτατον εὐθὺς
αἴτιον, ἀλλὰ γῆν, ἥλιον, ἀστέρας, οὐρανόν, τὸν σύμπαντα κόσμον· ἀξιο-
λογώτατα γὰρ ταῦτα ἅτε καὶ πρεσβύτερα τῆς ἡμετέρας γενέσεως καὶ
6 προσέτι ἀγήρῳ διαιωνιοῦντα τῇ τοῦ πεποιηκότος γνώμῃ. (2.) τοσαύτῃ
δέ τινες εὐχερείᾳ καὶ ῥᾳθυμίᾳ χρῶνται, ὥστε τὰ ἐν γενέσει πάντα
ταῦθ᾽ ὑπερβάντες ἐπὶ τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἀνατρέχειν τῷ
λόγῳ τολμῶσι, μὴ τόπους εἰ βέβηλοι ἢ ἱεροί, μὴ καιροὺς εἰ ἐπιτήδειοι,
μὴ αὑτοὺς εἰ καθαροὶ σῶμα καὶ ψυχήν, μὴ τὰ πράγματα εἰ μεγάλα,
μὴ τὰς χρείας εἰ ἀναγκαῖαι προεξετάσαντες, ἀλλά, τὸ λεγόμενον δὴ

2 γε om. M (Tisch.) 3 ἀρχηγετῶν RM, ἀρχιγετῶν F: ἀρχηγενῶν N, ἀρχιγενῶν L (Turn.) 3. 4 καὶ—θαυμασθέντων om. M 6 καὶ] τε καὶ R 8 εἴ ποτε (R?) M: ὁπότε FN 9 ἀποκινεῖν corr. ex ἀποκλαίειν M 10 προσκαλουμένοις M 11 μόνον om. FN (Turn.) προσπαραλαβόντες RM: προσλαμβάνοντες FN (Turn.); παραλαβόντες Mang. 12 ἐμφάσει RM: προφάσει FN (Turn.) 12. 13 προσπαραλαβέτω RM: προσλαβέτω FN (Turn.); παραλαβέτω Mang. 13 βούλεται RM: βούλοιτο FN (Turn.) μὴ μέντοι RMN: μὴ μὲν F (Turn.); μὴ μὴν Mang. τὸ om. M ἀνωτέρω καὶ πρεσβύτερον R ἀνώτατον N 15 γὰρ] γὰρ καὶ F ἅτε R: τε N, γε MF (v) πρεσβύτατα M 16 διαιωνιοῦντα RM: διαιωνισθέντα FN (Turn.) 17 εὐχερείᾳ] εὐκαιρίᾳ N ὥστε τὰ RM: ὥστ᾽ FN (Turn.); ὡς τὰ Mang. 17. 18 πάντα ταῦθ᾽ M: πάνθ᾽ RFN (Turn.) 18 πατέρα καὶ ποιητὴν M τῶν] τὸν F 18. 19 τῶ λόγω M: om. RFN (Turn.) 19 τολμῶσιν R 20 αὐτοὺς MFN (Tisch.) μεγάλα] εὐμεγέθη coni. Mang. coll. *de decal.* § 93 21 μὴ—προεξετάσαντες om. FN (Turn.) ἀναγκαῖαι RM: ἀναγκαῖαί εἰσι Mang. προεξετάσαντες RM: προσεξετάσαντες Mang., προσεξετάσοντες Richt. Tauchn.

14 cf. Diels Elementum p. 48. Hirzel Der Eid p. 16.

τοῦτο, „ἀνίπτοις χερσὶ“ πάντα φύροντες, ὡς δέον, ἐπειδὴ γλῶτταν ἡ φύσις
αὐτοῖς ἐδωρήσατο, λελυμένῃ χρῆσθαι καὶ ἀχαλινώτῳ πρὸς ἃ μὴ θέμις·
οὓς ἐχρῆν ὀργάνων τῷ καλλίστῳ, ᾧ φωνὴ καὶ λόγος τὰ βιωφελέστατα 7
καὶ κοινωνίας αἴτια τετράνωται, πρὸς τιμὴν καὶ σεμνότητα καὶ εὐδαιμο-
νισμὸν καταχρῆσθαι τοῦ πάντων αἰτίου. νυνὶ δ' ὑπὸ τῆς ἄγαν ἀσεβείας 8
περὶ ὧν ἂν τύχῃ τὰς φρικωδεστάτας ὀνομάζουσι κλήσεις καὶ ἄλλα ἐπ'
ἄλλοις ἐπιφέροντες ὀνόματα σωρηδὸν οὐκ ἐρυθριῶσι, νομίζοντες τῇ πυκνό-
τητι καὶ τῷ συνεχεῖ τῶν ἐπαλλήλων ὅρκων οὗ διανοοῦνται περιέσεσθαι,
λίαν ὄντες εὐήθεις· οὐ γὰρ πίστεως ἡ πολυορκία τεκμήριον ἀλλ' ἀπιστίας
ἐστὶ παρὰ τοῖς εὖ φρονοῦσιν. (3.) ἐὰν δέ τις ἐκβιασθεὶς ὀμόσῃ περὶ 9
II 272 M. παντὸς οὑτινοσοῦν, ὃ μὴ νόμος | ἀπείρηκε, παντὶ σθένει καὶ μηχανῇ
πάσῃ τὸν ὅρκον βεβαιούτω μηδὲν ἐμποδὼν τιθέμενος εἰς τὴν τοῦ γνω-
σθέντος τελείωσιν, καὶ μάλιστα ἐπειδὰν μὴ ὀργαὶ ἀτίθασοι ἢ λελυττη-
κότες ἔρωτες ἢ ἐπιθυμίαι ἀκάθεκτοι τὴν διάνοιαν ἐκμήνωσιν, ὡς ἀγνοῆσαι
τὰ λεγόμενα καὶ πραττόμενα, λογισμῷ δὲ καὶ διανοίᾳ νηφούσῃ ποιῆται
τὸν ὅρκον. τί γὰρ ἄμεινον ἢ ἀψευδεῖν παρ' ὅλον τὸν βίον καὶ ταῦτα 10
μάρτυρι θεῷ χρώμενον; ὅρκος γὰρ οὐδὲν ἄλλο ἢ μαρτυρία θεοῦ περὶ
πράγματος ἀμφισβητουμένου· θεὸν δὲ μὴ ἐπ' ἀληθεῖ καλεῖν πάντων
ἀνοσιώτατον. ὁ γὰρ τοῦτο ποιῶν μόνον οὐκ ἄντικρυς βοᾷ, κἂν ἡσυχάζειν 11

---

1 τοῦτ' M   χερσὶ RM: ποσὶ FN (Turn.)   φύροντες] φέροντες F (Turn.)
1. 2 ἡ φύσις αὐτοῖς RM: αὐτοῖς ἡ φύσις FN   2 λελυμένοι F   ἀχαλίνῳ FN
3 ὀργάνῳ M   τῷ καλλίστῳ ᾧ v: τὸ κάλλιστον ὧ FN, ὧ τὰ κάλλιστα ἥ τε M corr.,
R quid habeat, dispici non potest   4 τετράνωται M: συντετράνωται FN (v), R quid
habeat, incertum est   5 εὐσεβείας N   6 φρικωδεστάτας] φυσιωδεστάτας M
6. 7 ἄλλα ἐπ' ἄλλοις RM: ἀλλεπαλλήλοις FN   7 ἐπιφέροντες RFN: ἀναφέροντες M
(Tisch.)   8 οὗ M (Tisch.): οὓς RFN; ὧν v   διατρανοῦνται N
9 ἀλλὰ M   10 παρὰ om. M (Tisch.)   11 ἀπείρηκε RM: ἀπειρήκει FN
11. 12 πάσῃ μηχανῇ transp. M (Tisch.)   12. 13 γνωσθέντος] ὀμοσθέντος conicio,
νομισθέντος (vel ὁρισθέντος) coni. Mang.   13 ἐπειδὰν] ἐπειδέτω (ἐπιδέτω?) coni.
Mang.   ἀτίθασοι codd.: ἀτίθασσοι v   14 ἐκμήνωσιν codd. (Tisch.): ἐκμαί-
νωσιν v   15 δὲ om. MN (Tisch.)   ἢ (pro καὶ) διανοίᾳ FN (Turn.)
μὴ νηφούσῃ M   ποιεῖται MN; ποιείτω Tisch.   16 τί] καὶ M   ἢ om. M
παρ' ὅλον] παρὰ πάντα M (Tisch.)   17 οὐδὲν ἄλλο R: οὐδὲν (om. ἄλλο) M (Tisch.),
οὐδὲν ἄλλο ἐστὶν L (v), οὐδὲν ἄρα ἐστὶν FN, οὐδὲν ἄρα ἦν Vind.   μαρτυρία] δια-
μαρτυρία M (Tisch.)   18 ἀληθεῖ scripsi: ἀληθείᾳ codd. (v)   19 ἡσυχάζειν δοκῇ
R: ἡσυχάζῃ MFN (v), ἡσυχάζει Vind.

---

1 ἀνίπτοις χερσὶ Hom. Il. Z 266. cf. Eust. comm. in Hom. p. 641,15. Diogenian. I 43 (Corp. Paroem. Gr. I 187).   9 Flor. Laur. nr. 19 ἀπιστίας, οὐ πίστεως, ἡ πολυορκία τεκμήριον.
17–88,3 Vind. hist. gr. 67 fol. 59r περὶ ὅρκου: ὅρκος γὰρ—φαύλῳ νομίζεσθαι.   17. 18 Anton. Mel. II 63 Col. 1156 Φίλωνος: ὅρκος ἐστὶ μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου.

δοκῇ· „σοὶ χρῶμαι τοῦ ἀδικεῖν προκαλύμματι· αἰδουμένῳ μοι τὸ δοκεῖν ἁμαρτάνειν συνέργησον, ἀντ' ἐμοῦ πονηρευομένου τὴν αἰτίαν ὑπόστηθι· μέλει γάρ μοι πλημμελοῦντι μὴ φαύλῳ νομίζεσθαι· σὺ δὲ τῆς παρὰ τοῖς πολλοῖς δόξης ἀλογεῖς οὐδὲν εὐφημίας ἐπιστρεφόμενος.“ ἅπερ καὶ λέγειν καὶ ἐννοεῖσθαι ἀσεβέστατον· ἀγανακτῆσαι γὰρ ἂν οὐχ ὅτι θεὸς ὁ πάσης κακίας ἀμέτοχος, ἀλλὰ καὶ πατὴρ καὶ ὀθνεῖος ἄνθρωπος μὴ
12 τελείως ἀρετῆς ἄγευστος, εἰ τοιαῦτα ἀκούοι. πάντας μὲν οὖν ὅρκους, ὡς ἔφην, βεβαιωτέον, ὅσοι περὶ καλῶν καὶ συμφερόντων γίνονται πρὸς ἐπανόρθωσιν ἰδίων ἢ κοινῶν πραγμάτων, φρονήσεως καὶ δικαιοσύνης καὶ ὁσιότητος ἡγουμένων — (4.) τούτοις ἐμφέρονται καὶ τῶν εὐχῶν αἱ νομιμώταται διὰ περιουσίαν ἀγαθῶν ἢ παρόντων ἢ προσδοκωμένων
13 γινόμεναι —, τοὺς δ' ἕνεκα τῶν ἐναντίων ἐπικυροῦν οὐχ εὐαγές. εἰσὶ γὰρ οἳ ὀμνύουσιν, ἐὰν τύχῃ, κλοπὰς καὶ ἱεροσυλίας ἢ φθορὰς καὶ μοιχείας ἢ τραύματα καὶ σφαγὰς ἤ τι τῶν ὁμοιοτρόπων κακῶν ἐργάσεσθαι, καὶ ἀνυπερθέτως αὐτὰ δρῶσι ποιούμενοι πρόφασιν τὸ εὐορκεῖν, ὡς οὐχ ἄμεινον καὶ θεῷ κεχαρισμένον μᾶλλον τῆς βεβαιώσεως τῶν ὅρκων τὸ μηδὲν ἀδικεῖν, ἐπεὶ δικαιοσύνη καὶ πᾶσα ἀρετὴ νόμος ἐστὶ πάτριος καὶ θεσμὸς ἀρχαῖος· νόμοι δὲ καὶ θεσμοὶ τί ἕτερον ἢ φύσεως ἱεροὶ λόγοι
14 τὸ βέβαιον καὶ τὸ πάγιον ἐξ αὐτῶν ἔχοντες, ὡς ὅρκων ἀδιαφορεῖν; ἴστω δὴ πᾶς ἐνωμότως ἄδικα δρῶν, ὅτι εὐορκεῖ μὲν οὔ, τὸν δὲ πολλῆς φυλακῆς

---

1 σοὶ] ὃς Vind., om. M προκαλύμματι RM (Tisch.): παρακαλύμματι FN Vind. τῷ δοκεῖν F 3 μέλλει FN Vind. (Turn.) πλημμελοῦντι] πονηρευομένῳ M 4 τοῖς πολλοῖς R: πολλοῖς M (Tisch.), τοῖς πιστοῖς F (v) τῆς εὐφημίας M (Tisch.) 6 ὁ πάσης] ἁπάσης M ὀθνεῖος] ὁ θεῖος L (Turn.) 7 τελείων Turn. τοιαῦτ' F ἀκούει F 9 κοινῶν ἢ ἰδίων transp. M (Tisch.) 11 αἱ νομιμώτατοι (sic) MF 12 tit. ὅτι οὐ δεῖ τοὺς ἐπὶ τοῖς ἐναντίοις βεβαιοῦν ὅρκους add. mg M (Tisch.) 13 ἐὰν τύχῃ RF: ἂν τύχοι M (Mang. Tisch.) καὶ ἱεροσυλίας F: ἢ ἱεροσυλίας RM 13. 14 φθορὰς καὶ μοιχείας M: φθορὰς ἢ μοιχείας R, μοιχείας καὶ φθορὰς F 14 ἐργάσεσθαι Mang. (Tisch): ἐργάσασθαι codd. 15 τὸ εὐορκεῖν RM: τοῦ εὐορκεῖν F (Turn.); τῷ εὐορκεῖν Richt. Tauchn. 16 βεβαιώσεως Mang.: παραβάσεως codd.; παραστάσεως Tisch. 17 μηδὲν RM: μὴ δεῖν F (Turn.) ἐπεὶ δικαιοσύνη καὶ πᾶσα ἀρετὴ Mang.: ἐπὶ δικαιοσύνῃ καὶ πάσῃ ἀρετῇ codd. νόμος ἐστὶ πάτριος RM: ὁ νόμος ἐστὶ πατρῷος F (Turn.) 18 θεσμὸς — καὶ om. F (Turn.) τί ἕτερον RM: τῶν ἑτέρων F; τῶν ἑταίρων Turn., τί ἕτερον εἰσὶν Mang. 19 τὸ πάγιον RF: τὸ om. M (Tisch.) ἐξ αὐτῶν RF: ἐξ αὐτῆς M (Tisch.) 20 δὴ M (Tisch.): δὲ F, δὲ δὴ R ἐνομότως F ὅτι εὐορκεῖ RM: ὅτε εὐορκήσει F φυλακῆς] φήμης M

---

7 Num. 30,3.

καὶ ἐπιμελείας ἄξιον ὅρκον ἀνατρέπει, ᾧ τὰ καλὰ καὶ δίκαια ἐπισφρα-
γίζεται· προστίθησι γὰρ ὑπαίτια ὑπαιτίοις, ἐν οὐ δέοντι γινομένοις ὅρκοις,
273 M. οὓς πολὺ | βέλτιον ἦν ἡσυχάζεσθαι, πράξεις παρανόμους. ἀπεχόμενος 15
οὖν τοῦ ἀδικοπραγεῖν ποτνιάσθω τὸν θεόν, ἵνα μεταδῷ τῆς ἵλεω δυνά-
μεως αὐτῷ συγγνοὺς ἐφ' οἷς ἀβουλίᾳ χρησάμενος ὤμοσε· διπλάσια γὰρ
αἱρεῖσθαι κακά, δυνάμενον τὴν ἡμίσειαν αὐτῶν ἀποφορτίσασθαι, μανία
καὶ φρενοβλάβεια δυσίατος. εἰσὶ δ' οἳ τὴν φύσιν ἄμικτοι καὶ ἀκοινώ- 16
νητοι δι' ὑπερβολὴν μισανθρωπίας γεγονότες ἢ καὶ ὑπ' ὀργῆς οἷα χαλεπῆς
δεσποίνης ἐκβιασθέντες ὅρκῳ τὴν ἀγριότητα πιστοῦνται τῶν ἠθῶν, οἵτινες
οὔ φασιν ὁμοτράπεζον ἢ ὁμωρόφιον ἕξειν τὸν δεῖνα ἢ τὸν δεῖνα ἢ πάλιν
τῷ δεῖνι μὴ παρέξειν ὠφέλειάν τινα ἢ παρ' ἐκείνου τι λήψεσθαι μέχρι
τελευτῆς· ἔστι δ' ὅτε καὶ μετὰ τὴν τελευτὴν τὸ ἀσύμβατον διαφυλάτ-
τουσιν οὐδὲ νεκροῖς τοῖς σώμασιν ἐπιτρέποντες ἐν διαθήκαις τὰ νομι-
ζόμενα παρασχεῖν. οἷς παραινέσαιμι ἂν καθάπερ καὶ τοῖς προτέροις, 17
εὐχαῖς καὶ θυσίαις ἐξευμενίζεσθαι τὸν θεόν, ἵνα εὕρωνταί τινα ψυχικῶν
ἀρρωστημάτων θεραπείαν ἀναγκαίαν, ἃ μηδεὶς ἀνθρώπων ἱκανὸς ἰάσα-
σθαι. (5.) ἕτεροι δ' εἰσὶ κομπασταὶ τῶν ὑπ' ἀλαζονείας φυσωμένων, 18
οἳ λιμοδοξοῦντες οὐδενὶ τῶν εἰς τὴν ὠφελιμωτάτην ὀλιγοδεΐαν χρῆσθαι
δικαιοῦσιν, ἀλλὰ κἂν προτρέπῃ τις ἕνεκα τοῦ τὸν ἀφηνιασμὸν τῶν ἐπι-
θυμιῶν ἀναχαιτίσαι, τὴν νουθεσίαν ὕβριν εἶναι νομίζουσι καὶ πρὸς τὸν
ἁβροδίαιτον ὠθούμενοι βίον ἀλογοῦσι τῶν σωφρονιστῶν, γέλωτα καὶ
χλεύην τιθέμενοι τὰς φρονήσεως καλὰς ὁμοῦ καὶ λυσιτελεστάτας ὑφη-
γήσεις. εἰ δὲ δὴ καὶ τύχοι τις εἶναι περιουσία καὶ ἀφθονία τῶν περὶ 19
τὸν βίον, ὅρκοις ἐπισφραγίζονται τὴν χρῆσιν καὶ ἀπόλαυσιν τῶν εἰς πολυ-

---

1 ἀνατρέπειν F ᾧ] ὃν M 2 προστίθεται F (Turn.) δέοντι] δέον F
5 συγγνοὺς M, συγνουσ (sic) R: συγγενοῦς F (Turn.) αβουλει (sic) R
8 ἢ] οἱ M οἷα F: δια R, ἢ μανίας M (Tisch.) 9 ἐκβιασθέντες post ἀγριότητα transp. M πιστοῦνται M: πιστούμενοι RF 10 ὁμωρόφιον R: ὁμώροφον M (Tisch.), ὁμορρόφιον F; ὁμορόφιον v ἢ τὸν δεῖνα om. R (fort. recte)
11 τῷ δεῖνι] τον δεινα ει (sic) R τι M: τινα RF (Turn.) μέχρι M: καὶ μέχρι RF (Turn.) 13 διαθήκαις] θήκαις coni. Mang. (recepit Tisch.)
14 παραινέσαιμ' F καθάπερ R: καθὰ F, καθὼς M (Tisch.) 15 τὸν θεὸν R: τὸ θεῖον MF (v) 16 ἀναγκαίαν M (Tisch.): om. RF (v) 17 τῶν ... φυσωμένων corruptum; καὶ ... φυσώμενοι conicio φυσωμένων RM (Tisch.): φυσσωμένων F (v) 18 τῶν] τὴν M εἰς τὴν codd.: τὴν om. v ὀλιγοδεΐαν codd.: ὀλιγόδειαν v 19 ἀλλὰ κἂν] ἀλλ' ἂν R προτροπῇ (sic) F
19. 20 τῶν ἐπιθυμιῶν om. M 20 ἀναχαιτίσαι RF: ἀναχαιτίσασθαι M (Tisch.)
21 ἀλογοῦσι—βίον (24) om. M 22 καλὰς ὁμοῦ R: ὁμοῦ καλὰς F (v)
23 εἶναι RF: οὖσα v; εἶναι fort. secludendum 24 τὸν βίον R: τὸν om. F (v)

δοκῇ· „σοὶ χρῶμαι τοῦ ἀδικεῖν προκαλύμματι· αἰδουμένῳ μοι τὸ δοκεῖν
ἁμαρτάνειν συνέργησον, ἀντ' ἐμοῦ πονηρευομένου τὴν αἰτίαν ὑπόστηθι·
μέλει γάρ μοι πλημμελοῦντι μὴ φαύλῳ νομίζεσθαι· σὺ δὲ τῆς παρὰ
τοῖς πολλοῖς δόξης ἀλογεῖς οὐδὲν εὐφημίας ἐπιστρεφόμενος.“ ἅπερ καὶ
λέγειν καὶ ἐννοεῖσθαι ἀσεβέστατον· ἀγανακτῆσαι γὰρ ἂν οὐχ ὅτι θεὸς
ὁ πάσης κακίας ἀμέτοχος, ἀλλὰ καὶ πατὴρ καὶ ὀθνεῖος ἄνθρωπος μὴ
12 τελείως ἀρετῆς ἄγευστος, εἰ τοιαῦτα ἀκούοι. πάντας μὲν οὖν ὅρκους,
ὡς ἔφην, βεβαιωτέον, ὅσοι περὶ καλῶν καὶ συμφερόντων γίνονται πρὸς
ἐπανόρθωσιν ἰδίων ἢ κοινῶν πραγμάτων, φρονήσεως καὶ δικαιοσύνης
καὶ ὁσιότητος ἡγουμένων — (4.) τούτοις ἐμφέρονται καὶ τῶν εὐχῶν
αἱ νομιμώταται διὰ περιουσίαν ἀγαθῶν ἢ παρόντων ἢ προσδοκωμένων
13 γινόμεναι —, τοὺς δ' ἕνεκα τῶν ἐναντίων ἐπικυροῦν οὐκ εὐαγές. εἰσὶ
γὰρ οἳ ὀμνύουσιν, ἐὰν τύχῃ, κλοπὰς καὶ ἱεροσυλίας ἢ φθορὰς καὶ μοι-
χείας ἢ τραύματα καὶ σφαγὰς ἤ τι τῶν ὁμοιοτρόπων κακῶν ἐργάσεσθαι,
καὶ ἀνυπερθέτως αὐτὰ δρῶσι ποιούμενοι πρόφασιν τὸ εὐορκεῖν, ὡς οὐκ
ἄμεινον καὶ θεῷ κεχαρισμένον μᾶλλον τῆς βεβαιώσεως τῶν ὅρκων τὸ
μηδὲν ἀδικεῖν, ἐπεὶ δικαιοσύνη καὶ πᾶσα ἀρετὴ νόμος ἐστὶ πάτριος καὶ
θεσμὸς ἀρχαῖος· νόμοι δὲ καὶ θεσμοὶ τί ἕτερον ἢ φύσεως ἱεροὶ λόγοι
14 τὸ βέβαιον καὶ τὸ πάγιον ἐξ αὑτῶν ἔχοντες, ὡς ὅρκων ἀδιαφορεῖν; ἴστω
δὴ πᾶς ἐνωμότως ἄδικα δρῶν, ὅτι εὐορκεῖ μὲν οὔ, τὸν δὲ πολλῆς φυλακῆς

---

1 σοὶ] ὅς Vind., om. M προκαλύμματι RM (Tisch.): παρακαλύμματι FN Vind. τῷ δοκεῖν F 3 μέλλει FN Vind. (Turn.) πλημμελοῦντι] πονηρευομένω M 4 τοῖς πολλοῖς R: πολλοῖς M (Tisch.), τοῖς πιστοῖς F (v) τῆς εὐφημίας M (Tisch.) 6 ὁ πάσης] ἁπάσης M ὀθνεῖος] ὁ θεῖος L (Turn.) 7 τελείων Turn. τοιαῦτ' F ἀκούει F 9 κοινῶν ἢ ἰδίων transp. M (Tisch.) 11 αἱ νομιμώτατοι (sic) MF 12 tit. ὅτι οὐ δεῖ τοὺς ἐπὶ τοῖς ἐναντίοις βεβαιοῦν ὅρκους add. mg M (Tisch.) 13 ἐὰν τύχῃ RF: ἂν τύχοι M (Mang. Tisch.) καὶ ἱεροσυλίας F: ἢ ἱεροσυλίας RM 13. 14 φθορὰς καὶ μοιχείας M: φθορὰς ἢ μοιχείας R, μοιχείας καὶ φθορὰς F 14 ἐργάσεσθαι Mang. (Tisch): ἐργάσασθαι codd.
15 τὸ εὐορκεῖν RM: τοῦ εὐορκεῖν F (Turn.); τῷ εὐορκεῖν Richt. Tauchn.
16 βεβαιώσεως Mang.: παραβάσεως codd.; παραστάσεως Tisch. 17 μηδὲν RM: μὴ δεῖν F (Turn.) ἐπεὶ δικαιοσύνη καὶ πᾶσα ἀρετὴ Mang.: ἐπὶ δικαιοσύνῃ καὶ πάσῃ ἀρετῇ codd. νόμος ἐστὶ πάτριος RM: ὁ νόμος ἐστὶ πατρῷος F (Turn.)
18 θεσμὸς — καὶ om. F (Turn.) τί ἕτερον RM: τῶν ἑτέρων F; τῶν ἑταίρων Turn., τί ἕτερον εἰσὶν Mang. 19 τὸ πάγιον RF: τὸ om. M (Tisch.) ἐξ αὑτῶν RF: ἐξ αὑτῆς M (Tisch.) 20 δὴ M (Tisch.): δὲ F, δὲ δὴ R ἐνομότως F ὅτι εὐορκεῖ RM: ὅτε εὐορκήσει F φυλακῆς] φήμης M

---

7 Num. 30,3.

καὶ ἐπιμελείας ἄξιον ὅρκον ἀνατρέπει, ᾧ τὰ καλὰ καὶ δίκαια ἐπισφρα-
γίζεται· προστίθησι γὰρ ὑπαίτια ὑπαιτίοις, ἐν οὐ δέοντι γινομένοις ὅρκοις,
173 M. οὓς πολὺ | βέλτιον ἦν ἡσυχάζεσθαι, πράξεις παρανόμους. ἀπεχόμενος 15
οὖν τοῦ ἀδικοπραγεῖν ποτνιάσθω τὸν θεόν, ἵνα μεταδῷ τῆς ἵλεω δυνά-
μεως αὐτῷ συγγνοὺς ἐφ' οἷς ἀβουλίᾳ χρησάμενος ὤμοσε· διπλάσια γὰρ
αἱρεῖσθαι κακά, δυνάμενον τὴν ἡμίσειαν αὐτῶν ἀποφορτίσασθαι, μανία
καὶ φρενοβλάβεια δυσίατος. εἰσὶ δ' οἳ τὴν φύσιν ἄμικτοι καὶ ἀκοινώ- 16
νητοι δι' ὑπερβολὴν μισανθρωπίας γεγονότες ἢ καὶ ὑπ' ὀργῆς οἷα χαλεπῆς
δεσποίνης ἐκβιασθέντες ὅρκῳ τὴν ἀγριότητα πιστοῦνται τῶν ἠθῶν, οἵτινες
οὔ φασιν ὁμοτράπεζον ἢ ὁμωρόφιον ἕξειν τὸν δεῖνα ἢ τὸν δεῖνα ἢ πάλιν
τῷ δεῖνι μὴ παρέξειν ὠφέλειάν τινα ἢ παρ' ἐκείνου τι λήψεσθαι μέχρι
τελευτῆς· ἔστι δ' ὅτε καὶ μετὰ τὴν τελευτὴν τὸ ἀσύμβατον διαφυλάτ-
τουσιν οὐδὲ νεκροῖς τοῖς σώμασιν ἐπιτρέποντες ἐν διαθήκαις τὰ νομι-
ζόμενα παρασχεῖν. οἷς παραινέσαιμι ἂν καθάπερ καὶ τοῖς προτέροις, 17
εὐχαῖς καὶ θυσίαις ἐξευμενίζεσθαι τὸν θεόν, ἵνα εὕρωνταί τινα ψυχικῶν
ἀρρωστημάτων θεραπείαν ἀναγκαίαν, ἃ μηδεὶς ἀνθρώπων ἱκανὸς ἰάσα-
σθαι. (5.) ἕτεροι δ' εἰσὶ κομπασταὶ τῶν ὑπ' ἀλαζονείας φυσωμένων, 18
οἳ λιμοδοξοῦντες οὐδενὶ τῶν εἰς τὴν ὠφελιμωτάτην ὀλιγοδείαν χρῆσθαι
δικαιοῦσιν, ἀλλὰ κἂν προτρέπῃ τις ἕνεκα τοῦ τὸν ἀφηνιασμὸν τῶν ἐπι-
θυμιῶν ἀναχαιτίσαι, τὴν νουθεσίαν ὕβριν εἶναι νομίζουσι καὶ πρὸς τὸν
ἁβροδίαιτον ὠθούμενοι βίον ἀλογοῦσι τῶν σωφρονιστῶν, γέλωτα καὶ
χλεύην τιθέμενοι τὰς φρονήσεως καλὰς ὁμοῦ καὶ λυσιτελεστάτας ὑφη-
γήσεις. εἰ δὲ δὴ καὶ τύχοι τις εἶναι περιουσία καὶ ἀφθονία τῶν περὶ 19
τὸν βίον, ὅρκοις ἐπισφραγίζονται τὴν χρῆσιν καὶ ἀπόλαυσιν τῶν εἰς πολυ-

---

1 ἀνατρέπειν F ᾧ] ὃν M 2 προστίθεται F (Turn.) δέοντι] δέον F
5 συγγνοὺς M, συγνουσ (sic) R: συγγενοῦς F (Turn.) αβουλει (sic) R
8 ἢ] οἳ M οἷα F: δια R, ἢ μανίας M (Tisch.) 9 ἐκβιασθέντες post ἀγριότητα transp. M πιστοῦνται M: πιστούμενοι RF 10 ὁμωρόφιον R: ὁμώροφον M (Tisch.), ὁμορρόφιον F; ὁμορόφιον v ἢ τὸν δεῖνα om. R (fort. recte)
11 τῷ δεῖνι] τον δεινα ει (sic) R τι M: τινα RF (Turn.) μέχρι M: καὶ μέχρι RF (Turn.) 13 διαθήκαις] θήκαις coni. Mang. (recepit Tisch.)
14 παραινέσαιμ' F καθάπερ R: καθὰ F, καθὼς M (Tisch.) 15 τὸν θεὸν R: τὸ θεῖον MF (v) 16 ἀναγκαίαν M (Tisch.): om. RF (v) 17 τῶν ... φυσωμένων corruptum; καὶ ... φυσώμενοι conicio φυσωμένων RM (Tisch.): φυσσωμένων F (v) 18 τῶν] τὴν M εἰς τὴν codd.: τὴν om. v ὀλιγοδεῖαν codd.: ὀλιγόδειαν v 19 ἀλλὰ κἂν] ἀλλ' ἂν R προτροπή (sic) F
19. 20 τῶν ἐπιθυμιῶν om. M 20 ἀναχαιτίσαι RF: ἀναχαιτίσασθαι M (Tisch.)
21 ἀλογοῦσι—βίον (24) om. M 22 καλὰς ὁμοῦ R: ὁμοῦ καλὰς F (v)
23 εἶναι RF: οὖσα v; εἶναι fort. secludendum 24 τὸν βίον R: τὸν om. F (v)

τέλειαν· οἷον δή τι λέγω· πρῴην τις τῶν οὐκ ὀλίγα κεκτημένων ὑγρὸν
καὶ διαρρέοντα βίον ἀσπασάμενος, ἐπειδὴ πρεσβύτης παρὼν συγγενὴς ἢ
πατρικὸς ὥς γ' οἶμαι φίλος ἐνουθέτει πρὸς τὸ σεμνότερον καὶ αὐστηρό-
τερον τὴν δίαιταν παρακαλῶν μεταβαλεῖν, τὴν παραίνεσιν οὐ μετρίως
δυσχεράνας ὤμοσεν ἀντιφιλονεικῶν, ἕως ἂν τὰς χορηγίας ἔχῃ καὶ παρα-
σκευάς, μηδενὶ χρήσεσθαι τῶν εἰς εὐτέλειαν, μὴ κατὰ πόλιν, μὴ κατ'
ἀγρούς, μὴ πλέων, μὴ πεζεύων, ἀλλ' ἀεὶ καὶ πανταχοῦ τὸν πλοῦτον ἐπι-
δείξεσθαι. πλούτου δὲ ταῦθ', ὡς ἔοικεν, ἐπίδειξις οὐκ ἔστι μᾶλλον ἢ
20 ἀλαζονείας καὶ ἀκρασίας. καίτοι τῶν ἐν ταῖς μεγάλαις ἡγεμονίαις οὐκ
ὀλίγοι μέχρι νῦν εἰσιν οἳ παμπληθεῖς ἔχοντες παρασκευὰς καὶ χορηγίας
ἀφθόνους, ὥσπερ ἐξ ἀενάου τινὸς πηγῆς πλούτου ῥέοντος αὐτοῖς ἀδιαστάτως,
ὅμως ἐφ' ἃ καὶ οἱ πένητες ἡμεῖς ἔστιν ὅτε τρέπονται, κεραμεᾶς κύλικας
καὶ ὀβελίας ἄρτους καὶ ἐλαίας ἢ τυρὸν ἢ λάχανα | προσόψημα, καὶ p. 274
θέρους μὲν περίζωμα καὶ λεπτὴν ὀθόνην, χειμῶνος δὲ χλαῖναν ἀρραγῆ
καὶ στιφρὰν καὶ τὰ πρὸς τὴν κοίτην ἔστιν ὅτε χαμαίστρωτα, πολλὰ
χαίρειν φράσαντες κλίναις ἐλεφαντίναις ἢ χελώνης ἢ χρυσοῦ πεποιη-
μέναις καὶ στρωμναῖς ἀνθοβαφέσι καὶ ἐσθῆσιν ἁλουργίσι καὶ πεμμάτων
21 μελιπήκτων περιεργίαις καὶ τραπεζῶν πολυτελείαις. αἴτιον δ' οὐ μόνον,
οἶμαι, τὸ φύσεως αὐτοὺς εὐμοίρου λαχεῖν, ἀλλὰ καὶ τὸ παιδείας ὀρθῆς
ἐκ πρώτης ἡλικίας ἐφάψασθαι, ἥτις ἀνεδίδαξε πρὸ τῶν ἡγεμονικῶν τὰ
ἀνθρώπινα τιμᾶν, ἥτις καὶ ἐνδιαιτωμένη τῇ ψυχῇ μόνον οὐ καθ' ἑκάστην
ἡμέραν ὑπομιμνήσκει τῆς ἀνθρωπότητος ἀπὸ τῶν ὑψηλῶν καὶ ὑπερόγκων
22 ἀντισπῶσα καὶ στέλλουσα καὶ τὸ ἄνισον ἰσότητι θεραπεύουσα. τοιγαροῦν

---

1 δή τι RMF: δήτοι L (Turn.) τῶν post ὀλίγα transp. M 2 ἀσπασάμενος M: ἀσπαζόμενος RF (Turn.) παρὼν] παρῆν F 3 ὥς γ' RM (Tisch.): ὥς om. F (v) 4 μεταβάλλειν Richt. 5. 6 καὶ τὰς παρασκευάς F (v), τὰς om. RM (Tisch.) 6 μηδὲν M χρήσεσθαι v: χρήσασθαι codd. 7 μὴ πλέων, μὴ πεζεύων om. F (Turn.) αἰεὶ M (Tisch.) 7. 8 ἐπιδείξασθαι M 10 μέχρι νῦν om. F (Turn.) δ' εἰσὶν F οἱ M 11 ἀενάου R: ἀεννάου MF (v) τινὸς om. M (Tisch.) 12 ἐφ' ᾧ M ἡμεῖς οἱ πένητες transp. M (Tisch.) τρέφονται F κεραμεᾶς Tisch.: κεραμέας M, κεραμιαίας F (v), κεραμαιουσ R 13 ὀβελίας Mang. (Tisch.): ὀβελέας M, οβελιαιουσ R, ὀβολιαίους F προσόψϊμα M 14 λεπτὴν R: λινῆν M (v), λινὴν F ὀθώνην F 15 καὶ στιφρὰν Tisch.: ἢ κολιστίφραν (sic) M, καὶ στριφνὴν R, καὶ στρυφνὴν F (v); cf. vol. IV 242,17 τὴν κοίτην R: τὴν om. MF 16 φράσας M καὶ (pro ἢ) χρυσοῦ M 17 ἀνθοβαφέσι] ἔνθα βαθέσι F (Turn.) ἐσθῆσιν ἁλουργίσιν R: ἐσθῆσι καὶ ἁλουργίσι F (v), ἐσθῆτες μαλακωτέραις πορφυραῖς M (μ. π. recepit Tisch.) 19 οἶμαι M (Tisch.): om. RF (v) αὐτῆς M εὐμοίρου λαχεῖν RM: ἀμοιρῆσαι F: εὐμοιρῆσαι Turn. 20 ἐφάψασθαι RM: ἅψασθαι F (Turn.) 20. 21 τἀνθρώπινα F 21 τιμᾶν om. M ἥτις om. M (Tisch.)

τὰς πόλεις εὐθηνίας, εὐπορίας, εὐνομίας, εἰρήνης ἀναπεπλήκασιν, ἀγαθὸν
μὲν οὐδὲν ὑπεξελόμενοι, πάντα δ' ἀφειδῶς καὶ ἀταμιεύτως χαριζόμενοι.
τὰ μὲν δὴ τῶν εὐγενῶν καὶ ὡς ἀληθῶς ἡγεμόνων ἔργα ταῦτα καὶ τὰ
τούτοις παραπλήσια. τὰ δὲ τῶν νεοπλούτων ἐκεῖνα πλάνῳ τινὶ τύχης 23
εἰς πολυχρηματίαν περιηκόντων, οἳ τὸν ἀληθῆ καὶ βλέποντα πλοῦτον ἐξ
ἀρετῶν τελείων συνεστῶτα καὶ τῶν κατ' ἀρετὰς πράξεων οὐδ' ὄναρ ἴσασι,
τῷ δὲ τυφλῷ προσέπταισαν, ἐφ' οὗ σκηριπτόμενοι κατ' ἀναγκαῖον τὴν
ἄγουσαν ὁδὸν οὐχ ὁρῶντες εἰς ἀνοδίας ἐκτρέπονται, θαυμάζοντες τὰ μηδε-
μιᾶς ἄξια σπουδῆς καὶ τὰ φύσει τίμια γελῶντες· οἷς ὁ ἱερὸς λόγος ὅρκον
ἐν οὐ δέοντι καιρῷ ποιουμένοις οὐ μετρίως ἐπιτιμᾷ καὶ ὀνειδίζει· δυσ-
κάθαρτοι γὰρ καὶ δυσίατοι, ὡς μηδὲ παρὰ θεῷ τῷ τὴν φύσιν ἵλεῳ
συγγνώμης ἀξιοῦσθαι.

(6.) Παρθένων δὲ καὶ γυναικῶν τὸ περὶ τὰς εὐχὰς αὐτοκρατὲς 24
ἀφείλετο, τῶν μὲν παρθένων τοὺς πατέρας κυρίους, τῶν δὲ γυναικῶν
τοὺς ἄνδρας ἐπιγνώμονας ἀποφήνας εἴς τε βεβαίωσιν τῶν ὅρκων καὶ
λύσιν· καὶ μήποτ' εἰκότως· αἱ μὲν γὰρ διὰ νεότητα δύναμιν ὅρκων οὐκ
ἴσασιν, ὡς χρῄζειν τῶν ἐπικρινούντων, αἱ δὲ πολλάκις ὑπ' εὐχερείας
ὀμνύουσιν, ἃ μὴ τοῖς ἀνδράσι συνοίσει· διόπερ αὐτοῖς ἀνέθηκε τὴν
ἐξουσίαν τοῦ τὰ ὁμοσθέντα φυλάττειν ἢ τοὐναντίον. χῆραι δὲ μὴ ῥᾳδίως 25
ὀμνύτωσαν — οὐ γὰρ ἔχουσι τοὺς παραιτητάς, οὔτε ἄνδρας ὧν διεζεύ-
χθησαν οὔτε πατέρας ἀφ' ὧν μετανέστησαν, ὅτε τὴν πρὸς γάμον ἀποικίαν
ἐστέλλοντο —, ἐπειδὴ μένειν τοὺς τούτων ὅρκους ἀναγκαῖον ἐρημίᾳ τῶν

1 εὐθηνίας, εὐπορίας R: εὐσθενείας, εὐπορίας F (v), εὐετηρίας, εὐθηνίας M (Tisch.) 2 καὶ ἀταμιεύτως χαριζόμενοι om. M 3 tit. περὶ παρθένων καὶ γυναικῶν μεθ' ὅρκου τι ἐπαγγειλαμένων καὶ ἀταμιεύτως χαριζομένων (sic) hoc loco add. mg M καὶ τὰ RF: τὰ om. M (Tisch.) 4 πλάνῳ τινὶ τύχης] πλανῶνται εὐχῆς M 5 περιηκόντων] περὶ οὐκ ὄντων M ἐξ] ὑπ' F (Turn.) 7 τυφλῷ] τύφῳ M ἐφ' ᾧ F (Turn.) κατ' ἀναγκαίων F 8 ἀνοδίας RM (Tisch.): ἀνοδίαν F (v) θαυμάζονται F 9 σπουδῆς RM (Tisch.): τιμῆς F (v) 10 καιρῷ om. M (Tisch.) 10. 11 δυσκάθαρτοι RM: δυσκατόρθωτοι F (Turn.) 13 αὐτοκράτορες M 14 ἀφείλατο R, ἀφείλαντο M παρθένων R: om. MF 15 ἐπιγνώμονας R: om. MF ἀποφήναντες M εἴς τε M (Tisch.): τε om. RF (v) τῶν ὅρκων M (Tisch.): τῶν om. RF 16 post λύσιν add. τῆς μὲν πατρός, τῆς δὲ ἀνδρὸς εἶναι F (v), om. RM (Tisch.) μήποτ' codd.: μήτ' L, μὴν v διὰ νεότητα RF: παρθένοι M (Tisch.) 17 τὰ τῶν M ὑπ' RM (Tisch.), ὑπὸ F[2]: ὑπὲρ F[1]L (v) 18 αὐταῖς M 19 τοῦ om. M (Tisch.) ὁμοσθέντα Tisch.: νομισθέντα RF (v), ὀνομασθέντα M; ὁρισθέντα coni. Mang. φυλάττειν RM (Tisch.): διαφυλάττειν F (v) ῥᾳδίως RF: ταχέως M (Tisch.) 20 οὔτ' ἄνδρας F 21 τὴν om. M 22 ἠρεμίᾳ M

13 Num. 30,4 sqq. 19 Num. 30,10.

26 χηδομένων βεβαιουμένους. ἐὰν δέ τις | ἐπιορκοῦντά τινα εἰδὼς μὴ κατα- p. 275 I
μηνύσῃ ἢ ἀπελέγξῃ φιλίᾳ ἢ αἰδοῖ ἢ φόβῳ διδοὺς πλέον ἢ εὐσεβείᾳ, τοῖς
αὐτοῖς ἐπιτιμίοις ἔνοχος ἔστω· διαφέρει γὰρ τοῦ ἀδικεῖν οὐδὲν τὸ συν-
27 επιγράφεσθαι ἀδικοῦντι. δίκαι δὲ κατ' ἐπιόρκων αἱ μὲν ἀνάκεινται τῷ
θεῷ, αἱ δὲ ἀνθρώποις, θεῷ μὲν αἱ ἀνωτάτω καὶ μέγισται — ἵλεως γὰρ
οὐ γίνεται τοῖς οὕτως ἀσεβοῦσιν, ἀλλὰ μένειν εἰς ἀεὶ δυσκαθάρτους ἐᾷ,
δικαίως, οἶμαι, καὶ προσηκόντως· ὁ γὰρ ἀμελήσας τί δεινὸν εἰ ἀνταμελη-
28 θήσεται, οἷς δίδωσι τὰ ἴσα καρπούμενος; — αἱ δ' ἀπ' ἀνθρώπων διά-
φοροι, θάνατος ἢ πληγαί, τῶν μὲν ἀμεινόνων καὶ περιττῶν εἰς εὐσέβειαν
θανάτου δίκας βεβαιούντων, τῶν δὲ μαλακώτερον χρωμένων ὀργαῖς
δημοσίᾳ μάστιγι τυπτόντων ἀναφανδὸν ἐν κοινῷ· εἰσὶ δὲ καὶ πληγαὶ τοῖς
μὴ δουλοπρεπέσιν οὐκ ἔλαττον δίκης θανάτου.
29 (7.) Ταῦτα μὲν οὖν αἱ ῥηταὶ προστάξεις περιέχουσιν. ἔστι δὲ καὶ
ἀλληγορῆσαι τὰ περὶ τὸν τόπον ἔχοντα θεωρίαν τὴν διὰ συμβόλων.
εἰδέναι τοίνυν προσήκει ὅτι ὁ τῆς φύσεως ὀρθὸς λόγος πατρὸς ὁμοῦ καὶ
ἀνδρὸς ἔχει δύναμιν, ἐπινοίαις διαφόροις· ἀνδρὸς μέν, ἐπειδὴ τὸν ἀρετῶν
σπόρον ὥσπερ εἰς ἀγαθὴν ἄρουραν τὴν ψυχὴν καταβάλλεται, πατρὸς δ'
ὅτι βουλὰς ἀγαθὰς καὶ πράξεις καλὰς καὶ σπουδαίας γεννᾶν πέφυκε καὶ
γεννήσας ἐκτρέφει ποτίμοις δόγμασιν, ἃ παιδεία καὶ σοφία χορηγοῦσι.
30 διάνοια δ' ἀπεικάζεται τοτὲ μὲν παρθένῳ, τοτὲ δὲ γυναικὶ ἢ χηρευούσῃ
ἢ ἀνδρὶ ἔτι ἡρμοσμένῃ· παρθένος μὲν διάνοια ἁγνὴν καὶ ἀδιάφθορον
διαφυλάττουσα ἑαυτὴν ἀπό τε ἡδονῶν καὶ ἐπιθυμιῶν, ἔτι δὲ καὶ λυπῶν

---

1 τιν' F   4 δίκαι δὲ κατ' ἐπιόρκων RF: αἱ δὲ κατ' ἐπιόρκων δίκαι M (Tisch.)   4. 5 τῷ θεῷ RM (Tisch.): θεῷ F (v)   5 δ' F   ἀνώτατοι F; ἀνώταται Turn.   ἵλεω F   6 ἀσεβοῦσιν RM (Tisch.): ἀσεβήσασιν F (v)   εἰς ἀεὶ R, εἰς αἰεὶ M (Tisch.): εἰς om. F (v)   7 ἀμελήσας R: ἀμελὴς MF   8. 9 διάφοροι R, διάφ▤[θ]οροι F: διάφθοροι L, διαφοραὶ (sic) M   9 τῶν μὲν (μὲν om. R) ἀμεινόνων καὶ περιττῶν RM: τούτων μὲν ἀμείνω καὶ περὶ τῶν F (Turn.)   12 ἐλάττους coni. Mang., ἐλάττων δίκη Wendl.   13 δὲ καὶ RM (Tisch.): καὶ om. F (v)
14 τὸν τόπον RM: τῶν τόπων F   post θεωρίαν add. κατὰ ἀναγωγὴν M (Tisch.)
15 προσήκει ὅτι RF: ἐχρῆν ὅτι M (Tisch.), προσήκει (om. ὅτι) L (v)   16 ἐπινοίαις RF: ἐπὶ ἐννοίαις M (Tisch.)   16. 17 τὸν ἀρετῶν σπόρον R (sic correxerat Tisch.): τῶν ἀρετῶν σπόρον F (v), τὸν ἀέρα τὸν[ῶν] σπόρον[ων] M   19 χορηγοῦσαι M
20 διάνοια] διαδίδοται· ἃ M   δὲ R   ποτὲ μὲν . . . ποτὲ δὲ M
21 παρθένος RM: παρθένῳ F (v)   μὲν RF: μὲν οὖν M (Mang. Tisch.)
21. 22 διάνοια . . . διαφυλάττουσα RM: διανοίας . . . διαφυλαττούσῃ F; διανοίας διαφυλαττούσης Turn.   22 τῶν ἡδονῶν F   ἔτι δὲ καὶ R: καὶ om. MF

---

1 Lev. 5,1.

καὶ φόβων, ἐπιβούλων παθῶν, ἧς τὴν προστασίαν ὁ γεννητὴς ἀνῆπται
πατήρ· τῆς δ' ὡς γυναικὸς ἀστείῳ λόγῳ τῷ κατ' ἀρετὴν συμβιούσης
τὴν ἐπιμέλειαν ὁ αὐτὸς λόγος οὗτος ἐπαγγέλλεται σπείρων ἀνδρὸς τρόπον
ἐννοίας ἀρίστας. ἣ δ' ἂν ἀπορφανισθῇ ψυχὴ καὶ γενεᾶς τῆς κατὰ τὴν 31
φρόνησιν καὶ ἐπιγαμίας τῆς κατὰ τὸν ὀρθὸν λόγον, χηρεύουσα τῶν
καλλίστων καὶ ἔρημος οὖσα σοφίας, ὑπαίτιον ἑλομένη ζωήν, ἔνοχος ἔστω
οἷς ἔγνω καθ' ἑαυτῆς, ἰατρὸν ἁμαρτημάτων οὐκ ἔχουσα οὔθ' ὡς ἄνδρα
συμβιωτὴν οὔθ' ὡς πατέρα γεννητὴν τὸν κατὰ σοφίαν λόγον.

(8.) Τῶν δὲ μὴ μόνον τὰς οὐσίας ἢ μέρη τούτων ἀλλὰ καὶ αὐτοὺς 32
ἀνάθημα ποιησαμένων ἐν εὐχαῖς ὥρισε τιμάς, οὐ πρὸς κάλλος ἢ μέγεθος
276 M. ἤ τι τῶν ὁμοιοτρόπων ἀπιδών, | ἀλλὰ πρὸς ἀριθμὸν ἴσον, διακρίνας ἄνδρας
αὐτὸ μόνον γυναικῶν καὶ νηπίους τελείων. κελεύει γὰρ ἀπὸ μὲν εἰκο- 33
σαετίας ἄχρις ἑξηκονταετίας ἀνδρὸς εἶναι τιμὴν δραχμὰς διακοσίας νομί-
σματος ὁλαργύρου, γυναικὸς δὲ εἴκοσι πρὸς ταῖς ἑκατόν, ἀπὸ δὲ πενταε-
τίας ἄχρις εἰκοσαετίας τοῦ μὲν ἄρρενος δραχμὰς ὀγδοήκοντα, τῆς δὲ
θηλείας τεσσαράκοντα, ἀπὸ δὲ βρέφους εἰς πενταετίαν τοῦ μὲν ἄρρενος
δραχμὰς εἴκοσι, τοῦ δὲ θήλεος δώδεκα, τῶν δ' ὑπὲρ ἑξήκοντα ἔτη
βεβιωκότων πρεσβυτῶν μὲν δραχμὰς ἑξήκοντα, πρεσβυτίδων δὲ τεσσαρά-
κοντα. τὰ δ' ἴσα καὶ ἐπ' ἀρρένων καθ' ἡλικίαν ἑκάστην καὶ ἐπὶ θηλειῶν 34
ὁμοίως διετάξατο, τριῶν ἕνεκα τῶν ἀναγκαιοτάτων· ἑνὸς μὲν ὅτι ἴσον
ἐστὶ καὶ ὅμοιον τὸ ἀξίωμα τῆς εὐχῆς, ἐάν τε ὑπὸ μεγάλου τινὸς ἐάν
τε καὶ ὑπ' εὐτελοῦς γίνηται· δευτέρου δ' ὅτι τοὺς εὐξαμένους ἁρμόττον
οὐκ ἦν ταῖς τῶν ἀνδραπόδων ὑποβάλλεσθαι τύχαις — ἐκεῖνα γὰρ πρὸς

---

1 ἐπιβουλῶν M ἧς F: ὧν RM γεννητὴς RF: γενέτης M (Tisch.) 2 γυναικὸς codd.: γυναικὸς ἀστείας v 3 λόγος οὗτος Tisch.: λόγος οὕτως M, οὗτος λόγος RF (v) 4. 5 τὴν φρόνησιν M (Tisch.): τὴν om. RF (v) 5 ὀρθὸν om. M 7 οἷς RM: ἧς F (Turn.) αὑτῆς M ἰατρὸν] παραιτητὴν coni. Mang. οὔθ'] οὐδ' M 8 οὔθ'] οὐδ' M 9 tit. περὶ τῶν ἑαυτοὺς ἀναθέντων add. mg M ἢ om. M αὐτοὺς F, ἑαυτοὺς M (Tisch.) 10 ἀνάθεμα M (Tisch.) 12 αὐτὸ μόνον RF: ἀπὸ μόνων M (Tisch.) 14 δὲ R: δ' MF 14. 15 πεντετίας F 15 δραχμὰς ὀγδοήκοντα R (Mang.): π' δραχμάς M (Tisch.), δραχμὰς om. F (Turn.) 16 μ' M 17 δραχμὰς RM: om. F (Turn.) κ' M θήλεως F ιβ' M ξ' M 18 δραχμὰς RM (Tisch.): om. F (v) ξ' M 18. 19 μ' M 19 ἐπὶ ἀρρένων F 20 διετάξατο RM (Tisch.): διέταξε F (v) 21 ἐάν τε R, ἐάν θ' F: ἐάν τε καὶ M (Tisch.) 21. 22 ἐάν τε καὶ ὑπ'] ἢ τὸ δοκεῖν M 22 ὑπὸ F γίγνηται R, γένηται M (Tisch.) δευτέρου v: δεύτερον codd. (Tisch.) τοὺς om. M

---

12 Lev. 27, 2 sqq.

τὰς τῶν σωμάτων εὐεξίας καὶ εὐμορφίας τιμᾶται ἢ τοὐναντίον ἐπευωνί-
ζεται —· τρίτου δ' ὃ καὶ ἀναγκαιότατον, ὅτι παρὰ μὲν ἡμῖν ἀνισότης,
ἰσότης δὲ παρὰ θεῷ τίμιον.
35 (9.) Ταῦτα μὲν ἐπ' ἀνθρώπων, ἐπὶ δὲ κτηνῶν τάδε νομοθετεῖται·
ἐάν τις ἀφορίσῃ κτῆνος, εἰ μὲν εἴη καθαρὸν ἔκ τινος γένους τῶν τριῶν,
ἅπερ εἰς θυσίαν ἀπενεμήθη, βοῦς ἢ πρόβατον ἢ αἴξ, ἐκεῖνο καταθυέτω
μὴ ὑπαλλαττόμενος μήτε χεῖρον κρείττονος μήτ' ἄμεινον χείρονος· οὐ
γὰρ πολυσαρκίᾳ καὶ πιότητι ζῴων χαίρει ὁ θεός, ἀλλ' ἀνυπαιτίῳ τοῦ
εὐξαμένου διαθέσει· ἐὰν δὲ ὑπαλλάττηται, δύο ἀνθ' ἑνὸς καθιερούτω, τό
36 τε ἀρχαῖον καὶ τὸ ἀντ' ἐκείνου. ἐὰν δέ τις εὔξηταί τι τῶν μὴ καθαρῶν
κτηνῶν, ἀγέτω πρὸς τὸν δοκιμώτατον τῶν ἱερέων· ὁ δὲ τιμάσθω μὴ
ὑπερβάλλων τὴν ἀξίαν, προσεπιτιθεὶς τῆς τιμῆς καὶ τὸ πέμπτον, ἵν', εἰ
δέοι καθαρὸν ἀντὶ τούτου ζῷον ἱερουργεῖν, μηδὲν ὑστερίζοι τῆς ἀξίας
τιμῆς, καὶ ἄλλως ὑπὲρ τοῦ δυσωπῆσαι τὸν εὐξάμενον, ὅτι τὴν εὐχὴν
ἐποιήσατο οὐ συλλογισμῷ, τὸ μὴ καθαρὸν ζῷον ὥς γ' οἶμαι τότε
νομίσας εἶναι καθαρὸν πλάνῳ διανοίας, κεκρατημένος ὑπὸ πάθους.
37 οἰκία δ' εἰ γένοιτο ἀνάθημα, πάλιν ἐχέτω τιμητὴν ἱερέα· οἱ δ' ὠνού-
μενοι μὴ τὰ ἴσα κατατιθέτωσαν, ἀλλ' εἰ μὲν ὁ εὐξάμενος ἀνακομίζεσθαι
προέλοιτο, ἐπιδαψιλευέσθω τὸ πέμπτον, κολάζων τὴν εὐχέρειαν καὶ ἐπι-
θυμίαν, διττὸν κακόν, ἐν οἷς μὲν ηὔχετο τὴν εὐχέρειαν, | ἐν οἷς δ' ἐφίεται p. 277
ὧν πρότερον ἐξέστη τὴν ἐπιθυμίαν, εἰ δ' ἕτερος, μηδὲν πλέον τῆς ἀξίας
38 κατατιθέτω. ὁ δ' εὐξάμενος μὴ μακροὺς ἐμποιείτω χρόνους πρὸς τὴν
ὧν ηὔξατο τελείωσιν· ἄτοπον γὰρ τὰς μὲν πρὸς ἀνθρώπους ὁμολογίας

1 τιμᾶται R: om. MF 1. 2 ἐπευωνίζεται RM (Tisch.): προσεπευωνίζονται F (v) 2 τρίτου v: τρίτον codd. (Tisch.) δ] ἔτι M (Tisch.) 4 tit. περὶ κτηνῶν ἀφορισθέντων θεῷ add. mg M περὶ ἀνθρώπων F (Turn.) τάδε RM: ταῦτα F (v) νομοθετεῖται RF: νενομοθέτηται M (Tisch.) 7 μήτε χεῖρον] μὴ τὸ χεῖρον M 8 ζῴων om. M ὁ om. M 9 δ' F 10 τ' F εὔξηται RM: εὕρηται F (Turn.) 12 προσεπιτιθεὶς R: προσεπιθεὶς MF καὶ ante τῆς τιμῆς transp. M (Tisch.) 13 ἀντὶ τούτου ζῷον RM: ἀντὶ τοῦ ζώου F, ἀντὶ ζώου L (Turn.) ὑστερίζοι RMF (Tisch.): ὑστερίζῃ L (v) 14 τὸν om. Tisch. 15 ὥς γ' F: ὥς τ' M, ὡς R τότε M (Tisch.): τοῦτο RF (v) 16 εἶναι καθαρὸν RM: om. F (Turn.) κεκρατημένος RF: κεκρατημένης M (Tisch.) ὑπὸ πάθος (sic) F 17 tit. περὶ οἰκίας ἀνατεθείσης add. mg M ἀνάθεμα F 18 τὰ ἴσα μὴ transp. R κατατιθέσθωσαν M (Tisch.) 19 κολάζον M (Tisch.) 20 διττὸν κακόν RM: διττῶν κακῶν F (Turn.) 21 πλεῖον M (Tisch.) 22 κατατιθέσθω M (Mang. Tisch.) ποιείτω M 23 τελείωσιν RM: τελείωσιν ἢ τίμησιν F (v)

5 Lev. 27,9sqq. 17 Lev. 27,14. 15.

ἐπιτέμνειν πειρᾶσθαι, τὰς δὲ πρὸς θεὸν τὸν ἀνεπιδεᾶ καὶ οὐδενὸς χρεῖον ἐκπροθέσμους ἀποφαίνειν, μελλήσει καὶ βραδυτῆτι διελέγχοντας αὐτοὺς ἐπὶ τῷ μεγίστῳ τῶν ἀδικημάτων, ὀλιγωρίᾳ τῇ πρὸς αὐτόν, οὗ τὴν θεραπείαν ἀρχὴν καὶ τέλος εὐδαιμονίας εἶναι νομιστέον. ὅρκων μὲν δὴ πέρι καὶ εὐχῶν ἅλις.

Περὶ ἑβδόμης.

(1.) Ἑξῆς ἐστι κεφάλαιον τὸ περὶ τῆς ἱερᾶς ἑβδόμης, ᾧ μυρία 39
καὶ ἀναγκαῖα ἐμφέρεται, τὰ εἴδη τῶν ἑορτῶν, αἱ τῶν φύσει μὲν ἐλευ-
θέρων διὰ δὲ καιροὺς ἀβουλήτους θητευόντων καθ' ἕβδομον ἐνιαυτὸν
ἀφέσεις, αἱ πρὸς χρεώστας τῶν συμβαλλόντων φιλοφροσύναι τὰ δάνεια
ἑβδόμῳ ἔτει τοῖς ὁμοφύλοις χαριζομένων, αἱ ἀνάπαυλαι τῆς βαθυγείου
πεδιάδος τε καὶ ὀρεινῆς, αἳ γίνονται παρ' ἑξαετίαν, τὰ περὶ τοῦ πεντη-
κοστοῦ ἔτους νομοθετηθέντα· ὧν καὶ ἡ ἄνευ κόπου ψιλὴ διήγησις
ἱκανὴ τοὺς μὲν εὐφυεῖς τελειῶσαι πρὸς ἀρετήν, τοὺς δ' ἀφηνιαστὰς καὶ
σκληροὺς τὸ ἦθος εὐπειθεστέρους ἀπεργάσασθαι. τὰ μὲν οὖν περὶ τῆς 40
ἐν ἀριθμοῖς ἑβδόμης εἴρηται διὰ μακροτέρων πρότερον, ἥν τε ἔχει φύσιν
ἐν δεκάδι καὶ ἣν συγγένειαν πρός τε αὐτὴν δεκάδα καὶ πρὸς τετράδα,
278 M. τὴν δεκάδος ἀρχήν τε καὶ πηγήν, καὶ ὡς συντεθεῖσα μὲν ἀπὸ μονάδος
ἑξῆς γεννᾷ τὸν ὀκτὼ καὶ εἴκοσι τέλειον ἀριθμὸν τοῖς αὐτοῦ μέρεσιν
ἰσούμενον, εἰς δ' ἀναλογίαν ἀχθεῖσα κύβον ὁμοῦ καὶ τετράγωνον ἀποτελεῖ,
καὶ ὡς μυρία ἄλλα κάλλη θεωρημάτων ἐξ αὐτῆς ἐπιδείκνυται, περὶ ὧν
οὐ καιρὸς μακρηγορεῖν. ἕκαστον δὲ τῶν προκειμένων καὶ ἐμφερομένων
εἰδῶν ἐπισκεπτέον, ἀπὸ τοῦ πρώτου τὴν ἀρχὴν ποιησαμένους. ἦν δὲ
πρῶτον τὸ περὶ ἑορτῶν.

---

1 χρεῖον RF: χρήζοντα M (Tisch.) 2 μελήσει F αὐτοὺς MF 4 εὐδαιμονίας om. M. 5 ἅλις: desinit L (Turn.) 6 tit. περὶ ἑβδόμης mg R mg M: περὶ τῆς ἑβδόμης F 7 ἑξῆς ἐστι RM: ἑξῆς δ' ἐστὶ F (v) ἑβδόμης M: ἑβδομάδος RF 8 τὰ εἴδη RM: εἴδη F (v) 9 δὲ om. F ἐνιαυτῶν M 10 φιλοφροσύναι R: φιλανθρωπίαι MF 11 τῆς] τοῦ M 12 παρὰ M 12. 13 ἑξηκοστοῦ M 13 ἡ om. M κόπου RM (Tisch.): σκοποῦ F (v) 14 πρὸς ἀρετήν codd.: πρὸς om. in textu Hoesch. δ' codd. (Tisch.): δὲ v 15 ἀπεργάσασθαι codd.: ἀπεργάζεσθαι in textu Hoesch. 16 ἑβδόμης] ἑβδομάδος voluit Mang. ἥν τ' F, ἥν τε γὰρ M 17 τ' F 19 η' καὶ κ' F αὑτοῦ RM (αὑτοῦ scripsi): αὐτοῖς F 20 ἰσούμενον R: ἴσον MF δ' RM: om. F (v) ἀχθεῖσα] αὐξηθεῖσα coni. Mang. 21 μυρί' F ἐξ αὐτῆς codd. (v) 24 τὸ om. Hoesch. περὶ ἑορτῶν RM (Tisch.): περὶ τῶν ἑορτῶν F (v)

Περὶ τῶν δέκα ἑορτῶν.

41 (2.) Εἰσὶ τοίνυν ἀριθμῷ δέκα ἑορταί, ἃς ἀναγράφει ὁ νόμος· πρώτη μέν, ἣν ἀκούσας θαυμάσαι τις ἂν ἴσως, αὕτη δ' ἐστὶν ἡμέρα πᾶσα· δευτέρα δὲ ἡ δι' ἓξ ἡμερῶν ἑβδόμη, σάββατον αὐτὴν Ἑβραῖοι πατρίῳ γλώττῃ καλοῦσι· τρίτη δ' ἡ μετὰ σύνοδον τὴν κατὰ σελήνην νέαν νουμηνία· τετάρτη δ' ἡ τῶν διαβατηρίων, ἣ καλεῖται Πάσχα· πέμπτη δ' ἡ τῶν ἀσταχύων ἀπαρχή, τὸ ἱερὸν δράγμα· ἕκτη δ' ἄζυμα· μεθ' ἣν ἡ τῶν ἑβδομάδων ὄντως ἑβδόμη· ὀγδόη δὲ ἱερομηνία· ἐνάτη δὲ νηστεία· δεκάτη δὲ ἡ τῶν σκηνῶν, ἥτις ἐστὶ τῶν ἐτησίων ἑορτῶν συμπέρασμα, εἰς τέλειον ἀριθμὸν δεκάδα τελευτῶσα. ἀρκτέον δὲ ἀπὸ τῆς πρώτης.

42 (3.) Ἅπασαν ἡμέραν ἑορτὴν ἀναγράφει ὁ νόμος πρὸς τὸν ἀνεπίληπτον βίον ἁρμοζόμενος ὁσίων ἀνθρώπων ἑπομένων τῇ φύσει καὶ τοῖς ταύτης διατάγμασι. καὶ εἴ γε μὴ παρευημέρησαν αἱ κακίαι καταδυναστεύσασαι τοὺς περὶ τῶν συμφερόντων λογισμοὺς οὓς τῆς ἑκάστων ψυχῆς ἐξῴκισαν, ἀλλ' ἔμειναν αἱ τῶν ἀρετῶν δυνάμεις εἰς ἅπαν ἀήττητοι, μία ἂν ἦν ὁ ἀπὸ γενέσεως ἄχρι τελευτῆς χρόνος ἀδιάστατος ἑορτὴ καὶ

---

1 tit. περὶ τῶν δέκα ἑορτῶν mg M (Tisch.): περὶ τῶν ἑορτῶν ὡς εἰσὶ τὸν ἀριθμὸν δέκα F (v), tit. om. R 3 πρώτη] πρῶτον F ἣν—ἐστὶν om. Nicet. θαυμάσοι M 4 δευτέρα δ' F, δὲ om. Nicet. ἡ δι' ἓξ (R?)F Nicet.: ἤδη κ, (sic) M; ἡ ἐξ Hoesch. in textu Ἑβραῖοι om. Nicet. 5 καλοῦσι πατρίῳ γλώττῃ transp. Nicet. ἡ μετὰ] ἡμέρα M μετὰ—νέαν (6) om. Nicet. κατὰ σελήνην R ut vid.: κατά τινα σελήνην F (v), κατά τινας σελήνην M; καθ' ἑκάστην σελήνην coni. Mang. 6 νέαν] καὶ νέαν M νουμηνία R Nicet.: νουμηνίαν M, νεομηνίαν F (Hoesch.) τετάρτη δ' ἡ M: τετάρτη δὲ (om. ἡ) F, ἡ δὲ τετάρτη ἡ R ut vid., τετάρτῃ Nicet. δ' om. Nicet. 7 δράχμα F (Hoesch. in textu) δ' om. Nicet. 8 ἡ τῶν M Nicet. (Tisch.): ἡ τῆς τῶν F (v), ἡ τῶν om. R δὲ R: δ' MF, om. Nicet. ἐνάτη RF Nicet.: ἐννάτη M (v) 9 δεκάτη δὲ RM, δεκάτη δ' F: καὶ δεκάτη Nicet. ἐστὶ τῶν RM Nicet. (Tisch.): ἐστὶν ἡ τῶν F (v) ἐτησίων] δημοσίων M 10 εἰς—τελευτῶσα om. Nicet. ἀριθμὸν om. M tit. πρώτην ἑορτὴν ἂν (i. e. ἀναγράφει) πᾶσαν ἡμέραν add. M (in textu) δὲ RM: δ' F 12 ἅπασαν μὲν ἡμέραν R 13 ὁσίων scripsi: ὡς τῶν codd.; τὸν τῶν coni. Mang. 15 τοὺς] καὶ τοὺς M (Tisch.) τῶν om. R οὓς om. M (Tisch.) 16 ἔμειναν ἂν M 17 μία ἄρα ἦν M ὁ om. M (Tisch.) χρόνου M (Tisch.)

2—12 Nicetae Catena in Lucam (ad verba 22,1 ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη Πάσχα) Φίλωνος: εἰσὶ δὲ παρ' Ἰουδαίοις ἑορταὶ ἀριθμῷ δέκα, ἃς ἀναγράφει ὁ νόμος — ἅπασαν ἡμέραν ἑορτὴν ἀναγράφει ὁ νόμος.

αἵ τε οἰκίαι καὶ αἱ πόλεις ἐν ἀδείᾳ καὶ ἐκεχειρίᾳ μεσταὶ πάντων ἂν
ἦσαν ἀγαθῶν εὐδίαν ἄγουσαι πραγμάτων. νυνὶ δ' αἱ πλεονεξίαι καὶ 43
ἀντεπιθέσεις, ἃς ἄνδρες ὁμοῦ καὶ γυναῖκες μηχανῶνται κατά τε αὑτῶν
καὶ κατ' ἀλλήλων, τὸ συνεχὲς τῆς ἱλαρᾶς διέκοψαν εὐθυμίας. ἐμφανὴς
279 M. δὲ τοῦ λεγομένου πίστις. ὅσοι γὰρ ἢ παρ' Ἕλλησιν | ἢ παρὰ βαρβάροις 44
ἀσκηταὶ σοφίας εἰσὶν ἀνεπιλήπτως καὶ ἀνυπαιτίως ζῶντες, μήτε ἀδικεῖσθαι μήτε ἀνταδικεῖν αἱρούμενοι, τὰς τῶν φιλοπραγμόνων ὁμιλίας ἐκτρέπονται καὶ τὰ χωρία, ἐν οἷς ποιοῦνται τὰς διατριβάς, προβέβληνται, δικαστήρια καὶ βουλευτήρια καὶ ἀγορὰς καὶ ἐκκλησίας καὶ συνόλως ὅπου
τις τῶν εἰκαιοτέρων ἀνθρώπων θίασος ἢ σύλλογος, οἷα βίον ἀπόλεμον 45
καὶ εἰρηναῖον ἐζηλωκότες, θεωροὶ τῆς φύσεως καὶ τῶν ἐν αὐτῇ πάντων ἄριστοι, γῆν καὶ θάλατταν καὶ ἀέρα καὶ οὐρανὸν καὶ τὰς ἐν αὐτοῖς φύσεις διερευνώμενοι, σελήνῃ καὶ ἡλίῳ καὶ τῇ χορείᾳ τῶν ἄλλων ἀστέρων πλανήτων τε καὶ ἀπλανῶν ταῖς διανοίαις συμπεριπολοῦντες, τὰ μὲν σώματα κάτω πρὸς χέρσον ἱδρυμένοι, τὰς δὲ ψυχὰς ὑποπτέρους κατασκευάζοντες, ὅπως αἰθεροβατοῦντες τὰς ἐκεῖ δυνάμεις περιαθρῶσιν, οἷα χρηστοὶ τῷ ὄντι κοσμοπολῖται γενόμενοι, οἳ τὸν μὲν κόσμον ἐνόμισαν εἶναι πόλιν, πολίτας δὲ τοὺς σοφίας ὁμιλητάς, ἀρετῆς ἐγγραφούσης, ᾗ
πεπίστευται τὸ κοινὸν πολίτευμα πρυτανεύειν. (4.) γέμοντες οὖν καλο- 46
κἀγαθίας καὶ τῶν περὶ σῶμα κακῶν καὶ τῶν ἐκτὸς ἀλογεῖν ἐθιζόμενοι καὶ ἐξαδιαφορεῖν τὰ ἀδιάφορα μελετῶντες καὶ κατὰ τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἀλειφόμενοι καὶ συνόλως ἐπάνω τῶν παθῶν ἵστασθαι σπουδάζοντες ἀεὶ καὶ τὸν ἐπιτειχισμὸν αὐτῶν πάσῃ δυνάμει καθαιρεῖν παιδευόμενοι καὶ ταῖς τῆς τύχης μὴ καμπτόμενοι προσβολαῖς διὰ τὸ προεκλελογίσθαι τὰς ἐπιθέσεις αὐτῆς — ἐπικουφίζει γὰρ καὶ τὰ βαρύτατα

---

1 τ' F (v) ἐκκεχειρία F 2 νυνὶ δ' αἱ (R?)F: νυνὶ δὲ (om. αἱ) M 3 ἀντιθέσεις M κατά τε αυτων R: κατά θ' ἑαυτῶν F (v), καθ' ἑαυτῶν M (Tisch.) 5 πίστις (R?)M: ἡ πίστις F (v) 6. 7 μήτε ἀδικεῖσθαι R: μήτ' ἀδικεῖν F (v), om. M 7 μήτε ἀνταδικεῖν R (coni. Mang.): μήτ' ἀντιδικεῖν M, μήτ' ἀνδικεῖν F (Hoesch. in textu) 7. 8 ἐκτρέπονται scripsi: ἐκτρεπόμενοι codd. (v) 8 καὶ τὰ RM (Tisch.): καὶ κατὰ F (v) προβέβληται M 10 οἷα om. M 12 αὐτοῖς] αὐτῇ M 15 ἱδρυμένοι] ἱδρυόμενοι coni. Mang. 16 ἐκεῖ RM (Tisch.): ἄνω F (v) 17 χρηστοὶ ... κοσμοπολῖται γενόμενοι Mang.: χρηστοὺς ... κοσμοπολίτας (κοσμοποιήτας F) γενομένους codd. 18 εἶναι RM (Tisch.): om. F (v) σοφίας] τῆς σοφίας M (Tisch.) 19 πεπίστευται RF mg M: πιστεύεται M in textu 20 κακῶν R: om. MF (v) τῶν ἐκτὸς R (coni. Mang.): τῶν om. MF (v)

21 τὰ διάφορα M 24 τύχης Mang. (Tisch.): ψύγῆς (sic; τ suprascr.) M, ψυχῆς RF καμπτόμενοι RM (Tisch.): καθαπτόμενοι F (v) 24. 25 προεκλελογίσθαι Tisch.: προεκλελογῆσθαι R, προεκλελογεῖσθαι M, προσεκλελογῆσθαι F (v)

Περὶ τῶν δέκα ἑορτῶν.

41 (2.) Εἰσὶ τοίνυν ἀριθμῷ δέκα ἑορταί, ἃς ἀναγράφει ὁ νόμος· πρώτη μέν, ἣν ἀκούσας θαυμάσαι τις ἂν ἴσως, αὕτη δ' ἐστὶν ἡμέρα πᾶσα· δευτέρα δὲ ἡ δι' ἓξ ἡμερῶν ἑβδόμη, σάββατον αὐτὴν Ἑβραῖοι πατρίῳ γλώττῃ καλοῦσι· τρίτη δ' ἡ μετὰ σύνοδον τὴν κατὰ σελήνην νέαν νουμηνία· τετάρτη δ' ἡ τῶν διαβατηρίων, ἣ καλεῖται Πάσχα· πέμπτη δ' ἡ τῶν ἀσταχύων ἀπαρχή, τὸ ἱερὸν δράγμα· ἕκτη δ' ἄζυμα· μεθ' ἣν ἡ τῶν ἑβδομάδων ὄντως ἑβδόμη· ὀγδόη δὲ ἱερομηνία· ἐνάτη δὲ νηστεία· δεκάτη δὲ ἡ τῶν σκηνῶν, ἥτις ἐστὶ τῶν ἐτησίων ἑορτῶν συμπέρασμα, εἰς τέλειον ἀριθμὸν δεκάδα τελευτῶσα. ἀρκτέον δὲ ἀπὸ τῆς πρώτης.

42 (3.) Ἅπασαν ἡμέραν ἑορτὴν ἀναγράφει ὁ νόμος πρὸς τὸν ἀνεπίληπτον βίον ἁρμοζόμενος ὁσίων ἀνθρώπων ἑπομένων τῇ φύσει καὶ τοῖς ταύτης διατάγμασι. καὶ εἴ γε μὴ παρευημέρησαν αἱ κακίαι καταδυναστεύσασαι τοὺς περὶ τῶν συμφερόντων λογισμοὺς οὓς τῆς ἑκάστων ψυχῆς ἐξῴκισαν, ἀλλ' ἔμειναν αἱ τῶν ἀρετῶν δυνάμεις εἰς ἅπαν ἀήττητοι, μία ἂν ἦν ὁ ἀπὸ γενέσεως ἄχρι τελευτῆς χρόνος ἀδιάστατος ἑορτὴ καὶ

1 tit. περὶ τῶν δέκα ἑορτῶν mg M (Tisch.): περὶ τῶν ἑορτῶν ὡς εἰσὶ τὸν ἀριθμὸν δέκα F (v), tit. om. R 3 πρώτη] πρῶτον F ἣν—ἐστὶν om. Nicet. θαυμάσοι M 4 δευτέρα δ' F, δὲ om. Nicet. ἡ δι' ἓξ (R?)F Nicet.: ἤδη κ, (sic) M; ἡ ἐξ Hoesch. in textu Ἑβραῖοι om. Nicet. 5 καλοῦσι πατρίῳ γλώττῃ transp. Nicet. ἡ μετὰ] ἡμέρα M μετὰ—νέαν (6) om. Nicet. κατὰ σελήνην R ut vid.: κατά τινα σελήνην F (v), κατά τινας σελήνην M; καθ' ἑκάστην σελήνην coni. Mang. 6 νέαν] καὶ νέαν M νουμηνία R Nicet.: νουμηνίαν M, νεομηνίαν F (Hoesch.) τετάρτη δ' ἡ M: τετάρτη δὲ (om. ἡ) F, ἡ δὲ τετάρτη ἡ R ut vid., τετάρτῃ Nicet. δ' om. Nicet. 7 δράχμα F (Hoesch. in textu) δ' om. Nicet. 8 ἡ τῶν M Nicet. (Tisch.): ἡ τῆς τῶν F (v), ἡ τῶν om. R δὲ R: δ' MF, om. Nicet. ἐνάτη RF Nicet.: ἐννάτη M (v) 9 δεκάτη δὲ RM, δεκάτη δ' F: καὶ δεκάτη Nicet. ἐστὶ τῶν RM Nicet. (Tisch.): ἐστὶν ἡ τῶν F (v) ἐτησίων] δημοσίων M 10 εἰς—τελευτῶσα om. Nicet. ἀριθμὸν om. M tit. πρώτην ἑορτὴν ἀν (ᾱ) (i. e. ἀναγράφει) πᾶσαν ἡμέραν add. M (in textu) δὲ RM: δ' F 12 ἅπασαν μὲν ἡμέραν R 13 ὁσίων scripsi: ὡς τῶν codd.; τὸν τῶν coni. Mang. 15 τοὺς] καὶ τοὺς M (Tisch.) τῶν om. R οὓς om. M (Tisch.) 16 ἔμειναν ἂν M 17 μία ἄρα ἦν M ὁ om. M (Tisch.) χρόνου M (Tisch.)

2—12 Nicetae Catena in Lucam (ad verba 22,1 ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη Πάσχα) Φίλωνος: εἰσὶ δὲ παρ' Ἰουδαίοις ἑορταὶ ἀριθμῷ δέκα, ἃς ἀναγράφει ὁ νόμος — ἅπασαν ἡμέραν ἑορτὴν ἀναγράφει ὁ νόμος.

αἵ τε οἰκίαι καὶ αἱ πόλεις ἐν ἀδείᾳ καὶ ἐκεχειρίᾳ μεσταὶ πάντων ἂν ἦσαν ἀγαθῶν εὐδίαν ἄγουσαι πραγμάτων. νυνὶ δ' αἱ πλεονεξίαι καὶ 43 ἀντεπιθέσεις, ἃς ἄνδρες ὁμοῦ καὶ γυναῖκες μηχανῶνται κατά τε αὐτῶν καὶ κατ' ἀλλήλων, τὸ συνεχὲς τῆς ἱλαρᾶς διέκοψαν εὐθυμίας. ἐμφανὴς
179 M. δὲ τοῦ λεγομένου πίστις. ὅσοι γὰρ ἢ παρ' Ἕλλησιν | ἢ παρὰ βαρβάροις 44 ἀσκηταὶ σοφίας εἰσὶν ἀνεπιλήπτως καὶ ἀνυπαιτίως ζῶντες, μήτε ἀδικεῖσθαι μήτε ἀνταδικεῖν αἱρούμενοι, τὰς τῶν φιλοπραγμόνων ὁμιλίας ἐκτρέπονται καὶ τὰ χωρία, ἐν οἷς ποιοῦνται τὰς διατριβάς, προβέβληνται, δικαστήρια καὶ βουλευτήρια καὶ ἀγορὰς καὶ ἐκκλησίας καὶ συνόλως ὅπου τις τῶν εἰκαιοτέρων ἀνθρώπων θίασος ἢ σύλλογος, οἷα βίον ἀπόλεμον 45 καὶ εἰρηναῖον ἐζηλωκότες, θεωροὶ τῆς φύσεως καὶ τῶν ἐν αὐτῇ πάντων ἄριστοι, γῆν καὶ θάλατταν καὶ ἀέρα καὶ οὐρανὸν καὶ τὰς ἐν αὐτοῖς φύσεις διερευνώμενοι, σελήνῃ καὶ ἡλίῳ καὶ τῇ χορείᾳ τῶν ἄλλων ἀστέρων πλανήτων τε καὶ ἀπλανῶν ταῖς διανοίαις συμπεριπολοῦντες, τὰ μὲν σώματα κάτω πρὸς χέρσον ἱδρυμένοι, τὰς δὲ ψυχὰς ὑποπτέρους κατασκευάζοντες, ὅπως αἰθεροβατοῦντες τὰς ἐκεῖ δυνάμεις περιαθρῶσιν, οἷα χρηστοὶ τῷ ὄντι κοσμοπολῖται γενόμενοι, οἳ τὸν μὲν κόσμον ἐνόμισαν εἶναι πόλιν, πολίτας δὲ τοὺς σοφίας ὁμιλητάς, ἀρετῆς ἐγγραφούσης, ᾗ πεπίστευται τὸ κοινὸν πολίτευμα πρυτανεύειν. (4.) γέμοντες οὖν καλο- 46 κἀγαθίας καὶ τῶν περὶ σῶμα κακῶν καὶ τῶν ἐκτὸς ἀλογεῖν ἐθιζόμενοι καὶ ἐξαδιαφορεῖν τὰ ἀδιάφορα μελετῶντες καὶ κατὰ τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἀλειφόμενοι καὶ συνόλως ἐπάνω τῶν παθῶν ἵστασθαι σπουδάζοντες ἀεὶ καὶ τὸν ἐπιτειχισμὸν αὐτῶν πάσῃ δυνάμει καθαιρεῖν παιδευόμενοι καὶ ταῖς τῆς τύχης μὴ καμπτόμενοι προσβολαῖς διὰ τὸ προεκλελογίσθαι τὰς ἐπιθέσεις αὐτῆς — ἐπικουφίζει γὰρ καὶ τὰ βαρύτατα

---

1 τ' F (v) ἐκκεχειρία F 2 νυνὶ δ' αἱ (R?) F: νυνὶ δὲ (om. αἱ) M 3 ἀντιθέσεις M κατά τε αυτων R: κατά θ' ἑαυτῶν F (v), καθ' ἑαυτῶν M (Tisch.) 5 πίστις (R?) M: ἡ πίστις F (v) 6. 7 μήτε ἀδικεῖσθαι R: μήτ' ἀδικεῖν F (v), om. M 7 μήτε ἀνταδικεῖν R (coni. Mang.): μήτ' ἀντιδικεῖν M, μήτ' ἀνδικεῖν F (Hoesch. in textu) 7. 8 ἐκτρέπονται scripsi: ἐκτρεπόμενοι codd. (v) 8 καὶ τὰ RM (Tisch.): καὶ κατὰ F (v) προβέβληται M 10 οἷα om. M 12 αὐτοῖς] αὐτῇ M 15 ἱδρυμένοι] ἱδρυόμενοι coni. Mang. 16 ἐκεῖ RM (Tisch.): ἄνω F (v) 17 χρηστοὶ . . . κοσμοπολῖται γενόμενοι Mang.: χρηστοὺς . . . κοσμοπολίτας (κοσμοποιήτας F) γενομένους codd. 18 εἶναι RM (Tisch.): om. F (v) σοφίας] τῆς σοφίας M (Tisch.) 19 πεπίστευται RF mg M: πιστεύεται M in textu 20 κακῶν R: om. MF (v) τῶν ἐκτὸς R (coni. Mang.): τῶν om. MF (v)

21 τὰ διάφορα M 24 τύχης Mang. (Tisch.): ψύχῆς (sic) M, ψυχῆς RF καμπτόμενοι RM (Tisch.): καθαπτόμενοι F (v) 24. 25 προεκλελογίσθαι Tisch.: προεκλελογῆσθαι R, προεκλελογεῖσθαι M, προσεκλελογῆσθαι F (v)

τῶν ἀβουλήτων ἡ πρόληψις, καινὸν οὐδὲν ἔτι τῆς διανοίας τῶν συμβαι-
νόντων ὑπολαμβανούσης, ἀλλ' ὡς ἐπὶ παλαιοῖς καὶ ἑώλοις ἀμαυρὰν τὴν
ἀντίληψιν ποιουμένης —, εἰκότως ἐνευφραινόμενοι ταῖς ἀρεταῖς ἅπαντά
47 γε τὸν βίον ἑορτὴν ἄγουσιν. οὗτοι μὲν οὖν ὀλίγος εἰσὶν ἀριθμός, ἐμπύ-
ρευμα κατὰ πόλεις ὑποτυφόμενον σοφίας, ἕνεκα τοῦ μὴ κατὰ τὸ παντελὲς
48 σβεσθεῖσαν ἀρετὴν ἐκ τοῦ γένους ἡμῶν ἀφανισθῆναι. εἰ δὲ τοῖς ὀλίγοις
συνεφρόνησαν οἱ πανταχοῦ καὶ ἐγένοντο, οἵους βούλεται εἶναι ἡ φύσις,
ἀνεπίληπτοι καὶ ἀνυπαίτιοι πάντες, ἐρασταὶ φρονήσεως, χαίροντες τῷ
καλῷ δι' αὐτὸ τὸ καλὸν καὶ τοῦτο μόνον ἀγαθὸν ἡγούμενοι, τὰ δ' ἄλλα
πάντα ὑπήκοα καὶ δοῦλα ὡς ἂν ἄρχοντες, εὐδαιμονίας ἂν αἱ πόλεις
ἐγένοντο μεσταί, τῶν μὲν ὅσα λύπης αἴτια καὶ φόβων ἀμέτοχοι, πλήρεις
δὲ τῶν ἀπεργαζομένων χαρὰς καὶ εὐπαθείας, ὡς μηδένα καιρὸν ἐλλείπειν
49 ἱλαροῦ | βίου, πάντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον εἶναι ἑορτήν. (5.) διὸ p. 280
παρ' ἀληθείᾳ δικαζούσῃ τῶν φαύλων οὐδεὶς ἀλλ' οὐδὲ τὸν βραχύτατον
χρόνον ἑορτάζει, συνειδήσει τῶν ἀδικημάτων ἀγχόμενος καὶ τῇ ψυχῇ
κατηφῶν, εἰ καὶ τῷ προσώπῳ μειδιᾶν καθυποκρίνεται. ποῦ γὰρ ἔχει
καιρὸν ἀψευδοῦς εὐφροσύνης κακοβουλότατος ὢν καὶ συζῶν ἀφροσύνῃ
50 καὶ περὶ πάντα ἀκαιρευόμενος, γλῶτταν, γαστέρα, τὰ γεννητικά; δι' ἧς
μὲν γὰρ ἐκλαλεῖ τὰ ἀπόρρητα καὶ ἡσυχαστέα, τὴν δὲ ἀκράτου πολλοῦ
καὶ ἐδεσμάτων ἀμέτρων ἀναπίμπλησιν ὑπὸ λαιμαργίας, τοῖς δὲ κατα-

---

1 πρόσληψις M ἔτι M (Tisch., coni. Mang.): ἐπὶ RF 2 ὑπολαμβανούσης RF: ἐπιλαμβανούσης M (Tisch.); ὑπολαβούσης v 3 εὐφραινόμενοι R ἀρεταῖς] ἑορταῖς ταῖς ἐναρέτοις Nicetae cod. Coisl. 201 4 γε om. M (Tisch.) εἰσὶν M: ἐστὶν RF (Hoesch. in textu) 5 κατὰ om. in lac. M ὑποτυφόμενον scripsi: ὑποτυφόμενοι codd. 7 οἱ πανταχοῦ ⟨πάντες⟩ conicio; l. 8 πάντες fort. delendum ἐγένοντο RM: ἐγένονθ' F βούλεται εἶναι ἡ φύσις R: ἐβούλετ' εἶναι ἡ φύσις M (Tisch.), ἐβούλευθ' ἡ φύσις F; ἐβουλεύθη φύσις v, ἐβουλήθη coni. Mang. 9 ἄλλ' F 10 πάντα R: om. MF (v) ἄρχοντες R: ἄρχοντος MF (Tisch.) 11 ἀμέτοχα M 12 ἐλλείπειν M (Tisch.): ἐπιλείπειν RF (v) 13 ἱλαροῦ codd. (Tisch.): τοῦ ἱλαροῦ v 14 οὐδὲ εἷς M (Tisch.) 15 ἀγχόμενος F: ἐχόμενος M, ἀντεχόμενος R ut vid. καὶ RM (Tisch.): κἂν F (v) 15. 16 τῇ ψυχῇ κατηφῶν M (κατηφῶν scripsi, κατηφιῶν Tisch.): τῇ ψυχῇ καὶ τῇ φωνῇ RF (v) 16 εἰ καὶ M (Tisch.): εἰ om. RF (v) καθυποκρίνεται R: καθυποκρίνοιτο MF (v) 17 συζῶν] ζῶν M 18 πάντ' F ἀκαιρούμενος R (fort. recte) 19 γὰρ RM (Tisch.): om. F (v) ἐκλαλεῖ RM (Tisch.): ἐκάλει F[1], ἐκβάλλει F[2] (v) δ' F 20 ὑπὸ] ἀπὸ M

---

3. 4 pergit Nicetas l. l.: καὶ ὅσοι (γε) ἀνυπαιτίως ζῶσιν, εἰκότως ἐνευφραινόμενοι ταῖς ἀρεταῖς ἅπαντά γε τὸν βίον ἑορτὴν ἄγουσι.

χρῆται πρὸς ἐκνομωτάτους οἴστρους καὶ μίξεις ἀθέσμους, οὐ μόνον
ἀλλοτρίοις γάμοις ἐπιμεμηνώς, ἀλλὰ καὶ παιδεραστῶν καὶ βιαζόμενος
τὸν ἄρρενα τῆς φύσεως χαρακτῆρα παρακόπτειν καὶ μεταβάλλειν εἰς
γυναικόμορφον ἰδέαν ἕνεκα τοῦ μεμιασμένῳ καὶ ἐπαράτῳ πάθει χαρί-
σασθαι. δι' ἣν αἰτίαν ὁ πάντα μέγας Μωυσῆς τὰς ὑπερβολὰς τοῦ περὶ 51
τὴν ὄντως ἑορτὴν κάλλους ἰδὼν τελειοτέραν ἢ κατ' ἀνθρωπίνην φύσιν
ὑπέλαβεν εἶναι καὶ ἀνέθηκεν αὐτὴν θεῷ φήσας κατὰ λέξιν οὕτως·
„ἑορταὶ κυρίου" (Lev. 23,2)· τὸ γὰρ ἐπίλυπον καὶ περιδεὲς τοῦ ἡμετέρου 52
γένους λογιζόμενος καὶ ὡς ἔστι μυρίων κακῶν μεστόν, ἃ γεννῶσι μὲν
αἱ ψυχῆς πλεονεξίαι, γεννῶσι δὲ καὶ αἱ σώματος κῆρες, προσβάλλουσι
δὲ αἱ τῆς τύχης ἀνωμαλίαι καὶ τῶν συνόντων αἱ ἀντεπιθέσεις μυρία
κακὰ δρώντων τε καὶ πασχόντων, εἰκότως ἐθαύμαζεν, εἰ δύναταί τις ἐν
τοσούτῳ πελάγει πραγμάτων ἑκουσίων τε καὶ ἀκουσίων φερόμενος καὶ
μηδέποτ' ἠρεμῆσαι οἷός τε ὢν μηδ' ἀκινδύνῳ βίῳ μετ' ἀσφαλείας ἐνορ-
μίσασθαι τὴν μὴ λεγομένην ἀλλὰ πρὸς ἀλήθειαν οὖσαν ὄντως ἄγειν
ἑορτήν, ἐνευφραινόμενος καὶ ἐντρυφῶν θεωρίᾳ τε τοῦ κόσμου καὶ τῶν
ἐν αὐτῷ καὶ ἀκολουθίᾳ φύσεως καὶ ἁρμονίᾳ πρὸς ἔργα λόγων καὶ πρὸς
λόγους ἔργων. ὅθεν ἀναγκαίως εἶπε τὰς ἑορτὰς εἶναι μόνου θεοῦ· 53
μόνος γὰρ εὐδαίμων καὶ μακάριος, παντὸς μὲν ἀμέτοχος κακοῦ, πλήρης
δ' ἀγαθῶν τελείων, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, αὐτὸς ὢν τὸ
ἀγαθόν, ὃς οὐρανῷ καὶ γῇ τὰ κατὰ μέρος ὤμβρησεν ἀγαθά. παρὸ καὶ 54

---

1 πρὸς] εἰς M (Tisch.) post ἀθέσμους add. ὃς R, ὁ F (v), om. M (Tisch.) 2 ἐπιμεμηνώς RF: ἐπιμαινόμενος M (Tisch.) παιδεραστῶν R: παιδοσπορῶν MF; παιδοφθορῶν coni. Mang. (Tisch.) 4 πάθει καὶ ἐπαράτω transp. M (Tisch.) 5 αἰτίαν om. R μωσῆς F Nicet. 6 τὴν] τῶν M ἢ om. R κατὰ Nicet. 7 αὐτὴν codd. Nicet.: αὐτῷ v 8 ἐπίλυπον R (Tisch., coni. Mang.): ἐπίλοιπον MF (v) ἐπιδεὲς M 10 δὲ καὶ αἱ R: δ' αἱ F (v), δὲ (om. καὶ αἱ) M κῆραι F 11 δὲ R: δ' MF τύχης Mang.: ψυχῆς codd. 12 εἰκότως M (Tisch.): εἶθ' οὕτως RF (v) 13 φερόμενος R: φορούμενος MF (v) 14 τ' F μετ' ἀσφαλείας] μεταμελείας M 14. 15 ἐνορμίσασθαι (ἡ suprascr.) M 15 ὄντως ἄγειν om. M 19 παντὸς . . . κακοῦ RM (Tisch.): πάντων . . . κακοῦ (sic) F; πάντων . . . κακῶν v 20. 21 τὸ ἀγαθόν RF: τἀγαθόν M (Tisch.) 21 τὰ om. M ὤμβρησεν R: ὤμβρισεν MF (v); ἐπώμβρησεν coni. Mang. (ἐπώμβρισεν Tisch.)

5—16 pergit Nicetas l. l.: διὸ Μωσῆς τὰς ὑπερβολὰς — ἑορταὶ κυρίου (8), ὡς τοῦ ἡμετέρου γένους οὐχ οἵου τε ὄντος τὴν μὴ λεγομένην ἀλλὰ πρὸς ἀλήθειαν οὖσαν ὄντως ἄγειν ἑορτήν (15. 16), reliqua om.

τῶν πάλαι τις ἀρετῶσα διάνοια, γαληνιασάντων αὐτῇ τῶν παθῶν, ἐνεμειδίασε χαρᾶς ἐγκύμων καὶ ὑπόπλεως γενομένη· καὶ λογισαμένη παρ' αὐτῇ, μή ποτ' ἄρα τὸ μὲν χαίρειν ἴδιόν ἐστι μόνου θεοῦ, αὐτὴ δὲ διαμαρτάνει σφετεριζομένη τὰς ὑπὲρ ἄνθρωπον εὐπαθείας, εὐλαβεῖταί τε
55 καὶ τὸν ψυχικὸν | γέλωτα ἀρνεῖται μέχρι τοῦ παρηγορηθῆναι· τὸ γὰρ p. 281
δέος αὐτῆς ἐπικουφίζει ὁ ἵλεως θεὸς χρησμῷ κελεύσας ὁμολογεῖν, ὅτι ἐγέλασεν, ἵν' ἡμᾶς ἀναδιδάξῃ, ὅτι οὐ κατὰ τὸ παντελὲς ἐστέρηται τὸ γενητὸν χαρᾶς, ἀλλ' ἔστιν ἡ μὲν ἀμιγὴς καὶ ἀκραιφνεστάτη, μηδὲν τῶν τῆς ἐναντίας ἐπιδεχομένη φύσεως, ἐξαίρετος θεοῦ, ἡ δ' ἀπ' ἐκείνης ῥυεῖσα μικτή, βραχέσιν ἀνακεκραμένη λυπηροῖς, ἀνδρὸς ἤδη σοφοῦ δωρεὰν μεγίστην λαβόντος τὴν τοιαύτην μῖξιν, ἐν ᾗ πλείω τὰ ἡδέα τῶν ἀηδῶν ἀνακέκραται. ταῦτα μὲν ἐπὶ τοσοῦτον.
56 (6.) Μετὰ δὲ τὴν συνεχῆ καὶ ἀδιάστατον καὶ διαιωνίζουσαν ἑορτὴν ἄγεται δευτέρα ἡ δι' ἓξ ἡμερῶν ἱερὰ ἑβδόμη· ἣν οἱ μὲν ὠνόμασαν παρθένον εἰς τὴν ὑπερβάλλουσιν ἁγνείαν ἀπιδόντες αὐτῆς, οἱ δὲ αὐτοὶ καὶ ἀμήτορα, σπαρεῖσαν ἐκ μόνου τοῦ πατρὸς τῶν ὅλων, ἰδέαν τῆς ἄρρενος γενεᾶς, ἀμέτοχον τῆς πρὸς γυναικῶν· ἀνδρειότατος γὰρ καὶ ἀλκιμώτατος ὁ ἀριθμός, πρὸς ἀρχὴν καὶ ἡγεμονίαν εὖ πεφυκώς· ἔνιοι δὲ αὐτὴν καιρὸν προσηγόρευσαν ἀπὸ τῶν αἰσθητῶν τεκμηράμενοι τὴν
57 νοητὴν αὐτῆς οὐσίαν. ὅσα γὰρ τῶν ἐν αἰσθητοῖς ἄριστα, δι' ὧν αἱ

---

1 ἀρετῶσα (sup. η) διάνοία (sic) M; ἀρετώσῃ διανοίᾳ Tisch. διάνοια] οἷα (sic) R αὐτῇ om. M (Tisch.) 2 ἐνεμειδίασεν R: ἐμειδία MF (v) 3 αὐτῇ F, ἑαυτῇ M (Tisch.) ἴδιόν ἐστι μόνου RF: μόνον ἐστὶν ἴδιον M (Tisch.) αὕτη M 3. 4 διαμαρτάνῃ F 4. 5 τε καὶ F (Tisch.), γε καὶ R: καὶ M; δὲ καὶ v 5 ἀρνεῖται δὲ R 5. 6 τὸ δέος γὰρ Tisch. 6 ὁ ἵλεως ἐπικουφίζει transp. M (Tisch.) 8 γενητὸν RM (Tisch., coni. Mang.): γεννητικὸν F (v) 9 τῆς ἐναντίας] ἐξ ἐναντίας R ἐξαιρέτως voluit Mang. 10 οὐ βραχέσιν male Mang. 12 μὲν RM: μὲν οὖν F (v) 13 tit. περὶ σαββάτου add. mg M ἀδιάσπαστον N alt. καὶ om. Mang. 14 ἡ δι' ἓξ] ἤδη· ς' M 15 ἀειπάρθενον coni. Mang. ἐπιδόντες Hoeschelii cod. Boicus (Monac. 113) αὐτῆς om. M δὲ R: δ' MF 16 ἀμήτορες N 18 ἡ ἀλκιμωτάτη N ὁ om. M (Tisch.) πρὸς ἀρχὴν καὶ ἡγεμονίαν εὖ πεφυκώς RM: εὖ πεφυκὼς πρὸς ἀρχὴν καὶ ἡγεμονίαν FN (v) 19 δὲ R: δ' MFN τεκμαιρόμενοι M (Tisch.)

1sqq. Gen. 18,12—15 13—101,20 N fol. 161v: μετὰ—ὑπομένουσιν.
13sqq. pergit Nicetas l. l.: μετὰ μέντοι τὴν συνεχῆ ταύτην ἑορτὴν ἄγεται δευτέρα ἡ δι' ἓξ ἡμερῶν ἱερὰ ἑβδόμη (14), ἡ τοῦ κόσμου γενέθλιος (101,11), ἐν ᾗ προστέτακται πάντων ἀνέχειν ἔργων, οὐχ ἐπειδὴ ῥᾳθυμίας ὁ νόμος εἰσηγητής, ἀεὶ γὰρ πρὸς πόνον ἀλείφει (101,13—14), ἀλλ' ἵνα—ἐνεργείας (101,16—18).

ἐτήσιοι ὧραι καὶ τῶν καιρῶν αἱ περίοδοι τεταγμένως ἀποτελοῦνται,
μετέσχηκεν ἑβδομάδος, λέγω δὲ πλάνητας ἑπτὰ καὶ ἄρκτον καὶ πλειάδα
καὶ σελήνης αὐξομένης τε καὶ μειουμένης ἀνακυκλήσεις καὶ τῶν ἄλλων
τὰς ἐναρμονίους καὶ παντὸς λόγου κρείττους περιφοράς. Μωυσῆς δὲ ἀπὸ 58
σεμνοτέρου πράγματος ἐκάλεσεν αὐτὴν συντέλειαν καὶ παντέλειαν, ἑξάδι
μὲν τὴν γένεσιν τῶν τοῦ κόσμου μερῶν ἀναθείς, ἑβδομάδι δὲ τὴν τελεί-
ωσιν. ἑξὰς μὲν γὰρ ἀρτιοπέριττος ἀριθμός, ἐκ τοῦ δὶς τρία παγείς,
ἔχων ἄρρενα μὲν τὸν περιττόν, θῆλυν δὲ τὸν ἄρτιον, ἐξ ὧν εἰσιν αἱ
γενέσεις κατὰ φύσεως θεσμοὺς ἀκινήτους. ἑβδομὰς δὲ ἀμιγέστατος καὶ 59
φῶς, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἑξάδος· ἃ γὰρ ἐγέννησεν ἑξάς, ταῦθ' ἑβδομὰς
τελεσφορηθέντα ἐπεδείξατο. παρὸ καὶ γενέθλιος τοῦ κόσμου δεόντως ἂν
προσαγορεύοιτο, καθ' ἣν τὸ τοῦ πατρὸς ἔργον τέλειον ἐκ τελείων μερῶν
ἀνεφάνη, ἐν ᾗ προστέτακται πάντων ἀνέχειν ἔργων, οὐχ ἐπειδὴ ῥᾳθυμίας 60
ὁ νόμος εἰσηγητής — ἀεὶ γὰρ ἐθίζει κακοπαθεῖν καὶ πρὸς πόνον ἀλείφει
καὶ τοὺς ἀργεῖν καὶ σχολάζειν ἐθέλοντας προβέβληται, διείρηται γοῦν
282 M. | ἓξ ἡμέρας ἐνεργεῖν —, ἀλλ' ἵνα τοὺς συνεχεῖς καὶ ἀτρύτους πόνους
χαλάσῃ καὶ τὰ σώματα μεμετρημέναις ἀνέσεσιν ἀνακτησάμενος καινώσῃ
πάλιν πρὸς τὰς αὐτὰς ἐνεργείας· οἱ γὰρ διαπνεύσαντες, οὐχ ἰδιῶται μόνον
ἀλλὰ καὶ ἀθληταί, ῥώμην συλλέγονται καὶ ἀπὸ κραταιοτέρας δυνάμεως
ἀνυπερθέτως ἕκαστα τῶν πρακτέων τλητικῶς ὑπομένουσι. προστάξας 61
μέντοι μὴ διαπονεῖν τοῖς σώμασι κατὰ τὰς ἑβδόμας ἐφῆκε τὰς ἀμείνους
πράξεις ἐπιτελεῖν· αὗται δ' εἰσὶν αἱ διὰ λόγων καὶ δογμάτων τῶν κατ'
ἀρετήν· προτρέπει γὰρ φιλοσοφεῖν τότε βελτιοῦντας τὴν ψυχὴν καὶ τὸν

---

1 ἀποτελοῦνται RM: ἐπιτελοῦνται FN (v)   2 μετεσχηκέναι (sic) R   πλανήτας ς' (sic) M   πλειάδα R: πλειάδας MFN (v)   3 αὐξουμένης FN (Hoesch. Mang.)   ἀνακυκλώσεις M (Tisch.)   4 διαφοράς M   μωσῆς FN   δ' F   9 ἀνικήτους M   δ' F   11 τελεσφορηθέντ' FN   13 ἀνεφάνη RM: ἀναφανὲν FN (v)   ἐν ᾗ προστέτακται πάντων ἀνέχειν ἔργων Nicet.: ἐν ᾗ om. et post ἔργων add. ἐν αὐτῇ codd. (v)   ἀνέχειν] ἂν ἔχειν M; ἀπέχειν Tisch.   ἔργον M   14 αἰεὶ M (Tisch.)   15 ἐθέλοντας RM (Tisch.): θέλοντας FN (v)   διήρηται N   γοῦν] γὰρ N   16 ς' M   ἀτρήτους N   17 κενωση (sic, αι superscr.) R, κενώσῃ MN   18 διαπνεύσαντες codd. (Tisch.): ἀναπνεύσαντες v (Hoesch. in textu)   20 πρακτέων] vel δρᾶν addendum vel παθητέων reponendum censuit Mang.   21 ἑβδόμας Mang. (Nicetas?): ἑβδομάδας codd.   ἐφῆκε] ἔφη καὶ M   23 προτρέπειν M   τότε βελτιοῦντας] τὸ βελτιοῦν M (Tisch.)

---

16 Exod. 20,9. 23,12. 35,2. Deut. 5,13.   20—23 pergit Nicetas l. l.: προστάξας μέντοι μὴ διαπονεῖν τοῖς σώμασι κατὰ τὰς ἑβδόμας (sic cod. Mon. 33) ἐφῆκε τὰς ἀμείνους πράξεις ἐπιτελεῖν τὰς διὰ λόγων καὶ δογμάτων τῶν κατ' ἀρετήν.

62 ἡγεμόνα νοῦν. ἀναπέπταται γοῦν ταῖς ἑβδόμαις μυρία κατὰ πᾶσαν πόλιν
διδασκαλεῖα φρονήσεως καὶ σωφροσύνης καὶ ἀνδρείας καὶ δικαιοσύνης καὶ
τῶν ἄλλων ἀρετῶν, ἐν οἷς οἱ μὲν ἐν κόσμῳ καθέζονται σὺν ἡσυχίᾳ τὰ ὦτα
ἀνωρθιακότες μετὰ προσοχῆς πάσης ἕνεκα τοῦ διψῆν λόγων ποτίμων, ἀνα-
στὰς δέ τις τῶν ἐμπειροτάτων ὑφηγεῖται τὰ ἄριστα καὶ συνοίσοντα, οἷς ἅπας
63 ὁ βίος ἐπιδώσει πρὸς τὸ βέλτιον. ἔστι δ' ὡς ἔπος εἰπεῖν τῶν κατὰ μέρος
ἀμυθήτων λόγων καὶ δογμάτων δύο τὰ ἀνωτάτω κεφάλαια, τό τε πρὸς
θεὸν δι' εὐσεβείας καὶ ὁσιότητος καὶ τὸ πρὸς ἀνθρώπους διὰ φιλανθρω-
πίας καὶ δικαιοσύνης· ὧν ἑκάτερον εἰς πολυσχιδεῖς ἰδέας καὶ πάσας
64 ἐπαινετὰς] τέμνεται. ἐξ ὧν δῆλόν ἐστιν, ὅτι Μωυσῆς] οὐδένα καιρὸν
ἀπράκτους ἐᾷ τοὺς χρωμένους αὐτοῦ ταῖς ἱεραῖς ὑφηγήσεσιν· ἀλλ' ἐπειδὴ
συνέστημεν ἐκ ψυχῆς καὶ σώματος, ἀπένειμε καὶ τῷ σώματι τὰ οἰκεῖα
ἔργα καὶ τῇ ψυχῇ τὰ ἐπιβάλλοντα καὶ ἐφεδρεύειν τὰ ἕτερα τοῖς ἑτέροις
ἐσπούδασεν, ἵνα πονοῦντος μὲν τοῦ σώματος ἡ ψυχὴ διαναπαύηται, ἀνα-
παύλῃ δὲ χρωμένου διαπονῇ, καὶ οἱ ἄριστοι τῶν βίων, ὅ τε θεωρητικὸς
καὶ ὁ πρακτικός, ἀμείβωσιν ἀντιπαραχωροῦντες ἀλλήλοις, ὁ μὲν πρακτι-
κὸς λαχὼν ἑξάδα κατὰ τὴν τοῦ σώματος ὑπηρεσίαν, ὁ δὲ θεωρητικὸς
ἑβδομάδα πρὸς ἐπιστήμην καὶ τελειότητα διανοίας.
65 (7.) Ἀπείρηται δὲ κατ' αὐτὴν πῦρ ἐναύειν ὡς | ἀρχὴν καὶ σπέρμα p. 283
τῶν περὶ βίον πραγματειῶν, ἐπειδήπερ ἄνευ πυρὸς οὐδὲν ἔστι τῶν εἰς
τὰς πρὸς τὸ ζῆν ἀναγκαίας χρείας ἐργάσασθαι· ὡς δι' ἑνὸς τοῦ ἀνω-
τάτω] καὶ πρεσβυτάτου τῶν εἰς τὰς τέχνας καὶ μάλιστα τὰς βαναύσους
66 αἰτίου κεκωλῦσθαι καὶ τῶν κατὰ μέρος ὑπηρεσιῶν. ἀλλ' ἔοικε διὰ τοὺς

---

1 γοῦν] γὰρ Nicetas 4 ἀνωρθοκότες M (ἀνωρθωκότες Tisch.) ἁπάσης N 5 ἐμπειροτάτων] ἀριστοτάτων M τ' ἄριστα F, τὰ om. M 7 τ' ἀνωτάτω F τό τε] τά τε M 8 τὸ om. M 10 μωσῆς F 12 συνέστη μὲν F, συνεστήκαμεν Nicetae cod. Mon. 33 τῷ om. M 13 τῇ om. R τὰ ἐπιβάλλοντα RM Nicet. (Tisch.): τὰ om. F (v) 14 ἡ om. R διαναπαύηται ἡ ψυχή transp. M (Tisch.) 15 διαπονεῖ M 16 ὁ πρακτικός Nicet.: ὁ om. codd. (v) 18 πρὸς RM (Tisch.): καὶ πρὸς F (v) 19 κατ' αὐτὴν RM (Tisch.): κατὰ ταύτην F (v) σπέρμα] ὄργανον coni. Mang. 21. 22 τ' ante ἀνωτάτω add. M (Tisch.) ἀνωτάτω RM: ἀνωτάτου F 23 καὶ τὰ τῶν Tisch.

1—16 pergit Nicetas: ἀναπέπανται (sic) γὰρ ταῖς ἑβδόμαις μυρία κατὰ πᾶσαν πόλιν διδασκαλεῖα τῶν ἀρετῶν (3), ὧν δύο τὰ ἀνωτάτω κεφάλαια, τό τε πρὸς θεὸν δι' ὁσιότητος καὶ εὐσεβείας καὶ τὸ πρὸς ἀνθρώπους διὰ φιλανθρωπίας καὶ δικαιοσύνης (7—9)· ἐξ ὧν δῆλόν ἐστιν ὅτι Μωυσῆς — τὰ ἐπιβάλλοντα (10—13), ἵνα οἱ ἄριστοι τῶν βίων, ὅ τε θεωρητικὸς καὶ ὁ πρακτικός, ἀλλήλοις ἀντιπαραχωρῶσιν (15. 16), καὶ πονοῦντος μὲν τοῦ σώματος ἡ ψυχὴ διαναπαύηται, ἀναπαύλῃ δὲ χρωμένου διαπονῇ (14. 15). 3. 4 N fol. 162r: τὰ μὲν ὦτα ἀνωρθιακότες — λόγων ποτίμων. 19 Exod. 35,3.

ἀπειθεστέρους καὶ ἥκιστα προσέχοντας τὸν νοῦν τοῖς προσταττομένοις καὶ τὰ ἄλλα προσνομοθετεῖν, οὐ μόνον ἐλευθέρους ἀνέχειν ἔργων ἀξιῶν ταῖς ἑβδόμαις, ἀλλὰ καὶ θεράπουσι καὶ θεραπαίναις ἐφιείς, ἄδειαν καὶ μόνον οὐκ ἐλευθερίαν δι' ἓξ ἡμερῶν προκηρύττων τούτοις, ἵν' ἀμφοτέρους ἀναδιδάξῃ μάθημα κάλλιστον· τοὺς μὲν δεσπότας αὐτουργεῖν ἐθίζεσθαι, 67
μὴ ἀναμένοντας τὰς ἀπὸ τῶν οἰκετῶν λατρείας καὶ ὑπηρεσίας, ἵν', εἴ τινες ἀβούλητοι καιροὶ κατάσχοιεν κατὰ τὰς τῶν ἀνθρωπείων πραγμάτων μεταβολάς, μὴ τῷ ἀήθει τῆς αὐτουργίας προκάμνοντες τοῖς ἐπιτάγμασιν ἀπαγορεύωσιν, ἀλλ' εὐκινητοτέροις χρώμενοι τοῖς τοῦ σώματος μέρεσιν εὐφόρως καὶ μετὰ ῥαστώνης ἐνεργῶσι, τοὺς δ' οἰκέτας μὴ ἀπογινώσκειν τὰς ἀμείνους ἐλπίδας, ἀλλ' ἔχοντας τὴν δι' ἓξ ἡμερῶν ἄνεσιν ἐμπύρευμά τι καὶ ζώπυρον ἐλευθερίας τὴν εἰς τὸ παντελὲς ἄφεσιν, εἰ διαμένοιεν χρηστοὶ καὶ φιλοδέσποτοι, προσδοκᾶν. ἐκ δὲ τοῦ τοὺς μὲν ἐλευθέρους 68
ὑπομεῖναί ποτε τὰς δούλων ὑπηρεσίας, τοῖς δ' οἰκέταις ἐγγενέσθαι μετασχεῖν ἀδείας, συμβήσεται τὸν τῶν ἀνθρώπων βίον ἐπιδοῦναι πρὸς ἀρετὴν τελειοτάτην, ὑπομιμνῃσκομένων ἰσότητος καὶ ἀντεκτινόντων ἀλλήλοις χρέος ἀναγκαῖον τῶν τε λαμπρῶν εἶναι δοκούντων καὶ τῶν ἀφανεστέρων. ἀλλὰ γὰρ οὐ θεράπουσι μόνον ἐκεχειρίαν ἔδωκεν ὁ νόμος ταῖς ἑβδόμαις, 69
ἀλλὰ καὶ κτήνεσι· καίτοι φύσει θεράποντες μὲν ἐλεύθεροι γεγόνασιν — ἄνθρωπος γὰρ ἐκ φύσεως δοῦλος οὐδείς —, τὰ δ' ἄλογα ζῷα πρὸς τὴν τῶν ἀνθρώπων χρείαν καὶ ὑπηρεσίαν εὐτρεπισθέντα δούλων ἔχει τάξιν· ἀλλ' ὅμως ἀχθοφορεῖν ὀφείλοντα καὶ τοὺς ὑπὲρ τῶν κεκτημένων ὑπομένειν πόνους τε καὶ καμάτους ἀναπαύλας εὑρίσκει ταῖς ἑβδόμαις. καὶ 70

---

1 προσέχοντας] παρεχομένοις (sic) M προσταττομένοις Mang.: πραττομένοις codd. 2 τὰ ἄλλα RM: τἄλλα F νομοθετεῖν M ἀνέχειν] ἀπέχειν Tisch. ἀξίων (sic) M 3 ἐφείς R ut vid. 4 μόνον οὐκ RM: οὐκ om. F προκηρύττων (om. δι') ϛ' ἡμερῶν transp. M 7 ἀνθρωπείων R: ἀνθρωπίνων MF (v) 8 προσκάμνοντες M 10. 11 μὴ ἀπογινώσκοντας M 11 ἓξ om. M 12 ζώπυρον M (Tisch.): ζωπύρημα RF (v) διαμένειεν F 14 ποτε R: τότε M, om. F (v) δούλων] τῶν δούλων M (Tisch.) τοὺς δ' οἰκέτας μετασχεῖν (om. ἐγγενέσθαι) R 15 τὸν δὲ R 16 ἀντεκτιννόντων M; ἀντεκτιννυόντων coni. Tisch. 17 χρέος ἀναγκαῖον] χρείας ἀναγκαίας coni. Mang. 18 ἀλλὰ γὰρ οὐ RM (Tisch.): γὰρ om. F; ἀλλ' οὐ v ἐκκεχειρίαν F ἐν ταῖς ἑβδόμαις Nicet. 19 καίτοι] καὶ μέντοι M (Tisch.) 20 ἄλογα RM (Tisch.): ἄλλα F (v) 21 τῶν om. RM 23 εὑρίσκει R: εὑρίσκεται M (Tisch.), εὑρίσκεσθαι F (v)

---

18. 19 pergit Nicetas: οὐ θεράπουσι δὲ μόνον ἐκεχειρίαν ἔδωκεν ὁ νόμος ἐν ταῖς ἑβδόμαις, ἀλλὰ καὶ κτήνεσι.

τί δεῖ τῶν ἄλλων μεμνῆσθαι; οὐδὲ γὰρ βοῦς πρὸς τὰ ἀναγκαιότατα καὶ
χρησιμώτατα τῶν ἐν τῷ βίῳ γεγονώς, ἄροτον γῆς προετοιμαζομένης
εἰς σποράν καὶ πάλιν δραγμάτων συγκομισθέντων | ἀλοητὸν εἰς καρποῦ p. 284 M
κάθαρσιν, τότε καταζεύγνυται, τὴν τοῦ κόσμου γενέθλιον ἑορτάζων.
οὕτως ἄρα διὰ πάντων τὸ ἱεροπρεπὲς αὐτῆς πεφοίτηκε.
71 (8.) Τοσούτου δ' ἀξιοῖ σεβασμοῦ τὴν ἑβδόμην, ὥστε καὶ ἄλλα
ὁπόσα ταύτης μετέχει τετίμηται παρ' αὐτῷ. κατὰ γοῦν ἕβδομον ἐνιαυ-
τὸν ἀεὶ χρεωκοπίαν εἰσηγεῖται πένησιν ἐπικουρῶν καὶ τοὺς πλουσίους
ἐπὶ φιλανθρωπίαν προκαλούμενος, ἵνα τῶν ἰδίων μεταδιδόντες ἀπόροις
χρηστὰ καὶ περὶ αὐτῶν προσδοκῶσιν, εἰ γένοιτό τι πταῖσμα· πολλὰ δὲ
τὰ ἀνθρώπινα καὶ οὐκ ἐπὶ τῶν αὐτῶν ὁ βίος ὁρμεῖ πνεύματος ἀστάτου
72 τρόπον μεταβάλλων πρὸς τὰ ἐναντία. καλὸν μὲν οὖν τὴν ἀπὸ δανειστῶν
χάριν ἐπὶ πάντας φθάνειν χρεώστας· ἐπεὶ δ' οὐ πάντες πρὸς μεγαλο-
φροσύνην πεφύκασιν, ἀλλ' εἰσὶν ἥττους ἔνιοι χρημάτων ἢ οὐ σφόδρα
73 εὔποροι, καὶ τούτους ἐδικαίωσεν εἰσφέρειν ἃ μὴ λυπήσει διδόμενα. παρὰ
γὰρ τῶν ὁμοεθνῶν εἰσπράττειν οὐκ ἐάσας ἐφῆκε παρὰ τῶν ἄλλων κομί-
ζεσθαι, τοὺς μὲν καλέσας εὐθυβόλως „ἀδελφούς", ἵνα μηδεὶς φθονῇ
τῶν ἰδίων ὡς ἂν ἐκ φύσεως συγκληρονόμοις ἀδελφοῖς, τοὺς δὲ μὴ ὁμο-
εθνεῖς, ὅπερ εἰκός, „ἀλλοτρίους" ὠνόμασεν. ἡ δ' ἀλλοτριότης ἀκοινώνη-
τον, εἰ μὴ καὶ ταύτην τις ὑπερβολαῖς ἀρετῶν μεθαρμόσαιτο πρὸς συγ-
γενικὴν οἰκειότητα· συνόλως γὰρ ἐν ἀρεταῖς ἡ πολιτεία καὶ νόμοις, οἳ

---

1 οὐδὲ] οὔτε M τὰ ἀναγκαιότατα RM: τἀναγκαιότατα F (v) 1. 2 καὶ χρησιμώτατα τῶν ἐν om. M 2 ἄροτον Mang.: ἄροτρον RF, om. M (Tisch.) 3 συγκομισθέντων M (Tisch.): εἰσκομισθέντων RF (v) ἀλοητὸν om. M (Tisch.) 3. 4 εἰς καρποὺς καθαίρειν (sic) M 4 καταζεύγνηται Hoesch. γενέθλιον R: γενέθλιον ἡμέραν F (v), γενομένην ἡμέραν M 5 αὐτῆς] αὐτῶν M πεφοίτηκεν R, πεφοίτηκε M (Tisch.): πεφοίτηται F (v) 6 δ' om. M ἄλλα R: τἄλλα MF Nicet. (v) 7 ὁπόσα ταύτης μετέχει RF Nicet.: ὅσα μετέχει ταύτης M (Tisch.) 8 ἐπικούρων F 9 ἐπὶ] εἰς R προσεπικαλούμενος R 10 περὶ αὐτῶν codd. (αὑτῶν scripsi): παρ' αὐτῶν coni. Hoesch. et Mang. (recepit Tisch.) tit. περὶ τοκιστῶν hoc loco add. mg M δὲ] γὰρ coni. Mang. 11 τὰ ἀνθρώπινα RM: τἀνθρώπινα F 12 τὰ ἐναντία RM: τἀναντία F 14 σφόδρ' F 15 καὶ—εἰσφέρειν om. M 16 ἐφῆκε] ἔφη καὶ M παρὰ τῶν ἄλλων MF: παρ' αὐτῶν R ut vid.; παρὰ τῶν ἀλλοτρίων coni. Mang. (recepit Tisch.) 18 τοῖς ἰδίοις M 19 ὠνόμασεν] ὀνομάσας fort. corrigendum 21 ἐν ἀρεταῖς M (Tisch.): ἐνάρετος F (v), εναν∊ιερωσ (sic) R

6—9 pergit Nicetas: τοσούτου δὲ ἀξιοῖ σεβασμοῦ — προκαλούμενος. 7 Deut. 15,1. 2 16 Deut. 15,3.

μόνον τὸ καλὸν ἀγαθὸν εἰσηγοῦνται. ὑπαίτιον δὲ τὸ δανείζειν ἐπὶ τόκῳ· 74
δανείζεται γάρ τις οὐ περιουσίᾳ ζῶν, ἀλλὰ δηλονότι χρεῖος ὤν, ὃς ἐπα-
ναγκαζόμενος τόκους τοῖς ἀρχαίοις προσαποτίνειν ἀπορώτατος ἐξ ἀνάγκης
ἂν γένοιτο καὶ νομίσας ὠφελεῖσθαι ἔτι βλάπτεται καθάπερ τὰ ὀλιγόφρονα
τῶν ζῴων τῷ παρόντι δελέατι. σοὶ δ' εἴποιμ' ἄν, ὦ δανειστά· τί κοι- 75
νωνίᾳ τρόπον ἀκοινώνητον συσκιάζεις; τί δὲ τῷ μὲν δοκεῖν εἶναι χρηστὸς
καὶ φιλάνθρωπος προσποιῇ, ἐν δὲ τοῖς ἔργοις ἀπανθρωπίαν ἐπιδείκνυσαι
καὶ δεινὴν σκαιότητα, πλείω ὧν ἔδωκας ἀναπράττων καὶ ἔστιν ὅπου
διπλάσιον, πενιχρότερον ἀπεργαζόμενος τὸν πένητα; τοιγάρτοι συναλγεῖ 76
μὲν οὐδείς, ὅταν ὀρεχθεὶς πλειόνων προσσυναποβάλῃς καὶ τὰ ὄντα,
285 M. πάντες | δ' ἐφήδονται τοκογλύφον καὶ ὀβολοστάτην καὶ τὰ τοιαῦτα ὀνο-
μάζοντες, ὡς ἔφεδρον ἀλλοτρίων κακῶν καὶ τὴν ἑτέρων ἀτυχίαν ἰδίαν
κρίνοντα εὐτυχίαν. ἀλλὰ πηρόν, ὡς ἔφη τις, ἡ κακία, καὶ ὁ δανείζων 77
τυφλός, τὸν χρόνον τῆς ἀποδόσεως οὐ βλέπων, ἐν ᾧ μόλις ἢ οὐδ' ὅλως
ὧν ἐκ πλεονεξίας τεύξεσθαι προσεδόκησεν ἐφίξεται. οὗτος μὲν οὖν 78
διδότω δίκας τῆς φιλαργυρίας, ἃ προήκατο μόνα κομιζόμενος, ἵνα μὴ
ἀτυχίας ἀνθρώπων ἐργάζηται προσοδευόμενος ἐξ ὧν οὐ προσῆκεν· οἱ δὲ
χρεῶσται τῆς ἀπὸ τῶν νόμων φιλανθρωπίας ἀξιούσθωσαν, τόκους καὶ
ἐπιτοκίας μὴ τελοῦντες, αὐτὸ δὲ μόνον τὸ ἀρχαῖον ἀποτινύντες· πάλιν

---

1 μόνον τὸ καλὸν RF: τὸ καλὸν μόνοι M (τὸ καλὸν μόνον Tisch.) ἀγαθὸν RF: καὶ ἀγαθὸν M (Tisch.) δὲ om. RM 2 δανείζεται M (Tisch.): δανιεῖται R, δανειεῖται FN; δανεῖται v περιουσία ζῶν RFN: περιουσιάζων M (Tisch.) δηλονότι codd.: δῆλον ὅτι v ὃς Mang.: ὡς RFN, om. M (Tisch.) 3 προσαποτείνειν MF ἀπορώτατος γὰρ N 4 ἂν γένοιτο R: γίνεται MFN (v) ὠφελῆσθαι M ἔτι om. M (Tisch.) ὀλιγόφωνα M 5 τῷ παρόντι δελέατι R: τῷ παρόντι δελεασθείς M (Tisch), τῷ δελέατι τῷ παρόντι FN (v) ἂν εἴποιμ' R 6 τῷ μὲν δοκεῖν RM: λόγῳ μὲν δοκεῖν FN (v) εἶναι χρηστὸς] χρῆ (sic) M 7 καὶ — ἐν δὲ om. M ἐπιδείκνυσαι M (Tisch): ἐπιδεικνύεις R, δεικνύεις FN (v) 8 πλείω RM (Tisch): πλεῖον FN (v) 8. 9 ἔστιν ὅπου διπλάσιον M (Tisch): ἔστιν ὅτε διπλασιάσας RFN (v) 9 πενιχρώτερον R
10 προσσυναποβάλῃς M (Tisch.): προσαποβάλῃς RF (-βάλλῃς v), συναποβάλῃς N
11 δεφειδονται (sic) R 12 ἀλλοτρίων M (Tisch.): ἀνθρωπίνων RFN (v)
13 κρίνοντες FN (Hoesch. in textu) πηρόν Mang.: πονηρόν codd. 14 ἢ οὐδ' ὅλως om. R 16 μόνα κομιζόμενος scripsi (coni. etiam Treitel): μὴ κομιζόμενος RFN (v), μὴ om. M 17 ἐργάζηται RFN: ἐνεργάζηται M (Tisch.)
19 ἀποτιννύντες codd. (Tisch.; ἀποτινύντες scripsi): ἐπιτιννύντες v

---

1 Exod. 22,25. Lev. 25,35—37. Deut. 23,19. 1—19 N fol. 162r: ὑπαίτιον — ἀποτιννύντες. 16 cf. L. Treitel Monatsschr. f. Gesch. u. Wissensch. d. Judent. 47 (1903) p. 401 sq.

γὰρ ἐν καιροῖς τὸν αὐτὸν ἔρανον ἀνταποτίσουσι τοῖς συμβάλλουσιν ἀμει-
βόμενοι ταῖς ἴσαις ὠφελείαις τοὺς χάριτος ἄρξαντας.
79 (9.) Τοιαῦτα διαταξάμενος ἑξῆς ἀναγράφει νόμον ἡμερότητος καὶ
φιλανθρωπίας μεστόν. ἐάν, φησί, πραθῇ σοί τις τῶν ἀδελφῶν, ἓξ ἔτη
80 δουλευέτω, τῷ δὲ ἑβδόμῳ προῖκα ἐλεύθερος ἀφιέσθω. πάλιν „ἀδελφὸν“
τὸν ὁμόφυλον εἶπεν ὑποσπείρων τῇ τοῦ κεκτημένου ψυχῇ διὰ τῆς προσ-
ρήσεως τὴν πρὸς τὸν ὑπήκοον συγγένειαν, ἵνα μὴ ὡς ξένου, πρὸς ὃν
οὐδὲν φίλτρον ἐστὶν εὐνοίας, κατολιγωρῇ, φιλοίκειον δέ τι προπεπονθὼς
πάθος ἐκ διδασκαλίας, ἣν ὁ ἱερὸς λόγος ὑπηχεῖ, μὴ ἀγανακτῇ μέλλοντος
81 ἐλευθεροῦσθαι. τοὺς γὰρ τοιούτους δούλους μὲν ὀνομάζεσθαι συμβέβηκε,
θῆτας δὲ τῷ ὄντι εἶναι τῶν ἀναγκαίων χάριν ὑπηρετοῦντας, κἂν μυριάκις
82 αὐτεξούσιον δυναστείαν καὶ δεσποτείαν ἀπειλῶσί τινες κατ' αὐτῶν· οὓς
τιθασευτέον, ἐπιλέγοντας τὰ χρηστὰ ἐκεῖνα τοῦ νόμου παραγγέλματα·
μισθωτός ἐστιν, ὦ ἄνθρωπε, ὁ λεγόμενος δοῦλος, καὶ αὐτὸς ἄνθρωπος
ὤν, ἔχων πρὸς σὲ τὴν ἀνωτάτω συγγένειαν, ἔπειτα καὶ ἀπὸ τοῦ αὐτοῦ
ἔθνους, τάχα δὲ καὶ φυλέτης καὶ δημότης, ἐνδείας χάριν εἰς τουτὶ τὸ
83 σχῆμα ὑπηγμένος. ἀνελὼν οὖν ἐκ τῆς ψυχῆς ἐπίβουλον κακόν, ἀλαζο-
νείαν, ὡς μισθωτῷ προσφέρου, τὰ μὲν διδούς, τὰ δὲ καὶ λαμβάνων·
παρέξει μὲν οὖν ἐκεῖνος ἀοκνότατα τὰς ὑπηρεσίας ἀεὶ καὶ πανταχοῦ,
μηδὲν ὑπερτιθέμενος, ἀλλὰ φθάνων τὰς σὰς ἐπικελεύσεις τάχει καὶ προ-
θυμίᾳ· σὺ δ' ἀντιδίδου τὰς τροφὰς καὶ ἐσθῆτα καὶ τὴν ἄλλην ἐπιμέλειαν,
μὴ καταζεύξας ὡς ζῷον ἄλογον μηδὲ πλείοσι καὶ βαρυτέροις τῆς δυνά-
μεως ἄχθεσι πιέζων μηδ' ὑβρίζων μηδὲ ἀπειλαῖς καὶ ἐπανατάσεσιν εἰς
| χαλεπὰς δυσθυμίας ἐφελκόμενος, ἀλλ' ἀναχωρήσεις διδοὺς καὶ ἀνέσεις p. 286 M.

4 tit. περὶ πράσεως ἀδελφῶν add. mg M φησί om. R ἐκ τῶν ἀδελφῶν M (Tisch.) 5 δουλευέτω σοι M (Tisch.) δ' F προῖκα RM: προῖκ' F (v) ἀφιέσθω R: ἀφείσθω MF (v) 6 ἐπισπείρων coni. Mang. 7 τὴν om. R τὸν ὑπήκοον RM (Tisch.): τὸ ὑπήκοον F (v) 8 προπεπονθὼς RM (Tisch.): πεπονθὼς F (v) 9 ἱερὸς λόγος] ἱερεὺς M ἀγανάκτεῖ (sic) M 11 θῆτας F: ὄντας (sic) R, μισθωτοὺς M (Tisch.) χάριν] ἕνεκεν M (Tisch.) κἂν R: κἂν εἰ MF (v) 12 ἀπειλῶσι RM (Tisch. „dubitanter quidem“): ἀπίδωσι F (v); ἀποδιδῶσι coni. Mang., tum καθ' αὐτῶν οὓς RM (Tisch.): οὐ F (v) 13 τιθασευτέον R: τιθασσευτέον MF (v) ἐπιλέγοντες M 16 τουτὶ] τοῦτο M 17 ὑπηγμένος codd. (Tisch., coni. Mang.): ἀπηγμένος v (Mon. 113) κακῶν M 19 ἀοκνοτάτους ὑπηρεσίας M αἰεὶ M (Tisch.) 20 σὰς om. M 21 τὰς om. M (Tisch.) 23 μηδὲ R: μηδ' MF (v) ἐπαναστάσεσιν M

4 Exod. 21,2. Deut. 15,12. 14 Lev. 25,39. 40. 22 Lev. 25,43. 46.

μεμετρημένας· τὸ γὰρ „μηδὲν ἄγαν“ ἐπὶ πάντων ἄριστον καὶ μάλιστα
πρὸς οἰκέτας δεσποτῶν. ὑπηρετηθεὶς μέντοι χρόνον αὐταρκέστατον, 84
ἑξαετίαν, ὅταν ὁ ἱερώτατος ἀριθμὸς ἐνίστασθαι μέλλῃ, τὸ ἕβδομον ἔτος,
ἐλεύθερον μεθίεσο τὸν ἐλεύθερον φύσει μηδὲν ἐνδοιάσας, ἀλλ', ὦ γενναῖε,
καὶ γεγηθὼς δίδου τὴν χάριν, ὅτι καιρὸν ἔλαβες τὸ ζῴων ἄριστον,
ἄνθρωπον, ἐν τοῖς μεγίστοις εὐεργετῆσαι· δούλῳ γὰρ οὐκ ἔστι μεῖζον
ἐλευθερίας ἀγαθόν. χαίρων οὖν καὶ προσεπιδαψιλεῦσαί τι τῶν ἰδίων 85
ἀφ' ἑκάστου μέρους τῆς κτήσεως ἐφοδιάσας τὸν εὐεργετηθέντα· σὸν γὰρ
ἐγκώμιον, εἰ μὴ πένης ὢν ἀπαλλάττοιτο τῆς οἰκίας, ἀλλὰ τῶν εἰς τἀναγ-
καῖα ἀφορμῶν εὐπορηκώς, ἵνα μὴ πάλιν ὑπ' ἐνδείας εἰς τὴν ἀρχαίαν
ἀτυχίαν ὑπαχθῇ δουλεύειν ἀναγκασθεὶς διὰ σπάνιν τῶν περὶ δίαιταν καὶ
ἡ σὴ χάρις ἀναιρεθῇ. πενήτων μὲν δὴ πέρι τοσαῦτα.

(10.) Κελεύει δ' ἑξῆς ἀργὴν τὴν χώραν ἐᾶν ἔτει ἑβδόμῳ, διὰ πολλά· 86
πρῶτον μέν, ἵνα τὴν ἑβδομάδα τιμήσῃ κατὰ πάντας χρόνους ἡμερῶν
καὶ μηνῶν καὶ ἐνιαυτῶν· ἑβδόμη τε γὰρ πᾶσα ἡμέρα ἱερά, τὸ καλούμενον
παρ' Ἑβραίοις σάββατον, μηνῶν τε ὁ ἕβδομος κατὰ πᾶν ἔτος ἑορτῶν
ἔλαχε τὴν μεγίστην, ὥστ' εἰκότως καὶ ὁ ἕβδομος ἐνιαυτὸς τοῦ περὶ τὸν
ἀριθμὸν σεβασμοῦ τυχὼν ἐκτετίμηται. δεύτερον δ' ἐκεῖνο· μὴ πάντα, 87
φησίν, ἴσθι τοῦ κέρδους, ἀλλὰ καὶ ἑκὼν ζημίαν ὑπόμεινον, ἵνα καὶ τὴν
ἀκούσιον βλάβην, εἴ ποτε γένοιτο, ῥᾳδίως ἐνέγκῃς, ἀλλὰ μὴ ὡς ἐπὶ

---

1 ἐπὶ πάντων ἄριστον M: ἐπὶ πάντων F (v), ἐπὶ πάντων ἄριστον om. R; ἐστὶ πάντων Tisch. καὶ μάλιστα ⟨ἐν τοῖς⟩ coni. Wendl. 5 τὸ ζῶον (ω superscr.) (sic) ἄριστον M (τὸ ζώων ἄ. Tisch.): τὸ ζῶον ἄριστον R, τὸ ἄριστον ζῶον F (v) 8 ἐφοδιάζων M (Tisch.) τὸν ἐλευθερωθέντα M (Tisch.) 10 ηὐπορηκώς M (Tisch.) 11 ὑπαχθῇ δουλεύειν ἀναγκασθεὶς RF: ἀπαχθεὶς δουλεύειν ὑπαχθῇ M; ὑπαχθεὶς δουλεύειν ἀναγκασθῇ Tisch. 12 πενήτων] προσηλύτων M 13 tit. διὰ τί κελεύει τὴν χώραν ἀργεῖν ἐν ἔτει ἑβδόμῳ add. mg M ἀργὴν τὴν χώραν scripsi: ἄνεργον την χώραν R, ἀργὴν ἀνάροτον τὴν χώραν F, τὴν χώραν ἀργὴν M (Tisch.); ἀργὴν καὶ ἀνάροτον τὴν χώραν v 14 διατιμήσῃ M (Tisch.) 16 μηνῶν] μήν M (Tisch.) 18 δ' ἐκεῖνο] δι' ἐκεῖνο coni. Mang. 18. 19 πάντα, φησίν] παντάπασιν M (Tisch.); fort. scribendum παντάπασιν, φησίν 19 ἴστι (sic) M 20 ῥᾳδίως] ῥάως M

---

7 Deut. 15,13. 14. 13 Exod. 23,11. Lev. 25,2 sqq. cf. *Ioseph. Ant. Iud. III* § *281* δι' ἑβδόμου ἔτους ἄνεσιν δίδωσι (Μωυσῆς) τῇ γῇ ἀπό τε ἀρότρου (l. ἀρότου) καὶ φυτείας. 13. 14 pergit Nicetas: καὶ τὸν πραθέντα προῖκα ἐλεύθερον ἀφίησι καὶ τὴν χώραν ἀνάροτον ἐᾶν κελεύει διὰ πολλά· πρῶτον μὲν ἵνα τὴν ἑβδομάδα τιμήσῃ.
18—20 pergit Nicetas: δεύτερον δὲ ἵνα διδάξῃ μὴ πάντα εἶναι τοῦ κέρδους, ἀλλὰ κα ἑκόντα ζημίαν ὑπομένειν, ἵνα τὴν ἀκούσιον βλάβην, εἴ ποτε γένοιτο, ῥᾳδίως ἐνέγκῃ.

καινῷ καὶ ξένῳ δυσχεραίνων ἀθυμήσῃς. εἰσὶ γὰρ τῶν πλουσίων οὕτως
ἀτυχεῖς τὰς γνώμας τινές, ὥστε ἀπορίας ἐπισχούσης στένουσι καὶ κατη-
88 φοῦσιν οὐδὲν ἧττον ἢ εἰ πᾶσαν ἀφῃρέθησαν τὴν οὐσιαν. ἀλλὰ τῶν
Μωυσέως ὁμιλητῶν ὅσοι φοιτηταὶ γνήσιοι καλοῖς ἐνασκούμενοι νομίμοις
ἐκ πρώτης ἡλικίας ἐθίζονται τὰς ἐνδείας εὐμαρῶς ὑπομένειν διὰ τοῦ καὶ
τὴν ἀρετῶσαν χώραν ἐᾶν ἀργήν, ἅμα καὶ μεγαλοφροσύνην ἀναδιδασκόμενοι
καὶ τὰς ὁμολογουμένας προσόδους μόνον οὐκ ἐκ τῶν χειρῶν ἑκουσίῳ
89 γνώμῃ μεθιέναι. τρίτον κἀκεῖνο αἰνίττεσθαί μοι δοκεῖ, τὸ μηδενὶ προσ-
ήκειν τὸ | παράπαν ἀνθρώπους ἄχθει βαρύνειν καὶ πιέζειν· εἰ γὰρ τοῖς p. 287
μέρεσι τῆς γῆς, ἃ μήτε ἡδονῆς μήτε ἀλγηδόνος πέφυκε κοινωνεῖν, μετα-
δοτέον ἀναπαύλης, πῶς οὐχὶ μᾶλλον ἀνθρώποις, οἷς οὐ μόνον αἴσθησις
πρόσεστιν ἡ κοινὴ καὶ τῶν ἀλόγων ζῴων, ἀλλὰ καὶ λογισμὸς ἐξαίρετος,
ᾧ τὰ ἐκ πόνων καὶ καμάτων ὀδυνηρὰ τρανοτέραις φαντασίαις ἐντυποῦται;
90 παυσάσθωσαν οὖν οἱ λεγόμενοι δεσπόται τῶν ἐπὶ δούλοις σφοδρῶν καὶ
δυσυπομονήτων ἐπιταγμάτων, ἃ καὶ τὰ σώματα κατακλᾷ βιαζόμενα καὶ
91 τὰς ψυχὰς πρὸ τῶν σωμάτων ἀπαγορεύειν ἀναγκάζει. φθόνος γὰρ οὐδεὶς
προστάττειν τὰ μέτρια, δι' ὧν καὶ ὑμεῖς τῆς προσηκούσης ὑπηρεσίας
ἀπολαύσετε καὶ οἱ θεράποντες εὐφόρως τὰ κελευσθέντα δράσουσι καὶ
τὰς διακονίας οὐ πρὸς ὀλίγον ἅτε προκαμόντες καὶ (εἰ δεῖ τἀληθὲς εἰπεῖν)
ἐν τοῖς πόνοις προγηράσαντες ὑπομενοῦσιν, ἀλλὰ πρὸς μήκιστον ἀθλητῶν
τρόπον ἀνηβῶντες, οὐ τῶν εἰς πολυσαρκίαν πιαινομένων, ἀλλ' οἷς ἔθος
ἐγγυμνάζεσθαι διὰ ξηρῶν ἱδρώτων πρὸς τὴν τῶν περὶ τὸν βίον ἀναγ-

---

1 καινῷ om. M ἀθυμήσῃς RM (Tisch.): ἀθυμῇς F (v) εἰσὶ] εἰ M
2 ὥστε R, ὥστ' M (Tisch.): ὡς F (v) ἀφορίας M στένουσι RF: στενάζουσι
M (Tisch.) 2. 3 κατηφοῦσιν M (ϊ supra) 3 ἢ] ἣν M 4 μωσέως MF
6 ἀρεστῶσαν F (Hoesch. in textu) χώραν om. M εν ἀργὸν (α supra) (sic) R
ἀναδιδασκόμενοι RF mg M: ἐκδιδασκόμενοι M in textu 7 καὶ] διὰ τοῦ coni. Mang.
ὁμολογουμένας] ἐκλεγομένας coni. Mang. προσόδους RF: ὠφελείας M (Tisch.)
7. 8 ἑκουσίῳ γνώμῃ] ἑκουσίως M 8 μεθίενται M (fort. recte) 10 pr. μήτε
RM: μήθ' F Nicet. alt. μήτε RM: μήτ' F Nicet. 12 ἀλόγων] ἄλλων M
13 ἐντυποῦνται M (Tisch.) 14 παυσάσθωσαν R: παύσασθε MF (v) 15 κατα-
κλᾶν M, κατακλᾶ ἀεὶ R 18 ἀπολαύσεται F, ἀπολαύσητε M εὐφόρως RF:
εὐκόλως M (Tisch.) δράσωσι M 19 προκαμόντες F: προκάμνοντες RM
20 ἐν M (Tisch.): om. RF (v) ὑπομένουσιν F 21 ἀνηβῶντες F: ἡβῶντες R,
ἀμείβοντες M 22 περὶ τὸν βίον M (Tisch.): περὶ βίον F (v), ἐν τῷ βίῳ R

8—1[1] pergit Nicetas: τρίτον τὸ μηδενὶ τοὺς ἀνθρώπους (αὐτοὺς Coisl.) ἄχθει καταπιέζειν·
εἰ γὰρ τοῖς μέρεσι τῆς γῆς — πῶς οὐχὶ μᾶλλον ἀνθρώποις προστακτέον τὰ μέτρια;

καίων καὶ χρησίμων κτῆσιν. παυσάσθωσαν καὶ οἱ τῶν πόλεων ἡγεμόνες 92
φόροις καὶ δασμοῖς συνεχέσι καὶ μεγάλοις αὐτὰς ἐκτραχηλίζοντες, οἳ τὰ
μὲν ἴδια ταμεῖα πληροῦσιν, ἅμα τοῖς χρήμασι καὶ τὰς ἀνελευθέρους
κακίας καὶ τὸν σύμπαντα βίον αὐτῶν ῥυπαινούσας θησαυροφυλακοῦντες.
ἀνηλεεστάτους γὰρ καὶ γέμοντας ἀπανθρωπίας τοὺς τῶν φόρων ἐκλογεῖς 93
ἐπίτηδες αἱροῦνται τὰς πρὸς πλεονεξίαν ἀφορμὰς αὐτοῖς ἐνδιδόντες· οἱ
δὲ τῇ φυσικῇ σκαιότητι προσειληφότες καὶ τὴν ἐξ ἐπιταγμάτων δεσποτικῶν
ἐκεχειρίαν καὶ πάντα ὑπὲρ ἀρεσκείας τῆς ἐκείνων ἐγνωκότες
πράττειν οὐδὲν παραλείπουσι τῶν χαλεπωτάτων, ἐπιείκειαν καὶ ἡμερότητα
μηδ᾿ ὄναρ εἰδότες· τοιγάρτοι πάντα φύρουσι καὶ συγχέουσιν ἀργυρολο- 94
γοῦντες, ὡς μὴ μόνον ἐκ τῶν οὐσιῶν ἀναπράττειν, ἀλλὰ καὶ ἐκ τῶν
σωμάτων, ὕβρεσιν, αἰκίαις, πρὸς ἀποτομίαν κεκαινουργημέναις βασάνοις·
ἤδη δέ τινας ἀκούω μηδὲ νεκρῶν ἀποσχέσθαι δι᾿ ἀγριότητα καὶ παρηλ-
λαγμένην λύτταν, οἳ ἐπὶ τοσοῦτον ἐθηριώθησαν, ὡς καὶ τύπτειν ὑστριχίσι
τολμᾶν τοὺς τεθνεῶτας· καὶ ἐπειδή τις τῆς ἄγαν ὠμότητος κατεμέμφετο, 95
εἰ μηδ᾿ ὁ θάνατος, ἡ κακῶν ἁπάντων ἀπαλλαγὴ καὶ ὡς ἀληθῶς τελευτή,
περιποιήσει τοῖς ἐκποδὼν τὸ ἀνύβριστον, ἀλλ᾿ ἀντὶ ταφῆς καὶ τῶν νομι-
ζομένων αἰκίας ὑπομενοῦσιν, ἀπολογίᾳ χείρονι κατηγορίας ἐχρῶντο φάσ-
κοντες προπηλακίζειν τοὺς τεθνεῶτας, οὐχ ὑπὲρ τοῦ κωφὴν καὶ ἀναί-
188 M. σθητον κόνιν ὑβρίζειν — ἀνωφελὲς γάρ —, ἀλλ᾿ ὑπὲρ τοῦ | τοὺς ἢ κατὰ
γένος ἢ καθ᾿ ἑταιρίαν προσήκοντας εἰς οἶκτον ἀγαγεῖν καὶ προκαλέσασθαι
λύτρα καταθέσθαι τῶν σωμάτων ὑστάτην ἀπονείμαντας χάριν. (11.) εἶτα, 96
ὦ φαυλότατοι πάντων ἀνθρώπων, εἴποιμ᾿ ἂν αὐτοῖς, ἃ διδάσκετε, οὐ
προεμάθετε; ἢ προκαλεῖσθαι μὲν εἰς ἔλεον ἑτέρους, εἰ καὶ δι᾿ ὠμοτάτων

---

2 δασμοῖς F², δαμασκοῖς F¹ οἳ] οἱ v 3 ταμεῖα] μέτρα M οἱ ἅμα R ἅμα τοῖς χρήμασι om. M 4 καὶ post κακίας redundare visum est Mangeio, τὰς scripsit Tisch. θησαυροφυλακοῦσιν M (Tisch.) 5 φόρων F², φόβων F¹ (Mon. 113) 7 ἐκ προσταγμάτων M (Tisch.) 8 ἐκκεχειρίαν F πάνθ᾿ FN 10 εἰδότες R: ἰδόντες MFN (v) συγχέουσι καὶ συμφύρουσιν M (Tisch.) 13 μηδὲ] μηδὲν M ἀπέχεσθαι N 14 ἐθηριώθησαν] ἐθεωρήθησαν M ὑστριχίσι RM (Tisch.): ὕστριξι FN (v) 15 κατεμέμφετο: hic desinit R 17 περιποιήσει τοῖς ἐκποδὼν M (Tisch., τοῖς coni. Mang.): περιποιήσαιθ᾿ οἷς ἐκποδὼν FN 18 ὑπομένουσιν codd. (v) 20 ἢ om. M 21 ἑταιρείαν N προσήκοντα M προσκαλέσασθαι F 22 ἀπονείμαντα M εἶτα M: εἶτ᾿ F 23 αὐτοὺς M διδάσκετ᾿ F 24 προκαλεῖσθε M εἰ καὶ δι᾿ ὠμοτάτων] καὶ δικαιώματα τῶν M

1—22 N fol. 162r: παυσάσθωσαν — χάριν.

ἔργων, οἴδατε, τὰ δὲ χρηστὰ καὶ φιλάνθρωπα πάντα τῆς ἑαυτῶν ψυχῆς
ἐκτέτμησθε; καὶ ταῦτα μὴ ἀποροῦντες ἀγαθῶν ὑφηγητῶν καὶ μάλιστα
τῶν ἡμετέρων νόμων, οἳ καὶ τὴν γῆν μεθεῖσαν φόρων τῶν ἐτησίων
97 ἄνεσιν καὶ ἀνάπαυλαν αὐτῇ παρασχόντες; αὕτη δέ, καίτοι δοκοῦσα ἄψυ-
χος εἶναι, πρὸς ἀμοιβὴν εὐτρέπισται καὶ χάριτος ἀντίδοσιν, ἣν ἔλαβε
δωρεὰν ἀντεκτίνειν ἐπειγομένη· τυχοῦσα γὰρ ἀδείας ἔτει ἑβδόμῳ καὶ
μὴ πονηθεῖσα, σύμπαντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον ἀπελευθεριάσασα,
τῷ μετὰ ταῦτα διπλασίους, ἔστι δ' ὅτε καὶ πολυπλασίους, ὑπ' εὐφορίας
98 ἤνεγκε καρπούς. τὸ παραπλήσιον μέντοι καὶ τοὺς ἀλείπτας ἔστιν ἰδεῖν
δρῶντας ἐπὶ τῶν ἀθλητῶν· ὅταν γὰρ αὐτοὺς συγκροτήσωσιν ἐπαλλήλοις
καὶ συνεχέσι γυμνασίαις, πρὶν εἰς ἄκρον καμεῖν, ἀνακτῶνται παρέχοντες
ἀνέσεις οὐ μόνον τῶν ἐν ἀθλήσει πόνων ἀλλὰ καὶ τῶν πρὸς ἐδωδὴν
καὶ πόσιν, τὸ σκληροδίαιτον χαλῶντες εἴς τε ψυχῆς εὐθυμίαν καὶ εὐπά-
99 θειαν σώματος. καὶ οὐ δήπου διδάσκαλοι ῥᾳθυμίας καὶ τρυφῆς εἰσιν
οἷς ἐπάγγελμα τὸ πρὸς πόνους ἀλείφειν, ἀλλὰ μεθόδῳ καὶ τέχνῃ προσ-
ποιοῦσιν ἰσχὺν κραταιοτέραν ἰσχύϊ καὶ δυνάμεις σθεναρωτέρας δυνάμεσι,
100 τὴν ῥώμην ἀνέσει καὶ ἐπιτάσει καθάπερ ἁρμονίαν συναύξοντες. ἔμαθον
δὲ παρὰ τῆς πανσόφου ταῦτα φύσεως, ἥτις τὸ ἐπίπονον καὶ καματηρὸν
τοῦ γένους ἡμῶν ἐπισταμένη διένειμε τὸν χρόνον εἰς ἡμέραν τε καὶ
101 νύκτα, τῇ μὲν ἐγρήγορσιν, νυκτὶ δ' ὕπνον παρασχοῦσα. φροντὶς γὰρ
αὐτὴν οἷα μητέρα κηδεμονικωτάτην εἰσῆλθε τοῦ μὴ τὰ ἔγγονα ἀποτρύχε-
σθαι· μεθ' ἡμέραν γὰρ τὰ σώματα διανίστησι καὶ πρὸς τὰς τοῦ βίου
χρείας καὶ ὑπηρεσίας ἁπάσας ἐγείρει καχίζουσα τοὺς ἀργῷ καὶ ἁβρο-
διαίτῳ βίῳ σχολάζειν ἐθιζομένους, νύκτωρ δὲ καθάπερ ἐν πολέμῳ τὸ
ἀνακλητικὸν ὑποσημήνασα πρὸς ἀνάπαυλαν καλεῖ καὶ τὴν τῶν σωμάτων

---

1 πάντα M (Tisch.): om. F (v) ἑαυτῶν M (Tisch.): αὐτῶν F (v) 2 ἀγαθῶν] ἑτέρων M 3 ὑμετέρων M μεθεῖσαν F (Hoesch. in textu): μεθῆσαν M (Tisch.); μεθίεσαν v φόρων M (Tisch.): ἀπὸ φόρτων F (v) 5 ηὐτρέπισται codd. (v) 6 ἀντεκτίννειν M ἑβδόμῳ M (Tisch.): τῷ ἑβδόμῳ F (v) 7 ἐλευθεριάσασα M (Tisch.) 8 ὑπ' εὐφορίας Mang.: ὑπὲρ εὐφορίας F, ὑπὲρ ἐλευθερίας M (Tisch.) 9 ἰδεῖν ἔστι transp. M (Tisch.) 10 ἀθλητῶν] ἀσκητῶν M 11 γυμνασίοις (sic) M εἰς ἄκρον M (Tisch.): εἰς ἅπαν F (v) 17 ἁρμονίαν M (Tisch., coni. Mang.): ἁρμονία F; ἁρμονίας Wendl. 20 ἐγρήγορσιν M (Tisch.): ἐγρηγορεῖν F (v) νυκτὶ M (Tisch.); τῇ νυκτὶ F (v) 21 αὐτῇ ἡμετέρα κηδεμονικωτάτη M τοῦ μὴ τὰ ἔγγονα M (Tisch.): τοῦ τ' ἔγγονα (sic) μὴ F; τοῦ τὰ ἔγγονα μὴ v

ιβ

21. 22 ἀποτρύχεσθαι F: ἀποτρυεσθαι (sic) M 23 χρείας F: χρήσεις M (Tisch.) πάσας M καχίζουσα M: ἀναγκάζουσα F (v); κεντρίζουσα Tisch. ἀργῷ M (Tisch): ἀργία F (v) 25 ὑποσημήνασα M (Tisch.): ὑποσημάνασα F (v); ὑποσημαίνουσα coni. Mang.

ἐπιμέλειαν. οἱ δ' ἀποθέμενοι πολὺ βάρος πραγματειῶν, ὅσον ἕωθεν εἰς 102
ἑσπέραν ἦσαν ἐπηχθισμένοι, καὶ ἐπανελθόντες οἴκαδε πρὸς ἡσυχίαν
τρέπονται καὶ καταδαρθόντες ὕπνῳ βαθεῖ τὸν μεθημερινὸν πόνον ἐκνο-
σηλεύονται, καὶ πάλιν νεαλεῖς καὶ ἀκμῆτες γενόμενοι σπεύδουσιν ἕκαστοι
πρὸς τὰ οἰκεῖα καὶ συνήθη. τὸν δόλιχον τοῦτον ἡ φύσις διά τε ὕπνου 103
M. καὶ ἐγρηγόρσεως ἀπένειμεν | ἀνθρώποις, ἵν' ἐν μέρει μὲν ἐνεργῶσιν, ἐν
μέρει δ' ἀτρεμίζοντες ἑτοιμότερα καὶ εὐκινητότερα τὰ τοῦ σώματος
ἴσχωσι μέρη.

(12.) Πρὸς ἅπερ ἀπιδὼν ὁ τοὺς νόμους ἡμῖν προφητεύσας ἄνεσιν 104
ἐκήρυξε τῇ χώρᾳ δι' ἑξαετίας γεωπόνους ἐπισχών. ἀλλὰ γὰρ οὐχ ἕνεκα
ὧν εἶπον αὐτὸ μόνον τοῦτ' εἰσηγήσατο, ἀλλὰ καὶ τῆς συνήθους φιλαν-
θρωπίας, ἣν ἅπαντι μέρει τῆς νομοθεσίας συνυφαίνειν ἀξιοῖ τοῖς ἐντυγ-
χάνουσι ταῖς ἱεραῖς γραφαῖς κοινωνικὰ καὶ χρηστὰ ἐνσφραγιζόμενος ἤθη.
κελεύει γὰρ τῷ ἑβδόμῳ ἔτει μηδὲν συγκλείειν χωρίον, ἀλλὰ πάντας 105
ἀμπελῶνας καὶ ἐλαιῶνας ἀναπεπταμένους ἐᾶν καὶ τὰς ἄλλας κτήσεις
ὅσαι σπαρτῶν εἰσιν ἢ δένδρων, ἵνα τοῖς ἀπαυτοματισθεῖσι καρποῖς οἱ
πένητες ἀδεῶς χρῆσθαι δύνωνται μᾶλλον ἢ οὐχ ἧττον τῶν κεκτημένων.
ὅθεν τοῖς μὲν δεσπόταις οὐκ ἐφῆκεν ἐργάζεσθαι στοχασάμενος τοῦ 106
μηδεμιᾶς λύπης αἴτιος αὐτοῖς γενέσθαι ὡς τὰ μὲν ἀναλώματα παρασχοῦσι,
τὰς δ' ἀντὶ τούτων προσόδους μὴ λαμβάνουσι, τοὺς δ' ἀπόρους ὡς ἰδίων
ἀπολαύειν τότε γοῦν τῶν ἀλλοτρίων εἶναι δοκούντων ἠξίωσε ταπεινοῦ
σχήματος αὐτοὺς ἀπαλλάττων καὶ τῶν ἐπὶ μεταίταις ὀνειδῶν. ἆρ' οὐκ 107
ἄξιον ἐρασθῆναι τῶν νόμων, οἳ τοσαύτης γέμουσιν ἡμερότητος; δι' ἣν
οἱ μὲν πλούσιοι διδάσκονται μεταδιδόναι καὶ κοινωνεῖν ὧν ἔχουσι, παρη-

2 ἐπηχθισμένοι M (Tisch., coni. Mang.): ἀπηχθισμένοι F 3 καταδαρθόντες Mang.: καταδαρθέντες codd. ὕπνῳ βαθεῖ] σὺν τῷ βάρει M; ὕπνον βαθὺν coni. Mang. 3. 4 ἐκνοσιλεύονται F 4 ἀκμῆται M (Tisch.) ἕκαστοι M (Tisch.): ἕκαστος F (v) 5 τ' οἰκεῖα (sic) F δόλιχον scripsi: δολιχὸν codd. (v) post φύσις add. δρόμον M διά θ' F 10 ἕνεκα M (Tisch.): ἕνεκ' F; ἕνεχ' v 11 μόνον F: μόνων M (Tisch.) τοῦτ' M (Tisch.): ταῦτ' F (v) 14 κελεύω F 15 ἀμπελῶνας καὶ ἐλαιῶνας M (Tisch.): ἐλαιῶνας καὶ ἀμπελῶνας F (v) 18 στοχασάμενος M: στοχαζόμενος F (v) 19 αἴτιος αὐτοῖς F: αἰτίους αὐτοὺς M 20 μὴ M (Tisch.): οὐ F (v) 22 ὀνειδῶν M (Tisch.): ὀνείδων F (v) 24 κοινωνεῖν] ἀνακοινοῦν coni. Mang.

13—17 pergit Nicetas: τέταρτον κοινωνικὰ ἤθη ἐνσφραγίζεται. κελεύει γὰρ τῷ ἑβδόμῳ ἔτει μηδὲν συγκλείειν χωρίον, ἵνα τοῖς ἀπαυτοματισθεῖσι καρποῖς οἱ πένητες ἀδεῶς χρῆσθαι δύνωνται (17) καὶ οἱ κτηνοτροφοῦντες τὰ εὔχορτα πεδία ἐκλέγωνται (112,7—9).
14 Exod. 23,11.

χορηγοῦνται δ' οἱ πένητες, μὴ πάντοτε ταῖς τῶν εὐπόρων οἰκίαις ἐπιφοιτᾶν
ἀναγκαζόμενοι πρὸς ἐπανόρθωσιν ὧν ἐνδεεῖς εἰσιν, ἀλλ' ἔστιν ὅτε καὶ
προσοδευόμενοι καθάπερ ἐξ ἰδίων κτημάτων τοὺς ἀπαυτοματίζοντας, ὡς
108 ἔφην, καρπούς. χῆραι καὶ ὀρφανοὶ παῖδες καὶ ὅσοι ἄλλοι τῶν ἠμελη-
μένων καὶ ἀφανῶν ἕνεκα τοῦ μὴ περιουσιάζειν τότε περιουσιάζουσι ταῖς
τοῦ θεοῦ δωρεαῖς ἐξαπιναίως πεπλουτηκότες, ὃς αὐτοὺς πρὸς κοινωνίαν
109 ἐκάλεσε τῶν κτητόρων ἐν τῷ τῆς ἱερᾶς ἑβδόμης ἀριθμῷ· καὶ ὅσοι
μέντοι κτηνοτροφοῦσι, μετ' ἀδείας ἐπὶ χλοηφαγίας τὰ οἰκεῖα θρέμματα
ἄγουσιν ἐκλεγόμενοι πεδία εὔχορτα καὶ ἐπιτηδειότατα ἐμβόσκεσθαι, κατα-
χρώμενοι τῇ τῆς ἐκεχειρίας ἀδείᾳ· καὶ φθόνος οὐδεὶς ἀπαντᾶται ἐκ τῶν
δεσποτῶν ἅτε παλαιοτάτῳ ἔθει κεκρατημένων, ὃ σύντροφον ἐκ μακρῶν
χρόνων γενόμενον εἰς φύσιν ἐκνενίκηκεν.
110 (13.) Ἀρχὴν ταύτην βαλλόμενος ὥσπερ θεμέλιόν τινα ἐπιεικείας
καὶ φιλανθρωπίας ἑπτὰ ἑβδομάδας ἐτῶν συνθεὶς τὸ πεντηκοστὸν ὅλον
ἀπέφηνεν ἱερόν, ἐξαίρετα καὶ πάντα διαφερόντως καλὰ νομοθετήσας ἐπ'
111 αὐτῷ παρὰ τὰ κοινωνίαν ἔχοντα. πρῶτον μὲν τόδε· τὰς ἀλλοτριωθείσας
κτήσεις οἴεται δεῖν ἀποδίδοσθαι τοῖς ἐξ ἀρχῆς κυρίοις, ἵν' αἱ κληρουχίαι
τοῖς γένεσι διαφυλάττωνται | καὶ μηδεὶς τῶν λῆξιν εἰληχότων εἰς ἅπαν p. 290
112 στέρηται τῆς δωρεᾶς. ἐπειδὴ γὰρ καιροὶ πολλάκις προσπίπτουσιν
ἀβούλητοι, δι' οὓς ἀναγκάζονταί τινες πιπράσκειν τὰ ἴδια, καὶ τῆς ἐν

1 εὐπόρων M: ἀπόρων F (Hoesch. in textu) 2 ἀλλ' om. M 3 ἀπαυτοματισθέντας coni. Mang. 4 καὶ ὅσοι M (Tisch.): καὶ om. F (Hoesch.); ὅσοι τε Mang. ἄλλοι τῶν] τῶν ἄλλων M 5 τότε περιουσιάζουσι om. M (Tisch.) 6 ὃς] ὡς M 8 θρέμματ' F 9 πεδί' F 10 τῇ τῆς M (Tisch.): τῆς τῆς (sic) F; τῇ om. v 10. 11 ἀπαντᾶται ἐκ τῶν δεσποτῶν scripsi: ἀπαντᾷ ταῖς ἐκ τῶν δεσποτῶν M, ἐκ τῶν δεσποτῶν ἀπαντᾷ F (v) 11 ἅτε om. M ἔθνει F (Hoesch. in textu) 13 tit. περὶ τοῦ πεντηκοστοῦ ἔτους add. mg M βαλόμενος coni. Mang. ὡσπερεί τινα θεμέλιον M (Tisch.) 14 συνθεὶς] συνήθεις M τὸ M (Tisch.): τὸν F Nicet. (v) 15. 16 ἐπ' αὐτῶν M 16 παρὰ τὰ suspectum; ὑπὲρ τὰ conicio, περιττὴν coni. Wendl. ἀλλοτριωθείσας] ἀλλοτριώσεις ἃς M 18 εἰληχότων codd. (Hoesch. Tisch.): εἰληφότων Mang. 19 στέρηται scripsi: στερῆται F (v), στερεῖται M tit. περὶ πράσεως χωρίων add. mg M γὰρ Nicet.: om. MF (v) πολλάκις προσπίπτουσιν M (Tisch.): συμπίπτουσι πολλάκις F Nicet. (v)

14—18 pergit Nicetas: ἔπειτα ἑπτὰ ἑβδομάδας ἐτῶν συνθεὶς τὸν πεντηκοστὸν ὅλον ἀπέφηνεν ἱερόν, ἐν ᾧ τὰς ἀλλοτριωθείσας κτήσεις οἴεται δεῖν ἀποδίδοσθαι τοῖς ἐξ ἀρχῆς κυρίοις, ἵν' αἱ κληρουχίαι τοῖς γένεσι διαφυλάττωνται. 14 Lev. 25,8—10. 12. 16 Lev. 25,10—13. cf. *Ioseph. Ant. Iud. III* § *283. 284.* 19—113,5 pergit Nicetas: ἐπειδὴ γὰρ καιροὶ — ἀλλὰ καρπῶν ὀφείλουσιν εἶναι.

δέοντι χρείας τούτων προὐνόησε καὶ τοὺς ὠνουμένους ἐκώλυσεν ἀπα-
τᾶσθαι, τοῖς μὲν πιπράσκειν ἐφείς, τοὺς δ' ἐφ' οἷς ὠνήσονται μάλα
σαφῶς ἀναδιδάξας. "μὴ γὰρ δίδοτε, φησί, τὰς ἐπὶ παγκτησίᾳ τιμάς, ἀλλὰ 113
τὰς πρὸς ἐνιαυτῶν ὡρισμένον ἀριθμόν, οἳ ἐντός εἰσι πεντηκονταετίας.
οὐ γὰρ κτημάτων αἱ πράσεις ἀλλὰ καρπῶν ὀφείλουσιν εἶναι, διὰ δύο
τἀναγκαιότατα· ἓν μὲν ὅτι σύμπασα ἡ χώρα κτῆμα κέκληται θεοῦ, τῶν
δὲ θεοῦ κτημάτων οὐχ ὅσιον ἄλλους ἐπιγράφεσθαι δεσπότας· ἕτερον
δὲ ⟨ὅτι⟩ λῆξις ἀπονενέμηται ἑκάστῳ τῶν κληρούχων, ἧς στέρεσθαι τὸν
λαχόντα οὐκ ἐδικαίωσεν ὁ νόμος. τὸν μὲν οὖν ἐντὸς τῆς πεντηκονταετίας 114
δυνάμενον ἀναλαβεῖν τὰ οἰκεῖα ἤ τινα τῶν ἐγγυτάτω γένους ἀγχιστέων
προκαλεῖται πάσῃ μηχανῇ κατατιθέναι ἣν ἔλαβε τιμὴν καὶ μὴ τῷ πρια-
μένῳ καθ' ὃν ἔδει καιρὸν ὠφελήσαντι ζημίας αἴτιον γενέσθαι· τῷ δὲ 115
ἀπόρως ἔχοντι συνεπάθησε καὶ μετέδωκεν ἐλέου τὴν ἀρχαίαν δωρησά-
μενος αὖθις περιουσίαν, δίχα τῶν κατ' εὐχὴν ἀφιερωθέντων ἀγρῶν ἐν
τῇ τάξει τῶν ἀναθημάτων· ἀνάθημα δ' οὐχ ὅσιον ἀκυροῦσθαι χρόνῳ·
διὸ προστέτακται τὴν ἀξίαν τιμὴν τούτων ἐκλέγειν μηδὲν καταχαρισα-
μένους τῷ ποιησαμένῳ τὸ ἀνάθημα.

(14.) Ταῦτα μὲν ἐπὶ ταῖς τῆς χώρας διανομαῖς καὶ κληρουχίαις 116
διατέτακται· ἕτερα δ' ἐπὶ ταῖς οἰκίαις. ἐπεὶ δὲ [καὶ] τούτων αἱ μὲν
κατὰ πόλεις ἐντὸς τειχῶν εἰσιν, αἱ δ' ἐν ἀγροῖς ἔξω τείχους ἐπαύλεις,

---

1 χρείας τούτων M (Tisch.): τούτων χρείας F Nicet. (v) 2 ἐφείς M (Tisch.): ἐφιείς F Nicet. (v) 3 ἐπὶ παγκτησίᾳ Nicet., ἐπὶ πανκτησία MF (Tisch.): ἐπ' ἀκτησίᾳ v; ἐπ' ἀεικτησίᾳ coni. Mang. 3. 4 ἀλλὰ τὰς M Nicet. (Tisch.): τὰς om. F (v) 4 ὡρισμένων M (Nicetae cod. Coisl.) 5 αἱ om. M 6 κτῆμα κέκληται θεοῦ F: κτῆμα κεκλήρωται θεοῦ M (Tisch.) 8 ὅτι addidi ἑκάστου F, ἕκαστα M (teste Wendl.) στέρεσθαι scripsi: στερεῖσθαι MF (v) 9 λαχόντ' F ἐδικαίωσεν] ἐδίωσεν M 10 ἐγγυτάτων M 11 προκαλεῖται M (Tisch., coni. Mang.): προσκαλεῖται F κατατιθέναι F: κατατίθεσθαι M (Tisch.) 12 ἔδει M (Tisch.): ἐδεῖτο F (v) δὲ M: δ' F 13 ἐλέου M (Tisch.): ἐλέους F (v) 14 ἀφιερωθέντων M (Tisch.): ἀνιερωθέντων F (v) 14. 15 ἐν γὰρ τῇ τάξει M 15 ἀναθεμάτων· ἀνάθεμα F (Hoesch. in textu) δ'] γὰρ Tisch. 16 τούτω M 16. 17 καταχαρισαμένους M (Tisch.): καταχαριζομένου (sic) F; καταχαριζομένους v 17 τῷ ποιησαμένῳ F: τῷ ποιήσαντι M (Tisch.) 18 tit. περὶ πράσεως οἰκίας ἔξω τειχῶν add. mg M τῆς χώρας F: ἐν ταῖς χώραις M 19 οἰκείαις F ἐπεὶ M: ἐπειδὴ F (v) καὶ τούτων F: καὶ ἐπὶ τούτων M καὶ seclusi 20 ἐντὸς τειχῶν M (Tisch.): τειχῶν ἐντός F (v) ἀγροῖς scripsi (cf. 114, 13. 17): ἀγρῷ MF (v)

---

3 Lev. 25,14—17. 6 Lev. 25,23. 9 Lev. 25,24. 25. 14 Lev. 27 16. 20. 21.

τὰς μὲν ἐν τοῖς χωρίοις ἐπέτρεψεν ὁ νόμος ἀεὶ λυτροῦσθαι, τὰς δὲ
μὴ λυτρωθείσας ἄχρι τοῦ πεντηκοστοῦ ἔτους ἀποδίδοσθαι προῖκα τοῖς
πάλαι κυρίοις, καθάπερ καὶ τὰ κτήματα· μοῖρα γὰρ αἱ ἐπαύλεις
117 κτημάτων. ὅσαι δὲ τειχῶν ἐντός εἰσι, μέχρι μὲν ἐνιαυτοῦ τὴν ανα-
πομπὴν ἐπὶ τοὺς πεπρακότας ἔχουσι, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς ἅπαν
τοῖς ὠνησαμένοις βεβαιοῦνται, μηδὲν τῆς τοῦ πεντηκοστοῦ ἔτους ἐκεχει-
118 ρίας βλαπτούσης τοὺς πριαμένους. αἴτιον δὲ τὸ βούλεσθαι καὶ ἐπη-
λύταις ἱδρύσεως τῆς ἐνταῦθα βεβαίου παρασχεῖν ἀφορμήν· ἐπειδὴ γὰρ
μετουσίαν γῆς οὐκ ἔχουσιν, ἅτε μὴ καταριθμηθέντες ἐν ταῖς κληρουχίαις,
οἰκιῶν αὐτοῖς κτῆσιν ὁ νόμος ἀπένειμε, φροντίσας τοῦ μὴ | μετανάστας p. 291
119 γενέσθαι τοὺς τῶν νόμων ἱκέτας καὶ πρόσφυγας. αἱ γὰρ πόλεις, ὅτε
ἐκληροδοτεῖτο ἡ χώρα κατὰ φυλάς, οὐ διενεμήθησαν, ἀλλ᾽ οὐδὲ τὴν
ἀρχὴν ἦσαν συνῳκοδομημέναι, κατὰ τὰς ἐν ἀγροῖς ἐπαύλεις τῶν οἰκη-
τόρων ποιουμένων τὰς διατριβάς· ἐξ ὧν ὕστερον ἀναστάντες καὶ συνελ-
θόντες, ἐπίδοσιν κοινωνίας καὶ φιλίας, ὥσπερ εἰκός, ἐν χρόνῳ μακρῷ
λαμβανούσης, οἰκίας ἐν ταὐτῷ καὶ πόλεις ἐδείμαντο, ὧν καὶ ἐπηλύταις,
καθάπερ εἶπον, μετέδοσαν, ἵνα μὴ πάντων ἀποροῖεν καὶ τῶν ἐν ἀγροῖς
καὶ τῶν κατὰ πόλεις.
120 (15.) Περὶ δὲ τῆς ἱερωμένης φυλῆς τάδε νομοθετεῖται· γῆς ἀπο-
τομὴν οὐκ ἀπένειμε τοῖς νεωκόροις ὁ νόμος, ὑπολαβὼν αὐτάρκη πρόσοδον
εἶναι τούτοις τὰς ἀπαρχάς, ὀκτὼ δὲ καὶ τεσσαράκοντα πόλεις ἀπεκλήρωσεν
121 εἰς οἴκησιν καὶ δισχιλίους ἑκάστῃ πήχεις προάστειον ἐν κύκλῳ. τὰς οὖν
ἐν ταύταις οἰκίας οὐ τὸν αὐτὸν τρόπον ταῖς ἄλλαις, ὅσαι τειχῶν εἴσω
τυγχάνουσιν, ἐβεβαίωσε τοῖς πριαμένοις, ἐντὸς ἐνιαυτοῦ τῶν ἀποδιδομένων

---

1 αἰεὶ MF (Tisch.) 3 αἱ ἐπαύλεις M (Tisch.): αἱ om. F (v) 4. 5 ἀναπομπὴν M (Tisch., coni. Mang.): ἀποπομπὴν F (v) 6 ἑωνησαμένοις M (Tisch.) βεβαιοῦται M τῆς M (Tisch.): δὲ τῆς F; δὲ (om. τῆς) v 6. 7 ἐκκεχειρίας F 7 αἴτιον] ἕτερον M τὸ βούλεσθαι M (Tisch., coni. Mang.): τοῦ βούλεσθαι F (v) 7. 8 ἐπϊλύταις F, ἐπηλύτας M 8 τῆς ἐνταῦθα M (Tisch., τῆς coni. Mang.): τοῖς ἐνταυθοῖ F (v) 11 ὅτ᾽ F 13 συνωκοδημέναι (sic) M, συνοικοδομημέναι F (Hoesch. in textu) 13. 14 οἰκητόρων] κτητόρων voluit Mang. 15 φιλίας M: φιλανθρωπίας F (v) 16 ἐπηλύταις M (Tisch., coni. Mang.): ἐπϊλύται F; ἐπηλύται v 17 καὶ] κατὰ Tisch. (per errorem?) 19 tit. διὰ τί ἱερέως οἰκίαν ἐν πόλει πραθεῖσαν εἰσάπαν ἀφῆκε (sic) λυτροῦσθαι add. mg M 21 η′ δὲ καὶ μ′ πόλεις M 23 εἴσω τειχῶν transp. M (Tisch.) ἀποδεδομένων M (Tisch.)

---

1 sqq. Lev. 25,29—31. cf. *Ioseph. Ant. Iud. III* § 285. 21 Num. 35,2 sqq. 23 sqq. Lev. 25,32—34.

κομίσασθαι μὴ δυναμένων, ἀλλ' εἰς ἅπαν ἐφῆκεν αὐτὰς λυτροῦσθαι, καθάπερ καὶ τοῖς ἀπὸ τοῦ ἔθνους τὰς ἐπαύλεις αἷς ἰσοδυναμοῦσιν, ἐπειδὴ μόνας ἐκ τοσαύτης χώρας διεκληρώσαντο τὰς οἰκίας, ὧν οὐκ ᾤετο δεῖν στέρεσθαι τοὺς λαβόντας, καθάπερ οὐδὲ τοὺς κληρούχους τῶν ἐπαύλεων. οἰκιῶν μὲν δὴ πέρι τοσαῦτα.

(16.) Τὰ δὲ πρὸς χρεώστας δανειστῶν καὶ πρὸς θεράποντας δεσ- 122
ποτῶν ὅμοια τοῖς πρόσθεν νομοθετεῖται, ὅπως οἱ μὲν δανεισταὶ μὴ ἐκλέγωσι τόκους παρὰ τῶν ὁμοεθνῶν, ἀλλ ὅσον προήκαντο μόνον ἄσμενοι κομίζωνται, οἱ δὲ δεσπόται τοῖς ἀργυρωνήτοις μὴ ὡς φύσει δούλοις ἀλλ' ὡς μισθωτοῖς προσφέρωνται, παρέχοντες ἄδειαν ἐλευθερίας εὐθὺς μὲν τοῖς ὑπὲρ αὐτῶν λύτρα κατατιθέναι δυναμένοις, αὖθις δὲ τοῖς ἀπόροις ἢ ὅταν ἐπιγένηται ὁ ἀπ' ἀρχῆς δουλείας ἕβδομος ἐνιαυτὸς ἢ ὅταν ὁ πεντηκοστός, κἂν πρὸ μιᾶς ἡμέρας τύχῃ τις εἰς δουλείαν ὑπαχθείς· ἄφεσις γὰρ ὁ χρόνος ἐκεῖνός ἐστι καὶ νενόμισται, πάντων ἐπὶ τὰς ἀρχαίας διαυλοδρομούντων καὶ ἀνακαμπτόντων εὐπραγίας. ἐπιτρέπει δ' ἐκ τῶν μὴ 123
ὁμοφύλων [οἵτινες ἐξ ἑτέρων ἐθνῶν εἰσιν] οἰκέτας κτᾶσθαι, βουλόμενος πρῶτον μὲν διαφορὰν οἰκείων τε καὶ ἀλλοτρίων εἶναι, ἔπειτα δὲ μὴ κατὰ τὸ παντελὲς ἀναγκαιότατον κτῆμα, θεράποντας, ἀνεῖρξαι τῆς αὐτοῦ πολιτείας· μυρία γὰρ τῶν ἐν τῷ βίῳ πραγμάτων ποθεῖ τὰς ἐκ δούλων ὑπηρεσίας.

Υἱοὶ κληρονόμοι γονέων ἔστωσαν, εἰ δὲ μὴ εἶεν, θυγατέρες. ὡς 124
γὰρ ἐν τῇ φύσει γυναικῶν ἄνδρες πρωτοστατοῦσι, κἂν ταῖς συγγενείαις

---

1 αὐτοὺς M 2 τοῖς M (Tisch.): τὰς F (v) αἷς] καὶ M 3 ἐκ τοσαύτης F: ἐκτὸς αὐτῆς M 4 στέρεσθαι scripsi: στερεῖσθαι MF (v) λαβόντας M (Tisch.): λαμβάνοντας F (v) 6 tit. περὶ δανειστῶν καὶ θεραπόντων ὁμοεθνῶν add. mg M 7 νομοθετεῖται M: νενομοθέτηται F Nicet. (v) 8. 9 ἀλλ'—κομίζωνται om. Nicet. 9 κομίζονται Hoesch. 11 αὐτῶν codd. (v) κατατιθέναι M (Tisch.): καταθεῖναι F Nicet. (v) 12 ἐπιγένηται codd. Nicet. (Tisch.): ἐπιγίνηται v ἀπ' ἀρχῆς M (Tisch.): τῆς ἀπαρχῆς F Nicet.; τῆς ἀπ' ἀρχῆς v 13 τύχοι M 14 ὁ χρόνος M (Tisch.): om. F (v) καὶ M: τε καὶ F (v) 14. 15 ἐπὶ τὰς ἀρχαίας . . . εὐπραγίας M (Tisch , coni. Mang.): ἐπὶ ταῖς ἀρχαίαις . . . εὐπραγίαις F (v) 16 οἵτινες—εἰσιν seclusit Tisch. βουλομένοις M 18 ἀναγκαιότατον] οἰκειότατον M αὑτοῦ codd. (v) 20 ὑπηρεσίας: desinunt hic F et Hoeschelii cod. Boicus (Mon. 113) et cod. vetus Canterianus 21 tit. περὶ κλήρων διαδόχων (sic) add. mg M ante Υἱοὶ verba quaedam conectentia videntur intercidisse γονέων Tisch.: γενεῶν M

6sqq. Lev. 25,35—41. cf. *Ioseph. Ant. Iud. III § 282.* 6—13 pergit Nicetas: τὰ δὲ πρὸς χρεώστας δανειστῶν—εἰς δυλείαν ὑπαχθείς. 15 Lev. 25,44. 45. 21 Num. 27,8.

ἐχέτωσαν προνομίαν διαδεχόμενοι τὰς οὐσίας καὶ τὴν τῶν τετελευτηκότων
τάξιν ἐκπληροῦντες ἀνάγκης νόμῳ κατασχεθέντων οὐδὲν θνητὸν ⟨καὶ⟩
125 γηγενὲς ἀθανατίζοντι. παρθένοι δὲ ἐὰν ἀπολειφθῶσιν ἀνέκδοτοι, προικὸς
ὑπὸ ζώντων ἔτι τῶν γονέων μὴ διωρισμένης, ἰσομοιρείτωσαν τοῖς ἄρρεσιν.
ἐπιμελείσθω δ' ἡ προεστῶσα ἀρχὴ φυλακῆς τε τῶν ἀπολειφθεισῶν καὶ
αὐξήσεως καὶ τῶν εἰς δίαιταν καὶ παιδείαν τὴν ἁρμόττουσαν κόραις
ἀναλωμάτων καί, ὁπότε γένοιτο ὥρα, [καὶ] γάμου τοῦ πρέποντος, ἀνδρῶν
126 ἐν ἅπασι δοκίμων ἀριστίνδην ἐπικριθέντων. ἔστωσαν δ' οὗτοι μάλιστα
μὲν συγγενεῖς, εἰ δὲ μή, πάντως γοῦν δημόται καὶ φυλέται, χάριν τοῦ
μὴ τοὺς κλήρους τοὺς προικιδίους ἐπιγαμίαις ἀλλοτριοῦσθαι, μένειν δ'
127 ἐν ταῖς ἐξ ἀρχῆς τεταγμέναις κατὰ φυλὰς λήξεσιν. ἐὰν δὲ γενεᾶς ἔρημος
ὢν τυγχάνῃ, παρίτωσαν ἐπὶ τὴν διαδοχὴν ἀδελφοὶ τοῦ τετελευτηκότος·
ἡ γὰρ μεθ' υἱοὺς καὶ θυγατέρας ἐν συγγενείαις τάξις ἀδελφῶν ἐστιν.
εἰ δὲ ἀνάδελφός τις εἴη τελευτῶν, θεῖοι πρὸς πατρὸς διαδεχέσθωσαν τὴν
οὐσίαν, θείων δὲ μὴ ὄντων, θεῖαι, ⟨εἶτα⟩ τῶν ἄλλων οἰκείων καὶ συγγενῶν
128 ⟨οἱ⟩ ἐγγυτάτω. σπάνις δ' εἰ καταλάβοι τῆς συγγενείας, ὡς μηδένα τῶν
ἀφ' αἵματος ἀπολειφθῆναι, ἡ φυλὴ κληρονόμος ἔστω· συγγένεια γάρ
129 τίς ἐστι καὶ ἡ φυλὴ κατὰ περιγραφὴν μείζονα καὶ τελειοτέραν. ἄξιον
μέντοι τὸ διαπορηθὲν ὑπ' ἐνίων ⟨μὴ⟩ ἡσυχασθῆναι· διὰ τί, γάρ φασι,
πάντων συγγενῶν καὶ δημοτῶν καὶ φυλετῶν ἐπιμνησθεὶς ὁ νόμος ἐν ταῖς
τῶν κλήρων διαδοχαῖς γονεῖς μόνους παρεσιώπησεν, οὓς εἰκὸς ἦν, ὥσπερ
κληρονομοῦνται, κληρονομεῖν τὰ παίδων; ὅτι, ὦ γενναῖε, θεῖος ὢν καὶ
τὴν τῆς φύσεως ἀκολουθίαν αἰεὶ σκοπῶν οὐδὲν ᾠήθη χρῆναι παλίμφημον
εἰσηγεῖσθαι· γονέων μὲν γὰρ εὐχαί, ζῶντας ἀπολιπεῖν οὓς ἐγέννησαν,
διαδεξομένους ὄνομά τε αὐτῶν καὶ γένος καὶ οὐσίαν, ἐχθρῶν δὲ ἀμειλίκ-
των ἀραὶ τἀναντία, προαποθνῄσκειν υἱοὺς καὶ θυγατέρας τῶν φυσάντων.
130 ὅπως οὖν μηδὲν ἀνάρμοστον καὶ ἀσύμφωνον ἐν ἁρμονίᾳ καὶ συμφωνίᾳ,

---

2 νόμω [ον] (sic) M κατασχεθέντων scripsi: κατασχεθέντες M (Tisch.) καὶ addidi 3 ἀθανατίζοντι Tisch.: ἀθανατίζον M tit. περὶ παρθένων ἀπολειφθεισῶν ἀνεκδότων add. mg M 5 ἀπολειφθεισῶν scripsi: ἀπολειφθέντων M (Tisch.) 7 ὥρα (corr. in ὡραῖα) M: ὡραία Tisch. καὶ ante γάμου seclusi 8 ἐν scripsi: μὲν M (Tisch.) 10 προικιδίους Tisch.: πρὸς ἰδίους M; πρὸς ⟨πατρὸς⟩ ἰδίους coniciebam 12 τοῦ τετελευτηκότος scripsi: τῶν τετελευτηκότων M (Tisch.) 15 εἶτα et οἱ (16) addidi; cf. *de vita Mos. II* § 245 16 ἐγγυτάτω scripsi: ἐγγυτέρω M (Tisch.) καταλάβῃ M τῆς συγγενείας Tisch.: τὴν συγγένειαν M 19 μὴ addidi φησί M 22 παίδων M: παιδίων Tisch. 25 διαδεξομένους scripsi: διαδεξαμένους M (Tisch.)

---

8 Num. 36,6—9. cf. *Ioseph. Ant. Iud. IV* § 174. 175. 11 sqq. Num. 27,9—11.

καθ' ἣν διοικεῖται σύμπας ὁ κόσμος, διαγορεύῃ, παίδων μὲν ἀποθνησκόντων, γονέων δ' ἐπιβιούντων, ἀναγκαίως ἅμα καὶ πρεπόντως οὐ προσέταξε μητέρας [ἅμα] καὶ πατέρας τὰ υἱῶν καὶ θυγατέρων κληρονομεῖν, εἰδὼς μὴ συνᾷδον τὸ πρᾶγμα βίῳ τε καὶ φύσει. φυλαξάμενος οὖν 131 γυμνοῖς ὀνόμασι καλέσαι γονεῖς ἐπὶ παίδων τετελευτηκότων κληρονομίαν, ὑπὲρ τοῦ μὴ δοκεῖν ἀπευκτὴν ὠφέλειαν προσνέμων ὀνειδίζειν πενθοῦσιν ἢ ὑπομιμνήσκειν κακοπραγιῶν, ἑτέρῳ τρόπῳ τὰς οὐσίας ἀπένειμεν αὐτοῖς, βραχὺ παρηγόρημα μεγάλου κακοῦ. τίς οὖν ὁ τρόπος; ἀδελφὸν πατρὸς 132 γράφει κληρονόμον ἀδελφιδῶν, ἤ που διὰ τὸν πατέρα τὸν θεῖον γεραίρων· εἰ μή τις οὕτως ἠλίθιός ἐστιν, ὡς ὑπολαμβάνειν ὅτι ἕτερον τιμῶν ἑτέρου χάριν ἀτιμοῦν ἐκεῖνον προαιρεῖται· μὴ καὶ τοὺς τῶν φίλων γνωρίμους οἱ περιέποντες ἀμελεῖς τῶν ἑταίρων εἰσίν; ἢ ⟨οὐ⟩ πάντων εὐνοϊκώτατοι κηδεμόνες τῶν ἐπὶ τιμῇ καὶ ἑταίρους ἀποδέχονται; τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ νόμος διὰ πατέρα καλέσας ἀδελφὸν πατρὸς ἐπὶ μετουσίαν κλήρου πολὺ πρότερον πατέρα καλεῖ, φωνῇ μὲν οὔ, διὰ τὰ λεχθέντα, γνωριμωτέρᾳ δὲ φωνῆς δυνάμει τρανούσῃ τὸ βούλημα τοῦ νομοθέτου.

Παίδων ὁ πρεσβύτατος οὐκ ἰσομοιρεῖ τοῖς μετ' αὐτόν, ἀλλὰ δι- 133 πλασίων ἀξιοῦται, διότι τε ἀνὴρ καὶ γυνὴ πρότερον ὑπάρχοντες αὖθις ἐγένοντο πατὴρ καὶ μήτηρ διὰ τὸν φύντα πρῶτον καὶ ἐπειδὴ ὁ ⟨πρῶτος⟩ γενόμενος τούτοις ἀνακαλεῖν ἤρξατο τοῖς ὀνόμασι τοὺς σπείραντας καὶ — τὸ ἀναγκαιότατον — ὅτι ὁ πρὸ τοῦ γενεᾶς ἔρημος οἶκος εὔπαις ἐγένετο πρὸς τὴν τοῦ γένους τῶν ἀνθρώπων διαμονήν, ἧς σπορὰ μὲν γάμος, καρποὶ δὲ τέκνων γενέσεις, ὧν ὁ πρεσβύτατος ἀρχή. διὰ ταύτην γ' 134 οἶμαι τὴν αἰτίαν οἱ πρωτότοκοι τῶν μὲν ἄσπονδα εἰργασμένων ἐχθρῶν, ὡς αἱ ἱεραὶ γραφαὶ δηλοῦσι, μιᾷ νυκτὶ πάντες ἡβηδὸν ἀνῃρέθησαν, τῶν δ' ἀπὸ τοῦ ἔθνους χαριστήριον ἀνετέθησαν θεῷ καθιερωθέντες· ἔδει γὰρ τοὺς μὲν βαρυτάτῳ καὶ ἀπαρηγορήτῳ πένθει βαρῦναι, φθορᾷ τῶν

---

3 ἅμα seclusi 5 κληρονομίαν scripsi: κλῆρον M (Tisch.) 6 προσνέμων (sic M; ειν supra ων) 6.7 ὀνειδίζειν πενθοῦσιν ἢ ὑπομιμνήσκειν scripsi: ὀνειδίζειν ἢ ὑπομιμνήσκειν πενθοῦσι M (Tisch.) 9 γράφει Tisch.: γράφειν M ἤπου M (Tisch.) 10 ἕτερον τιμῶν (sic) M (ω supra ον, ἣν supra ῶν) 12 ἑταίρων scripsi: ἑτέρων M (Tisch.) ἢ ⟨οὐ⟩ scripsi: ἢ M; εἰ Tisch. 13 τῶν M: τούτων Tisch. ἑταίρους scripsi: ἑτέρους M (Tisch.) 17 tit. περὶ κληρονομίας πρωτοτόκου υἱοῦ add. mg M 19 πρῶτος addidi 22 διαμονήν M: διανομήν Tisch.

---

24 Exod. 12,29. 26 Exod. 13,2.

πρωτοστατούντων, γεραίρειν δὲ τὸν σωτῆρα θεὸν ἀπαρχαῖς, αἳ τὴν ἐν
135 τέχνοις ἡγεμονίαν ἔλαχον. ἐπεὶ δ' εἰσί τινες οἳ μετὰ γάμον καὶ παιδοποιίαν ὀψὲ σωφροσύνην ἀπομαθόντες ἐξώκειλαν εἰς ἀκρασίαν καὶ ἐπιμανέντες γυναιξὶν ἑτέραις τὰς προτέρας ἐκάκωσαν καὶ τοῖς ἐξ ἐκείνων οὐκέθ' ὡς πατέρες ἀλλ' ὡς πατρωοὶ προσηνέχθησαν ἀπομιμησάμενοι τὸ μητρυιῶν εἰς προγονοὺς δυσσεβὲς καὶ ὅλως ἑαυτοὺς καὶ τὰ ἑαυτῶν ἐξέδωκαν ταῖς δευτέραις καὶ παισὶ τοῖς τούτων ἡδονῆς, αἰσχίστου πάθους, ἥττους γενόμενοι, χαλινὸν μὲν εἴ πως οἷόν τε ἦν ἐμβαλεῖν ταῖς ἐπιθυμίαις ὑπὲρ τοῦ μὴ ἀνασκιρτᾶν ἐπὶ πλέον οὐκ ἂν ἐμέλλησεν ὁ νόμος.
136 ἐπεὶ δὲ μανίαν ἐξηγριωμένην οἴστρῳ χαλεπὸν μᾶλλον δ' ἀδύνατον ἰάσασθαι, τὸν μὲν ὡς ἀθεραπεύτῳ νόσῳ κατεσχημένον ἀπέλιπε, τὸν δ' ἐκ τῆς διὰ τοὺς νέους ἔρωτας κακωθείσης υἱὸν οὐχ ὑπερεῖδε κελεύσας αὐτὸν λαμβάνειν διπλάσια τὰ ἐκ τῆς πρὸς τοὺς ἀδελφοὺς διανομῆς.
137 αἴτια δὲ τούτου πολλά· πρῶτον μὲν γὰρ κολάζει τὸν ὑπαίτιον ἀνάγκην ἐπιθεὶς αὐτῷ ποιεῖν εὖ ὃν κακῶς διατιθέναι προαιρεῖται, καὶ τῆς ἀγνώμονος γνώμης ἄκυρον ἀποφαίνει δι' ὧν ὠφελεῖ τὸν κινδυνεύσαντα πρὸς ἐκείνου ζημιωθῆναι τάττων αὐτὸν ἐν τῇ τάξει τοῦ γεγεννηκότος, ἣν ὁ
138 φύσει πατὴρ ἐπὶ πρεσβυτάτου παιδὸς ἔλιπε. δεύτερον δὲ ἔλεον καὶ οἶκτον λαμβάνει τῶν ἠδικημένων, οὓς βαρυτάτης ἀνίας ἐπελαφρίζει μετουσίᾳ χάριτος καὶ δωρεᾶς· οὐδὲν γὰρ ἧττον τοῦ κληρονομοῦντος υἱοῦ τὴν διπλασίαν μοῖραν εἰκὸς ἦν ἥδεσθαι τὴν μητέρα, φιλανθρωπίᾳ νόμου παρηγορηθεῖσαν, ὃς οὐκ εἴασεν αὐτήν τε καὶ γενεὰν εἰς ἅπαν
139 ἐχθρῶν ἐλαττοῦσθαι. τρίτον δέ· βραβευτὴς ὢν τῶν δικαίων ἀγαθὸς ἐλογίσατο παρ' ἑαυτῷ, ὅτι τοῖς μὲν ἐκ τῆς στεργομένης ἐπεδαψιλεύσατο τὰς χορηγίας ὁ πατὴρ διὰ τὸν πόθον τῆς γυναικός, τοὺς δ' ἐκ τῆς στυγηθείσης οὐδενὸς παντάπασιν ἠξίωσε διὰ τὸ τῆς μητρὸς ἔχθος, ὡς ἐκείνους μὲν ἔτι ζῶντος προκεκληρονομηκέναι πλείω τῆς ἰσομοιρίας, τούτους δὲ κινδυνεῦσαι καὶ τελευτήσαντος ἁπάντων ἀφαιρεθῆναι τῶν πατρῴων. ἵν' οὖν ἐπανισώσῃ τὴν διανομὴν τοῖς ἐξ ἀμφοτέρων τῶν

6 προγόνους M (Tisch.) 7 τοῖς] ταῖς (non τῆς) M 9 ἂν ἐμέλλησεν M: ἀπημέλησεν Tisch. 11 κατισχημένον M 17 ἐκείνου Tisch.: ἐκεῖνο M αὐτὸν M (Tisch.) 19 ἐπελαφρίζει M (teste Wendl.): ἐπικουφίζει Tisch. 20 μετουσία Tisch. 21. 22 φιλανθρωπίᾳ νόμου Tisch.: φιλανθρωπίαν ὁμοῦ M 22 ⟨τὴν⟩ γενεὰν coni. Wendl. 26 παντάπασιν Tisch.: ἢ παντάπασιν M; τὸ παράπαν conicio 27 ζῶντος Tisch.: ζῶντας M

12 Deut. 21,15—17. cf. *Ioseph. Ant. Iud. IV § 249. 250.*

γυναικῶν, ὥρισε διμοιρίαν τὰ πρεσβεῖα τῷ τῆς ἀπηλλαγμένης παιδί. τούτων μὲν δὴ ἅλις.

192 M. (17.) | Ἑπόμενοι δὲ τῇ τάξει τρίτον εἶδος ἀναγράφομεν ἑορτῆς, ὃ 140 σημανοῦμεν. ἔστι δὲ νουμηνία κατὰ σελήνην, χρόνος ὁ ἀπὸ συνόδου ἐπὶ σύνοδον, ὃν μαθηματικῶν παῖδες εὖ μάλα διηριθμήσαντο. τὴν δ' ἐν ἑορταῖς ἔλαχε τάξιν νουμηνία διὰ πολλά· πρῶτον μὲν ὅτι ἀρχὴ μηνός, ἀρχὴ δὲ καὶ ἀριθμοῦ καὶ χρόνου τίμιον· ἔπειτα δὲ ὅτι κατ' αὐτὴν οὐδὲν ἀφώτιστον ἐν οὐρανῷ· συνόδῳ μὲν γὰρ ὑποδραμούσης ἥλιον σελήνης τὸ πρὸς γῆν μέρος ἐζόφωται, νουμηνίᾳ δὲ πέφυκεν ἀναλάμπειν. τρίτον δὲ ὅτι τῷ ἐλάττονι καὶ ἀσθενεστέρῳ κατ' ἐκεῖνον τὸν χρόνον τὸ 141 κρεῖττον καὶ δυνατώτερον ὠφελείας ἀναγκαίας μεταδίδωσι· νουμηνίᾳ γὰρ ἄρχεται φωτίζειν αἰσθητῷ φέγγει σελήνην ὁ ἥλιος, ἡ δὲ τὸ ἴδιον κάλλος ἀναφαίνει τοῖς ὁρῶσι. τοῦτο δ' ἐναργής ἐστιν, ὡς ἔοικε, διδασκαλία χρηστότητος καὶ φιλανθρωπίας, ἵνα μηδέποτε τῶν ἰδίων ἀγαθῶν ἄνθρωποι φθονῶσιν, ἀλλὰ μιμούμενοι τὰς ἐν οὐρανῷ μακαρίας καὶ εὐδαίμονας φύσεις ὑπερόριον τῆς ψυχῆς βασκανίαν ἐλαύνωσι καὶ προφέροντες εἰς μέσον τὰ οἰκεῖα κοινοπραγῶσι καὶ χαρίζωνται τοῖς ἀξίοις. τέταρτον δὲ 142 ὅτι τῶν κατ' οὐρανὸν ἁπάντων ἐν ἐλάττονι προθεσμίᾳ σελήνη τὸν ζῳοφόρον περιπολεῖ· μηνιαίῳ γὰρ διαστήματι τὸν κύκλον ἀνύτει. διὸ καὶ τὸ συμπέρασμα τῆς περιόδου, τελευτώσης ἐπὶ τὴν ἀρχὴν ἀφ' ἧς ἤρξατο φέρεσθαι σελήνης, τετίμηκεν ὁ νόμος προσειπὼν ἐκείνην τὴν ἡμέραν ἑορτήν, ὑπὲρ τοῦ πάλιν ἡμᾶς ἀναδιδάξαι μάθημα κάλλιστον, ἵν' ἐν

---

3 tit. ἑορτὴ νουμηνίας κατὰ σελήνην add. mg M 7 ἔπειτα δ' M (Tisch.) κατ' αὐτὴν Nicet.: κατὰ ταύτην M (Tisch.) 8 συνόδῳ — ἀναλάμπειν (9) M Nicet. (Tisch.): om. v 8. 9 ὑποδραμούσης ἥλιον σελήνης τὸ πρὸς γῆν μέρος Nicet.: ἂν ὑποδραμοῦσα ἥλιον σελήνη προσίμερος (η suprascr.) M (Tisch.) 10 τρίτον δὲ Nicet.: δὲ om. M (Tisch.) 12 ἄρχεται φωτίζειν αἰσθητῷ φέγγει σελήνην ὁ ἥλιος, ἡ δὲ Nicet.: ἄρχεται ἥλιος φωτίζειν αἰσθητῷ φέγγει, σελήνη δὲ M (Tisch.) 13 ἀναφαίνειν coni. Mang. ἐστιν, ὡς ἔοικε M (Tisch.): ὡς ἔοικεν, ἐστὶ Nicet. (v) 15 μακαρίας καὶ εὐδαίμονας M (Tisch.): om. Nicet. (v) 16 τῆς ψυχῆς Nicet.: τῆς om. M (Tisch.) βασκανίαν M Nicet. (Tisch.): καὶ βασκανίαν v 16. 17 καὶ προφέροντες — τοῖς ἀξίοις M Nicet. (Tisch.): om. v 17 δ' M 19 ἀνύττει M, corr. Tisch. 20. 21 τελευτώσης . . . σελήνης scripsi: τελευτῶντος . . . σελήνη M, τελευτῶν . . . σελήνη Tisch. ἀφ' ἧς Wendl.: ἀφ' οὗ M (Tisch.); ἀφ' οὗ ἤρξατο ⟨σχήματος⟩ conieceram

---

3—17 pergit Nicetas: ἑπόμενοι δὲ τῇ τάξει τρίτην ἑορτὴν ἀναγράφομεν τὴν κατὰ σελήνην νουμηνίαν· πρῶτον μὲν ὅτι ἀρχὴ μηνός, ἀρχὴ δὲ καὶ ἀριθμοῦ καὶ χρόνου τίμιον· ἔπειτα δὲ ὅτι κατ' αὐτὴν — καὶ χαρίζωνται τοῖς ἀξίοις.

ταῖς τοῦ βίου πράξεσι τὰ τέλη συνῳδὰ ταῖς ἀρχαῖς ἀποφαίνωμεν·
γενήσεται δὲ τοῦτ', ἐὰν λογισμῷ τὰς πρώτας ἡνιοχῶμεν ὁρμὰς μὴ ἐπι-
τρέποντες αὐταῖς ἀφηνιάζειν καὶ ἀνασκιρτᾶν τρόπον θρεμμάτων ἀγελάρχην
143 οὐκ ἐχόντων. ἃς δὲ παρέχεται τοῖς ἐπὶ γῆς ἅπασιν ὠφελείας σελήνη,
τί χρὴ διεξιόντα μηκύνειν; ἐμφανεῖς γὰρ αἱ πίστεις. ἢ οὐχὶ ταῖς αὐξή-
σεσιν αὐτῆς ἀναχέονται ποταμοὶ καὶ πηγαὶ καὶ μειοῦνται πάλιν μειώσεσι,
καὶ πελάγη τοτὲ μὲν ἐξαναχωρεῖ καὶ ἀμπωτίζοντα ὑποσύρεται τοτὲ δ'
ἐξαπιναίως ἐπιτρέχει κατὰ παλίρροιαν, ὅ τε ἀὴρ αἰθρίαις καὶ νεφώσεσι
καὶ ταῖς ἄλλαις μεταβολαῖς παντοίας ἐνδέχεται τροπάς, καρποί τε οἱ
σπαρτῶν καὶ δένδρων αὔξονται καὶ τελεσφοροῦνται σελήνης περιόδοις
τιθηνουμένης ἕκαστα τῶν φυομένων καὶ πεπαινούσης ἐνδρόσοις καὶ
144 μαλακωτάταις αὔραις; ἀλλ' οὐχὶ καιρός, ὅπερ ἔφην, μακρηγορεῖν ἔπαινον
σελήνης διεξιόντα καὶ καταριθμούμενον ἃς παρέχεται ζῴοις καὶ τοῖς
ἐπὶ γῆς ἅπασιν ὠφελείας. διὰ μὲν δὴ ταῦτα καὶ τὰ τούτοις παραπλήσια
νουμηνία τετίμηται καὶ τάξιν ἔλαχε τὴν ἐν ταῖς ἑορταῖς.
145 (18.) Μετὰ δὲ τὴν νουμηνίαν ἐστὶν ἑορτὴ τετάρτη, τὰ διαβατήρια, ἣν
Ἑβραῖοι Πάσχα πατρίῳ γλώττῃ καλοῦσιν, ἐν ᾗ θύουσι πανδημεὶ πολλὰς
μυριάδας ἱερείων ἀρξάμενοι ἀπὸ μεσημβρίας ἄχρι ἑσπέρας, ὁ λεὼς ἅπας,
πρεσβῦται καὶ νέοι, κατ' ἐκείνην τὴν ἡμέραν ἱερωσύνης ἀξιώματι τετι-
μημένοι· τὸν γὰρ ἄλλον χρόνον οἱ ἱερεῖς τάς τε κοινὰς θυσίας καὶ τὰς
ἰδίας ἑκάστου προστάξει νόμων ἐπιτελοῦσι, τότε δὲ σύμπαν τὸ ἔθνος
146 μετὰ πάσης ἀδείας ἁγναῖς χερσὶν ἱερουργεῖ καὶ ἱερᾶται. αἴτιον δὲ τόδε·
τῆς μεγίστης ἀποικίας ὑπόμνημά ἐστιν ἡ ἑορτὴ καὶ χαριστήριον, ἣν ἀπ'

---

4 ἐπὶ γῆς Tisch.: ἐπὶ γῆν M   7 τότε μὲν . . . τότε δ' M (Tisch.)   10 σπαρτῶν scripsi: σπαρτοὶ M (Tisch.)   11 τιθηνομένης M, corr. Tisch.   ἐνδρόσοις M: ἐν δρόσοις Tisch.   16 tit. ἑορτὴ διαβατηρίων add. mg M   τὴν om. Nicet.   17 ἑβραῖοι M (Tisch.): οἱ ἑβραῖοι Nicet. (v)   πατρίῳ γλώττῃ om. Nicet.   πανδημὶ M (Tisch.)   17. 18 πολλὰς μυριάδας ἱερείων om. Nicet.   18 ἀπὸ μεσημβρίας M (Tisch.): μετὰ μεσημβρίαν Nicet. (κατὰ μ. Vat. Mon. et Hoeschelii codex.)   ἄχρι ἑσπέρας M (Tisch.): χωρὶς ἑσπέρας Nicet. (sic Vat. Coisl., ἕως Mon. et Hoeschel. cod.)
22 ἱερουργεῖ scripsi: ἱερουργεῖται M (Tisch.)   23 χαριστήριον M Nicet. (Tisch.): χαριστήριος v (Mon. et Hoesch. cod.)

16—122,2 pergit Nicetas: μετὰ δὲ νουμηνίαν ἐστὶν ἑορτὴ τετάρτη, τὰ διαβατήρια, ἣν οἱ Ἑβραῖοι Πάσχα καλοῦσιν, ἐν ᾗ θύουσι πανδημεὶ ἀρξάμενοι μετὰ (vel κατὰ) μεσημβρίαν χωρὶς (vel ἕως) ἑσπέρας (18). ὑπόμνημα δὲ (sic codd., ὑπομνητικὴ v) τῆς μεγίστης ἀποικίας ἐστὶν ἡ ἑορτὴ καὶ χαριστήριον — ἐπιφανείας καὶ σεμνότητος (23—122,2).
21 cf. Exod. 12,6. Deut. 16,2. 6.

Αἰγύπτου μυριάσιν ὑπὲρ διακοσίας ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἐστεί-
λαντο κατὰ τὰ χρησθέντα λόγια. τότε οὖν, ὡς εἰκός, ἀπολελοιπότες
χώραν γέμουσαν ἀπανθρωπίας καὶ ξενηλασίας ἐπιτηδεύουσαν καὶ — τὸ
χαλεπώτατον — τὰς τοῦ θεοῦ τιμὰς ἀλόγοις ζῴοις οὐχ ἡμέροις μόνον
ἀλλὰ καὶ ἀγρίοις προσνέμουσαν ὑπὸ τῆς ἄγαν περιχαρείας ἔθυον αὐτοὶ
διὰ προθυμίαν ἄλεκτον καὶ τάχος ἐσπευσμένον τοὺς ἱερεῖς οὐκ ἀνα-
μένοντες. τοῦτο δὴ τότε πραχθὲν αὐτοκελεύστῳ καὶ ἐθελουργῷ πάθει
δρᾶν ἐφῆκεν ὁ νόμος ἅπαξ κατ' ἐνιαυτὸν ἕκαστον εἰς εὐχαριστίας ὑπό-
μνησιν. ταῦτα μὲν κατὰ παλαιὰν ἀρχαιολογίαν ἱστορεῖται. οἷς δὲ τὰ 147
ῥητὰ τρέπειν πρὸς ἀλληγορίαν ἔθος ψυχῆς κάθαρσιν αἰνίττεται τὰ δια-
βατήρια· φασὶ γὰρ τὸν σοφίας ἐραστὴν οὐδὲν ἕτερον ἐπιτηδεύειν ἢ τὴν
ἀπὸ τοῦ σώματος καὶ τῶν παθῶν διάβασιν, ὧν ἕκαστον ἐπικλύζει χει-
μάρρου ποταμοῦ τρόπον, εἰ μή τις τοῖς ἀρετῆς δόγμασιν ἀνακόπτοι καὶ
ἀναχαιτίζοι τὴν φοράν.. ἑκάστη δὲ οἰκία κατ' ἐκεῖνον τὸν χρόνον σχῆμα 148
ἱεροῦ καὶ σεμνότητα περιβέβληται, τοῦ σφαγιασθέντος ἱερείου πρὸς τὴν
ἁρμόττουσαν εὐωχίαν εὐτρεπιζομένου καὶ τῶν ἐπὶ τὰ συσσίτια συνει-
λεγμένων ἁγνευτικοῖς περιρραντηρίοις κεκαθαρμένων, οἳ παραγεγόνασιν
οὐχ ὡς εἰς τὰ ἄλλα συμπόσια χαριούμενοι γαστρὶ δι' οἴνου καὶ ἐδεσ-
μάτων, ἀλλὰ πάτριον ἔθος ἐκπληρώσοντες μετ' εὐχῶν τε καὶ ὕμνων.
ἄξιον μέντοι καὶ τὴν ἡμέραν παρασημήνασθαι τῆς πανδήμου εὐωχίας· 149
ἄγεται γὰρ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνός, ἥτις ἐκ δυεῖν ἑβδομάδων

---

1 μυριάσιν ὑπὲρ διακοσίας Nicet., μυριάσιν ὑπὲρ διακοσίαις M (Tisch.): μυριάσι πολλαῖς v (Mon. et Hoesch. cod.) ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν om. Nicet. 1. 2 ἐστείλατο M 2 τότ' M (Tisch.) ὡς om. M 4. 5 οὐχ — ἀγρίοις om. Nicet. 5. 6 αὐτοὶ — ἐσπευσμένον om. Nicet. 6 καὶ τάχος ἐσπευσμένον M (non καὶ τὸ τάχος ἐσπευσμένως): καὶ ἐσπευσμένως Tisch. τοὺς ἱερεῖς M Nicet.: τοὺς om. v 7 τοῦτο δὴ M (Tisch.): τὸ δὲ Nicet. (v) αὐτοκελεύστῳ — πάθει om. Nicet. 8 κατ' Nicet.: εἰς M (Tisch.) 9 ἀρχαιολογίαν M Nicet. (Tisch.): ἀλληγορίαν v (Vat. et Hoesch. cod.) 10 τρέπειν πρὸς ἀλληγορίαν ἔθος Nicet.: τρέπειν ἔθος εἰς ἀλληγορίαν M (Tisch.) αἰνίττεται Nicet.: αἰνίττονται M (Tisch.) 12 ὧν ἕκαστον — τὴν φορὰν (14) om. Nicet. 14 δ' M 15 τὴν om. M (Tisch.) 16 συσσίτια Nicet.: σιτία M 17 ἁγνευτικοῖς περιρραντηρίοις κεκαθαρμένων om. M 18 τἄλλα Nicet. 19 ἐκπληρώσοντες Nicet.: ἐκπληροῦντες M (Tisch.) εὐχῶν M Nicet. (Tisch.): εὐχῆς v 20 ἄξιον — εὐωχίας om. Nicet. 21 ἄγεται γὰρ M (Tisch.): ἄγεται δὲ ἡ πάνδημος θυσία Nicet. (v) τοῦ om. M (Tisch.) δυεῖν Nicet.: δυοῖν M (v) ἑβδομάδων Nicet.: ἑβδομάδοιν M (Tisch.)

---

21 Exod. 12,6. Lev. 23,5. Num. 28,16.

συνέστηκεν, ἵνα μηδὲν ἀμοιρῇ τῶν ἀξίων τιμῆς ἑβδομάδος, ἀλλ' αὕτη κατάρχῃ πᾶσιν ἐπιφανείας καὶ σεμνότητος.

150 (19.) | Συνάπτει δὲ τοῖς διαβατηρίοις ἑορτὴν διάφορον ἔχουσαν καὶ p. 293 οὐ συνήθη τροφῆς χρῆσιν, ἄζυμα, ἀφ' οὗ καὶ ὠνόμασται. διττὸς δὲ ὁ περὶ αὐτῆς λόγος, ὁ μὲν ἴδιος τοῦ ἔθνους ἕνεκα τῆς λεχθείσης ἀποικίας, ὁ δὲ κοινὸς κατὰ φύσεως ἀκολουθίαν καὶ τὴν τοῦ κόσμου παντὸς ἁρμονίαν. ὡς δ' ἀψευδὴς ἡ ὑπόσχεσις, ἐπισκεπτέον. ἕβδομος ὢν ὁ μὴν οὗτος ἀριθμῷ τε καὶ τάξει κατὰ τὸν ἡλιακὸν κύκλον δυνάμει πρῶτός ἐστι,
151 διὸ καὶ πρῶτος ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγέγραπται. αἴτιον δὲ ὥς γε οἶμαι τόδε· τὴν ἐαρινὴν ἰσημερίαν ἀπεικόνισμά τι καὶ μίμημα συμβέβηκεν εἶναι τῆς ἀρχῆς ἐκείνης, καθ' ἣν ὅδε ὁ κόσμος ἐδημιουργεῖτο· τότε γὰρ διακρινομένων τῶν στοιχείων καὶ τὴν ἐναρμόνιον τάξιν λαμβανόντων πρός τε αὑτὰ καὶ πρὸς ἄλληλα, διεκοσμεῖτο μὲν ὁ οὐρανὸς ἡλίῳ καὶ σελήνῃ καὶ ταῖς τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν ἀστέρων χορείαις καὶ περιόδοις, διεκοσμεῖτο δὲ καὶ ἡ γῆ παντοίαις φυτῶν ἰδέαις καὶ ὅση τῆς ὀρεινῆς καὶ πεδιάδος ἀγαθὴ καὶ βαθεῖα πᾶσα ἐτεθήλει καὶ ἐχλοηφόρει.
152 καθ' ἕκαστον οὖν ἐνιαυτὸν ὑπομιμνήσκων ὁ θεὸς τῆς τοῦ κόσμου γενέσεως ἀνέφηνε τὸ ἔαρ, ἐν ᾧ πάντα ἀνθεῖ καὶ βλαστάνει. διόπερ οὐκ ἀπὸ σκοποῦ πρῶτος ἀναγέγραπται μὴν ἐν τοῖς νόμοις, ἐπειδὴ τρόπον τινὰ τῆς πρώτης ἀρχῆς ἐκμαγεῖόν ἐστιν, ἀπ' ἐκείνης ὥσπερ ἀρχετύπου σφρα-
153 γῖδος τυπωθείς. ὁ δὲ κατὰ τὴν μετοπωρινὴν ἰσημερίαν τῇ τάξει [πρώτῃ] πρῶτος ὢν ἐν ταῖς ἡλιακαῖς περιόδοις οὐ λέγεται παρὰ τῷ νόμῳ πρῶτος, ὅτι κατ' ἐκεῖνον τὸν χρόνον συγκεκομισμένων τῶν καρπῶν ἁπάντων τὰ δένδρα φυλλορροεῖ καὶ ὅσα ἀκμάζον τὸ ἔαρ ἤνεγκε πάντα [ξηραίνεται]

---

1 αὕτη Nicet.: αὐτὴ M (Tisch.) 2 κατάρχῃ M Nicet.: κατάρχει Hoesch. (Vat. Mon.) 3 tit. ἑορτὴ ἀζύμων add. mg M ἑορτὴν . . . ἔχουσαν M Nicet. (Tisch.): ἑορτὴ . . . ἔχουσα v 4 τροφῆς Nicet.: τῆς τροφῆς M (v) δὲ ὁ M (Tisch.): δ' ὁ Nicet., δὲ (om. ὁ) v 5 ἴδιος Nicet.: εἷς M (Tisch.) 7 δ' om. M (Tisch.) ὑπόσχεσις M Nicet. (Tisch.): ὑπόθεσις v 9 διὸ scripsi: διότι M Nicet. (v) ἀναγέγραπται M Nicet. (Tisch.): ἀναγράφεται v (Vat. et Hoesch. cod.) δ' M γε om. M (Tisch.) 10 τι M Nicet. (Tisch.): τε v 13 αὐτὰ M (Tisch.) 14 πλανήτῶν (sic) M 18 ἀνέφηνε Nicet.: ἀνέφαινε M (Tisch.) 21 κατὰ scripsi: μετὰ M (Tisch.) πρώτῃ seclusit Tisch. 24 φυλλοροεῖ M (Tisch.) ξηραίνεται seclusit Tisch.

3—11 pergit Nicetas: συνάπτει δὲ τοῖς διαβατηρίοις — καθ' ἣν ὅδε ὁ κόσμος ἐδημιουργεῖτο. 9 Exod. 12,2. 17—21 pergit Nicetas: καθ' ἕκαστον οὖν ἐνιαυτὸν — ὥσπερ ἀρχετύπου σφραγῖδος τυπωθείς.

ἀφαυαίνεται ξηροῖς πνεύμασι τοῦ ἀέρος αὐχμώδη καταστάντα τοῖς ἀφ'
ἡλίου φλογμοῖς. πρῶτον μὲν οὖν ἐπιφημίσαι μῆνα, καθ' ὃν ἐστείρωται 154
καὶ ἀγονεῖ ἥ τε ὀρεινὴ καὶ ἡ πεδιάς, παντάπασιν ὑπέλαβεν ἀνάρμοστον
καὶ ἀνοίκειον εἶναι· δεῖ γὰρ τοῖς πρώτοις καὶ ἡγεμονίδα τάξιν εἰληχόσι προσ-
εἶναι τὰ κάλλιστα καὶ εὐκταιότατα, δι' ὧν αἱ ζῴων καὶ καρπῶν καὶ φυτῶν
γενέσεις καὶ αὐξήσεις εἰσίν, ἀλλ' οὐχ αἱ παλίμφημοι φθοραί. τῆς δὲ ἑορτῆς 155
ἀρχὴ διχόμηνος, ἡ πεντεκαιδεκάτη, καθ' ἣν σελήνη πλησιφαὴς γίνεται,
προνοίᾳ τοῦ μηδὲν εἶναι σκότος κατ' ἐκείνην τὴν ἡμέραν, ἀλλὰ φωτὸς ἀνά-
πλεα πάντα διὰ πάντων, ἡλίου μὲν ἕωθεν εἰς ἑσπέραν ἐπιλάμποντος,
σελήνης δὲ ἀφ' ἑσπέρας ἄχρι τῆς ἕω τὰς αὐτὰς * * *, τῶν ⟨δ'⟩ ἀστέρων
ἀλλήλοις ἀντιπαραχωρούντων ἀσκίοις φέγγεσιν. ἡ δὲ ἑορτὴ πάλιν ἐφ' 156
ἡμέρας ἑπτὰ ἄγεται δι' ἣν ἔλαχεν ἐν κόσμῳ ὁ ἀριθμὸς προνομίαν τε καὶ
τιμήν, ἵνα μηδὲν τῶν εἰς εὐθυμίαν καὶ πάνδημον εὐφροσύνην καὶ εὐχαρι-
στίαν τὴν πρὸς τὸν θεὸν ἀπολείπηται τῆς ἱερᾶς ἑβδομάδος, ἣν ἀρχὴν
καὶ πηγὴν ἀνθρώποις ἀγαθῶν ἁπάντων εἶναι διενοήθη. τῶν δὲ ἑπτὰ 157
ἡμερῶν δύο, τὴν πρώτην καὶ τὴν ὑστάτην, „ἁγίας“ προσεῖπεν, ἀρχῇ
καὶ τέλει προνομίαν, ὡς εἰκός, διδοὺς καὶ ἅμα βουλόμενος καθάπερ ἐν
ὀργάνῳ μουσικῷ συμφωνίᾳ τῶν ἄκρων τὰς μεθορίους συναρμόσασθαι,
τάχα μέντοι καὶ ὑπὲρ τοῦ τόν τε παρελθόντα καὶ μέλλοντα χρόνον
συνῳδὸν ἀποφῆναι τῇ ἑορτῇ, τὸν μὲν παρεληλυθότα συνάπτοντα

---

3 παντάπασιν ὑπέλαβεν scripsi: παντάπασι κατέλαβεν M (Tisch.) 6 δ' Nicet. 7 ἀρχὴ διχόμηνος M (Tisch.): διχόμηνος ἄρχει Nicet. (v) 10 ἄχρι τῆς ἕω Nicet.: μέχρις ἕω M (Tisch.) τὰς[ῆς] αὐτὰς[ῆς] (sic) M; καὶ αὐτῆς Tisch.; equidem τὰς αὐγὰς ⟨πεμπούσης⟩ conicio, τὰς αὐτὰς ⟨ἐπιτελούσης χρείας⟩ coni. Wendl. δ' addidi 11 δ' Nicet. 12 ἑπτὰ] ζ' M 12. 13 δι' ἣν — τιμήν M (Tisch.): διὰ τὴν τοῦ ἀριθμοῦ τιμὴν Nicet. (v) 13 καὶ πάνδημον εὐφροσύνην om. Nicet. 14 ἀπολίπηται M 14. 15 ἣν ἀρχὴν — διενοήθη om. Nicet. 15 δ' Nicet. 16 ἁγίαν Nicetae codd. Vat. Coisl. 17 προνομίαν ὡς εἰκὸς M Nicet. (Tisch.): ὡς εἰκὸς προνομίαν v 18 συμφωνίᾳ scripsi: συμφωνίαν M Nicet. (v) τὰς μεθορίους M Nicet. (Tisch.): om. v συναρμόσασθαι M (Tisch.): ἁρμόσασθαι Nicet. (v)

6—18 pergit Nicetas: τῆς δ' ἑορτῆς διχόμηνος ἄρχει ἡ πεντεκαιδεκάτη, καθ' ἣν σελήνη πλησιφαὴς γίνεται, προνοίᾳ τοῦ μηδὲν εἶναι σκότος κατ' ἐκείνην τὴν ἡμέραν, σελήνης ἀφ' ἑσπέρας ἐπιλαμπούσης (ἐπιλ. ἀφ' ἑσπέρας Coisl.) ἄχρι τῆς ἕω. ἡ δ' ἑορτὴ πάλιν ἐφ' ἡμέρας ἑπτὰ ἄγεται διὰ τὴν τοῦ ἀριθμοῦ τιμήν, ἵνα μηδὲν τῶν εἰς εὐθυμίαν καὶ εὐχαριστίαν τὴν πρὸς τὸν θεὸν ἀπολείπηται τῆς ἱερᾶς ἑβδομάδος. τῶν δ' ἑπτὰ ἡμερῶν δύο, τὴν πρώτην καὶ τὴν ὑστάτην, ἁγίαν (ἁγίας v) προσεῖπεν, ἀρχῇ καὶ τέλει προνομίαν ὡς εἰκὸς διδοὺς καὶ ἅμα βουλόμενος καθάπερ ἐν ὀργάνῳ μουσικῷ συμφωνίαν τῶν ἄκρων τὰς μεθορίους ἁρμόσασθαι. 7 Lev. 23,6. Num. 28,17. 11 Exod. 12,18. 19. Lev. 23,6. Num. 28,17. Deut. 16,3. 16 Exod. 12,16. Lev. 23,7. 8. Num. 28,18. 25.

⟨τῇ πρώτῃ, τὸν δὲ μέλλοντα⟩ τῇ τελευταίᾳ, ὧν ἑκατέρα τὴν ἑαυτῆς καὶ
τῆς ἑτέρας δύναμιν εἴληχεν· ἥ τε γὰρ πρώτη τῆς μὲν ἑορτῆς ἐστιν ἀρχή,
τέλος δὲ τοῦ παρεληλυθότος χρόνου, ἥ τε ἑβδόμη τέλος μὲν τῆς ἑορτῆς,
ἀρχὴ δὲ τοῦ μέλλοντος, ἵν', ὃ καὶ πρόσθεν εἶπον, ἅπας ὁ τοῦ σπου-
δαίου βίος ἰσότιμος ἑορτῇ νομίζηται λύπην καὶ φόβον καὶ ἐπιθυμίαν
158 καὶ τἆλλα πάθη καὶ νοσήματα τῆς ψυχῆς ἐληλακότος. ὁ δ' ἄρτος
ἄζυμος, ἤτοι διὰ τὸ τοὺς προγόνους, ἡνίκα θείᾳ πομπῇ τὴν ἀποικίαν
ἐστέλλοντο, χρωμένους ἀνυπερβλήτῳ τάχει τὰ φυράματα τοῦ σταιτὸς
ἄζυμα ἐπενέγκασθαι ἢ ἐπειδὴ κατὰ τὸν καιρὸν ἐκεῖνον (λέγω δὲ τὴν
ἐαρινὴν ὥραν, ἐν ᾗ συμβαίνει τὴν ἑορτὴν ἄγεσθαι) ὁ τοῦ σίτου
καρπὸς ἀτελής ἐστι, τῶν πεδίων σταχυηφορούντων καὶ μήπω καιρὸν
ἐχόντων εἰς ἄμητον. ἀτελεῖ δὴ τῷ μέλλοντι καρπῷ τελειωθησομένῳ δὲ
μικρὸν ὕστερον ἐδικαίωσεν ἐξομοιῶσαι τὴν ἄζυμον τροφὴν — ἀτελὴς
γάρ ἐστι καὶ αὕτη — πρὸς ἐλπίδος χρηστῆς ὑπόμνησιν, ὡς ἤδη τῆς
φύσεως τὰς ἐτησίους εὐτρεπιζομένης ἀνθρώπων γένει δωρεὰς ἐν τῇ τῶν
159 ἐπιτηδείων ἀφθονίᾳ καὶ περιουσίᾳ. λέγεται δὲ κἀκεῖνο τοῖς ἐξηγηταῖς
τῶν ἱερῶν γραμμάτων, ὅτι ἡ μὲν ἄζυμος τροφὴ δώρημα φύσεώς ἐστιν,
ἡ δ' ἐζυμωμένη τέχνης ἔργον· ἐπιτηδεύσει γὰρ ἄνθρωποι τὰ ἡδέα τοῖς
ἀναγκαίοις ἀναμιγνύναι σπεύδοντες τὸ αὐστηρὸν τῇ φύσει προσηνὲς
160 τέχνῃ κατεσκεύασαν. ἐπεὶ οὖν ἐστιν ἡ ἐαρινὴ ἑορτή, καθάπερ ἐδίδαξα,
τῆς τοῦ κόσμου γενέσεως ὑπόμνημα, τοὺς δὲ παλαιτάτους γηγενεῖς τε
καὶ ἐκ γηγενῶν ἀναγκαῖον ἦν χρήσασθαι ταῖς | τοῦ κόσμου δωρεαῖς p. 294
ἀδιαστρόφοις, μήπω τῆς ἡδονῆς παρευημερούσης, οἰκειοτάτην τροφὴν

---

1 τῇ πρώτῃ, τὸν δὲ μέλλοντα suppl. Tisch., om. M 6 tit. διὰ τί ἄζυμα ἐσθίουσιν add. mg M 7 ἄζυμος Nicet.: ὁ ἄζυμος M διὰ τὸ Nicet.: τὸ διὰ M τὴν ἀποικίαν om. Nicetae codd. Vat. Mon. (v) 8 χρωμένους — σταιτὸς om. v σταιτὸς Nicet.: στέατος M (Tisch.) 9 τὰ ἄζυμα v δὲ] δὴ M (Tisch.) 11 σταχυηφορούντων M (Tisch.): σταχυφορούντων Nicet. (v) 12 ἀτελεῖ — ὕστερον (13) om. v 13 ἐξομοιῶσαι M Nicet. (Tisch.): ἐξ ὁμοιώσεως v post τροφὴν interpung. v et Tisch. 14 αὕτη Nicet.: αὐτὴ M (Tisch.) πρὸς ἐλπίδος χρηστῆς ὑπόμνησιν Nicet. (coni. Mang.), πρὸς ἐλπίδος ἀγαθῆς ὑπόμνησιν M (Tisch.): πρὸς ἐλπίδα χρηστῆς ὑπομνήσεως v 17 τῶν M Nicet. (Tisch.): om. v ἄζυμος M Nicet. (Tisch.): ἄζυμα v 18 ἐπιτηδεύσει — κατεσκεύασαν (20) om. Nicet. 19 ἀναγκαίοις Wendl.: δικαίοις M (Tisch.) 20 καθάπερ ἐδίδαξα om. Nicet. 21 παλαιτάτους M Nicet.: παλαιοτάτους Tisch. 21. 22 τε καὶ ἐκ γηγενῶν om. Nicet. 22. 23 δωρεαῖς ἀδιαστρόφοις Nicet.: τροφαῖς ἄδεία (sic) δωρεᾶς M 23 οἰκειοτάτην τροφὴν om. M

6—125,2 pergit Nicetas: ὁ δ' ἄρτος ἄζυμος — ἐμπυρεύματα ζωπυρεῖν (125,2). ταῦτα μὲν ἐπὶ τοσοῦτον (125,8).

ἐνομοθέτησε τῷ καιρῷ, βουλόμενος ἀνὰ πᾶν ἔτος τὰ τῆς σεμνῆς καὶ
αὐστηρᾶς διαίτης ἐμπυρεύματα ζωπυρεῖν καὶ ἅμα τὸν ἀρχαῖον βίον τῆς
ὀλιγοδείας καὶ εὐτελείας θαυμάσαι τε καὶ τιμῆσαι πανηγύρεως ἐκεχειρίᾳ
καὶ τὸν ἡμῶν καθ' ὅσον οἷόν τε ἦν ἐξομοιῶσαι τῷ παλαιῷ. τὰ λεχθέντα 161
πιστοῦται μάλιστα ἡ τῶν ἰσαρίθμων ταῖς φυλαῖς ἐπὶ τῆς ἱερᾶς τραπέζης
ἄρτων δώδεκα πρόθεσις· εἰσὶ γὰρ πάντες ἄζυμοι, δεῖγμα σαφέστατον
ἀμιγοῦς τροφῆς οὐ τέχνῃ πρὸς ἡδονὴν ἀλλὰ φύσει πρὸς τὸ τῆς χρήσεως
ἀναγκαῖον εὐτρεπισθείσης. ταῦτα μὲν ἐπὶ τοσοῦτον.

(20.) Ἑορτὴ δέ ἐστιν ἐν ἑορτῇ ἡ μετὰ τὴν πρώτην εὐθὺς ἡμέραν, ἥτις 162
ἀπὸ τοῦ συμβεβηκότος ὀνομάζεται δράγμα· τοῦτο γὰρ ἀπαρχὴ προσάγεται τῷ βωμῷ καὶ τῆς χώρας, ἣν ἔλαχε τὸ ἔθνος οἰκεῖν, καὶ τῆς
συμπάσης γῆς, ὡς εἶναι τὴν ἀπαρχὴν καὶ τοῦ ἔθνους ἰδίαν καὶ ὑπὲρ
ἅπαντος ἀνθρώπων γένους κοινήν. τὸ δ' αἴτιον, ὅτι ὃν λόγον ἔχει πρὸς 163
πόλιν ἱερεύς, τοῦτον πρὸς ἅπασαν τὴν οἰκουμένην τὸ Ἰουδαίων ἔθνος.
ἱερᾶται γάρ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἅπασι τοῖς ἁγνευτικοῖς καθαρσίοις
χρώμενον καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν ὑφηγήσεσι νόμων θείων, οἳ
τάς τε γαστρὸς ἡδονὰς καὶ ὑπογαστρίους ἔστειλαν καὶ τὸν ὄχλον ⟨τῆς
ψυχῆς ἐχαλίνωσαν νοῦν⟩ ταῖς αἰσθήσεσιν ἡνίοχον, ἀλόγοις λόγον, ἐπιστήσαντες, ἔτι δὲ καὶ τὰς τῆς ψυχῆς ἀκρίτους καὶ πλεοναζούσας ὁρμὰς
ἀνέκοψαν καὶ ἀνεχαίτισαν, τὰ μὲν μαλακωτέραις ὑφηγήσεσι καὶ φιλοσόφοις προτροπαῖς, τὰ δ' ἐμβριθεστέροις καὶ εὐτονωτέροις ἐλέγχοις καὶ
φόβῳ κολάσεως, ὃν ἐπανατείνονται. χωρὶς δὲ τοῦ τὴν νομοθεσίαν 164
τρόπον τινὰ διδασκαλίαν ἱερωσύνης εἶναι καὶ τὸν βιοῦντα κατὰ τοὺς
νόμους εὐθὺς ἱερέα, μᾶλλον δ' ἀρχιερέα, παρ' ἀληθείᾳ δικαζούσῃ νομίζεσθαι κἀκεῖνο πρόσεστιν ἐξαίρετον· ἀπερίγραφον καὶ ἀπερίληπτον συμ-

---

1 τὰ τῆς scripsi: τὰ om. M (Tisch.), τῆς om. Nicet. (v) 2 ἐμπυρεύματα M Nicetae cod. Coisl. (Mang. Tisch.): ἐμπορεύματα v (Vat. Mon.) 3 ὀλιγοδείας M: ὀλιγοδείας Tisch. 6 ιβ' M 8 ταῦτα μὲν ἐπὶ τοσοῦτον om. v 9 tit. ἑορτὴ δράγματος add. mg M δ' Nicet. ἐν ἑορτῇ om. Nicet. ἡ Nicet.: om. M (Tisch.) ἡμέραν M Nicet. (Tisch.): ἡμέρα v 10 δρᾶγμα M 10. 11 προσάγεται M Nicet. (Tisch., coni. Mang.): προσαγορεύεται v (Mon. et Hoesch. cod.) 11 οἰκεῖν M (Tisch., coni. Mang.): οἰκεῖον Nicet. (v) 12 τὴν ἀπαρχὴν καὶ Nicet.: καὶ τὴν ἀπαρχὴν M (Tisch.) post alt. καὶ add. τὴν M (Tisch.) 14 τοῦτο M 17 τὸν ὄχλον M: ἐκόλουσαν Tisch. 17. 18 τῆς ψυχῆς ἐχαλίνωσαν νοῦν e. gr. supplevi

---

5 Lev. 24,5—9. 9 Lev. 23,10. 11. 9—13 pergit Nicetas: ἑορτὴ δ' ἐστὶν ἡ μετὰ τὴν πρώτην εὐθὺς ἡμέραν — καὶ ὑπὲρ ἅπαντος ἀνθρώπων γένους κοινήν.

βέβηκεν εἶναι θεῶν πλῆθος τῶν κατὰ πόλεις τιμωμένων ἀρρένων τε
καὶ θηλειῶν, οὓς τό τε ποιητικὸν γένος ἐμύθευσε καὶ ⟨ὁ⟩ πολὺς ὅμιλος
ἀνθρώπων, οἷς ἄπορος καὶ ἀδιερεύνητος ἡ ζήτησις τῆς ἀληθείας ἐστίν·
οὐ μὴν τοὺς αὐτοὺς ἅπαντες ἀλλὰ ἑτέρους ἕτεροι σεμνοποιοῦσι καὶ
γεραίρουσιν, ὡς μηδὲ θεοὺς τοὺς ἐπὶ τῆς ἀλλοδαπῆς νομίζειν, ἀλλὰ
γέλωτα καὶ χλεύην θέσθαι τὰς ἐκείνων ἀποδοχὰς καὶ καταγινώσκειν τῶν
165 τιμώντων πολλὴν ἠλιθιότητα ὡς ὑγιοῦς διαμαρτανόντων δόξης. εἰ δ'
ἔστιν, ὃν μιᾷ γνώμῃ πάντες ὁμολογοῦσιν Ἕλληνες ὁμοῦ καὶ βάρβαροι,
ὁ ἀνωτάτω πατὴρ θεῶν τε καὶ ἀνθρώπων καὶ τοῦ σύμπαντος κόσμου
δημιουργός, οὗ τὴν φύσιν ἀόρατον καὶ δυστόπαστον οὖσαν οὐ μόνον
ὁραθῆναι ἀλλὰ καὶ νοηθῆναι πάντες οἱ περὶ τὰ μαθήματα καὶ τὴν
ἄλλην φιλοσοφίαν διατρίβοντες ἀναζητεῖν γλίχονται μηδὲν παρέντες τῶν
εἰς εὕρεσιν καὶ [τούτου] θεραπείαν, ἔδει μὲν πάντας ἀνθρώπους ἀνῆφθαι
⟨τούτου⟩ καὶ μὴ καθάπερ ἀπὸ μηχανῆς εἰσποιεῖν ἑτέρους ἐπὶ μετουσίᾳ
166 τῶν ἴσων τιμῶν. ἐπεὶ δὲ περὶ τὸ ἀναγκαιότατον ὤλισθον μέρος, τὸ
σφάλμα τῶν ἄλλων ἐπηνωρθώσατο, κυριώτατα φάναι, τὸ Ἰουδαίων ἔθνος,
ὅσα μὲν εἰς γένεσιν ἦλθε πάνθ' ὑπερκύψαν ὡς γενητὰ καὶ τῇ φύσει
φθαρτά, τοῦ δ' ἀγενήτου καὶ ἀιδίου μόνον τὴν θεραπείαν ἑλόμενον·
πρῶτον μὲν ὅτι καλόν, ἔπειτα δ' ὅτι καὶ ὠφέλιμον πρεσβυτέρῳ πρὸ
νεωτέρων καὶ ἄρχοντι πρὸ ἀρχομένων καὶ ποιητῇ πρὸ γεγονότων ἀνα-
167 κεῖσθαί τε καὶ προστίθεσθαι. διὸ καὶ θαυμάζειν ἐπέρχεταί μοι, πῶς
τολμῶσί τινες ἀπανθρωπίαν τοῦ ἔθνους κατηγορεῖν, ὃ τοσαύτῃ κέχρηται
κοινωνίας καὶ εὐνοίας τῆς πρὸς ⟨τοὺς⟩ πανταχοῦ πάντας ὑπερβολῇ, ὡς τάς
τε εὐχὰς καὶ ἑορτὰς καὶ ἀπαρχὰς ὑπὲρ τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων
ἐπιτελεῖν καὶ τὸν ὄντως ὄντα θεὸν θεραπεύειν ὑπέρ τε ἑαυτοῦ καὶ τῶν
ἄλλων, οἳ τὰς ὀφειλομένας λατρείας ἀποδεδράκασι. καὶ ταῦτα μὲν ὑπὲρ

1 εἶναι Tisch.: εἰ M πόλεις scripsi: πόλιν M (Tisch.) 2 ὁ addidi 3 ἄπορος Tisch.: ἄπονος M 6 θέσθαι scripsi: ὑποθέσθαι M ἀποδοχὰς Wendl.: ὑποδοχὰς M (Tisch.) 13 τούτου ante θεραπείαν seclusi 14 τούτου post ἀνῆφθαι addidi 16 ἐπανωρθώσατο M (Tisch.) 19 πρῶτα M (πρῶτον Tisch.) 21 προστίθεσθαι scripsi: προτίθεσθαι M (Tisch.) 23 τῆς Tisch.: τῇ M τοὺς add. Wendl. 25 ὄντως M Nicet. (Tisch.): om. v θεὸν θεραπεύειν Nicet.: θεραπεύειν θεὸν M (Tisch.)

25—127,12 pergit Nicetas: καὶ τὸν ὄντως ὄντα θεὸν θεραπεύειν ὑπέρ τε ἑαυτοῦ καὶ τῶν ἄλλων (26), ὅτι πάμφορον γῆν ἔλαχον (127,8)· ἐν αὐτῇ γὰρ οὐδέν ἐστι λυπρόγεων, ἀλλὰ καὶ ὅσα λιθώδη καὶ ἀπόκροτα εἶναι δοκεῖ φλεψὶ μαλακαῖς διέζωσται καὶ σφόδρα βαθείαις, αἳ διὰ πιότητα ζωοφυτεῖν εἰσιν ἀγαθαί (127,9—12).

τοῦ σύμπαντος ἀνθρώπων γένους. ἰδίᾳ δὲ πάλιν εὐχαριστοῦσι ⟨διὰ⟩ 168
πολλά· πρῶτον μὲν ⟨ὅτι⟩ οὐκ αἰεὶ σποράδην ἀλώμενοι κατά τε νήσους
καὶ ἠπείρους διατελοῦσι καὶ ὡς ὀθνεῖοι καὶ ἀνίδρυτοι τὰς ἑτέρων ἐπῳ-
κηκότες καὶ ἀλλοτρίοις ἐφεδρεύοντες ἀγαθοῖς ὀνειδίζονται μηδεμίαν γῆς
τοσαύτης ἀποτομὴν ⟨ἐπὶ⟩ τῷ μετοικίζεσθαι δανεισάμενοι, χώραν δὲ καὶ
πόλεις κτησάμενοι κλῆρον ἴδιον ἐκ πολλοῦ νέμονται, ἀφ' οὗ τὰς ἀπαρχὰς
ὅσιόν ἐστι ποιεῖσθαι. δεύτερον δ' ὅτι οὔτε ἀπόβλητον καὶ τὴν ἐπι- 169
τυχοῦσαν ἀλλ' ἀγαθὴν καὶ πάμφορον γῆν ἔλαχον πρός τε ζῴων ἡμέρων
εὐγονίας καὶ καρπῶν ἀμυθήτων ἀφθονίαν· ἐν αὐτῇ γὰρ οὐδέν ἐστι
λυπρόγεων, ἀλλὰ καὶ ὅσα λιθώδη καὶ ἀπόκροτα εἶναι δοκεῖ φλεψὶ μα-
λακαῖς διέζωσται καὶ σφόδρα βαθείαις, αἳ διὰ πιότητα ζῳοφυτεῖν εἰσιν
ἀγαθαί. πρὸς δὲ τούτοις οὐκ ἔρημον χώραν ἔλαβον, ἀλλ' ἐν ᾗ πολυ- 170
άνθρωπον ἔθνος ἦν καὶ εὐανδροῦσαι μεγάλαι πόλεις· ἀλλ' αἱ μὲν ἐκενώ-
θησαν οἰκητόρων, τὸ δὲ σύμπαν ἔθνος ἔξω μέρους βραχέος ἠφανίσθη,
τὰ μὲν πολέμοις, τὰ δὲ καὶ θεηλάτοις προσβολαῖς, διὰ καινὰς καὶ
ἐκτόπους ἐπιτηδεύσεις ἀδικημάτων καὶ ὅσα μεγαλουργοῦντες ἐπὶ καθαιρέσει
τῶν τῆς φύσεως θεσμῶν ἠσέβουν, ἵνα οἱ ἀντὶ τούτων εἰσοικιζόμενοι τοῖς
ἑτέρων σωφρονισθῶσι κακοῖς, ἀναδιδαχθέντες ἔργοις ὅτι ζηλωταὶ μὲν
τῶν ⟨κακίας⟩ ἔργων γενόμενοι ταὐτὰ πείσονται, τιμήσαντες δ' ἀρετῆς
βίον ἕξουσι τὸν ἀπονεμηθέντα κλῆρον, οὐκ ἐν μετοίκοις ἀλλ' ἐν αὐτό-
χθοσιν ἐξετασθέντες. ὡς μὲν τοίνυν ἀπαρχὴ τὸ δράγμα τῆς τε οἰκείας 171
καὶ τῆς συμπάσης γῆς ἐστιν ἐπ' εὐχαριστίᾳ γινόμενον εὐθηνίας καὶ

---

1 διὰ addidi 2 ὅτι add. Tisch. οὐκ αἰεὶ M: οὐκέτι Tisch. 3 ἄϊδρυτοι M (Tisch.) 4 γῆς Tisch.: τῆς M 5 ⟨ἐπὶ⟩ τῷ μετοικίζεσθαι scripsi: τῶ μειονεκτεῖσθαι M (Tisch.) δανεισάμενοι M: διανειμάμενοι Tisch. 6 ἀφ' οὗ scripsi: ἀφ' ὧν M (Tisch.) 7. 8 ἐπιτυχοῦσαν Wendl.: ἀποτυχοῦσαν M; τυχοῦσαν Tisch. 9 εὐγονίας M Vind.: εὐγονίαν Tisch. 10 λυπρόγεων Nicet. Vind.: λυπηρὸν γονέων M 11 βαθείαις ⟨αὔλαξι⟩ coni. Mang. πιότητα M Nicet. Vind. (Tisch., coni. Mang.): πιστότητα v (Vat. Mon. et Hoesch. cod.) ζῳοφυτεῖν Nicet. Vind.: ζωοφυτεύειν M (Tisch.), ζωοφυεῖν v 15 καινὰς scripsi: κενὰς M (Tisch.) 19 κακίας addidi ταὐτὰ] ταῦτα M (Tisch.) 20 ἕξουσι scripsi: ἀνέξουσι M (Tisch.) 21 μὲν τοίνυν scripsi: μέντοι νῦν M (Tisch.) τῆς τε Tisch.: περί τε M; fortasse ὑπέρ τε ⟨τῆς⟩ scribendum, πατρίδος τε coni. Wendl.

8—12 Vind. hist. gr. 67 fol. 60r τοῦ αὐτοῦ: ἀγαθὴν μὲν καὶ πάμφορον γῆν ἔλαχες, ἄνθρωπε, πρός τε ζώων ἡμέρων εὐγονίας καὶ καρπῶν ἀμυθήτων ἀφθονίας· ἐν αὐτῇ γὰρ οὐδέν ἐστι λυπρόγεων (αι) · ἀλλὰ καὶ ὅσα λιθώδη καὶ ἀπόκροτ' εἶναι δοκεῖ φεψὶ (sic) μαλακαῖς διέζωσται καὶ σφόδρα βαθείαις, αἳ διὰ πιότητα ζωοφυτεῖν εἰσὶν ἀγαθαί.

εὐετηρίας, ᾗ τό τε ἔθνος καὶ τὸ σύμπαν ἀνθρώπων γένος ἐπόθει χρῆσθαι,
δεδήλωται. προσήκει δὲ μὴ ἀγνοεῖν, ὅτι πολλὰ διὰ τῆς ἀπαρχῆς καὶ
ὠφελιμώτατα παρίσταται· πρῶτον μὲν θεοῦ μνήμη, ἧς οὐκ ἔστιν εὑρεῖν
ἀγαθὸν τελειότερον, ἔπειτα δὲ τῷ πρὸς ἀλήθειαν αἰτίῳ τῆς εὐκαρπίας
172 ἀμοιβὴ δικαιοτάτη. τὰ μὲν γὰρ ἀπὸ τέχνης γεωργικῆς ὀλίγα καὶ τὸ
μηδέν, αὔλακας ἀναστεῖλαι ἢ περισκάψαι καὶ γυρῶσαι φυτὸν ἢ βαθῦναι
τάφρον ἢ τὰς περιττὰς ἐπιφύσεις ἀποτεμεῖν ἤ τι τῶν ὁμοιοτρόπων
ἐργάσασθαι, τὰ δ' ἐκ φύσεως ἀναγκαῖα πάντα καὶ χρήσιμα, γονιμώτατον
ἔδαφος, εὔυδρα χωρία πηγαῖς καὶ ποταμοῖς αὐθιγενέσι καὶ χειμάρροις
καὶ ἐτησίοις ὄμβροις καταρδόμενα, ἀέρος εὐκρασίαι ζωτικωτάταις αὔραις
ἐπιπνέοντος, αἱ σπαρτῶν καὶ φυτῶν ἰδέαι μυρίαι· τί γὰρ τούτων ἄνθρωπος
173 ἢ εὗρεν ἢ ἐγέννησεν; ἡ μὲν οὖν γεννήσασα φύσις τῶν ἰδίων ἀγαθῶν
οὐκ ἐφθόνησεν ἀνθρώπῳ, ζῴων δὲ τῶν θνητῶν ἡγεμονικώτατον αὐτὸν
εἶναι ὑπολαβοῦσα, διότι λόγου καὶ φρονήσεως κεκοινώνηκεν, ἀριστίνδην
εἵλετο καὶ πρὸς μετουσίαν τῶν ἰδίων ἐκάλεσεν· ὑπὲρ ὧν ἄξιον ἐπαι-
νεῖσθαί τε καὶ θαυμάζεσθαι τὸν ἑστιάτορα θεὸν τὴν ὡς ἀληθῶς ἑστίαν
γῆν ἅπασαν ἀεὶ πλήρη παρέχοντα τῶν οὐκ ἀναγκαίων μόνον ἀλλὰ καὶ
174 ⟨τῶν πρὸς⟩ τὸν ἁβροδίαιτον βίον. πρὸς δὲ τούτοις τὸ μὴ δεῖν εὐεργετῶν
ἀλογεῖν· ὁ γὰρ πρὸς τὸν ἀνεπιδεᾶ καὶ ἑαυτοῦ ⟨πλήρη⟩ θεὸν εὐχάριστος
γένοιτ' ἂν καὶ πρὸς ἀνθρώπους ἐξεθισθείς, οἳ μυρίων ὅσων ἐνδεεῖς
175 εἰσιν. κρίθινον δὲ τὸ τῆς ἀπαρχῆς δράγμα, πρὸς τὴν τῶν ὑποβεβηκότων

---

2 tit. τίς ἡ τῆς ἀπαρχῆς ὠφέλεια add. mg M 3 μνήμη M Nicet. (Tisch.): μνῆμα v 4 ἀγαθὸν scripsi: ἀγαθῶν M (Tisch.) 7 ἐπιφύσεις scripsi: ἐπιφυήσεις M (Tisch.)

17 τὸν οὐκ ἀναγκαίων (sic) M, corr. Tisch. 18 τῶν πρὸς add. Tisch. 19 πλήρη addidi 20 ἐξεθισθείς M: ἐξιλασθείς Tisch. 21 κρίθινον M Nicet. (Tisch.): κριθὴ v ὑποβεβηκότων Nicetae cod. Coisl. (coni. Mang., recepit Tisch.): ὑπερβεβηκότων M, ὑποβεβιωκότων v (Vat. Mon. et Hoesch. cod.) post ὑποβεβηκότων add. σπαρτῶν Nicetae cod. Coisl.

2—5 pergit Nicetas: πολλὰ μέντοι διὰ τῆς ἀπαρχῆς παρίσταται· πρῶτον μὲν θεοῦ μνήμη, ἔπειτα τῷ πρὸς ἀλήθειαν αἰτίῳ τῆς εὐκαρπίας ἀμοιβὴ δικαιοτάτη. 21 sqq. Lev. 23,14. cf. *Ioseph. Ant. Iud. III § 250* τῇ δὲ δευτέρᾳ τῶν ἀζύμων ἡμέρᾳ, ἕκτη δ' ἐστὶν αὕτη καὶ δεκάτη, τῶν καρπῶν οὓς ἐθέρισαν — οὐ γὰρ ἥψαντο πρότερον αὐτῶν — [μετα]λαμβάνουσι καὶ τὸν θεὸν ἡγούμενοι τιμᾶν δίκαιον εἶναι πρῶτον, παρ' οὗ τῆς εὐπορίας τούτων ἔτυχον, τὰς ἀπαρχὰς αὐτῷ τῆς κριθῆς ἐπιφέρουσι τρόπον τοιοῦτον. (251) φρύξαντες τῶν ἀσταχύων τὸ δράγμα καὶ πτίσαντες καὶ καθαρὰς πρὸς ἄλετον τὰς κριθὰς ποιήσαντες τῷ βωμῷ ἀσσαρῶνα προσφέρουσι τοῦ θεοῦ καὶ μίαν ἐξ αὐτοῦ δράκα ἐπιβαλόντες τὸ λοιπὸν ἀφιᾶσιν εἰς χρῆσιν τοῖς ἱερεῦσι· καὶ τότε λοιπὸν δημοσίᾳ ἔξεστι πᾶσι καὶ ἰδίᾳ θερίζειν. 21—129,7 pergit Nicetas: κρίθινον δὲ τὸ τῆς ἀπαρχῆς δράγμα — εἰς ἐπιτηδειότερον ἀνατέθεικε καιρόν.

ἀνυπαίτιον χρῆσιν· ἐπειδὴ γὰρ οὔτ' εὐαγὲς ἦν ἐκ πάντων ἀπάρχεσθαι, τῶν πλείστων πρὸς ἡδονὴν μᾶλλον ἢ τὴν ἀναγκαίαν χρῆσιν γεγονότων, οὔθ' ὅσιον ἀπολαῦσαι καὶ μετασχεῖν τινος τῶν πρὸς ἐδωδὴν μὴ ἐν οἷς εὐπρεπὲς καὶ θέμις εὐχαριστήσαντας, τὸ δευτερείοις τροφῆς τετιμημένον εἶδος, κριθήν, ἀπάρχεσθαι προσέταξεν ὁ νόμος· ὁ γὰρ τοῦ σίτου ⟨καρπὸς⟩ τὰ πρεσβεῖα ἔλαχεν, οὗ πάλιν τὴν ἀπαρχὴν ἐπιφανεστέραν οὖσαν εἰς ἐπιτηδειότερον ἀνατίθεται καιρόν, οὐ προεκφοιτῶν ἀλλ' ἐν τῷ παρόντι ταμιευόμενος ὑπὲρ τοῦ καὶ τὰς εὐχαριστίας ἡρμόσθαι χρόνων τεταγμέναις περιόδοις.

(21.) Τοσαύτας ἔχουσα προνομίας, ὁπόσας ἔδειξεν ὁ νόμος, ἡ ἐπὶ τῷ 176 δράγματι πανήγυρις προέορτός ἐστιν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἑτέρας ἑορτῆς μείζονος· ἀπὸ γὰρ ἐκείνης ἡμέρα πεντηκοστὴ καταριθμεῖται ἑπτὰ ἑβδομάσιν, ἀφέσεως ἱερὸν ἀριθμὸν ἐπισφραγιζομένης μονάδος, ἥτις ἐστὶν ἀσώματος θεοῦ εἰκών, ᾧ κατὰ τὴν μόνωσιν ἐξομοιοῦται. τοῦτο μὲν δὴ πρῶτον κάλλος ἐπιδείκνυται πεντηκοντάς. ἕτερον δὲ μηνυτέον· 177 θαυμαστὴ καὶ περιμάχητός ἐστιν ἡ φύσις ⟨αὐτῆς⟩ διά τε τἆλλα καὶ ἐπειδὴ συνέστηκεν ἐκ τοῦ στοιχειωδεστάτου καὶ πρεσβυτάτου τῶν ἐν οὐσίαις περιλαμβανομένων, ὥς φασιν οἱ ἀπὸ τῶν μαθημάτων, ὀρθογωνίου τριγώνου· μήκει μὲν γὰρ αἱ τοῦδε πλευραὶ τριῶν οὖσαι καὶ τεσσάρων καὶ πέντε συμπληροῦσιν ἀριθμὸν τὸν δώδεκα, τοῦ ζῳοφόρου κύκλου παράδειγμα, διπλασιασθείσης ἑξάδος τῆς γονιμωτάτης, ἥτις ἐστὶν ἀρχὴ τελειότητος, ἐκ τῶν ἰδίων συμπληρουμένη μερῶν, οἷς ἐξισοῦται·

1 οὔτ'] ὅτ' M 3 πρὸς ἐδωδὴν Nicet.: εἰς ἐδωδὴν M (Tisch.) μὴ ἐν οἷς M Nicet.: μὴ ἂν οἷς Tisch., εἰ μὴ οἷς v 4 εὐχαριστήσαντας M Nicet. (Tisch.): εὐχαριστήσαιτο v 5 κριθήν Nicet.: κρίθινον M (Tisch.) ἀπάρχεσθαι M Nicet. (Tisch.): ἀπάρξεσθαι v ὁ γὰρ M: ἡ γὰρ Nicet.; οὐ γὰρ v (Tisch.) καρπὸς addidi 6 ἀπαρχὴν] ἀρχὴν M 7 ἀνατίθεται M (Tisch.): ἀνατέθεικε Nicet. (v) καιρόν (non καρπόν) etiam M 10 προνομίας Nicet.: προνομὰς M 11 προέορτός Nicet.: προέορτόν M; προεόρτιόν Tisch. εἰ δεῖ τἀληθὲς εἰπεῖν om. Nicet. 12 ἀπὸ Nicet.: ἀλλὰ M ἡμέρα M (Tisch.): τῆς ἡμέρας Nicet. (v) καταριθμεῖται M (Tisch.): ἀριθμεῖται Nicet. (v) 12. 13 ἑπτὰ ἑβδομάσιν scripsi (cf. *de decal.* § *160*): ἑβδόμη ἑβδομάς M (Tisch.), ἑπτὰ ἑβδομάδες Nicet.; ἑπτὰ ἑβδομάδων v 13 ἀφέσεως scripsi (cf. *de congr. erud. gr.* § *109*): ἐφ' αἷς M (Tisch.), om. Nicet. 14 ᾧ M θεῷ Tisch. 15 πεντηκοντάς M: πεντηκοστῆς Tisch. 16 αὐτῆς addidi 18 περιλαμβανομένων scripsi: παραλαμβανομένων M (Tisch.) 20 τὸν ιβ' M 22 μερῶν scripsi: ἡμερῶν M (Tisch.) οἷς M: αἷς Tisch.

10—13 pergit Nicetas: τοσαύτας ἔχουσα προνομίας ἡ ἐπὶ τῷ δράγματι πανήγυρις—ἐπισφραγιζομένης μονάδος. 12 Lev. 23,15. 16. Deut. 16, 9. 10. cf. *Ioseph. Ant. Iud. III* § *252.*

δυνάμει δ', ὡς ἔοικεν, ἀπογεννῶσι τὸν πεντηκοστὸν διὰ τοῦ τρὶς τρία
καὶ τετράκις τέσσαρα καὶ πεντάκις πέντε, ὥστε ἀναγκαῖον εἶναι λέγειν
τοσούτῳ ⟨κρείττω⟩ δωδεκάδος εἶναι πεντηκοντάδα ὅσῳ καὶ τὸ δυνάμει
178 τοῦ μήκει. εἰ δὲ τοῦ ἐλάττονος εἰκών ἐστιν ἡ καλλιστεύουσα τῶν ἐν
οὐρανῷ σφαῖρα ἡ ζῳοφόρος, τίνος ἂν εἴη παράδειγμα τὸ κρεῖττον, ἡ
πεντηκοντάς, ἢ πάντως ἀμείνονος φύσεως; περὶ ἧς οὐ καιρὸς λέγειν·
αὔταρκες γὰρ ἐν τῷ παρόντι σεσημειῶσθαι τὴν διαφορὰν ὑπὲρ τοῦ μὴ
ἐν παρέργῳ προηγούμενον ἔργον τίθεσθαι.
179 Πρόσρησιν δ' ἔλαχεν ἡ κατὰ τὸν πεντηκοστὸν ἀριθμὸν ἐνισταμένη
ἑορτὴ πρωτογεννημάτων, ἐν ᾗ δύο ἐζυμωμένους ἄρτους ἐκ πυροῦ γεγο-
νότας ἔθος προσφέρειν ἀπαρχὴν σίτου, τῆς ἀρίστης τροφῆς. ὠνομάσθη
δὲ πρωτογεννημάτων ἢ διότι, πρὶν εἰς τὴν ἀνθρώπων χρῆσιν ἐλθεῖν τὸν
ἐπέτειον καρπόν, τοῦ νέου σίτου τὸ πρῶτον γέννημα καὶ ὁ πρῶτος παρα-
180 φανεὶς καρπὸς ἀπαρχὴ προσάγεται — δίκαιον γὰρ καὶ ὅσιον τὴν μεγίστην
λαβόντας παρὰ θεοῦ δωρεὰν ἀφθονίαν ἀναγκαιοτάτης ὁμοῦ καὶ ὠφελι-
μωτάτης ἔτι δὲ καὶ ἡδίστης τροφῆς μήτε ἀπολαῦσαι μήτε συνόλως
σπάσαι, πρὶν ἀπάρξασθαι τῷ χορηγῷ, διδόντας μὲν οὐδέν, αὐτοῦ γὰρ τὰ
πάντα καὶ κτήματα καὶ δωρεαί, διὰ ⟨δὲ⟩ βραχέος συμβόλου παραφαί-
νοντας εὐχάριστον καὶ θεοφιλὲς ἦθος πρὸς τὸν χαρίτων μὲν ἀνεπιδεᾶ
181 συνεχεῖς δὲ καὶ ἀενάους χάριτας ἄρδοντα — ἢ διότι κατ' ἐξοχὴν πρῶτον
καὶ ἄριστον γέννημα ὁ τοῦ σίτου καρπός ἐστιν, ἐν δευτέρᾳ τάξει

---

3 κρείττω addidi δωδεκάδος scripsi: δεκάδος M (Tisch.) 3. 4 τὸ δυνάμει τοῦ μήκει scripsi: τοῦ δυνάμει τὸ μήκει M (Tisch.) 4 εἰ δὲ Tisch.: ἡ δὲ M 5 ζῳοφόρος scripsi: ζωηφόρος M (Tisch.) 7 αὔταρκες Tisch.: αὐτάρκως M 9 tit. περὶ πεντηκοστῆς καὶ τῶν ἐζυμωμένων ἄρτων add. mg M 10 ἐν ᾗ — πρωτογεννημάτων (12) om. Nicetae codd. Vat. Coisl. 11 ἀπαρχὴν] ἐξ ἀρχῆς M 11. 12 ὠνομάσθη δὲ πρωτογεννημάτων om. v 13 τὸ πρῶτον γέννημα M Nicet.: τὸ om. v, τὸ πρωτογέννημα Tisch. 13. 14 παραφανεὶς Nicetae cod. Coisl. (Mang.): παραφανὴς v (Vat. Mon. et Hoesch. cod.), φανεὶς M (Tisch.) 15. 16 ἀναγκαιοτάτην ὁμοῦ καὶ ὠφελιμωτάτην M, corr. Tisch. 18 δὲ add. Tisch., om. M 18. 19 παραφαίνοντος M, corr. Tisch. 19 καὶ θεοφιλές om. Nicet. 19. 20 πρὸς — ἄρδοντα om. v 20 συνεχεῖς δὲ καὶ ἀεννάους M: ἀεννάους δὲ Nicet. 21 ἐν — σπαρτά (131,1) om. v ἐν δευτέρᾳ Nicet.: ἐν τῇ δευτέρα M (Tisch.)

9—131,1 pergit Nicetas: πρόσρησιν δ' ἔλαχεν — ἀπαρχὴ προσάγεται (14), ἵνα διὰ βραχέος συμβόλου παραφήνωσιν εὐχάριστον ἦθος πρὸς τὸν χαρίτων μὲν ἀνεπιδεᾶ, ἀεννάους δὲ χάριτας ἄρδοντα, ἢ διότι κατ' ἐξοχὴν πρῶτον καὶ ἄριστον γέννημα ὁ τοῦ σίτου καρπός ἐστιν, ἐν δευτέρᾳ τάξει τῶν ἄλλων καταριθμουμένων ὅσα σπαρτά (18—131,1). 10 Lev. 23,17. cf. *Ioseph. Ant. Iud. III § 252* . . . πεντηκοστήν, καθ' ἣν προσάγουσι τῷ θεῷ ἄρτων ἀλφίτων μὲν πυρίνων ἀσσαρῶνας δύο μετὰ ζύμης γεγονότων.

τῶν ἄλλων καταριθμουμένων ὅσα σπαρτά· καθάπερ γὰρ ἄρχων ⟨μὲν⟩ ἐν πόλει, κυβερνήτης δ' ἐν νηὶ πρῶτος εἶναι λέγεται, τῷ τὸν μὲν κατὰ πόλιν, τὸν δὲ κατὰ ναῦν ἀφηγεῖσθαί τε καὶ προφέρειν, τὸν αὐτὸν τρόπον καὶ ὁ τοῦ σίτου καρπὸς ὀνόματι συνθέτῳ πρωτογέννημα ὠνομάσθη διὰ τὸ πάντων ἄριστος εἶναι τῶν σπειρομένων· ἔδει γὰρ αὐτὸν καὶ τοῦ
p. 295 M. ζῴων ἀρίστου τροφὴν εἶναι. ἐζυμωμένοι δ' εἰσὶν οἱ ἄρτοι, τοῦ | νόμου 182
ζύμην ἐπὶ τὸν βωμὸν ἀναφέρειν ἀπειπόντος, οὐχ ἵνα διαμάχη τις ᾖ ἐν τοῖς προσταττομένοις, ἀλλ' ὑπὲρ τοῦ τρόπον τινὰ δι' ἑνὸς εἴδους λαβεῖν τε καὶ δοῦναι, λαβεῖν μὲν τὴν ἀπὸ τῶν προσφερόντων εὐχαριστίαν, δοῦναι δὲ εὐθὺς ἀνυπερθέτως τὰ κομιζόμενα τοῖς προσφέρουσιν, οὐ μὴν ὥστε χρῆσθαι· χρήσονται γὰρ τοῖς ἅπαξ καθιερωθεῖσιν οἷς ἔξεστί τε καὶ 183
ἐφίεται, ἔξεστι δὲ τοῖς ἱερωμένοις, οἳ τῶν προσαγομένων τῷ βωμῷ ὅσα μὴ ὑπὸ τοῦ ἀσβέστου πυρὸς ἀναλίσκεται τὴν μετουσίαν ἔλαβον φιλανθρωπίᾳ νόμου δοθεῖσαν ἢ μισθὸν ὑπηρεσιῶν ἢ γέρας ἀγώνων, οὓς ὑπὲρ εὐσεβείας ἀθλοῦσιν, ἢ κλῆρον ἱερόν, τοῦ κατὰ τὴν χώραν μὴ τὸν αὐτὸν τρόπον ταῖς ἄλλαις φυλαῖς τὸ ἐπιβάλλον μέρος δανεισάμενοι. σύμβολον 184
δ' ἐστὶ καὶ ἄλλων ἡ ζύμη δυεῖν· ἑνὸς μὲν ἐντελεστάτης καὶ ὁλοκλήρου τροφῆς, ἧς οὐκ ἔστιν εὑρεῖν ἐν τῇ καθ' ἡμέραν χρήσει κρείττονα καὶ λυσιτελεστέραν· κράτιστος δὲ καὶ ὁ τοῦ σίτου καρπὸς ἐν σπαρτοῖς, ὡς ἁρμόττειν ὑπὲρ τοῦ ἀρίστου ποιεῖσθαι τὴν ἀρίστην ἀπαρχήν. ἕτερον 185

---

1 μὲν addidi 6 τροφὴν εἶναι scripsi: εἶναι τροφήν M (Tisch.) οἱ om. Nicetae codd. Vat. Coisl. 7 ζύμην M Nicet. (Tisch.): ἄζυμα v διαμάχη Nicet.: διδαχὴ M 8 εἴδους Nicet.: ἔθνους M 8. 9 λαβεῖν τε καὶ δοῦναι M: δοῦναί τε καὶ λαβεῖν Nicet. 9 προσφερόντων Nicet.: προσφερομένων M (Tisch.) 10 δ' M εὐθὺς om. v (Vat. Mon. et Hoesch. cod.) κομιζόμενα M Nicet.: νομιζόμενα v (Tisch.) 11 χρῆσθαι om. v (non om. Hoesch.) 11. 12 ἔξεστί τε καὶ ἐφίεται M (Tisch.): ἔξεστιν (cet. om.) Nicet. (v) 12 τοῖς ἱερωμένοις M (Tisch.): τοῖς ἱερεῦσι Nicet. (v) 13. 14 φιλανθρωπίᾳ νόμου Tisch.: φιλανθρωπίαν ὁμοῦ M 14 μισθὸν ὑπηρεσιῶν Tisch.: μισθῶν ἢ ὑπηρεσιῶν M 15 τοῦ M: τῶν Tisch. 16 δανεισάμενοι M: διανειμάμενοι Tisch. 17 δ' om. Mang. δυεῖν Nicet. (Vat. Coisl.): δυοῖν M (v) ἐντελεστάτης Nicetae cod. Coisl. (sic scripseram): ἐντελεστάτου M Nicetae codd. alii (v) 18 οὐκ ἔστιν εὑρεῖν Nicet.: εὑρεῖν post λυσιτελεστέραν (19) transp. M (Tisch.) χρήσει Nicet.: κτήσει M κρείττονα] χρηστοτέραν Nicetae cod. Coisl. 19 κράτιστος M Nicetae cod. Coisl. (Tisch.): κράτιστον v (Vat. Mon. et Hoesch. cod.) 20 ἁρμόττειν Nicet.: ἁρμόττον M

6—12 pergit Nicetas: ἐζυμωμένοι δ' εἰσὶν οἱ ἄρτοι — ἔξεστι δὲ τοῖς ἱερεῦσι.
7 Lev. 2,11. 16—132,11 pergit Nicetas: σύμβολον δ' ἐστὶ — παρασκευὰς εὐτρεπισάμεθα.

δὲ συμβολικώτερον· πᾶν τὸ ἐζυμωμένον ἐπαίρεται· χαρὰ δὲ ψυχῆς
ἐστιν εὔλογος ἔπαρσις· ἐπ' οὐδενὶ δὲ τῶν ὄντων μᾶλλον χαίρειν πέφυκεν
ἄνθρωπος ἢ εὐπορίᾳ καὶ ἀφθονίᾳ τῶν ἀναγκαίων· ἐφ' οἷς ἄξιον γεγη-
θότας εὐχαριστεῖν, ποιουμένους ἀοράτου τῆς περὶ τὴν διάνοιαν εὐπα-
186 θείας αἰσθητὴν διὰ τῶν ἐζυμωμένων ἄρτων εὐχαριστίαν. ἄρτοι δ' εἰσὶν
[ἀλλ' οὐ σῖτος] ἡ ἀπαρχή, διὰ τὸ μηδὲν ἔτι ἐνδεῖν τῶν εἰς ἀπόλαυσιν
τροφῆς, σίτου γεγονότος· λέγεται γὰρ ὅτι τῶν σπαρτῶν ἁπάντων τελευ-
187 ταῖος ὁ πυρὸς γεννᾶσθαι πέφυκε καὶ πρὸς ἄμητον παρίστασθαι. δύο
δ' εἰσὶν ἄριστα δυοῖν χρόνων χαριστήρια, τοῦ τε παρεληλυθότος, ἐν ᾧ τῶν
ἐξ ἐνδείας καὶ λιμοῦ κακῶν οὐκ ἐπειράθημεν ἐν εὐετηρίᾳ διάγοντες, καὶ
τοῦ μέλλοντος, διότι τὰς εἰς αὐτὸν χορηγίας καὶ παρασκευὰς εὐτρεπι-
σάμεθα καὶ γέμοντες χρηστῶν ἐλπίδων ταμιευόμεθα τὰς τοῦ θεοῦ
δωρεὰς εἰς τὴν καθ' ἡμέραν προφέροντες αἰεὶ δίαιταν, ὅσων ἂν ⟨ᾖ⟩
χρεία κατὰ νόμους τῆς οἰκονομικῆς ἀρετῆς.
188 (22.) Ἑξῆς ἐστιν ἱερομηνία, καθ' ἣν ἅμα ταῖς ἀναγομέναις θυσίαις
ἐν τῷ ἱερῷ σαλπίζειν ἔθος· ἀφ' οὗ καὶ „σαλπίγγων" ἐτύμως ἑορτὴ προσ-
αγορεύεται, διττὸν λόγον ἔχουσα, τὸν μὲν ἴδιον τοῦ ἔθνους, τὸν δὲ
κοινὸν ἀνθρώπων ἁπάντων· ἴδιον μὲν ὑπόμνησιν τεραστίου καὶ με-
γαλουργηθέντος ἔργου, καθ' ὃν χρόνον τὰ λόγια τῶν νόμων ἐθεσπίζετο·
189 τότε γὰρ ἀπ' οὐρανοῦ φωνὴ σάλπιγγος ἐξήχησεν, ἣν εἰκὸς ἄχρι τῶν

---

1 ἐπαίρεται M Nicet. (Tisch.): ἐπαίρειν v (Mon. et Hoesch. cod.) χαρὰ Nicet.: χαρᾶς M 2 εὔλογος M Nicet. (Tisch.): ἄλογος v (Mon. et Hoesch. cod.) δὲ Nicet.: γὰρ M (Tisch.) μᾶλλον om. M 3 εὐπορίᾳ Nicet.: εὐρείᾳ M 3. 4 γεγηθότας M Nicetae cod. Coisl. (Tisch.): γεγηθότως v (Vat. Mon. et Hoesch. cod.) 6 ἀλλ' οὐ σῖτος seclusi ἔτι ἐνδεῖν M (Tisch.): ἐνδεῖν ἔτι Nicet. (v) 8 παρίστασθαι M Nicet. (Tisch.): παρίσταται v (Coisl. Mon. et Hoesch. cod.) 9 χρόνων M: χρόνοιν Nicet. παρεληλυθότος Nicet.: παρελθόντος M (Tisch.) post ἐν ᾧ add. καὶ M (Tisch.), om. Nicet. 11. 12 εὐτρεπισάμεθα Nicet. (ηὐτρ. v): ἐποιησάμεθα M 13 προφέροντες scripsi: προσφέροντες M (Tisch.) ὅσων Tisch.: ὅσον M ᾖ addidi 15 tit. περὶ ἱερομηνίας add. mg M ἑξῆς ἐστιν M (Tisch.): ἑξῆς δέ ἐστιν v (Mon. et Hoesch. cod.), ἑξῆς δὲ Nicet. (Vat. Coisl.) 16 ἐτύμως Nicet. (sic Mon., ἑτοίμως Coisl.): ἔτυμος M Nicetae cod. Vat. et Hoesch. cod.; ἐπώνυμος Tisch. ἑορτὴ Nicet.: ἡ ἑορτὴ M (Tisch.) 16. 17 προσαγορεύεται Nicet.: προσαγορεύεσθαι M 18 ἀνθρώπων ἁπάντων Nicet.: πάντων ἀνθρώπων M (Tisch.) 20 ἀπ' οὐρανοῦ Nicet.: ἐξ οὐρανοῦ M (Tisch.)

---

1. 2 cf. Diog. La. VII 116. 15—133,24 pergit Nicetas: ἑξῆς δὲ ἱερομηνία — ἐάσας ζωπυρηθῆναι. 16 Lev. 23,24. 20 Exod. 19,16. 19.

τοῦ παντὸς φθάσαι περάτων, ἵνα καὶ τοὺς μὴ παρόντας καὶ μόνον οὐκ
ἐν ἐσχατιαῖς κατοικοῦντας διὰ τοῦ συμβεβηκότος ἡ πτοία ἐπιστρέψῃ
λογισαμένους, ὅπερ εἰκός, ὅτι τὰ οὕτως μεγάλα μεγάλων ἀποτελεσμάτων
ἐστὶ σημεῖα· τί δὲ μεῖζον ἢ ὠφελιμώτερον εἰς ἀνθρώπους ἐλθεῖν ἐδύνατο
τῶν γενικῶν νόμων, οὓς προεφήτευσεν ὁ θεός, οὐ δι' ἑρμηνέως καθάπερ
τὰ ἐν εἴδει νόμιμα. τοῦτο μὲν ἐξαίρετον τοῦ ἔθνους· κοινὸν δὲ πρὸς 190
πάντας ἀνθρώπους ἐκεῖνο· ἡ σάλπιγξ ὄργανόν ἐστι πολέμου καὶ πρὸς τὴν
ι.296 M. κατ' ἐχθρῶν | ἐφόρμησιν, ὁπότε καιρὸς εἴη συμπλέκεσθαι, καὶ πρὸς
ἀνάκλησιν, ὁπότε διακρίνεσθαι δέοι πρὸς τὰ οἰκεῖα ἐπανελευσομένους
στρατόπεδα. ἔστι δὲ καὶ ἕτερος θεήλατος πόλεμος, ὅταν ἡ φύσις ἐν
ἑαυτῇ στασιάσῃ, τῶν μερῶν ἀντεπιτιθεμένων ἀλλήλοις, ἰσότητος εὐνο-
μωτάτης πλεονεξίᾳ τοῦ ἀνίσου κρατηθείσης. ὑπ' ἀμφοτέρων δὲ τῶν 191
πολέμων φθείρεται τὰ ἐπίγεια, πρὸς μὲν ἐχθρῶν δενδροτομίαις, δῃώ-
σεσιν, ἐμπρήσεσι τροφῶν καὶ πεδίων σταχυηφορούντων, ὑπὸ δὲ τῶν
κατὰ φύσιν αὐχμοῖς, ἐπομβρίαις, νοτίων βίαις πνευμάτων, φλογώσεσι
ταῖς ἀφ' ἡλίου, χιονώδει περιψύξει, τῆς ἁρμονίας τῶν ἐτησίων ὡρῶν
περιηχούσης εἰς ἀναρμοστίαν, ἕνεκά μοι δοκῶ τῆς οὐ κατὰ μικρὸν ἐπι-
πολαζούσης ἀλλ' ἀθρόῳ φορᾷ κεχυμένης ἀσεβείας, παρ' οἷς ἂν ταῦτα
γίνηται. διὰ τοῦτο καθάπερ ἐπώνυμον ἑορτὴν ὀργάνου πολεμικοῦ σάλ- 192
πιγγος ἀπέφηνεν ὁ νόμος, ἐπ' εὐχαριστίᾳ τοῦ εἰρηνοποιοῦ θεοῦ καὶ
εἰρηνοφύλακος, ὃς καὶ τὰς ἐν ταῖς πόλεσι καὶ τὰς ἐν τοῖς μέρεσι τοῦ
παντὸς στάσεις ἀνελὼν εὐθηνίας καὶ εὐετηρίας καὶ τῶν ἄλλων ἀγαθῶν
ἀφθονίαν ἀπειργάσατο, μηδὲν ἐμπύρευμα καρπῶν φθορᾶς ἐάσας ζωπυ-
ρηθῆναι.

---

1 καὶ μόνον — συμβεβηκότος (2) om. Nicet. 2 ἡ πτοία ἐπιστρέψῃ Nicet.: ἡ πτοία om. M (Tisch.); ἡ ποιὰ ἐπίστρεψις v 3 οὕτως M: οὕτω Nicet. 4 ἐδύνατο M: ἠδύνατο Nicet. 5 οὓς — τοῦ ἔθνους (6) om. Nicet. ὁ θεὸς ⟨αὐτός⟩ coni. Wendl. 7 πάντας Nicet.: ἅπαντας M (Tisch.) 7—10 καὶ πρὸς — στρατόπεδα] καὶ πρὸς ἐφόρμησιν καὶ πρὸς ἀνάκλησιν (cet. om.) Nicet. 10. 11 ὅταν . . . στασιάσῃ M Nicet. (Tisch.): ὅτε . . . στασιάζει v 11. 12 ἰσότητος — κρατηθείσης om Nicet. 13 φθείρεται Nicet.: φθείρονται M (Tisch.) τὰ ἐπίγεια Nicet.: τὰ πεδία M 13. 14 δενδροτομίαις — σταχυηφορούντων] δενδροτομίαις, ἐμπρήσεσιν (cet. om.) Nicet. 15 νοτίων βίαις πνευμάτων om. Nicet. 16 ταῖς ἀφ' ἡλίου M: τοῦ ἡλίου Nicet. (Vat. Coisl.) 17 ἕνεκα — ταῦτα γίνηται (19) om. Nicet. μοι δοκῶ M: μοι δοκεῖ Tisch. 19 καθάπερ M: om. Nicet.; καθάπερ εἶπον Tisch. 20 ἀπέφηνεν Nicet.: ἀπέφαινεν M εἰρηνοποιοῦ Nicet.: εἰρηνικοῦ M 20. 21 καὶ εἰρηνοφύλακος om. Nicet. 21 ταῖς om. Nicet. 22 εὐθηνίας M: εὐσθενίας Nicet. (εὐσθενείας Coisl.) 22. 23 καὶ τῶν ἄλλων ἀγαθῶν ἀφθονίαν om. Nicet.

193 (23.) Μετὰ δὲ τὴν τῶν σαλπίγγων ἄγεται νηστεία ἑορτή. τάχα ἂν
τις εἴποι τῶν ἑτεροδόξων καὶ ψέγειν τὰ καλὰ μὴ αἰδουμένων· ἑορτὴ
δ' ἐστὶ τίς, ἐν ᾗ μὴ συμπόσια καὶ συσσίτια καὶ ἑστιατόρων καὶ ἑστιω-
μένων θίασος καὶ πολὺς ἄκρατος καὶ τράπεζαι πολυτελεῖς καὶ χορηγίαι
καὶ παρασκευαὶ τῶν ἐν δημοθοινίᾳ πάντων εὐφροσύναι τε καὶ κῶμοι
σὺν ἀθύρμασι καὶ τωθασμοῖς καὶ παιδιὰ μετ' αὐλοῦ καὶ κιθάρας καὶ
τυμπάνων τε καὶ κυμβάλων καὶ τῶν ἄλλων ὅσα ⟨κατὰ⟩ τὸ παραλελυ-
μένον καὶ ἐκτεθηλυμμένον εἶδος μουσικῆς δι' ὤτων ἐγείρει τὰς ἀκα-
194 θέκτους ἐπιθυμίας; ἐν γὰρ τούτοις καὶ διὰ τούτων, ὡς ἔοικε, τὸ εὐφραί-
νεσθαι τίθενται ἀγνοίᾳ τῆς πρὸς ἀλήθειαν εὐφροσύνης· ἣν ὀξυδερκεστάτοις
ὄμμασιν ἰδὼν ὁ πάνσοφος Μωυσῆς τὴν νηστείαν ἑορτὴν ἀνεῖπε καὶ
ἑορτῶν τὴν μεγίστην πατρίῳ γλώττῃ „σάββατα σαββάτων" αὐτὴν ὀνο-
μάσας, ὡς δ' ἂν Ἕλληνες εἴποιεν, ἑβδομάδα ἑβδομάδων καὶ ἁγίων ἁγιω-
195 τέραν, διὰ πολλά· πρῶτον μὲν ⟨δι'⟩ ἐγκράτειαν, ἣν ἀεὶ καὶ πανταχοῦ
παραγγέλλων ἐν ἅπασι τοῖς κατὰ βίον ἐπιδείκνυσθαι πράγμασι διά τε
γλώττης καὶ γαστρὸς καὶ τῶν μετὰ γαστέρα νυνὶ δὲ διαφερόντως κελεύει
περιέπειν, ἐξαίρετον ἡμέραν ἀναθεὶς αὐτῇ· σιτίων γάρ τις καὶ ποτῶν
μαθὼν ἀλογεῖν τῶν οὕτως ἀναγκαίων τίνος οὐκ ἂν ὑπερίδοι τῶν περιτ-
τῶν, ἃ γέγονεν οὐ διαμονῆς καὶ σωτηρίας ἕνεκα μᾶλλον ἢ βλαβερωτάτης
196 ἡδονῆς; δεύτερον δὲ ἐπειδὴ πᾶσα ἀνάκειται λιταῖς καὶ ἱκεσίαις, περὶ
μηδὲν ἕτερον ἄχρις ἑσπέρας ἐξ ἑωθινοῦ τῶν ἀνθρώπων σχολὴν ἀγόντων

---

1 tit. περὶ νηστείας add. mg M   νηστεία ἑορτή M Nicet.: νηστείας ἑορτή v (Coisl. et Hoesch. cod.)   7. 8 κατὰ τὸ παραλελυμένον scripsi: τὸ παραλελυμένον M; παρὰ τὸ λελυμένον Tisch.   8 ἐκτεθηλυμμένον M (Tisch.)   12 σάββατα M Nicet. (Tisch.): σάββατον v (Coisl. Mon. et Hoesch. cod.)   αὐτὴν om. Nicet.   13 ἑβδομάδα ἑβδομάδων καὶ ἁγίων ἁγιωτέραν M (Tisch., coni. Mang.): ἑβδομάδες ἑβδομάδων καὶ (τῶν add. v) ἁγίων ἁγιώτεραι Nicet. (v)   14 δι' ἐγκράτειαν Tisch.: δι' om. M Nicet.   καὶ πανταχοῦ om. Nicet.   15 παραγγέλλων M Nicet. (Tisch.): παραγγέλλει v   ἐν ἅπασι τοῖς κατὰ βίον πράγμασι om. et ἐπιδείκνυσθαι post γαστέρα (16) transp. Nicet. (v)   16 νυνὶ δὲ M (Tisch.): δὲ om. Nicet. (v)   17 περιέπειν M Nicet. (Tisch.): om. v (Coisl. et Hoesch. cod.)   τις M Nicet. (Tisch., coni. Mang.): τοι v   πότων M   18 τίνος M Nicet. (Tisch.): τίνα v   18. 19 περιττῶν M Nicet. (Tisch): περισσῶν v (Mon. et Hoesch. cod.)   19 ἃ γέγονεν — ἡδονῆς (20) om. Nicet.   εἵνεκα M (Tisch.)   20 δ' M   ἐπειδὴ Nicet.: ὅτι M (Tisch.)   πᾶσα M (Tisch.): πᾶς Nicet. (v)   21 τῶν ἀνθρώπων M Nicet. (Tisch.): τῶν om. v

---

1 pergit Nicetas: μετὰ δὲ τὴν τῶν σαλπίγγων ἄγεται νηστεία ἑορτή.   12 Lev. 23,32.
12—135,10 pergit Nicetas: ἣν ἑορτῶν (ἑορτὴν v) τὴν μεγίστην Μωσῆς ἀνεῖπε πατρίῳ γλώττῃ σάββατα σαββάτων ὀνομάσας — ὡς ὑγείας ἢ ζωῆς αἰτίοις.

ἢ δεητικωτάτας εὐχάς, αἷς σπουδάζουσι τὸν θεὸν ἐξευμενίζεσθαι παραί-
τησιν ἁμαρτημάτων ἑκουσίων τε καὶ ἀκουσίων αἰτούμενοι καὶ χρηστὰ
ἐλπίζοντες, οὐ δι' ἑαυτοὺς ἀλλὰ διὰ τὴν ἵλεω φύσιν τοῦ συγγνώμην πρὸ
κολάσεως ὁρίζοντος. τρίτον δὲ διὰ τὸν καιρόν, ἐν ᾧ συμβέβηκε τὴν 197
νηστείαν ἄγεσθαι· κατὰ γὰρ τοῦτον ἤδη συγκεκόμισται πάντα ὅσα δι'
ἔτους ἤνεγκεν ἡ γῆ. τὸ μὲν οὖν εὐθὺς ἐμφορεῖσθαι τῶν γεγονότων
ἀπληστίας ὑπέλαβεν ἔργον εἶναι, τὸ δὲ νηστεῦσαι καὶ τροφῆς μὴ προσ-
άψασθαι παντελοῦς εὐσεβείας, ἥτις ἀναδιδάσκει τὴν διάνοιαν μὴ πεποι-
θέναι τοῖς εὐτρεπισθεῖσι καὶ παρεσκευασμένοις ὡς ὑγείας ἢ ζωῆς
αἰτίοις· ταῦτα γὰρ καὶ παρόντα πολλάκις ἔβλαψε καὶ μὴ παρόντα ὤνησε.
μόνον οὐκ ἄντικρυς, κἂν μηδὲν τῇ φωνῇ φθέγγωνται τὸ παράπαν, οἱ 198
μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν ἀπεχόμενοι σιτίων καὶ ποτῶν ἐκβοῶσι
ταῖς ψυχαῖς καί φασι ταῦτα· τὰς μὲν τῆς φύσεως χάριτας εἰλήφαμεν
ἄσμενοι καὶ ταμιευόμεθα, φθαρτὸν δὲ οὐδὲν ἐπιγραφόμεθά ποτε τῆς
ἡμετέρας διαμονῆς αἴτιον, ἀλλὰ τὸν γεννητὴν καὶ πατέρα καὶ σωτῆρα
τοῦ τε κόσμου καὶ τῶν ἐν κόσμῳ θεόν, ᾧ καὶ διὰ τούτων καὶ ἄνευ
τούτων τρέφειν θέμις καὶ διαφυλάττειν. ἰδοὺ γοῦν καὶ τοὺς ἡμετέρους 199
προγόνους μυριάσι πολλαῖς ἐρήμην ἀτριβῆ καὶ πᾶσαν ἄγονον διεξιόντας
97 M. γενεᾶς βίον ἔτη τεσσαράκοντα | διέθρεψεν ὡς ἐν βαθυγειοτάτῃ καὶ εὐφο-
ρωτάτῃ χώρᾳ, πηγὰς μὲν τότε πρῶτον ἀνατεμὼν εἰς ἄφθονον ποτοῦ
χρῆσιν, ὕων δὲ τροφὴν ἐξ οὐρανοῦ μήτε πλείονα μήτ' ἐλάττονα τῆς
διεξαρχούσης εἰς ἑκάστην ἡμέραν, ἵνα ἀταμιεύτοις χρώμενοι τοῖς ἀναγ-
καίοις μὴ πωλῶσιν ἀψύχων, ὧν ἂν ἐθησαυρίσαντο, τὰς ἀγαθὰς ἐλπίδας,

---

1 δεητικωτάτας εὐχάς M (Tisch., coni. Mang.): δεκτικωτάταις εὐχαῖς Nicet. (v) 2 ἑκουσίων τε καὶ ἀκουσίων om. Nicet. 2. 3 αἰτούμενοι ... ἐλπίζοντες M Nicet. (Tisch.): αἰτουμένων ... ἐλπιζόντων v 3 δι' ἑαυτοὺς Nicet.: δι' αὐτοὺς M (Tisch.) ἵλεω M Nicet.: ἵλεων v 4 δὲ om. M 5 πάντα Nicet.: πάνθ' M (Tisch.) 8 ἀναδιδάσκει Nicet.: ἅμα διδάσκει M 9 καὶ παρεσκευασμένοις om. Nicet. ὑγείας M Nicet. (Tisch): ὑγιείας v 12 καὶ ποτῶν om. Nicet. ἐκβοῶσι M (Tisch.): βοῶσι Nicet. 13 ταῖς — ταῦτα om. Nicet. 14 ταμιευόμεθα M Nicet. (Tisch.): ταμιευσόμεθα v (Mon. et Hoesch. cod.) δ' Nicet. ποτε om. Nicet. 15 αἴτιον M Nicet.: αἴταν (sic) Hoesch. in textu, αἴτιον in marg. γεννητὴν scripsi: γενέτην M (Tisch.) 15. 16 ἀλλὰ τὸν σωτῆρα τὸν (τῶν Coisl.) ἐν τῷ κόσμῳ θεόν (cet. om.) Nicet. 17 γοῦν Nicet.: γὰρ M (Tisch.) ἡμετέρους om. Nicet.
19 ἔτη μ' M

11—19 pergit Nicetas: οὐκοῦν οἱ μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν ἀπεχενοι σιτίων μονονουχὶ βοῶσι· τὰς μὲν τῆς φύσεως χάριτας — ἰδοὺ γοῦν καὶ τοὺς προγόνους ἐν ἐρήμῳ ἔτη τεσσαράκοντα διέθρεψεν. 17 sqq. cf. Deut. 8,2 sqq.

ἀλλὰ μικρὰ φροντίζοντες τῶν χορηγουμένων τὸν χορηγὸν θαυμάζωσι
καὶ προσκυνῶσι καὶ τοῖς ἁρμόττουσιν ὕμνοις καὶ εὐδαιμονισμοῖς γεραί-
200 ρωσιν. ἡ δὲ ἡμέρα τῆς νηστείας ἄγεται νόμου προστάξει δεκάτῃ μηνὸς
ἀεί. διὰ τί δὲ ἐν τῇ δεκάτῃ; ὡς ἐν τοῖς περὶ αὐτῆς λόγοις ἠκριβώ-
σαμεν, ὀνομάζεται μὲν ὑπὸ σοφῶν ἀνδρῶν παντέλεια, περιέχει δ' ἐν
αὑτῇ τὰς ἀναλογίας πάσας, τήν τε ἀριθμητικὴν καὶ τὴν ἁρμονικὴν καὶ
τὴν γεωμετρικήν, καὶ προσέτι τὰς ἁρμονίας, ἐπίτριτον τὴν διὰ τεσσάρων
καὶ ἡμιόλιον τὴν διὰ πέντε καὶ διπλασίαν τὴν διὰ πασῶν καὶ τετρα-
πλασίαν τὴν δὶς διὰ πασῶν, ἔχει δὲ καὶ τὸν ἐπόγδοον λόγον, ὡς εἶναι
πλήρωμα τῶν κατὰ μουσικὴν θεωρημάτων τελειότατον, ἀφ' οὗ καὶ ὠνό-
201 μασται παντέλεια. τὴν οὖν σιτίων καὶ ποτῶν ἔνδειαν προστέταχε κατ'
ἀριθμὸν τέλειον καὶ πλήρη γίνεσθαι τῆς δεκάδος διὰ τὰς τοῦ ἀρίστου
τῶν ἐν ἡμῖν ἀρίστας τροφάς, ἵνα μηδεὶς ὑπολάβῃ λιμὸν τὸ πάντων
ἀφορητότατον κακῶν εἰσηγεῖσθαι τὸν ἱεροφάντην, ἀλλὰ τῆς εἰς τὰς τοῦ
202 σώματος δεξαμενὰς φερομένης ἐπιρροῆς ἀνακοπὴν βραχεῖαν. οὕτως γὰρ
ἔμελλε διαυγὲς καὶ καθαρὸν τὸ ἀπὸ τῆς λογικῆς πηγῆς [εἰς καθαρὸν]
ἐπὶ ψυχὴν φέρεσθαι νᾶμα λείως, ἐπειδήπερ αἱ συνεχεῖς καὶ ἐπάλληλοι
τροφαὶ κατακλύζουσαι τὸ σῶμα καὶ τὸν λογισμὸν προσεπισύρουσιν, εἰ
δ' ἐπισχεθεῖεν, εὖ μάλα στηριχθεὶς ὡς ἐπὶ ξηρᾶς ἀτραποῦ καὶ λεωφόρου
τὴν πορείαν ἄπταιστον δυνήσεται ποιεῖσθαι τῶν θέας καὶ ἀκοῆς
203 ἀξίων ἐφιέμενος. ἄλλως τε ἁρμόττον ἦν, τῶν εἰς εὐθηνίαν ἁπάντων

---

3 δ' Nicet. δεκάτῃ M Nicet. (Mang., Tisch.): δεκάτου v (Coisl. et Hoesch. cod.) 5 παντέλει (sic) M 6 αὐτῇ M (Tisch.) 7 δ' M 8 ε' M 11 καὶ ποτῶν om. Nicet. πότων M προστέταχε (κται supra scr.) (sic) M: συντέταχε Nicet. (v); προστέτακται Tisch. καὶ ante κατ' add. M 12 καὶ πλήρη om. Nicet. τῆς δεκάδος om. Nicet. 13 τῶν M Nicet. (Tisch.): τοῦ v (Vat. et Hoesch. cod.) τὸ Nicet.: τὸν M 13. 14 πάντων ἀφορητότατον κακῶν Nicet. (π. ἀ. κακὸν v): πάντων κακῶν ἀφορητότατον M (Tisch.) 15 οὕτως M: οὕτω Nicet. 16 καὶ καθαρὸν om. Nicet. εἰς καθαρὸν om. Nicet., seclusi; εἰς καθαρὰν ἔτι ψυχὴν Tisch. 17 καὶ ἐπάλληλοι om. Nicet. 18 προσεπισύρουσιν mg M Nicet.: ἐπισύρουσιν M in textu 19 δὲ M (Tisch.) καὶ λεωφόρου om. Nicet. 20 ἄπταιστον δυνήσεται M Nicet. (Tisch.): δυνήσεται ἄπταιστον v (Mon. et Hoesch. cod.) 20. 21 τῶν — ἐφιέμενος om. Nicet. 21 εὐθηνίαν M: εὐσθένειαν Nicet.

3—5 pergit Nicetas: ἡ δὲ ἡμέρα τῆς νηστείας ἄγεται δεκάτῃ μηνός, ὅτι ἡ δεκὰς παντέλεια. 11—137,4 pergit Nicetas: τὴν οὖν σιτίων ἔνδειαν — ὑπὲρ τοῦ μὴ εἰς ἀληθῆ πεῖραν ἐλθεῖν ἀπορίας τῶν ἀναγκαίων.

κατὰ νοῦν κεχωρηκότων ἐπὶ τελείοις καὶ πλήρεσιν ἀγαθοῖς, ἐν εὐετηρίᾳ καὶ χορηγιῶν ἀφθονίᾳ λαβεῖν ἐνδείας ὑπόμνησιν ἀποχῇ σιτίων καὶ ποτῶν καὶ λιτὰς καὶ ἱκεσίας ποιεῖσθαι, ἅμα μὲν ὑπὲρ τοῦ μὴ εἰς ἀληθῆ πεῖραν ἐλθεῖν ἀπορίας τῶν ἀναγκαίων, ἅμα δὲ καὶ εὐχαριστοῦντας, ὅτι ἐν ἀγαθῶν περιουσίᾳ μέμνηνται κακῶν οὐ γενομένων. τούτων μὲν δὴ ἅλις.

(24.) Τελευταία δ' ἐστὶν ἑορτὴ τῶν ἐνιαυσίων προσαγορευομένη 204
σκηναί, καιρὸν ἔχουσα τὸν μετοπωρινῆς ἰσημερίας· ἐξ οὗ δύο παρίσταται, τό τε δεῖν ἰσότητα τιμᾶν ἀνισότητα ἐχθραίνοντας — ἡ μὲν γὰρ δικαιοσύνης ἐστίν, ἡ δὲ ἀδικίας ἀρχή τε καὶ πηγή, καὶ ἡ μὲν ἀσκίου φωτός, ἡ δὲ σκότους συγγενής — καὶ τὸ προσήκειν μετὰ τὴν ἁπάντων καρπῶν τελείωσιν εὐχαριστεῖν τῷ τελεσφόρῳ θεῷ καὶ πάντων τῶν ἀγαθῶν αἰτίῳ.
τὸ γὰρ μετόπωρον, ὡς καὶ αὐτὸ δήπου δηλοῖ τοὔνομα, καιρὸς ὁ μετὰ 205
τὴν ὀπώραν ἐστὶν ἤδη συγκεκομισμένην, καὶ φόρους τοὺς ἐτησίους καὶ δασμοὺς τοὺς ἀναγκαίους εἰσενηνοχότων ⟨τῶν⟩ σπαρτῶν τε καὶ τῶν δένδρων καὶ τῆς γῆς ὅσας τροφὰς ἐγέννησε ταῖς τῶν ἀμυθήτων ζῴων ἰδέαις ἡμέρων τε καὶ ἀγρίων ἀφθόνως παρεσχημένης, οὐ μόνον εἰς τὴν ἐν χερσὶ καὶ πρόσκαιρον ἀπόλαυσιν ἀλλὰ καὶ τὴν ὕστερον διὰ τὸ προμηθὲς τῆς φιλοζῴου φύσεως. καὶ μὴν ἐν σκηναῖς προστέτακται διαι- 206
τᾶσθαι τὸν χρόνον τῆς ἑορτῆς, ἤτοι διὰ τὸ μηκέτι εἶναι χρείαν ἐν ὑπαίθρῳ διάγειν τὰ περὶ γεωργίαν ἐκπονοῦντας, οὐδενὸς μὲν ὑπολειφ-

---

1 κατὰ νοῦν Nicet.: εἰς νοῦν M   καὶ πλήρεσιν om. Nicet., καὶ πλήρεσιν ἀγαθοῖς om. v   1. 2 εὐετηρίᾳ καὶ om. Nicet.   2 καὶ ποτῶν om. Nicet.   πότῶν (sic) M   3 καὶ ἱκεσίας om. Nicet.   ἅμα μὲν om. Nicet.   ὑπὲρ Nicet.: om. M (Tisch.)   7 tit. ἑορτὴ σκηνῶν add. mg M   ἐνιαυσίων M Nicet. (Tisch.): ἐνιαυσιαίων v (Vat. Mon. et Hoesch. cod.)   προσαγορευομένη Nicet.: προσαγορευόμεναι M   8 ἔχουσα M Nicet. (Tisch.): ἔχουσαι v (Coisl. Mon. et Hoesch. cod.)   9 δεῖν Nicet.: λίαν M   11 ἁπάντων καρπῶν Nicet.: τῶν καρπῶν M (Tisch.)   12 θεῷ — αἰτίῳ om. Nicet.   13 τὸ γὰρ Nicet.: τὸ μὲν γὰρ M (Tisch.)   καὶ om. v (Vat. et Hoesch. cod.)   δήπου M (Tisch.): που Nicet. (v)   14 καὶ ante φόρους fortasse secludendum   15 τῶν ante σπαρτῶν addidi   16 ὅσας Tisch.: ὅσα M   19. 20 διαιτᾶσθαι τὸν χρόνον Nicet.: τὸν χρόνον διαιτᾶσθαι M (Tisch.)

---

7 Lev. 23,34. Deut. 16,13,   7—19 pergit Nicetas: τελευταία δ' ἐστὶν ἑορτὴ τῶν ἐνιαυσίων προσαγορευομένη σκηναί, καιρὸν ἔχουσα τὸν μετοπωρινῆς ἰσημερίας· ἐξ οὗ δύο παρίσταται, τό τε δεῖν ἰσότητα τιμᾶν, τὴν δικαιοσύνης ἀρχὴν καὶ ἀσκίου φωτὸς συγγενῆ, καὶ τὸ προσήκειν μετὰ τὴν ἁπάντων καρπῶν τελείωσιν εὐχαριστεῖν τῷ τελεσφόρῳ. τὸ γὰρ μετόπωρον, ὡς καὶ αὐτό που δηλοῖ τοὔνομα, καιρὸς ὁ μετὰ τὴν ὀπώραν ἐστὶν ἤδη συγκεκομισμένην (14), διὰ τὸ προμηθὲς τῆς φιλοζῴου φύσεως (19).   19 Lev. 23,42.
19—138,3 pergit Nicetas: καὶ μὴν ἐν σκηναῖς — καὶ φορᾶς ὑετῶν.

θέντος ἔξω, πάντων δὲ καρπῶν ἐναποκειμένων σιροῖς καὶ τοιουτοτρόποις
χωρίοις διὰ τὰς εἰωθυίας βλάβας παρακολουθεῖν ἔκ τε φλογώσεως
207 ἡλιακῆς καὶ φορᾶς ὑετῶν — ὅτε μὲν γὰρ ἐν πεδίοις ἐστὶ τὰ τρέφοντα,
μὴ συγκλεισάμενος θαλαμαίου γυναικὸς τρόπον ἀλλὰ προελθὼν ἐπιμελητὴς
καὶ φύλαξ εἶ σὺ τῶν ἀναγκαίων· κἂν ὑπαιθρίῳ διατελοῦντί σοι προσ-
πίπτῃ κρυμὸς καὶ θάλπος, εἰσὶν ἔφεδροι ⟨καὶ⟩ σκιαὶ τὰ λάσια τῶν
δένδρων, οἷς ὑποστείλας τὴν ἀφ' ἑκατέρου δυνήσῃ βλάβην εὐμαρῶς
ἐκφυγεῖν· ὅταν δ' οἱ καρποὶ πάντες εἰσκομίζωνται, συνεισέρχου στεγανω-
τέρας διαίτης ἐφιξόμενος πρὸς ἀνάπαυλαν ἀντὶ καμάτων οὓς γεωπονῶν
ὑπέμεινας — ἢ δι' ὑπόμνησιν τῆς τῶν προγόνων μακρᾶς ὁδοιπορίας,
ἣν δι' ἐρήμου ποιούμενοι βαθείας σκηναῖς πολυετῆ χρόνον καθ' ἕκαστον
208 σταθμὸν ἐνδιῃτῶντο. προσήκει δὲ καὶ ἐν πλούτῳ πενίας μεμνῆσθαι
καὶ ἀδοξίας ἐν δόξῃ καὶ ἐν ἡγεμονίαις ἰδιωτικοῦ σχήματος καὶ ἐν
εἰρήνῃ κινδύνων τῶν ἐν πολέμῳ καὶ ἐπὶ γῆς χειμώνων τῶν κατὰ θάλασσαν
καὶ ἐν πόλεσιν ἐρημίας· ἡδονὴ γὰρ οὐκ ἔστι μείζων ἢ ἐν ταῖς ἄγαν
209 εὐπραγίαις ἔννοιαν ἔχειν παλαιῶν ἀτυχημάτων. πρὸς δὲ τῇ ἡδονῇ καὶ
ὄφελος οὐ μικρὸν εἰς ἀρετῆς ἄσκησιν ἐγγίνεται· λαβόντες γὰρ πρὸ ὀφθαλ-
μῶν τό τε εὖ καὶ τὸ χεῖρον καὶ τὸ μὲν ἀπεωσμένοι καρπούμενοι δὲ
τὸ ἄμεινον ἐξ ἀνάγκης εὐχάριστοι γίνονται τὸ ἦθος καὶ πρὸς εὐσέβειαν
παρορμῶνται φόβῳ τῆς πρὸς τἀναντία μεταβολῆς. ὅθεν καὶ ἐπὶ τοῖς
παροῦσιν ἀγαθοῖς τὸν θεὸν ᾠδαῖς καὶ λόγοις γεραίρουσι καὶ ὑπὲρ τοῦ
210 μηκέτι πειραθῆναι κακῶν λιπαροῦσι καὶ ἱκεσίαις ἐξευμενίζονται. πάλιν
δὲ ἡ ταύτης τῆς ἑορτῆς ἀρχὴ πεντεκαιδεκάτῃ μηνὸς ἐνίσταται, διὰ τὴν
λεχθεῖσαν καὶ ἐπὶ τῆς ἐαρινῆς ὥρας αἰτίαν, ἵνα μὴ μεθ' ἡμέραν μόνον

---

1 ἔξω om. Nicet. πάντων M (Tisch.): ἁπάντων Nicet. (v) καρπῶν M Nicet. (Tisch.): σμή (sic) v σιροῖς Nicet.: σωροῖς M 1. 2 καὶ τοιουτοτρόποις χωρίοις om. Nicet. 6 χρυμμὸς M, corr. Tisch. καὶ ante σκιαὶ addidi 10 ἢ δι' ὑπόμνησιν M Nicet. (Tisch): τὴν δὲ ὑπόμνησιν v 11 δι' ἐρήμου M Nicet. (Tisch.): δι' ἐρήμης v βαθείας Nicetae cod. Coisl. (Tisch., coni. Mang.): βαθείαις M Nicet. πολυετῆ χρόνον M Nicet. (Tisch.): πολυετοῦς χρόνου v 12 ἐνδιῃτῶντο Nicet. (Vat. Coisl.): ἐνδιαιτῶντο M (v); ἐνεδιαιτῶντο Tisch. 13 καὶ ἐν ἡγεμονίαις ἰδιωτικοῦ σχήματος om. Nicet. 15 ἡδονὴ ... μείζων Tisch.: ἡδονῆς ... μεῖζον M 23 δὲ ἡ Nicet. (Vat.): δὴ M (Tisch.), δὲ v (Coisl. Mon. et Hoesch. cod.)

---

10 Lev. 23,43. 10—14 pergit Nicetas: ἢ δι' ὑπόμνησιν — καὶ ἀδοξίας ἐν δόξῃ καὶ ἐν εἰρήνῃ κινδύνων. 23 Lev. 23,34. Num. 29,12. 22—139,19 pergit Nicetas: πάλιν δὲ ἡ ταύτης τῆς ἑορτῆς ἀρχὴ — τελευταία γάρ ἐστι τοῦ ἐνιαυτοῦ καὶ συμπέρασμα (139,6) σταθερώτερον καὶ παγιώτερον — πλαζομένων καὶ δεδιότων (139,12—14). ταῦτα ἐπὶ πλέον ἐμήκυνα — μητρὸς λόγον ἐχούσης (139,17—19).

ἀλλὰ καὶ νύκτωρ πλήρης ὁ κόσμος ᾖ τοῦ φύσει παγκάλου φωτός, ἡλίου
καὶ σελήνης κατ' ἐκείνην τὴν ἡμέραν ἀλλήλοις ἐπανατελλόντων αὐγαῖς
p. 298 M. ἀδιαστάτοις, ἃς | μεθόριον οὐ διακρίνει σκότος. ἑπτὰ δὲ ἡμέραις ὀγδόην 211
ἐπισφραγίζεται καλέσας „ἐξόδιον“ αὐτήν, οὐκ ἐκείνης, ὡς ἔοικε, μόνον
τῆς ἑορτῆς, ἀλλὰ καὶ πασῶν τῶν ἐτησίων, ὅσας κατηριθμησάμην καὶ
διεξῆλθον· τελευταία γάρ ἐστι τοῦ ἐνιαυτοῦ καὶ συμπέρασμα. τάχα 212
μέντοι καὶ πρῶτος κύβος, ὀγδοάς, ἐπενεμήθη ⟨τῇ⟩ ἑορτῇ διὰ τόδε· τῆς
μὲν δυνάμει στερεᾶς οὐσίας ἐστὶν ἀρχὴ κατὰ τὴν ἀπὸ τῶν ἀσωμάτων
μετάβασιν, τῆς δὲ νοητῆς συμπέρασμα· τὰ δὲ νοητὰ ταῖς παραυξήσεσι
πρὸς τὴν στερεὰν φύσιν * * *. καὶ ἡ μετοπωρινὴ μέντοι ἑορτή, 213
καθάπερ εἶπον, πλήρωμά τι καὶ συμπέρασμα τῶν ἐντὸς ἐνιαυτοῦ πασῶν
ἔοικεν εἶναι σταθερώτερον καὶ παγιώτερον, τὰς ἀπὸ τῆς χώρας προσόδους
εἰληφότων ἤδη καὶ μηκέτ' ἐνδοιασμοῖς τοῖς περὶ φορᾶς καὶ ἀφορίας
πλαζομένων καὶ δεδιότων· ἀνίδρυτοι γὰρ αἱ γεωπόνων φροντίδες, ἄχρις
ἂν οἱ καρποὶ συγκομισθῶσι, διὰ τὰς ἐφέδρους ἀπὸ μυρίων ὅσων ἀνθρώ-
πων τε καὶ θρεμμάτων ζημίας.

Ταῦτα ἐπὶ πλέον ἐμήκυνα διὰ τὴν ἱερὰν ἑβδόμην ἐπιδείξασθαι 214
βουλόμενος, ὅτι πάσας τὰς ἐτησίους ἑορτὰς συμβέβηκεν ὡς ἂν ἀπο-
γόνους ἑβδομάδος εἶναι μητρὸς λόγον ἐχούσης * * *
ἀφροσύναι καὶ εὐφροσύναι, καὶ διότι ἐν πανηγύρεσι καὶ ἱλαρῷ βίῳ τέρψεις
ἀμέτοχοι συννοίας καὶ κατηφείας συνίστανται σώματα καὶ ψυχὰς ἀνα-
χέουσαι, τὰ μὲν τῷ ἁβροδιαίτῳ, τὰς δὲ τῷ φιλοσοφεῖν.

---

1 ᾖ] εἴη Nicetae codd. Vat. Coisl. φύσει M Nicet. (Tisch.): om. v (Mon. et Hoesch. cod.) 3 ἀδιαστάτοις M Nicet. (Tisch., coni. Mang.): ἀδιαστίκτοις v (Mon. et Hoesch. cod.) ἃς Mang.: αἷς M Nicet. 4 ἐκείνης M Nicet. (Tisch.): ἐκείνην v 5 ἀλλὰ καὶ M (Tisch.): καὶ om. Nicet. κατηριθμησάμην M Nicet.: κατηριθμήσαμεν v 5. 6 καὶ διεξῆλθον om. Nicet. 6 τάχα μέντοι — ἔοικεν εἶναι (12) om. Nicet. 7 τῇ ἑορτῇ scripsi: ἑορτὴ M (Tisch.) 8 στερεᾶς scripsi: στερρᾶς M (Tisch.) 10 lacunam indicavi; πρὸς τὴν στερεὰν φύσιν ⟨μεταβαίνει⟩ vel ⟨πληροῦται⟩ conicio 12 σταθερώτερον Nicet.: σταδεώτερον M παγιώτερον M Nicet. (Tisch., coni. Mang.): ἁγιώτερον v (Coisl. Mon. et Hoesch. cod.) 13 ἐνδοιασμοῖς τοῖς Nicet.: ἐνδοιασμοὺς τοὺς M 14 πλαζομένων] πιεζομένων coni. Mang. (recepit Tisch.) δεδιότων Nicet.: δεδοικότων M (Tisch.) ἀνίδρυτοι — ζημίας (16) om. Nicet. ἀίδρυτοι M (Tisch.) γεωπόνων scripsi: γεηπόνων M (Tisch.) 17 ἑβδόμην M Nicet. (Tisch.): ἑβδομάδα v (Vat. Mon. et Hoesch. cod.) ἀποδείξασθαι conicio 19 ἐχούσης: sequuntur in M sine indicio lacunae verba ἀφροσύναι καὶ εὐφροσύναι κτλ., videntur autem plura ante haec intercidisse 21 σώματα scripsi: σῶμα M (Tisch.) 21. 22 ἀναχέουσαι Wendl.: ἀνασχοῦσαι M (v) 22 τὰ μὲν scripsi: τοῖς μὲν ut vid. M, τὰς μὲν Tisch.

---

3. 4 Lev. 23,36. Num. 29,35.

215 (1.) Ἔστι δέ τις παρὰ ταύτας ⟨οὐχ⟩ ἑορτὴ μὲν θεοῦ, ἑορτῆς δὲ ⟨συγ-
γενὴς⟩ πανήγυρις, ἣν καλοῦσι „κάρταλον“ ἀπὸ τοῦ συμβεβηκότος, ὡς
μικρὸν ὕστερον ἀποδείξομεν. τὸ μὲν οὖν μὴ ἑορτῆς ἔχειν ἀξίωμα καὶ
τάξιν δῆλον ἐκ πολλῶν· οὔτε γὰρ τοῦ ἔθνους ἐστὶν ὡς πάνδημος, οἷα
τῶν ἄλλων ἑκάστη, οὔτε τι τῶν προσαγομένων ἢ προσφερομένων ἐπὶ
τὸν βωμὸν καθαγιάζεται παραδιδόμενον τῷ ἀσβέστῳ πυρὶ καὶ ἱερῷ,
216 οὔθ' ἡμερῶν ἀριθμὸς ὃν χρὴ ⟨ταύτην⟩ ἑορτάζειν εἴρηται. (2.) τὸ δ'
ἑορτώδη τύπον ἔχειν καὶ ἐγγὺς ἵστασθαι πανηγυρικῆς ἀδείας εὐμαρῶς
κατίδοι τις ἄν. ἕκαστος γὰρ τῶν ἀγροὺς καὶ κτήσεις ἐχόντων ἀφ'
ἑκάστου τῶν ἀκροδρύων εἴδους ἀγγεῖα πληρώσας, καθάπερ ἔφην, ἃ
προσαγορεύουσι καρτάλους, ἀπαρχὴν τῆς εὐκαρπίας εἰς τὸ ἱερὸν κομίζει
γεγηθὼς καὶ στὰς ἀντικρὺ τοῦ βωμοῦ δίδωσι τῷ ἱερεῖ, τὸ πάγκαλον
καὶ θαυμάσιον ᾆσμα διεξιών, εἰ δὲ μὴ τύχοι μεμνημένος, ἀκούων παρὰ
217 τοῦ ἱερέως μετὰ προσοχῆς πάσης. ἔστι δὲ τοιόνδε ᾆσμα· „Συρίαν
ἀπέβαλον οἱ ἀρχηγέται τοῦ γένους ἡμῶν καὶ μετανέστησαν εἰς Αἴγυπτον.
ὀλίγος ὄντες ἀριθμὸς ηὐξήθησαν εἰς πλῆθος ἔθνους. οἱ ἀπόγονοι μυρία
κακωθέντες ὑπὸ τῶν ἐγχωρίων, οὐδεμιᾶς ἔτι φαινομένης ἐξ ἀνθρώπων
ἐπικουρίας, ἐγένοντο θεοῦ ἱκέται καταφυγόντες ἐπὶ τὴν ἐξ αὐτοῦ βοήθειαν.
218 προσδεξάμενος τὴν ἱκεσίαν ὁ πᾶσι τοῖς ἀδικουμένοις εὐμενὴς τοὺς μὲν
ἐπιτιθεμένους κατέπληξε σημείοις καὶ τέρασι καὶ φάσμασι καὶ τοῖς ἄλλοις
ὅσα κατ' ἐκεῖνον τὸν χρόνον ἐθαυματουργεῖτο, τοὺς δ' ἐπηρεαζομένους
καὶ πάσας ὑπομένοντας ἐπιβουλὰς ἐρρύσατο, οὐ μόνον εἰς ἐλευθερίαν
219 ἐξελόμενος, ἀλλὰ καὶ χώραν πάμφορον δούς. ἀπὸ τῶν ταύτης καρπῶν,
εὐεργέτα, σοὶ φέρομεν τὴν ἀπαρχήν, εἰ δὴ θέμις εἰπεῖν ἐστι κομίζειν
τὸν λαμβάνοντα· σαὶ γάρ, ὦ δέσποτα, χάριτες καὶ δωρεαὶ τὰ πάντα, ὧν
ἀξιωθέντες ἐναβρυνόμεθα καὶ ἐνευφραινόμεθα τοῖς ἀπροσδοκήτοις ἀγα-
220 θοῖς, ἅπερ οὐκ ἐλπίσασιν ἡμῖν ἔδωκας.“ (3.) τὸ ᾆσμα τοῦτο σχεδὸν
ἀπὸ θέρους ἐνισταμένου μέχρι μετοπώρου λήγοντος ἀδιαστάτως ὑφ'

---

1 tit. καρτάλου πανήγυρις add. mg M   ταύτας M (Tisch.): ταῦτα Mai   1. 2 οὐχ ante ἑορτὴ et συγγενὴς post δὲ addidi   2 κάρταλον M (sic ubique): κάρταλλον Mai   4 ὡς πάνδημος M (Tisch.): ἀπάνδημος Mai   οἷα scripsi: οἷαι M (v)   7 ταύτην addidi   δὲ Mai   8 ἵστασθαι scripsi: ἑστιᾶσθαι M (v)   ἀδείας] ἰδέας conicio   11 προσαγορεύουσι M (Tisch.): προσηγορεύουσι Mai   15 ἀπέβαλον scripsi: ἀπέβαλλον M (v)   16 μύρια Mai   17 οὐδεμιᾶς M: οὐδεμίας v   21 δ' M: δὲ Tisch.   24 δὴ Tisch.: δὲ M   26 ἐνευφραινόμεθα M (Tisch.): εὐφραινόμεθα Mai   26. 27. ἀγαθοῖς (non ἀγαθοῦ) M   28 ἀδιαστάτως M (Tisch.): ἀδιάστατον Mai

---

9sqq. Deut. 26,1—11. cf. *Ioseph. Ant. Iud. IV § 241.*

ἑτέρων καὶ ἑτέρων ᾄδεται δυσὶ καιροῖς, ὁλοκλήρῳ μέρει ἡμίσει τοῦ
ἐνιαυτοῦ, διὰ τὸ μὴ πάντας ἀθρόους κατὰ ῥητὴν προθεσμίαν τὰ ὡραῖα
δύνασθαι κομίζειν, ἀλλ' ἄλλοτε ἄλλους, ἔστι δ' ὅτε καὶ τοὺς αὐτοὺς ἀπὸ
τῶν αὐτῶν χωρίων. ἐπειδὴ γὰρ τῶν καρπῶν οἱ μὲν θᾶττον οἱ δὲ βρα- 221
δύτερον πεπαίνονται, καὶ διὰ τὰς τῶν τόπων διαφορὰς ἀλεεινοτέρων ἢ
κρυμωδεστέρων ὄντων καὶ διὰ μυρίας ἄλλας αἰτίας, εἰκότως ἀόριστός
ἐστι καὶ ἀπερίγραφος ὁ χρόνος τῆς τῶν ἀκροδρύων ἀπαρχῆς ἐπὶ μήκιστον
ἐκτεινόμενος. ἡ δὲ τούτων χρῆσις ἐπιτέτραπται τοῖς ἱερεῦσιν, ἐπεὶ γῆς 222
μὲν ἀποτομὴν οὐκ ἔλαχον οὐδὲ προσοδευομένας κτήσεις, κλῆροι δ' εἰσὶν
αὐτοῖς αἱ παρὰ τοῦ ἔθνους ἀπαρχαὶ ἀντὶ τῶν λειτουργιῶν, ἃς μεθ' ἡμέραν καὶ νύκτωρ ὑπομένουσι.

(4.) Τοσαῦτα μὲν περὶ ἑβδομάδος καὶ τῶν εἰς αὐτὴν ἀναφερο- 223
μένων ἔν τε ἡμέραις καὶ μησὶ καὶ ἐνιαυτοῖς καὶ περὶ ἑορτῶν, αἳ συγγένειαν ἔχουσι πρὸς ἑβδομάδα, διεξῆλθον ἑπόμενος εἱρμῷ τῶν προκειμένων κεφαλαίων κατὰ τὴν ἐν λόγοις ἀκολουθίαν. ἐπισκέψομαι δ' ἑξῆς τὸ ἑπόμενον, ὃ περὶ γονέων ἀναγέγραπται τιμῆς.

Περὶ γονέων τιμῆς.

(1.) Τέτταρα εἴδη πρότερον ὑπειπών, ἃ καὶ τῇ τάξει καὶ τῇ 224
δυνάμει πρῶτα ἦν ὡς ἀληθῶς, τό τε περὶ μοναρχίας ᾗ μοναρχεῖται ὁ κόσμος, καὶ τὸ περὶ τοῦ μηδὲν ἀπεικόνισμα καὶ μίμημα δημιουργεῖν θεοῦ, καὶ τὸ περὶ τοῦ μὴ ψευδορκεῖν ἢ συνόλως μάτην ὀμνύναι, καὶ τὸ περὶ τῆς ἱερᾶς ἑβδόμης, ἅπερ σύμπαντα τείνει πρὸς εὐσέβειαν καὶ ὁσιότητα, μέτειμι ἐπὶ τὸ πέμπτον τὸ περὶ γονέων τιμῆς, ὅ, καθάπερ ἐν τοῖς ἰδίᾳ περὶ αὐτοῦ λόγοις ἔδειξα, μεθόριον ἀνθρωπείων τε καὶ
θείων. οἱ γὰρ γονεῖς μεταξὺ θείας καὶ ἀνθρωπίνης φύσεώς εἰσι μετέ- 225
χοντες ἀμφοῖν· ἀνθρωπίνης μέν, ὡς ἔστι δῆλον, ὅτι καὶ γεγόνασι καὶ

---

3 καὶ τοὺς αὐτοὺς] vel αὐτοὺς secludendum vel κατὰ τοὺς αὐτοὺς ⟨χρόνους τοὺς⟩ corrigendum puto 5 τόπων Mai: τροπῶν M (Tisch.) 8 τούτων] ταύτης (scil. ἀπαρχῆς) conicio γῆς Tisch.: τῆς M (Mai) 9 ἀποτομὴν M (Tisch.): ἀποτομῆς Mai προσοδευομένας κτήσεις M (Tisch.): προσοδευομένης κτήσεως Mai
21 θεοῦ M (Tisch.): θεόν Mai 22 τῆς om. Mai σύμπαντα (sic) M
25 φύσεως Mel. Bar. Vind.: om. M (suppleverat Mai)

25—142,4 Mel. Barocc. fol. 235v Φίλωνος: ... οἱ γονεῖς μεταξὺ θείας — τὸ γένος ἀθανατίζουσιν. Vind. hist. gr. 67 fol. 57r: οἱ γὰρ γονεῖς μεταξὺ θείας — τὸ γένος ἀθανατίζουσι.

φθαρήσονται, θείας δ' ὅτι γεγεννήκασι καὶ τὰ μὴ ὄντα εἰς τὸ εἶναι
παρήγαγον· ὅπερ γάρ, οἶμαι, θεὸς πρὸς κόσμον, τοῦτο πρὸς τέκνα γονεῖς,
ἐπειδὴ ὡς ἐκεῖνος τῷ μὴ ὑπάρχοντι ὕπαρξιν κατειργάσατο, καὶ οὗτοι
μιμούμενοι καθ' ὅσον οἷόν τε τὴν ἐκείνου δύναμιν τὸ γένος ἀθανατίζουσιν.
226 (2.) ἄξιοι δ' οὐ διὰ τοῦτο μόνον τιμῆς πατήρ τε καὶ μήτηρ, ἀλλὰ καὶ
δι' ἕτερα πλείω. παρ' οἷς γὰρ λόγος ἀρετῆς ἐστί, πρεσβύτεροι νεω-
τέρων προκρίνονται καὶ διδάσκαλοι γνωρίμων καὶ εὐεργέται τῶν εὖ πε-
227 πονθότων καὶ ἄρχοντες ὑπηκόων καὶ δεσπόται δούλων. ἐν μὲν οὖν τῇ
ἀμείνονι τάξει κρίνονται γονεῖς, πρεσβύτεροι γάρ εἰσι καὶ ὑφηγηταὶ καὶ
εὐεργέται καὶ ἄρχοντες καὶ δεσπόται, ἐν δὲ τῇ ἐλάττονι υἱοὶ καὶ θυγα-
τέρες, νεώτεροι γὰρ καὶ μαθηταὶ καὶ εὖ πεπονθότες ὑπήκοοί τε καὶ
δοῦλοι. ὡς δ' οὐδὲν τούτων κατέψευσται, δῆλον μὲν ἐκ τῆς ἐναργείας·
αἱ δ' ἐκ λόγου πίστεις ἔτι μᾶλλον ἐπισφραγιοῦνται τὴν ἀλήθειαν.
228 (3.) λέγω τοίνυν, ὅτι τὸ ποιοῦν τοῦ γινομένου καὶ τὸ αἴτιον οὗπέρ
ἐστιν αἴτιον ἀεὶ πρεσβύτερόν ἐστιν· οἱ δὲ γεννήσαντες αἴτιοι καὶ δημι-
ουργοὶ τρόπον τινὰ τῶν γεννηθέντων εἰσί· καὶ οἱ μὲν ὑφηγητῶν ἔχουσι
τάξιν, ὅσαπερ ἂν εἰδότες τυγχάνωσι τοὺς παῖδας ἐκ πρώτης ἀναδιδά-
ξαντες ἡλικίας, καὶ οὐ μόνον τὰ περὶ τὰς ἐπιστήμας, [ἀσκοῦσι καὶ
νεάζουσιν] ἐναποματτόμενοι λογισμοὺς ἀκμάζουσι παίδων, ἀλλὰ καὶ τὰ
ἀναγκαιότατα τῶν πρὸς αἱρέσεις καὶ φυγάς, αἱρέσεις μὲν ἀρετῶν, φυγὰς
229 δὲ κακιῶν καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν. εὐεργέται μέντοι τίνες ἂν
εἶεν μᾶλλον ἢ παίδων γονεῖς, οἳ καὶ μὴ ὄντας εἰργάσαντο καὶ αὖθις
τροφῆς ἠξίωσαν καὶ μετὰ ταῦτα παιδείας τῆς κατά τε σῶμα καὶ ψυχήν,
230 [καὶ] ἵνα μὴ μόνον ζῶσιν, ἀλλὰ καὶ εὖ ζῶσι; τὸ μὲν οὖν σῶμα διὰ
τῆς γυμναστικῆς καὶ ἀλειπτικῆς ὠφέλησαν εἰς εὐτονίαν τε καὶ εὐεξίαν
σχέσεις τε καὶ κινήσεις εὐμαρεῖς, οὐκ ἄνευ ῥυθμοῦ καὶ τοῦ πρέποντος,
τὴν δὲ ψυχὴν διά τε γραμμάτων καὶ ἀριθμῶν γεωμετρίας τε καὶ μου-
σικῆς καὶ τῆς συμπάσης φιλοσοφίας, ἣ τὸν νοῦν εἰσῳκισμένον θνητῷ
σώματι μετέωρον αἴρουσα παραπέμπει μέχρις οὐρανοῦ καὶ τὰς ἐν αὐτῷ
μακαρίας καὶ εὐδαίμονας φύσεις ἐπιδείκνυται, ζῆλον ἅμα καὶ πόθον

2 ὅπερ γάρ M Vind.: καὶ ὅπερ Mel. Bar. τοῦτο] οὕτως Mai 3 εἰργάσατο Vind. 5 διὰ τοῦτο M (Tisch.): δι' αὐτὸ Mai 12 ἐναργείας scripsi: ἐνεργείας M (v) 18 τὰς ἐπιστήμας M (Tisch.): τὸ ἐπίστημα Mai 18. 19 ἀσκοῦσι καὶ νεάζουσιν seclusi 19 νεάζουσιν M: γυμνάζουσιν Mai (Tisch.) 21 κατ' αὐτὰς M (Tisch.): κατ' αὐτὸ Mai 24 καὶ ante ἵνα seclusi 26 σχέσεις M (Tisch.): σχήσεις Mai

2—4 Anton. Mel. II 9 Col. 1044 (Migne T. 136) Φίλωνος: ὅπερ οἶμαι θεὸς — τὸ γένος ἀθανατίζουσιν.

ἐνεργαζομένη τῆς ἀτρέπτου καὶ ἐναρμονίου τάξεως, ἣν οὐδέποτε λείπουσι
πειθόμεναι τῷ ταξιάρχῳ. πρὸς δὲ ταῖς εὐεργεσίαις καὶ τὴν ἐφ' οἷς 231
ἐγέννησαν ἀρχὴν ἔλαβον, οὐχ ὥσπερ ἐν ταῖς πόλεσι κατὰ κλῆρον ἢ
χειροτονίαν, ὡς αἰτιᾶσθαι δύνασθαι τὸν μὲν ὀλίσθῳ τύχης γενόμενον,
οὐ σὺν λογισμῷ, τὴν δὲ ὄχλου, πράγματος ἀνεξετάστου καὶ ἀνεπισκέπτου,
φορᾷ, γνώμῃ δὲ ἀρίστῃ καὶ τελειοτάτῃ τῆς ἄνω φύσεως, ᾗ καὶ τὰ
θεῖα καὶ τὰ ἀνθρώπινα σὺν δίκῃ πρυτανεύεται. (4.) διὰ τοῦτ' ἔξεστι 232
τοῖς πατράσι καὶ κακηγορεῖν [πρὸς] τοὺς παῖδας καὶ ἐμβριθέστερον
νουθετεῖν καί, εἰ μὴ ταῖς δι' ἀκοῶν ἀπειλαῖς ὑπείκουσι, τύπτειν καὶ
προπηλακίζειν καὶ καταδεῖν. ἂν μέντοι γε καὶ πρὸς ταῦτα ἀφηνιάζωσι
τῇ ῥύμῃ τῆς ἀνιάτου μοχθηρίας ἀπαυχενίζοντες, ἐπέτρεψεν ὁ νόμος καὶ
μέχρι θανάτου κολάζειν, ἀλλ' οὐκέτι μόνῳ πατρὶ ἢ μόνῃ μητρί, διὰ τὸ
μέγεθος τῆς τιμωρίας, ἣν οὐκ ἄξιον ὑφ' ἑνὸς ἀλλ' ὑπ' ἀμφοῖν δικα-
σθῆναι· συμφρονῆσαι γὰρ οὐκ εἰκὸς ἐπ' ἀναιρέσει τοῦ παιδὸς ἑκάτερον
τῶν γονέων, μὴ βαρυνόντων καὶ καθελκόντων τῶν ἀδικημάτων ὁλκῇ
τινι βεβαίῳ νικώσῃ τὴν ἐκ φύσεως ἐνιδρυμένην πάγιον εὔνοιαν. ἀλλ' 233
οὐκ ἀρχὴν μόνον καὶ ἡγεμονίαν τὴν ἐπὶ τέκνοις ἀλλὰ καὶ δεσποτείαν
γονεῖς ἔλαχον κατ' ἄμφω τὰς ἀνωτάτω θεραπόντων κτήσεως ἰδέας, τήν
τε ἐπ' οἰκότριψι καὶ ἀργυρωνήτοις· πολυπλασίους τε γὰρ τῆς ἀξίας τιμὰς
κατατιθέασιν εἴς τε παῖδας καὶ ὑπὲρ παίδων τιτθαῖς καὶ παιδαγωγοῖς
καὶ διδασκάλοις, δίχα τῶν εἰς ἐσθῆτας καὶ τροφὰς καὶ τὴν ἄλλην ἐπι-

---

2 πειθόμεναι scripsi: πειθόμενοι M (v) 5 σὺν λογισμῷ (sic; λ suprascr.) M (συλλογισμῷ Mai) τὴν δὲ M (Tisch.): τὸν δὲ Mai 6 γνώμης δὲ ἀρίστης καὶ τελειοτάτης M, corr. Tisch. ᾗ scripsi: ἣ M (v) 8 κακηγορεῖν scripsi: κατηγορεῖν M (v) πρὸς seclusi 9 ὑπείκωσι M (v) 10 κατάδειν (sic) M 11 ἐπαυχενίζοντες M, corr. Mai 12 πατρὶ ... μητρί M (Tisch.): πατέρι ... μητέρι Mai 13 ὑπ' ἀμφοῖν M (Tisch.): ὑπ' om. Mai 14 ἐπ' ἀναιρέσει M (Tisch.): ἐπ' ἀναιρέσεως Mai 16 ἐνεδρυμένην (sic) Mai 17 δεσποτείαν M: δεσπότειαν v 19 τ' M πολυπλασίους M (Tisch.): πολλαπλασίους Mai τιμὰς scripsi (coni. etiam Tisch.): τιμῆς M 21 τῶν M (Tisch.): τῆς Mai ἐσθῆτας καὶ τροφὰς M (Tisch.): ἐσθῆτα καὶ τροφὴν Mai

---

10sqq. Deut. 21,18sqq. cf. *Ioseph. Ant. Iud. IV § 260* ὅσοι δ' ἂν τῶν νέων περιφρονῶσι τοὺς γονεῖς καὶ τὴν τιμὴν αὐτοῖς μὴ νέμωσιν ἢ δι' αἰσχύνην ἢ διὰ σύνεσιν ἐξυβρίζοντες εἰς αὐτούς, πρῶτον μὲν λόγοις αὐτοὺς νουθετείτωσαν οἱ πατέρες, αὐτάρκεις γὰρ ἐφ' υἱάσιν οὗτοι δικασταί .... (264) ᾧ δ' ἂν οἱ λόγοι καὶ ἡ παρ' αὐτῶν διδασκαλία τοῦ σωφρονεῖν τὸ μηδὲν εἶναι φανῶσιν, ἐχθροὺς δ' ἀσπόνδους αὑτῷ ποιῇ τοὺς νόμους τοῖς συνεχέσι κατὰ τῶν γονέων τολμήμασι, προαχθεὶς ὑπ' αὐτῶν τούτων (οὗτος?) ἔξω τῆς πόλεως τοῦ πλήθους ἑπομένου καταλευέσθω . . .

μέλειαν ὑγιαινόντων τε καὶ καμνόντων ἐκ πρώτης ἡλικίας μέχρι τελείας· οἰκότριβές τε ἂν εἶεν οἱ μὴ μόνον οἴκοι γεννηθέντες ἀλλὰ καὶ [οἱ] ὑπὸ τῶν τῆς οἰκίας δεσποτῶν συνεισενεγκάντων τὰ πρὸς γένεσιν φύσεως θεσμοῖς
234 εἰσφορὰν ἀναγκαίαν. (5.) τοσούτων οὖν ὑπαρχόντων ἄξιον ⟨ἐπαίνου⟩ μὲν οὐδὲν δρῶσιν οἱ τιμῶντες ⟨τοὺς⟩ γονεῖς, ἐπεὶ καὶ ἓν τι τῶν εἰρημένων αὐταρκέστατον εἰς σεβασμὸν αὐτοὺς προκαλέσασθαι, ψόγου δὲ καὶ κατηγορίας καὶ τῆς ἀνωτάτω δίκης οἱ μήθ' ὡς πρεσβυτέρους αἰδούμενοι μήθ' ὡς ὑφηγητὰς ἀποδεχόμενοι μήθ' ὡς εὐεργέτας ἀμοιβῆς ἀξιοῦντες μήθ'
235 ὡς ἄρχουσι πειθαρχοῦντες μήθ' ὡς δεσπότας εὐλαβούμενοι. πατέρα, οὖν φησί, μετὰ θεὸν καὶ μητέρα τίμα δευτερείοις τοῖς γέρασιν ἀναδουμένους, ἅπερ ἡ φύσις ἀπένειμεν αὐτοῖς ἀθλοθετοῦσα. τιμήσεις δ' [ἐπ'] οὐδενὶ μᾶλλον ἢ πειρώμενος ἀγαθός τε εἶναι καὶ δοκεῖν εἶναι, ὧν τὸ μὲν τὴν ἄτυφον καὶ ἄπλαστον ἀρετὴν ἐπιζητεῖ, τὸ δὲ τὴν σὺν ὑπολήψει
236 χρηστῇ καὶ τῷ παρὰ τῶν συνόντων ἐπαίνῳ. μικρὰ γὰρ τῶν ἰδίων φροντίζοντες ὠφελειῶν τέλος εὐδαιμονίας νομίζουσι τὴν τῶν παίδων καλοκἀγαθίαν, δι' ἣν καὶ τοῖς προσταττομένοις θελήσουσιν ὑπακούειν ἐκεῖνοι καὶ ἐν ἅπασι καταπειθεῖς εἶναι τοῖς δικαίοις καὶ συμφέρουσιν· οὐδὲν γὰρ ἀλλότριον ἀρετῆς ὁ ταῖς ἀληθείαις ὑφηγήσεται πατὴρ παιδί.

237 (6.) Τεκμηριώσαιτο δ' ἄν τις τὴν πρὸς γονεῖς εὐσέβειαν οὐ μόνον ἐκ τῶν εἰρημένων, ἀλλὰ κἀκ τῆς πρὸς τοὺς ἥλικας ἐκείνων ἀποδοχῆς. ὁ γὰρ πρεσβύτην καὶ πρεσβῦτιδα οὐδὲν γένει προσήκοντας αἰδούμενος ἔοικέ πως ὑπομιμνήσκεσθαι πατρός τε καὶ μητρὸς καὶ ἀποβλέπων ὥσπερ
238 εἰς ἀρχέτυπα τεθειχέναι τὰς εἰκόνας ἐκείνων. ὅθεν ἐν τοῖς ἱεροῖς γράμμασιν οὐ μόνον προεδρίας ἐξίστασθαι διείρηται νέους πρεσβύταις, ἀλλὰ

---

2 alt. οἱ seclusi 3 τὰ M (Tisch.): τὴν Mai 4 ἐπαίνου add. Tisch. 5 τοὺς addidi 6 αὐτῶν coni. Wendl. 7 ἀνωτάτω M (Tisch.): ἀνωτάτης Mai post δίκης add. οὐκ ἄξιοι Mai 10 δευτερείοις τοῖς γέρασιν Tisch.: δευτερείοις τὴν γέρασιν M, δευτεραίαν τὴν γέρασιν Mai 11 αὐτοῖς Tisch.: αὐτοὺς M ἐπ' seclusi 12 δοκεῖν M (Tisch.): δοκῶν Mai 14 post γὰρ add. οἱ γονεῖς Mai 16 ἐθελήσουσιν fortasse scribendum ἐκεῖνοι M: ἐκείνους Mai (Tisch.) 18 ὁ (sic) ταῖς ἀληθείαις M: ὃ ταῖς ἀληθείαις Tisch., ἢ τῆς ἀληθείας Mai; ὁ τῆς ἀληθείας ⟨ἐρῶν⟩ conicio 20 κἀκ τῆς M (Tisch.): κἀκ τῶν Mai ἡλίκας Mai ἀποδοχῆς scripsi (cf. *de decal.* *§ 167*): ἀποχῆς M 22 ante καὶ ἀποβλέπων add. ὁ Mai 23 τεθειχέναι corruptum videtur; τεθεραπευκέναι coni Wendl.

---

9. 10 cf. *Ioseph. c. Ap. II § 206* γονέων τιμὴν μετὰ τὴν πρὸς θεὸν δευτέραν ἔταξεν καὶ τὸν οὐκ ἀμειβόμενον τὰς παρ' αὐτῶν χάριτας ἀλλ' εἰς ὁτιοῦν ἐλλείποντα λευσθησόμενον παραδίδωσι. *Ps.-Phocyl. 8* πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας. 23 Lev. 19,32.

καὶ παριοῦσιν ὑπανίστασθαι πολιὰν γήρως αἰδουμένους, εἰς ὅπερ ἐλπὶς
ἀφικέσθαι τοὺς προνομίας τοῦτ' ἀξιοῦντας. παγκάλως δέ μοι κἀκεῖνο 239
νενομοθετῆσθαι δοκεῖ· φησὶ γάρ· „ἕκαστος πατέρα τε ἑαυτοῦ καὶ μητέρα
φοβείσθω" (Lev. 19, 3), φόβον πρὸ εὐνοίας τιθείς, οὐχ ὡς πρὸς ἅπαν
ἄμεινον, ἀλλ' ὡς πρὸς τὸν παρόντα καιρὸν χρησιμώτερόν τε καὶ λυσιτε-
λέστερον. πρῶτον μὲν γὰρ τοῖς παιδευομένοις καὶ νουθετουμένοις ἄφροσιν
εἶναι συμβέβηκεν· ἀφροσύνη δ' οὐκ ἄλλῳ ἢ φόβῳ θεραπεύεται· δεύτερον
δ' ἁρμόττον οὐκ ἦν νομοθέτου παραγγέλμασι τοὺς παῖδας εὔνοιαν
διδάσκεσθαι τὴν πρὸς γονεῖς, ἣν αὐτοκέλευστον ἡ φύσις ἐξαιτεῖ, ⟨ἐκ⟩
σπαργάνων δὲ ταῖς ψυχαῖς τῶν οὕτως ἡνωμένων κατὰ γένος ἐνιδρύσατο.
διὸ φιλίαν μὲν τὴν πρὸς τοὺς γεννήσαντας ὡς αὐτομαθῆ καὶ αὐτοδί- 240
δακτον καὶ προστάξεως οὐ δεομένην ἀπέλιπε, φόβον δὲ προστάττει διὰ
τοὺς εἰωθότας ῥᾳθυμεῖν· ἐπειδὴ γὰρ γονεῖς παῖδας ὑπερβαλλούσῃ χρώ-
μενοι φιλοστοργίᾳ περιέπουσι καὶ πάντοθεν ἐκπορίζοντες αὐτοῖς τἀγαθὰ
χαρίζονται μηδένα πόνον ἢ κίνδυνον ὑπερτιθέμενοι, δυνάμεσιν ὁλκοῖς
εὐνοίας συνδεδεμένοι, τὸ λίαν φιλόστοργον αὐτῶν οὐ δέχονταί τινες ἐπ'
ὠφελείᾳ, τρυφὴν καὶ χλιδὴν ἐζηλωκότες καὶ θαυμάζοντες μὲν τὸν
ὑγρὸν βίον, διαρρέοντες δὲ κατά τε σῶμα καὶ ψυχήν, καὶ μηδὲν μέρος
ἐῶντες ὀρθοῦσθαι ταῖς οἰκείαις δυνάμεσιν, ἃς ὑποσκελίζοντες καὶ ἐκνευ-
ρίζοντες οὐκ ἐρυθριῶσιν ἕνεκα τοῦ μὴ δεδιέναι τοὺς σωφρονιστὰς πατέρας
καὶ μητέρας, ἐνδιδόντες καὶ ἐπιχαλῶντες ταῖς ἰδίαις ἐπιθυμίαις. ἀλλὰ καὶ 241
τούτοις ἀναγκαῖον παραινεῖν, ὅπως εὐτονωτέραις καὶ ἐμβριθεστέραις χρώ-
μενοι νουθεσίαις θεραπεύσωσι τὸν τῶν παίδων ῥοῦν, καὶ τοῖς παισίν,
ὅπως εὐλαβῶνται τοὺς * * * γινομένους δεδιότες καὶ ὡς ἄρχοντας καὶ
ὡς φύσει δεσπότας· μόλις γὰρ οὕτως ἀδικεῖν ὀκνήσουσι.

(7.) Τὰ μὲν δὴ κατὰ τὴν προτέραν δέλτον πέντε κεφάλαια νόμων 242
καὶ ὅσα τῶν κατὰ μέρος εἰς ἕκαστον ἐλάμβανε τὴν ἀναφορὰν διεξῆλθον.
χρὴ δὲ καὶ τὰς ὁρισθείσας ἐπὶ τῇ τούτων παραβάσει τιμωρίας δηλῶσαι.
κοινὸς μὲν οὖν ἐστι κατὰ πάντων θάνατος, δι' ἣν ἔχει τἀδικήματα πρὸς 243

---

3 νενομοθετεῖσθαι M, corr. Tisch. 7 δ' M (Mai): δὲ v 8 δ' M (Mai): δὲ v 9 αὐτοκέλευστον M (Tisch.): αὐτοκελευστὶ Mai 9. 10 ἐκ σπαργάνων Mai: σπαργανῶν (sic) M 11 διὸ φιλίαν Tisch.: δι' ὠφέλειαν M 15 χαρίζονται M (Tisch.): χαρίζοντες Mai ὁλκοῖς scripsi: ὅρκοις M 16 εὐνοίας Wendl.: εὐνοίαις M 17 χλίδην Mai 18 καὶ μηδὲν M (Tisch.): τὸ μηδὲν Mai 20 ἕνεκα τοῦ M (Tisch.): ἑνὸς ἑκάστου Mai 21 ἐνδιδόντας καὶ ἐπιχαλῶντας M (Tisch.), corr. Mai 22 ὅπως Tisch.: πῶς M ἐμβρυθεστέραις Mai 23 ῥοῦν scripsi: ῥόον M 24 τοὺς γινομένους M: τοὺς γεννήσαντας Tisch.; τοὺς ⟨τοῦ ζῆν αἰτίους⟩ γενομένους conicio 25 ὀκνήσ$\overset{\text{ου}}{\text{ω}}$σι (sic) M 26 δὴ M (Tisch.): δὲ Mai 29 δι' ἣν scripsi: δι' ὃν M

ἄλληλα συγγένειαν. αἰτίαι δὲ τῆς δίκης διάφοροι. ἀρκτέον δ' ἀπὸ τοῦ
τελευταίου τοῦ πρὸς γονεῖς, ἐπειδὴ καὶ περὶ αὐτοῦ λόγος ἔναυλος. ἐάν,
φησί, τις τυπτήσῃ πατέρα ἢ μητέρα, καταλευέσθω· πάνυ δικαίως· οὐ
244 γὰρ θέμις ζῆν τῷ προπηλακίζοντι τοὺς τοῦ ζῆν αἰτίους. ἀλλ' ἔνιοι τῶν
εὐπαρύφων καὶ νομοθετῶν πρὸς δόξας ἀπιδόντες μᾶλλον ἢ τὴν ἀλήθειαν
ἐκομψεύσαντο κατὰ πατροτυπτῶν ὁρίσαντες χειρῶν ἀποκοπήν, ὑπὲρ τοῦ
παρὰ τοῖς εἰκαιοτέροις καὶ ἀνεξετάστοις εὐδοκιμῆσαι νομίζουσιν ἁρμόττον
245 εἶναι τὰ μέρη οἷς ἐτύπτησαν τοὺς γονεῖς ἀκρωτηριάζεσθαι. ἔστι δ'
εὔηθες τοῖς ὑπηρετηκόσι πρὸ τῶν αἰτίων δυσχεραίνειν, τὴν γὰρ ὕβριν
οὐ χεῖρες ἀλλὰ διὰ χειρῶν ὑβρισταὶ δρῶσιν, οὓς ἀναγκαῖον κολάζειν·
εἰ μὴ καὶ τοὺς ἀνδροφονήσαντας ξίφει μεθετέον ὑπερόριον τὸ ξίφος
ῥίψαντας, καὶ τοὐναντίον τοῖς ἀριστεύσασιν ἐν πολέμῳ τιμὰς οὐ δοτέον,
246 ἀλλὰ ταῖς ἀψύχοις παντευχίαις, δι' ὧν ἠνδραγαθίσαντο· μὴ καὶ τῶν ἐν
γυμνικοῖς ἀγῶσι στάδιον ἢ δίαυλον ἢ δόλιχον νενικηκότων ἢ πυγμὴν ἢ
παγκράτιον σκέλη καὶ χεῖρας αὐτὸ μόνον ταινιοῦν ἐπιχειρήσουσιν ὅλα
τὰ σώματα τῶν ἀθλητῶν παρέντες; γέλως μέντ' ἂν εἴη τὰ τοιαῦτ'
εἰσηγεῖσθαι, ⟨τὰ⟩ ὧν οὐκ ἄνευ κολάζοντας ἢ τιμῶντας, δέον τοὺς αἰτίους·
οὐδὲ γὰρ μουσικὴν ἐπιδεικνύμενόν τινα δι' αὐλῶν ἢ λύρας καὶ σφόδρα
κατορθοῦντα παραμειψάμενοι τὰ ὄργανα κηρυγμάτων καὶ τιμῶν ἀξιοῦμεν.
247 τί οὖν ἔδει πατροτύπτας, ὦ γενναῖοι νομοθέται, χειροκοπεῖν; ἢ ἵνα πρὸς
τῷ εἶναι μηδὲν χρήσιμοι τὸ παράπαν καὶ δασμὸν οὐκ ἐτήσιον ἀλλ' ἐφή-
μερον ἀναπράττωσι παρὰ τῶν ἠδικημένων τροφὰς ἀναγκαίας ἅτε πορίζειν
ἀδυνατοῦντες; οὐ γὰρ σιδήρειος πατήρ ἐστί τις οὕτως, ὡς λιμῷ περιϊδεῖν
248 θνῄσκοντα υἱόν, καὶ ταῦτα χρόνῳ τῆς ὀργῆς ἀμαυρουμένης. κἂν μὴ
ἐπενέγκῃ μέντοι χεῖρας, κακηγορῇ δ' οὓς χρέος ἀναγκαῖον εὐφημεῖν ἢ
καὶ τρόπῳ ἑτέρῳ δρᾷ τι τῶν ἐπ' ἀτιμίᾳ γονέων, θνῃσκέτω· κοινὸς
γὰρ ἐχθρὸς καί, εἰ δεῖ τἀληθὲς εἰπεῖν, δήμιος ἁπάντων· ἐπεὶ τίνι

---

2 ἐάν M (Tisch.): ἄν Mai 3. 4 οὐ γὰρ M (Tisch.): οὔτε Mai 9 αἰτίων M (Tisch.): αἰτιῶν Mai 11 μεθετέον Mai: μετέθεον M ὑπερόριον M (Tisch.): ὑπερορίους Mai 13 ἠνδραγαθίσαντο scripsi: ἠνδραγαθήσαντο M (v) 14 δολιχὸν M (Tisch.) 15 αὐτὸ μόνον scripsi. αὐτῶν μόνον M ἐπιχειρήσωσιν Mai 17 τὰ add. Wendl. ὧν οὐκ ἄνευ κολάζοντας ἢ τιμῶντας M: ὧν οὐκ ἄνευ κολάζειν ἢ τιμᾶν Mai, δι' ὧν οὐκ ἂν εἴη κολάζειν ἢ τιμᾶν Tisch. 19 παραμειψάμενοι Wendl.: παραλειψάμενοι M in textu (v), παρακαλυψάμενοι mg M 21 τῷ Wendl.: τὸ M (v) 23 σιδήρειος Tisch.: σιδήριος M 24 καὶ ταῦτα M (Tisch.): τὸν ταῦτα ⟨ἐξημαρτηκότα⟩ Mai 25 κακηγορῇ scripsi: κακηγορεῖ M (v) 27 ἐπεὶ scripsi: ἐπὶ M

---

3 Exod. 21,15. 25 Exod. 21,16. Lev. 20,9.

γένοιτ᾽ ἂν εὐμενὴς ἄλλῳ ὁ μηδὲ τοῖς αἰτίοις τοῦ ζῆν, δι᾽ οὓς εἰς γένεσιν ἦλθεν, ὧν ἐστι προσθήκη;

(8.) Πάλιν δ᾽ ὁ τὴν ἱερὰν ἑβδόμην βέβηλον ἀποφήνας τό γ᾽ ἐπ᾽ 249
αὐτὸν ἧκον μέρος ὑπόδικος ἔστω θανάτου. τοὐναντίον γὰρ τοῖς βεβήλοις καὶ πράγμασι καὶ σώμασι καθαρσίων εὐπορητέον εἰς τὴν ἀμείνω μεταβολήν, ἐπειδὴ „φθόνος", ὥς ἔφη τις, „ἔξω θείου χοροῦ βαίνει". τὸ δὲ τολμᾶν τὰ καθωσιωμένα παραχόπτειν καὶ παραχαράττειν ὑπερβάλλουσαν ἀσέβειαν ἐμφαίνει. κατὰ τὴν παλαιὰν ἐκείνην ἐξ Αἰγύπτου μετα- 250
νάστασιν ἡνίκα δι᾽ ἐρήμης ἀτριβοῦς ἅπασα ἡ πληθὺς ὡδοιπόρει, γενομένης ἑβδόμης αἱ μὲν τοσαῦται μυριάδες, ὅσας ἐδήλωσα πρότερον, ἐν ταῖς σκηναῖς κατὰ πολλὴν ἡσυχίαν διέτριβον, εἷς δ᾽ οὐχὶ τῶν ἠμελημένων καὶ ἀφανῶν ὀλίγα φροντίσας τῶν διατεταγμένων καὶ χλευάσας τοὺς φυλάττοντας ἐξῄει μὲν ἐπὶ φρυγανισμόν, ἔργῳ δ᾽ εἰς παρανομίας
ἐπίδειξιν. καὶ ὁ μὲν ὑπέστρεφεν ἀγκαλίδα ἀγαγών, οἱ δὲ τῶν σκηνῶν 251
ἐκχυθέντες, καίτοι παρατεθηγμένοι, νεώτερον οὐδὲν ἕνεκα τοῦ περὶ τὴν ἡμέραν ἱεροπρεποῦς εἰργάσαντο, πρὸς δὲ τὸν ἄρχοντα ἀγαγόντες τὸ ἀσέβημα μηνύουσιν· ὁ δ᾽ εἰς εἱρκτὴν ἀποθέμενος, ἐκπεσόντος λογίου καταλεύειν τὸν ἄνθρωπον, ἐκδίδωσι τοῖς πρῶτον θεασαμένοις εἰς ἀπώλειαν. ὡς γάρ, οἶμαι, πῦρ ἐναύειν ἑβδόμαις οὐκ ἐπιτέτραπται — δι᾽ ἣν πρόσθεν αἰτίαν εἶπον —, οὕτως οὐδὲ τὰ πυρὸς ἐκκαύματα συλλέγειν.

(9.) Τοῖς μάρτυρα καλοῦσιν ἐπὶ μὴ ἀληθεῖ θεὸν ὥρισται δίκη 252
θανάτου· προσηκόντως· οὐδὲ γὰρ ἄνθρωπος τῶν μετρίων ἀνέξεταί ποτε παρακληθεὶς συνεπιγράψασθαι ψεύδεσιν, ἀλλ᾽ ἐχθρὸν ἄπιστον ὑπολαβεῖν ἄν μοι δοκεῖ τὸν εἰς ταῦτα προτρέποντα. ὅθεν ῥητέον· τὸν 253
ὀμνύντα μάτην ἐπ᾽ ἀδίκῳ θεὸς ὁ τὴν φύσιν ἵλεως οὔποτε τῆς αἰτίας

---

1 ὁ om. Mai; εἰ coni. Tisch. 7 καθωσϊμένα (sic) M, corr. Tisch.: καθόσιμα (sic) Mai 8 ἐμφαίνει M (Tisch.): ἐκφαίνει Mai 10 ἑβδόμης scripsi: ἑβδομάδος M 13 ἐξῄει scripsi: ἐξίει M δ᾽ M: δὲ Tisch. 15 ἐκχυθέντες Tisch.: ἐκκαυθέντες M 19 γὰρ M (Tisch.): οὖν Mai ἐναύειν Mai: ἐν δυοῖν M ἑβδόμαις M (Tisch.): ἑβδομάσιν Mai 19. 20 δι᾽ ἣν αἰτίαν, πρόσθεν εἶπον Richt., δι᾽ ἣν πρόσθεν εἶπον αἰτίαν conicio 21 tit. κατὰ ψευδόρκων add. mg M ἀληθεῖ scripsi: ἀληθῆ M 24 δοκῆ M, corr. Richt. (Tisch.) 25 θεὸς M Bar. Ant. (Tisch.): θεὸν Mai

---

3 Exod. 31,14. 15. 35,2. 6 Plat. Phaedr. 247a. 8 sqq. Num. 15,32—36. 19 Exod. 35,3. 21 Deut. 19,16—19. 24—148,2 Mel. Barocc. fol. 105v Anton. Mel. II 64 Col. 1157 (Migne T. 136) Φίλωνος: τὸν ὀμνύντα μάτην — τὰς ἀπ᾽ ἀνθρώπων τιμωρίας.

ἀπαλλάξει· δυσκάθαρτον καὶ μιαρὸν ὄντα, κἂν διαφύγῃ τὰς ἀπ' ἀνθρώπων
τιμωρίας. διαδράσεται δ' οὐδέποτε· μυρίοι γὰρ ἔφοροι, ζηλωταὶ νόμων,
φύλακες τῶν πατρίων ἀκριβέστατοι, ἐπὶ καταλεύσει τι δρῶσιν ἀμει-
λίκτως ἔχοντες· εἰ μὴ ἄρα ἐπὶ μὲν ἀτιμίᾳ πατρὸς ἢ μητρὸς φονᾶν ἄξιον,
ἐπὶ δ' ὀνόματι τῷ καὶ αὐτῆς εὐκλεεστέρῳ σεμνότητος ὑπ' ἀσεβῶν ἀτι-
254 μουμένῳ μετριώτερον οἰστέον. ἀλλ' οὐχ οὕτως ἐστί τις ἀνόητος, ὡς
ἕνεκα τῶν ἐλαττόνων κτείνων τοὺς αἰτίους ἐπὶ τοῖς μείζοσιν ἐᾶν· μεῖζον
δ' ἀσέβημα τοῦ πρὸς γονεῖς κακηγορουμένους καὶ ὑβριζομένους τὸ περὶ
255 τὴν ἱερὰν πρόσρησιν θεοῦ γενόμενον ἐκ ψευδορκίας. εἰ δὲ ὁ μὴ προσ-
ηκόντως ὀμνὺς ὑπαίτιος, πόσης ἄξιος τιμωρίας ὁ τὸν ὄντως ὄντα θεὸν
ἀρνούμενος καὶ τοὺς γεγονότας πρὸ τοῦ πεποιηκότος τιμῶν καὶ μὴ
μόνον γῆν ἢ ὕδωρ ἢ ἀέρα ἢ πῦρ, τὰ στοιχεῖα τοῦ παντός, ἢ πάλιν
ἥλιον καὶ σελήνην καὶ πλάνητας καὶ ἀπλανεῖς ἀστέρας ἢ τὸν σύμπαντα
οὐρανόν τε καὶ κόσμον σέβειν ἀξιῶν, ἀλλὰ καὶ ὅσα θνητοὶ δημιουργοὶ
κατεσκεύασαν ξύλα καὶ λίθους, ἅπερ εἰς ἀνθρωποειδεῖς τύπους ἐμορ-
256 φώθη; τοιγάρτοι καὶ αὐτὸς ἐξομοιούσθω τοῖς χειροκμήτοις· θέμις γὰρ
μὴ μετέχειν ψυχῆς τὸν τὰ ἄψυχα τιμήσαντα, καὶ μάλιστα φοιτητὴν
γενόμενον Μωυσέως, οὗ πολλάκις ἤκουσε λέγοντός τε καὶ προφητεύοντος
τὰς ἱερωτάτας καὶ καταθέους ἐκείνας ὑφηγήσεις· ὄνομα θεῶν ἑτέρων
μήτε τῇ ψυχῇ παραδέξῃ εἰς ὑπόμνησιν μήτε φωνῇ διερμηνεύσῃς, ἀλλ'
ἑκάτερον, νοῦν καὶ λόγον, μακρὰν τῶν ἄλλων διαζεύξας ἐπίστρεψον πρὸς
τὸν πατέρα καὶ ποιητὴν τῶν ὅλων, ἵνα καὶ φρονῇς περὶ μοναρχίας τὰ
ἄριστα καὶ κάλλιστα καὶ λέγῃς τὰ πρέποντα καὶ λυσιτελέστατα σαυτῷ
τε καὶ τοῖς ἀκουσομένοις.
257 (10.) Αἱ μὲν οὖν κατὰ τῶν παραβαινόντων τοὺς πέντε χρησμοὺς
τιμωρίαι δεδήλωνται. τὰ δὲ προκείμενα τοῖς φυλάττουσιν αὐτοὺς ἆθλα,

1 διαφύγῃ Ant., διαφύγει Bar.: διαφύγοι M (v) ἀπ' ἀνθρώπων M Ant. (Tisch.), ἀπὸ ἀνθρώπων Bar.: ἀπ' ἀνθρώπου Mai 2 μύριοι Mai 3 ἀκριβέστατοι scripsi: ἀκριβέστεροι M ἐπὶ καταλεύσαι τί δρῶσιν M: ἐπὶ καταλεύσει τοῖς δρῶσιν Tisch.; ⟨εἴ τινες⟩ vel ⟨ἐπὶ τοῖς⟩ ἐπὶ καταλύσει (scil. τῶν πατρίων) τι δρῶσιν conicio 4 φονᾶν ἄξιον scripsi: φόνου ἄξιον M 7 ἐᾶν· M (Tisch.): ·ἐὰν Mai 8 κατηγορουμένους (κακηγορουμένους scripsi) καὶ ὑβριζομένους M: κατηγορουμένου καὶ ὑβριζομένου Mai, κακουργουμένου καὶ ὑβριζομένου Tisch. 9 post ψευδορκίας add. ἐπιεικείᾳ χρήσεται Mai 12 ἢ ὕδωρ M (Tisch): καὶ ὕδωρ Mai 13 πλάνητας M: πλανήτας v ἢ M (Tisch.): καὶ Mai 15 ἀνθρωποειδεῖς M (Tisch.): ἀνθρωπώδεις Mai 16 χειροκμήτοις scripsi: χειροτμήτοις M (v) 21 διαζεύξας M (Tisch.): διαζεύξεων Mai 24 ἀκουσομένοις M (Tisch.): ἀκουομένοις Mai

19. 20 Exod. 23,13.

καὶ εἰ μὴ ῥηταῖς προστάξεσι μεμήνυκεν ὁ νόμος, ἀλλά τοι δι' ὑπονοίας ἐμφαίνεται. τὸ μὲν οὖν μὴ νομίζειν θεοὺς ἑτέρους μηδὲ χειρόκμητα 258 θεοπλαστεῖν μηδὲ ψευδορκεῖν ἑτέρου γέρως χρεῖον οὐκ ἔστιν· αὐτὸ γάρ, οἶμαι, τὸ ταῦτα ἐπιτηδεύειν ἄριστον καὶ τελεώτατόν ἐστι γέρας· ἐπὶ τίνι γὰρ δύναιτ' ἄν τις ἡσθῆναι μᾶλλον ἀληθείας ἐρῶν ἢ τῷ ἑνὶ προσκεῖσθαι θεῷ καὶ τῆς τούτου θεραπείας ἀδόλως καὶ καθαρῶς περιέχεσθαι; καλῶ δὲ μάρτυρας, οὐχ οἵτινες θεραπεύουσι τῦφον, ἀλλὰ τοὺς ἀπλανῆ 259 ζῆλον ἐζηλωκότας, παρ' οἷς ἀλήθεια τιμᾶται· φρονήσεώς τε γὰρ ἆθλον αὐτὴ ἡ φρόνησις καὶ δικαιοσύνη καὶ ἑκάστη τῶν ἄλλων ἀρετῶν ἑαυτῆς ἐστι γέρας. ἡ δ' ὥσπερ ἐν χορῷ καλλιστεύουσα καὶ κατάρχουσα πασῶν ὁσιότης πολὺ πλέον ἐστὶν ἑαυτῆς καὶ ἀγώνισμα καὶ ἆθλον, παρέχουσα καὶ τοῖς χρωμένοις εὐδαιμονίαν καὶ τοῖς τούτων παισὶ καὶ ἐγγόνοις εὐπραγίας ἀναφαιρέτους. (11.) πάλιν γε μὴν τοῖς τὴν ἱερὰν ἑβδόμην φυλάτ- 260 τουσι συμβαίνει περὶ δύο τὰ ἀναγκαιότατα ὠφελεῖσθαι, σῶμα καὶ ψυχήν, τὸ μὲν ἀναπαύλαις ἐκ τῶν συνεχῶν καὶ ἀτρύτων πόνων, τὴν δ' ὑπολήψεσιν ἀρίσταις περὶ θεοῦ ὡς κοσμοποιοῦ καὶ ἐπιμελουμένου ὧν ἐγέννησε· καὶ ⟨γὰρ⟩ τὰ σύμπαντα ἐτελεσφόρησεν ἑβδομάδι. δῆλον οὖν ἐκ τούτων, ὅτι τὴν ἑβδόμην τιμῶν αὐτὸς εὑρίσκεται τιμήν. ὁμοίως μέντοι 261 καὶ ὁ τοὺς γονεῖς ἀποδεχόμενος μὴ θηράσθω τι πλέον· εὑρήσει γὰρ σκοπῶν ἐν αὐτῷ τῷ ἔργῳ τὸ ἆθλον. οὐ μὴν ἀλλ' ἐπειδὴ τῶν προτέρων τεσσάρων κεφαλαίων, ἃ θειοτέρας ἔλαχε μοίρας, ἔλαττον τοῦτ' ἐστὶ διὰ τὸ θνητῶν ἐφάπτεσθαι, παρηγόρησεν εἰπών· „τίμα πατέρα καὶ μητέρα, ἵνα εὖ σοι γένηται καὶ ἵνα μακροχρόνιος γένῃ" (Exod. 20,12. Deut. 5,16), δύο γέρα τιθείς· ἓν μὲν μετουσίαν ἀρετῆς, τὸ γὰρ εὖ ἡ ἀρετὴ ἢ οὐκ ἄνευ 262 ἀρετῆς, ἕτερον δέ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀθανασίαν διὰ πολυχρονίου ζωῆς καὶ βίου μακραίωνος, ὃν καὶ μετὰ σώματος θρέψεις ψυχῇ κεκαθαρμένῃ τελείᾳ καθάρσει βιῶν. ταῦτα μὲν οὖν ἀποχρώντως λέλεκται, τὰ δ' ἐν τῇ δευτέρᾳ δέλτῳ μετὰ ταῦτα καιροῦ διδόντος ἐπισκεψόμεθα.

---

2 ἐμφαίνεται M (Tisch.): ἐκφαίνεται Mai χειρότμητα rursus M (v) 3 θεοπλαστεῖν M (Tisch.): θεὸν πλαστεῖν Mai χρεῖον Tisch. (etiam Tauchn.): χρειὼν M, χρείων Mai 8. 9 ἆθλον αὐτὴ ἡ φρόνησις Tisch.: ἆθλον αὕτη· φρόνησις ἆθλον αὐτῇ M, ἆθλον αὕτη φρόνησις αὐτῇ Mai 11 ὁσιότης scripsi: ὁσιοτήτων M 13 ἀναφερέτους Mai μὴν M (Tisch.): μὲν Mai 15 τὸ μὲν . . . τὴν δ' Tisch.: τῷ μὲν . . . τῇ δ' M 16 καὶ ⟨πατρὸς⟩ ἐπιμελουμένου conicio 17 γὰρ addidi 20 μὴν M (Tisch.): μὲν Mai 24 μὲν om. Mai

ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ ΕΙΣ ΔΥΟ ΓΕΝΗ ΤΩΝ ΔΕΚΑ ΛΟΓΙΩΝ, ΤΟ ΕΚΤΟΝ ΚΑΙ ΤΟ ΕΒΔΟΜΟΝ, ΤΟ ΚΑΤΑ ΜΟΙΧΩΝ ΚΑΙ ΠΑΝΤΟΣ ΑΚΟΛΑΣΤΟΥ ΚΑΙ ΤΟ ΚΑΤΑ ΑΝΔΡΟΦΟΝΩΝ ΚΑΙ ΠΑΣΗΣ ΒΙΑΣ

---

1 (1.) Ἦν ποτε χρόνος, ὅτε φιλοσοφίᾳ σχολάζων καὶ θεωρίᾳ τοῦ II p. 299
κόσμου καὶ τῶν ἐν αὐτῷ τὸν καλὸν καὶ περιπόθητον καὶ μακάριον ὄντως
νοῦν ἐκαρπούμην, θείοις ἀεὶ λόγοις συγγινόμενος καὶ δόγμασιν, ὧν
ἀπλήστως καὶ ἀκορέστως ἔχων ἐνευφραινόμην, οὐδὲν ταπεινὸν φρονῶν
ἢ χαμαίζηλον οὐδὲ περὶ δόξαν ἢ πλοῦτον ἢ τὰς σώματος εὐπαθείας
ἰλυσπώμενος, ἀλλ᾽ ἄνω μετάρσιος ἐδόκουν ἀεὶ φέρεσθαι κατά τινα τῆς
ψυχῆς ἐπιθειασμὸν καὶ συμπεριπολεῖν ἡλίῳ καὶ σελήνῃ καὶ σύμπαντι
2 οὐρανῷ τε καὶ κόσμῳ. τότε δὴ τότε διακύπτων ἄνωθεν ἀπ᾽ αἰθέρος
καὶ τείνων ὥσπερ ἀπὸ σκοπιᾶς τὸ τῆς διανοίας ὄμμα κατεθεώμην τὰς
ἀμυθήτους θεωρίας τῶν ἐπὶ γῆς ἁπάντων καὶ εὐδαιμόνιζον ἐμαυτὸν ὡς
3 ἀνὰ κράτος ἐκπεφευγότα τὰς ἐν τῷ θνητῷ βίῳ κῆρας. | ἐφήδρευε δ᾽ p. 300 M

---

1 tit. περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς δύο γένη τῶν ι´ λογίων, τό τε ς´ καὶ τὸ ζ´, τὸ κατὰ μοιχῶν καὶ παντὸς ἀκολάστου καὶ τὸ κατὰ ἀνδροφόνων καὶ πάσης βίας M, τοῦ αὐτοῦ περὶ τῶν ἀναφερομένων . . . τό τε ς´ καὶ τὸ ζ´, καὶ τὸ κατὰ μοιχῶν . . . ἀνδροφόνου καὶ πάσης βίας F, φίλωνος περὶ τῶν ἀναφερομένων ἐν εἴδει λογίων (sic) εἰς β´ γένη τῶν ι´ λογίων, τό τε ς´ καὶ τὸ ζ´, καὶ τὸ κατὰ μοιχῶν . . . πάσης βίας G, Φίλωνος ἰουδαίου περὶ τῶν . . . δέκα λογίων, τό τε ς´ καὶ τὸ ζ´, τὸ κατὰ μοιχῶν . . . κατὰ τῶν ἀνδροφόνων καὶ πάσης βίας A, περὶ τῶν ἀναφερομένων . . . πάσης βίας HP, περὶ δέκα λόγων (sic) Arm 6 ὅτε] ὁπότε M 7 καὶ ante μακάριον om. A 8 νοῦν] βίον coni. Mang. θείοις ἀεὶ F Arm: ἀεὶ θείοις ceteri (v) λόγοις FA (Mang.): λογίοις ceteri συγγινόμενος F[1] (Mang.): συγκινούμενος ceteri 9 ἀκορέστων G φρονῶν om. Arm 10 τὰς τοῦ σώματος AP[2] 11 ἀλλὰ F τινα] τὸν M 12 ἡλίῳ τε M σύμπαντι F: τῷ παντὶ ceteri (v) 13 δὴ F: δὴ οὖν ceteri (v) 14 σκοπιᾶς F (in ras.): σκοπῆς ceteri (v) 15 θεωρίας] διαφορὰς coni. Mang. τῶν om. F εὐδαιμονίζων (ω ex o corr.) H, εὐδαιμονίζων L (v) ἐμαυτὸν] ἑαυτὸν MA 16 κῆρας MF Arm: κακὰς κῆρας ceteri (v) δὲ M

ἄρα μοι τὸ κακῶν ἀργαλεώτατον, ὁ μισόκαλος φθόνος, ὃς ἐξαπιναίως
ἐπιπεσὼν οὐ πρότερον ἐπαύσατο καθέλκων πρὸς βίαν ἢ με καταβαλεῖν
εἰς μέγα πέλαγος τῶν ἐν πολιτείᾳ φροντίδων, ἐν ᾧ φορούμενος οὐδ᾽ ὅσον
ἀνανήξασθαι δύναμαι. στένων δ᾽ ὅμως ἀντέχω τὸν ἐκ πρώτης ἡλικίας 4
ἐνιδρυμένον τῇ ψυχῇ παιδείας ἵμερον ἔχων, ὃς ἔλεόν μου καὶ οἶκτον
ἀεὶ λαμβάνων ἀνεγείρει καὶ ἀνακουφίζει. διὰ τοῦτον ἔστιν ὅτε τὴν
κεφαλὴν ἐπαίρω καὶ τοῖς τῆς ψυχῆς ὄμμασιν ἀμυδρῶς μὲν — τὸ γὰρ
ὀξυδερκὲς αὐτῶν ἡ τῶν ἀλλοκότων πραγμάτων ἀχλὺς ἐπεσκίασεν —
ἀλλ᾽ ἀναγκαίως γοῦν περιβλέπομαι τὰν κύκλῳ καθαρᾶς καὶ ἀμιγοῦς
κακῶν ζωῆς σπάσαι γλιχόμενος. εἰ δέ μοι καὶ ἐξ ἀπροσδοκήτου βρα- 5
χεῖα γένοιτο εὐδία καὶ γαλήνη θορύβων τῶν ἐν πολιτείᾳ, ὑπόπτερος
ἐπικυματίζω μόνον οὐκ ἀεροπορῶν, αὔραις τῆς ἐπιστήμης καταπνεόμενος,
ἥ με πολλάκις ἀναπείθει δραπετεύειν συνημερεύσοντα αὐτῇ καθάπερ ἀπὸ
δεσποτῶν ἀμειλίκτων, οὐκ ἀνθρώπων μόνον ἀλλὰ καὶ πραγμάτων ἀλλα-
χόθεν ἄλλων χειμάρρου τρόπον ἐπεισχεομένων. ἀλλὰ γὰρ καὶ ἐπὶ 6
τούτοις θεῷ προσῆκον εὐχαριστεῖν, ὅτι καίτοι κατακλυζόμενος οὐκ ἐγκα-
ταπίνομαι βύθιος· ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς ὀφθαλμούς, οὓς ἀπογνώσει
τινὸς χρηστῆς ἐλπίδος ᾠήθην ἤδη πεπηρῶσθαι, διοίγω καὶ φωτὶ τῷ
σοφίας ἐναυγάζομαι μὴ πάντα τὸν βίον τῷ σκότῳ παραδοθείς. ἰδού γέ
τοι τολμῶ μὴ μόνον τοῖς ἱεροῖς Μωυσέως ἑρμηνεύμασιν ἐντυγχάνειν,
ἀλλὰ καὶ φιλεπιστημόνως διακύπτειν εἰς ἕκαστον καὶ ὅσα μὴ γνώριμα
τοῖς πολλοῖς διαπτύττειν καὶ ἀναφαίνειν.

(2.) Ἐπεὶ δὲ τῶν δέκα λογίων, ἅπερ αὐτὸς ἔχρησεν ὁ θεὸς ἄνευ 7
προφήτου καὶ ἑρμηνέως, πέντε μὲν εἴρηται τὰ χαραχθέντα ἐν τῇ προ-

---

2 καθέλκων με Arm με καταβαλεῖν] μεταβαλεῖν F, κατέβαλεν (om. με) M
4 δύναμαι] σθένω F στένων] θεὸς (sic) F, στένων om. Arm ἀντέχω] ἀντέχων καὶ F 5 ἵμερον] ≣ ἔρον F ἔχων om. F 6 ὅτε om. M
7 ἀμυδρῶς Arm: ἀμυδροῖς codd. (v) 7. 8 τὸ ὀξυδερκὲς γὰρ (γὰρ ss.) transp. H (v)
8 ἀλλοκότων] ἀλλαχόθεν ἄλλων (ut l. 14. 15) coni. Mang. ἐσκίασεν F
9 ἀλλὰ G ἀναγκαίως] ἀνεψγόσι coni. Mang. 10 ζωῆς om. F
11 εὐδεία H[1]P θορύβου τῶν (sic) F ἐν πολιτεία F: ἐκ πολιτείας ceteri (v)
12 μόνον οὐκ ἀεροπορῶν om. M τῆς F: ταῖς ceteri (v) 13 δραπετεύειν] θεραπεύειν A συνημερεύσοντα F (coni. Mang.): συνημερεύοντα ceteri (v), καὶ συνημερεύειν Arm ἀπὸ] ὑπὸ AP[2] 15 ἐπεισχεομένων F: ἐπιχεομένων ceteri (v)
18 τινὸς Mang.: τινὲς codd. ᾠήθην scripsi (ᾠήθην ἂν Mang.): ᾠήθησαν codd. διανοίγω A (fort. recte) φωτὶ τῆς σοφίας A τῷ om. Mang.
19 τῷ σκότῳ M: ἐν σκότῳ ceteri (Turn.) παριδρυθεὶς coni. Mang.
20 μωϋσέως G: μωϋσέος ceteri, τοῦ νομοθέτου Arm 22 διαπτύττειν F (cf. Mang.): διαφυλάττειν ceteri (v) ἀναφαίνειν F: ἀναφαίνειν σκοπεῖν ceteri (v) 23 τῶν δέκα F: περὶ δέκα ceteri (v) 24 ἑρμηνέως] ἑρμηνείας Arm εἴρηται om. Arm

τέρᾳ δέλτῳ καὶ ὅσα τῶν κατὰ μέρος συνέτεινεν εἰς ταῦτα, δεῖ δ' ἐν τῷ παρόντι καὶ τὰ λοιπὰ τὰ κατὰ τὴν ἑτέραν δέλτον ὡς οἷόν τε ἄριστα συνυφῆναι, πειράσομαι πάλιν καθ' ἕκαστον τῶν γενῶν ἐφαρμόζειν τοὺς
8 ἐν εἴδει νόμους. ἐν δὲ τῇ δευτέρᾳ δέλτῳ πρῶτον γράμμα τοῦτ' ἐστίν· „οὐ μοιχεύσεις“, ὅτι, οἶμαι, πανταχοῦ τῆς οἰκουμένης μέγα πνεῖ ἡ ἡδονὴ καὶ οὐδὲν μέρος τὴν δυναστείαν αὐτῆς ἐκπέφευγεν, οὐ τῶν κατὰ γῆν, οὐ τῶν κατὰ θάλατταν, οὐ τῶν ἐν ἀέρι· χερσαῖά τε γὰρ καὶ πτηνὰ καὶ ἔνυδρα πάντα διὰ πάντων τέθηπε | καὶ περιέπει καὶ τοῖς ἐπιτάγμασιν p. 3 αὐτῆς ὑπείκει πρός τι βλέμμα καὶ νεῦμα ἀφορῶντα κἂν εἰ φρυάττοιτο ὑπ' ἀλαζονείας ἀσμενίζοντα καὶ μόνον οὐ φθάνοντα τὰς προστάξεις
9 ὀξύτητι καὶ ἀνυπερθέτῳ τάχει τῶν ὑπηρεσιῶν. ἔχει μὲν οὖν καὶ ἡ κατὰ φύσιν ἡδονὴ πολλὴν καὶ πολλάκις μέμψιν, ὅταν ἀμέτρως καὶ ἀκορέστως χρῆταί τις αὐτῇ, καθάπερ οἱ περὶ ἐδωδὴν ἄπληστοι, κἂν εἰ μηδὲν τῶν ἀπαγορευομένων προσφέροιντο, καὶ οἱ φιλογύναιοι συνουσίαις ἐπιμεμηνότες καὶ λαγνίστερον ὁμιλοῦντες γυναιξὶν οὐκ ἀλλοτρίαις ἀλλὰ
10 ταῖς ἑαυτῶν. ἡ δὲ μέμψις σώματός ἐστι μᾶλλον ἢ ψυχῆς κατὰ τοὺς πολλούς, πολλὴν μὲν ἔχοντος εἴσω φλόγα, ἣ τὴν παραβληθεῖσαν τροφὴν ἐξαναλίσκουσα ἑτέραν οὐκ εἰς μακρὰν ἐπιζητεῖ, πολλὴν δὲ ἰκμάδα, ἧς τὸ ῥοῶδες διὰ τῶν γεννητικῶν ἀποχετεύεται κνησμοὺς καὶ ὀδαξησμοὺς ἐμ-

1 δ' om. Mang. 2 τ' A ἀρίστως M 4 ἐν δὲ — τοῦτ' ἐστίν om. Arm, eorum loco novum titulum habet Φίλωνος περὶ δέκα λόγων γράμμα] πρόσταγμα vel παράγγελμα coni. Mang. 5 οὐ μοιχεύσεις tamquam titulum rubro scripsit F, repet. mg M 5. 6 ἡ ἡδονὴ M: ἡ om. ceteri (v) 7 γὰρ om. A
8 διὰ πάντων τέθηπε καὶ περιέπει καὶ om. Nicet. τέθηπε F Arm: γέγηθε ceteri (v)
9 αὐτῆς] αὐτοῖς A ὑπείκει F Arm: ὑπείκει καὶ ceteri (v) πρός τι F Arm: πρός τε ceteri (πρὸς τὸ v) πρός τι — ἀσμενίζοντα καὶ (10) om. Nicet. βλέμμα καὶ νεῦμ' HP, νεῦμα καὶ βλέμμ' A 10 τὰς προστάξεις om. Arm
11 ἐν ὀξύτητι F μὲν om. F ἡ om. F 12 πολλὴν καὶ πολλάκις F: πολλὴν καὶ om. ceteri (v) 13 οἱ ἄπληστοι περὶ ἐδωδὴν transp. HP (v)
14 ἀπαγορευομένων F: ἀπηγορευμένων ceteri (v) φιλογύναιοι Arm Nicet.: φιλογυναίοις codd. (v) 15 ὁμιλοῦντες F Nicet.: προσομιλοῦντες ceteri (v)
16 αὐτῶν F οὐ ante σώματος add. F 16. 17 κατὰ τοὺς πολλοὺς om. F Arm Nicet. (fort. recte) 17 ἔχοντας MH¹P Barb. τροφὴν] ὕλην M
18 πολλὴν] πάλιν Nicet. δὲ ἰκμάδα A, δ' ἰκμάδα F: δ' ἰκμάσασα M, ἰκμάδα (om. δὲ) ceteri (v); δι' ἰκμάδα coni. Mang. ἧς] πᾶν M 19 ἀποχεύεται A κνισμοὺς F καὶ ὀδαξισμοὺς F (ὀδαξησμοὺς scripsi): om. ceteri

4—153,8 Nicetae Catena in Lucam (Vat. 1611 fol. 245v Monac. 33 fol. 300v) Φίλωνος: καὶ γράμμα πρῶτον τοῦτό ἐστιν — ζηλοῦν ἐπιμελές. ἅλις μὲν δὴ τούτων.
5—157,16 Catena Barber. IV 56 fol. 121v Φίλωνος ἑβραίου: πανταχοῦ τῆς οἰκουμένης — κακὰ καὶ δυσίατα.

ποιοῦν καὶ γαργαλισμοὺς ἀπαύστους. τοὺς δὲ καὶ γυναιξὶν ἄλλων καὶ 11
ἔστιν ὅτε οἰκείων καὶ φίλων ἐπιμεμηνότας καὶ ἐπὶ λύμῃ τῶν πλησίον
ζῶντας, ὅλα γένη πολυάνθρωπα κιβδηλεύειν ἐπιχειροῦντας καὶ τὰς μὲν
ἐπὶ γάμοις εὐχὰς παλιμφήμους τὰς δὲ ἐπὶ τέκνοις ἐλπίδας ἀτελεῖς ἀπερ-
γαζομένους, ἀνίατον νόσον ψυχῆς νοσοῦντας, ὡς κοινοὺς ἐχθροὺς ἅπαντος
ἀνθρώπων γένους κολαστέον θανάτῳ, ὡς μήτε ζῶντες ἐν ἀδείᾳ πλείους
διαφθείροιεν οἴκους μήτε διδάσκαλοι γένοιντο ἑτέρων, οἷς τὰ πονηρὰ
τῶν ἐπιτηδευμάτων ζηλοῦν ἐπιμελές.

(3.) Εὖ μέντοι καὶ τὰ ἄλλα τὰ περὶ τὰς ὁμιλίας ὁ νόμος διετά- 12
ξατο. κελεύει γὰρ οὐ μόνον ἀλλοτρίων ἀπέχεσθαι γυναικῶν, ἀλλὰ καὶ
χηρευουσῶν ⟨μητρυιῶν⟩, αἷς οὐ θέμις συνέρχεσθαι. τὸ Περσικὸν ἔθος 13
εὐθὺς ἀποστραφεὶς καὶ μυσαξάμενος ἀπεῖπεν ὡς μέγιστον ἀνοσιούργημα·
μητέρας γὰρ οἱ ἐν τέλει Περσῶν τὰς ἑαυτῶν ἄγονται καὶ τοὺς φύντας ἐκ
τούτων εὐγενεστάτους νομίζουσι καὶ βασιλείας, ὡς λόγος, τῆς μεγίστης ἀξιοῦ-
σιν· οὗ τί ἂν γένοιτο δυσσεβέστερον ἀνοσιούργημα; πατρὸς εὐνὴν τετελευ- 14
τηκότος, ἣν ἄψαυστον ὡς ἱερὰν ἐχρῆν φυλάττεσθαι, καταισχύνειν, γήρως
δὲ καὶ μητρὸς αἰδῶ μὴ λαμβάνειν, τὸν αὐτὸν τῆς αὐτῆς υἱὸν καὶ ἄνδρα
γίνεσθαι καὶ πάλιν τὴν αὐτὴν τοῦ αὐτοῦ καὶ γυναῖκα καὶ μητέρα, καὶ
τοὺς ἀμφοῖν παῖδας τοῦ μὲν πατρὸς ἀδελφούς, υἱωνοὺς δὲ τῆς μητρός,

---

1 alt. καὶ F: om. ceteri (v) καὶ ἔστιν — ὅλα (3) om. F 2 πλησίων A (Turn.) 4 ἐπὶ γάμοις F Nicet.: ἐπὶ γάμους A, ἐπιγαμίους ceteri (v) δ' A 4. 5 ἀπεργαζομένας G 6 κολαστέον] ὁ νόμος κολάζει Nicet. ἐν ἀδείᾳ] ἀναιδείᾳ Arm 7 διαφθείροιεν FAG Nicet. Barb.: διαφθείρειεν MHP (v) μήτε MF Nicet.: μηδὲ ceteri (v) 9 τἄλλα M περὶ τῆς ὁμιλίας A, περὶ τὰς ἄλλας ὁμιλίας F ὁ νόμος] ὀνόματα A 11 χηρευουσῶν μητρυιῶν scripsi (coll. § 20): χηρευουσῶν codd. (v); ἀγχιστευουσῶν coni. Mang. ἔθος A (ν supra) 13 post γὰρ add. αὐτῶν M τὰς ἑαυτῶν A: τὰς αὑτῶν (ὑ ex ὐ corr.) H, τὰς αὐτῶν FGP Barb., om. h. l. M 14 ὡς λόγος, τῆς μεγίστης F Arm: τῆς μεγίστης, ὡς λόγος ceteri (v) 15 δυσεβέστερον F, δυσευέστερον A 16 γήρως] χήρας coni. Mang. 17 λαμβάνοντα coni. Mang. 18 γενέσθαι H (v) καὶ post γίνεσθαι om. Arm τοῦ αὐτοῦ καὶ M (καὶ om. Mang.): om. F Arm, νῦν ceteri (Turn.) μητέρα καὶ γυναῖκα transp. H (v) 19 τοῦ μὲν F Arm (coni. Mang.): τοὺς μὲν ceteri (v)

1—6 Lev. 18,20. 20,10. Deut. 22,22. cf. *Ioseph. Ant. Iud. III § 274* μοιχείαν μὲν εἰς τὸ παντελὲς ἀπεῖπε νομίσας εὔδαιμον τὸ περὶ τοὺς γάμους ὑγιαίνειν τοὺς ἄνδρας καὶ ταῖς τε πόλεσι καὶ τοῖς οἴκοις συμφέρειν τὸ τοὺς παῖδας εἶναι γνησίους. καὶ μίσγεσθαι δὲ μητράσι κακὸν μέγιστον ὁ νόμος ἀπεῖπεν, ὁμοίως δὲ καὶ πατρὸς συνεῖναι γαμετῇ καὶ τηθίσι καὶ ἀδελφαῖς καὶ παίδων γυναιξὶν ὡς ἔκφυλον ἔχον τὴν ἀδικίαν μεμίσηκεν. . . . κατὰ δὲ τῶν εἰς ταῦτ' ἐξυβρισάντων θάνατον ὥρισε τὴν τιμωρίαν. 11 Lev. 18,8. 20,11. Deut. 22,30. 13 cf. Sext. Emp. Pyrrh. Hyp. III 205, alii.

τέρᾳ δέλτῳ καὶ ὅσα τῶν κατὰ μέρος συνέτεινεν εἰς ταῦτα, δεῖ δ' ἐν τῷ
παρόντι καὶ τὰ λοιπὰ τὰ κατὰ τὴν ἑτέραν δέλτον ὡς οἷόν τε ἄριστα
συνυφῆναι, πειράσομαι πάλιν καθ' ἕκαστον τῶν γενῶν ἐφαρμόζειν τοὺς
8 ἐν εἴδει νόμους. ἐν δὲ τῇ δευτέρᾳ δέλτῳ πρῶτον γράμμα τοῦτ' ἐστίν·
„οὐ μοιχεύσεις“, ὅτι, οἶμαι, πανταχοῦ τῆς οἰκουμένης μέγα πνεῖ ἡ
ἡδονὴ καὶ οὐδὲν μέρος τὴν δυναστείαν αὐτῆς ἐκπέφευγεν, οὐ τῶν κατὰ
γῆν, οὐ τῶν κατὰ θάλατταν, οὐ τῶν ἐν ἀέρι· χερσαῖά τε γὰρ καὶ πτηνὰ
καὶ ἔνυδρα πάντα διὰ πάντων τέθηπε | καὶ περιέπει καὶ τοῖς ἐπιτάγμασιν p. 301 I
αὐτῆς ὑπείκει πρός τι βλέμμα καὶ νεῦμα ἀφορῶντα κἂν εἰ φρυάττοιτο
ὑπ' ἀλαζονείας ἀσμενίζοντα καὶ μόνον οὐ φθάνοντα τὰς προστάξεις
9 ὀξύτητι καὶ ἀνυπερθέτῳ τάχει τῶν ὑπηρεσιῶν. ἔχει μὲν οὖν καὶ ἡ
κατὰ φύσιν ἡδονὴ πολλὴν καὶ πολλάκις μέμψιν, ὅταν ἀμέτρως καὶ ἀκο-
ρέστως χρῆταί τις αὐτῇ, καθάπερ οἱ περὶ ἐδωδὴν ἄπληστοι, κἂν εἰ
μηδὲν τῶν ἀπαγορευομένων προσφέροιντο, καὶ οἱ φιλογύναιοι συνουσίαις
ἐπιμεμηνότες καὶ λαγνίστερον ὁμιλοῦντες γυναιξὶν οὐκ ἀλλοτρίαις ἀλλὰ
10 ταῖς ἑαυτῶν. ἡ δὲ μέμψις σώματός ἐστι μᾶλλον ἢ ψυχῆς κατὰ τοὺς
πολλούς, πολλὴν μὲν ἔχοντος εἴσω φλόγα, ἣ τὴν παραβληθεῖσαν τροφὴν
ἐξαναλίσκουσα ἑτέραν οὐκ εἰς μακρὰν ἐπιζητεῖ, πολλὴν δὲ ἰκμάδα, ἧς τὸ
ῥοῶδες διὰ τῶν γεννητικῶν ἀποχετεύεται κνησμοὺς καὶ ὀδαξησμοὺς ἐμ-

1 δ' om. Mang. 2 τ' A ἀρίστως M 4 ἐν δὲ — τοῦτ' ἐστίν om. Arm, eorum loco novum titulum habet Φίλωνος περὶ δέκα λόγων γράμμα] πρόσταγμα vel παράγγελμα coni. Mang. 5 οὐ μοιχεύσεις tamquam titulum rubro scripsit F, repet. mg M 5. 6 ἡ ἡδονὴ M: ἡ om. ceteri (v) 7 γὰρ om. A
8 διὰ πάντων τέθηπε καὶ περιέπει καὶ om. Nicet. τέθηπε F Arm: γέγηθε ceteri (v)
9 αὐτῆς] αὐτοῖς A ὑπείκει F Arm: ὑπείκει καὶ ceteri (v) πρός τι F Arm: πρός τε ceteri (πρὸς τὸ v) πρός τι — ἀσμενίζοντα καὶ (10) om. Nicet. βλέμμα καὶ νεῦμ' HP, νεῦμα καὶ βλέμμ' A 10 τὰς προστάξεις om. Arm
11 ἐν ὀξύτητι F μὲν om. F ἡ om. F 12 πολλὴν καὶ πολλάκις F: πολλὴν καὶ om. ceteri (v) 13 οἱ ἄπληστοι περὶ ἐδωδὴν transp. HP (v)
14 ἀπαγορευομένων F: ἀπηγορευμένων ceteri (v) φιλογύναιοι Arm Nicet.: φιλογυναίοις codd. (v) 15 ὁμιλοῦντες F Nicet.: προσομιλοῦντες ceteri (v)
16 αὐτῶν F οὐ ante σώματος add. F 16. 17 κατὰ τοὺς πολλοὺς om. F Arm Nicet. (fort. recte) 17 ἔχοντας MH[1]P Barb. τροφὴν] ὕλην M
18 πολλὴν] πάλιν Nicet. δὲ ἰκμάδα A, δ' ἰκμάδα F: δ' ἰκμάσασα M, ἰκμάδα (om. δὲ) ceteri (v); δι' ἰκμάδα coni. Mang. ἧς] πᾶν M 19 ἀποχεύεται A κνϊσμοὺς F καὶ ὀδαξισμοὺς F (ὀδαξησμοὺς scripsi): om. ceteri

4—153,8 Nicetae Catena in Lucam (Vat. 1611 fol. 245ᵛ Monac. 33 fol. 300ᵛ) Φίλωνος: καὶ γράμμα πρῶτον τοῦτό ἐστιν — ζηλοῦν ἐπιμελές. ἅλις μὲν δὴ τούτων.
5—157,16 Catena Barber. IV 56 fol. 121ᵛ Φίλωνος ἑβραίου: πανταχοῦ τῆς οἰκουμένης — κακὰ καὶ δυσίατα.

ποιοῦν καὶ γαργαλισμοὺς ἀπαύστους. τοὺς δὲ καὶ γυναιξὶν ἄλλων καὶ 11
ἔστιν ὅτε οἰκείων καὶ φίλων ἐπιμεμηνότας καὶ ἐπὶ λύμῃ τῶν πλησίον
ζῶντας, ὅλα γένη πολυάνθρωπα κιβδηλεύειν ἐπιχειροῦντας καὶ τὰς μὲν
ἐπὶ γάμοις εὐχὰς παλιμφήμους τὰς δὲ ἐπὶ τέκνοις ἐλπίδας ἀτελεῖς ἀπεργαζομένους, ἀνίατον νόσον ψυχῆς νοσοῦντας, ὡς κοινοὺς ἐχθροὺς ἅπαντος
ἀνθρώπων γένους κολαστέον θανάτῳ, ὡς μήτε ζῶντες ἐν ἀδείᾳ πλείους
διαφθείροιεν οἴκους μήτε διδάσκαλοι γένοιντο ἑτέρων, οἷς τὰ πονηρὰ
τῶν ἐπιτηδευμάτων ζηλοῦν ἐπιμελές.

(3.) Εὖ μέντοι καὶ τὰ ἄλλα τὰ περὶ τὰς ὁμιλίας ὁ νόμος διετά- 12
ξατο. κελεύει γὰρ οὐ μόνον ἀλλοτρίων ἀπέχεσθαι γυναικῶν, ἀλλὰ καὶ
χηρευουσῶν ⟨μητρυιῶν⟩, αἷς οὐ θέμις συνέρχεσθαι. τὸ Περσικὸν ἔθος 13
εὐθὺς ἀποστραφεὶς καὶ μυσαξάμενος ἀπεῖπεν ὡς μέγιστον ἀνοσιούργημα·
μητέρας γὰρ οἱ ἐν τέλει Περσῶν τὰς ἑαυτῶν ἄγονται καὶ τοὺς φύντας ἐκ
τούτων εὐγενεστάτους νομίζουσι καὶ βασιλείας, ὡς λόγος, τῆς μεγίστης ἀξιοῦσιν· οὗ τί ἂν γένοιτο δυσσεβέστερον ἀνοσιούργημα; πατρὸς εὐνὴν τετελευ- 14
τηκότος, ἣν ἄψαυστον ὡς ἱερὰν ἐχρῆν φυλάττεσθαι, καταισχύνειν, γήρως
δὲ καὶ μητρὸς αἰδῶ μὴ λαμβάνειν, τὸν αὐτὸν τῆς αὐτῆς υἱὸν καὶ ἄνδρα
γίνεσθαι καὶ πάλιν τὴν αὐτὴν τοῦ αὐτοῦ καὶ γυναῖκα καὶ μητέρα, καὶ
τοὺς ἀμφοῖν παῖδας τοῦ μὲν πατρὸς ἀδελφούς, υἱωνοὺς δὲ τῆς μητρός,

---

1 alt. καὶ F: om. ceteri (v) καὶ ἔστιν—ὅλα (3) om. F 2 πλησίων A (Turn.) 4 ἐπὶ γάμοις F Nicet.: ἐπὶ γάμους A, ἐπιγαμίους ceteri (v) δ' A 4. 5 ἀπεργαζομένας G 6 κολαστέον] ὁ νόμος κολάζει Nicet. ἐν ἀδείᾳ] ἀναιδείᾳ Arm 7 διαφθείροιεν FAG Nicet. Barb.: διαφθείρειεν MHP (v) μήτε MF Nicet.: μηδὲ ceteri (v) 9 τἄλλα M περὶ τῆς ὁμιλίας A, περὶ τὰς ἄλλας ὁμιλίας F ὁ νόμος] ὀνόματα A 11 χηρευουσῶν μητρυιῶν scripsi (coll. § 20): χηρευουσῶν codd. (v); ἀγχιστευουσῶν coni. Mang. ἔγθος A 13 post γὰρ add. αὐτῶν M τὰς ἑαυτῶν A: τὰς αὑτῶν (ὑ ex ὐ corr.) H, τὰς αὐτῶν FGP Barb., om. h. l. M 14 ὡς λόγος, τῆς μεγίστης F Arm: τῆς μεγίστης, ὡς λόγος ceteri (v) 15 δυσεβέστερον F, δύσευέστερον A 16 γήρως] χήρας coni. Mang. 17 λαμβάνοντα coni. Mang. 18 γενέσθαι H (v) καὶ post γίνεσθαι om. Arm τοῦ αὐτοῦ καὶ M (καὶ om. Mang.): om. F Arm, νῦν ceteri (Turn.) μητέρα καὶ γυναῖκα transp. H (v) 19 τοῦ μὲν F Arm (coni. Mang.): τοὺς μὲν ceteri (v)

1—6 Lev. 18,20. 20,10. Deut. 22,22. cf. *Ioseph. Ant. Iud. III § 274* μοιχείαν μὲν εἰς τὸ παντελὲς ἀπεῖπε νομίσας εὔδαιμον τὸ περὶ τοὺς γάμους ὑγιαίνειν τοὺς ἄνδρας καὶ ταῖς τε πόλεσι καὶ τοῖς οἴκοις συμφέρειν τὸ τοὺς παῖδας εἶναι γνησίους. καὶ μίσγεσθαι δὲ μητράσι κακὸν μέγιστον ὁ νόμος ἀπεῖπεν, ὁμοίως δὲ καὶ πατρὸς συνεῖναι γαμετῇ καὶ τηθίσι καὶ ἀδελφαῖς καὶ παίδων γυναιξὶν ὡς ἔκφυλον ἔχον τὴν ἀδικίαν μεμίσηκεν. . . . κατὰ δὲ τῶν εἰς ταῦτ' ἐξυβρισάντων θάνατον ὥρισε τὴν τιμωρίαν. 11 Lev. 18,8. 20,11. Deut. 22,30. 13 cf. Sext. Emp. Pyrrh. Hyp. III 205, alii.

καὶ τὴν μὲν ὧν ἔτεκε μητέρα τε καὶ μάμμην, τὸν δὲ ὧν ἐγέννησεν ἐν
15 ταὐτῷ πατέρα τε καὶ ὁμομήτριον ἀδελφόν — ταῦτ᾽ ἐπράχθη τὸ παλαιὸν
καὶ παρ᾽ Ἕλλησιν ἐν Θήβαις ἐπὶ τοῦ Λαΐου παιδὸς Οἰδίποδος καὶ
ἐπράχθη κατ᾽ ἄγνοιαν, | οὐχ ἑκουσίῳ γνώμῃ, καὶ ὅμως τοσαύτην κακῶν p. 30
φορὰν ἤνεγκεν ὁ γάμος, ὡς μηδὲν ἐλλειφθῆναι τῶν εἰς τὴν ἀνωτάτω
16 βαρυδαιμονίαν. πολέμων τε γὰρ ἐμφυλίων καὶ ξενικῶν διαδοχαὶ καθάπερ
κλῆρος παισὶ καὶ ἐκγόνοις παρὰ πατέρων καὶ προγόνων ἀπελείπετο καὶ
πορθήσεις πόλεων τῶν ἐν τῇ Ἑλλάδι μεγίστων ἐγίνοντο καὶ φθοραὶ στρα-
τιωτικῶν δυνάμεων ἐγχωρίων τε καὶ τῶν κατὰ συμμαχίαν ἀφικνουμένων
καὶ ἡγεμόνων τῶν παρ᾽ ἑκατέροις ἀρίστων ἐπάλληλοι φθοραὶ καὶ διὰ τὰς
περὶ κράτους [καὶ] ἀρχῆς ἀσυμβάτους ἔχθρας ἀδελφοκτονίαι, δι᾽ ἃς οὐ
μόνον αἱ συγγένειαι καὶ πατρίδες ἀλλὰ καὶ ἡ πλείστη μοῖρα τοῦ Ἑλλη-
νικοῦ παντὸς ἐξεφθάρη πανωλεθρίᾳ· κεναὶ γὰρ αἱ πρότερον εὐανδροῦσαι
πόλεις οἰκητόρων μνημεῖα τῶν τῆς Ἑλλάδος συμφορῶν ὑπελείφθησαν,
17 ἀτυχὴς θέα τοῖς ὁρῶσιν. οὐ μὴν οὐδὲ Πέρσαι, παρ᾽ οἷς ταῦτα ἐπιτη-
δεύεται, τῶν παραπλησίων κακῶν ἀμοιροῦσιν· ἀεὶ γὰρ ἐν στρατείαις καὶ
μάχαις εἰσὶ κτείνοντες καὶ κτεινόμενοι καὶ τοτὲ μὲν τοὺς πλησιοχώρους
κατατρέχοντες τοτὲ δὲ τοὺς ἐπανισταμένους ἀμυνόμενοι· πολλοὶ δὲ πολλα-
χόθεν ἐπανίστανται, τοῦ βαρβαρικοῦ μὴ πεφυκότος ἠρεμεῖν· πρὶν γοῦν
καταλυθῆναι τὴν ἐν χερσὶ στάσιν, ἑτέρα φύεται, ὡς μηδένα τοῦ ἔτους
ὑπεξῃρῆσθαι καιρὸν εἰς ἡσυχίαν, ἀλλὰ καὶ θέρους καὶ χειμῶνος μεθ᾽
ἡμέραν καὶ νύκτωρ ὁπλοφορεῖν, πλείω χρόνον ἐν τοῖς στρατοπέδοις ἐν
ὑπαίθρῳ ταλαιπωροῦντας ἢ ἐν ταῖς πόλεσιν οἰκοῦντας διὰ πολλὴν ἔνδειαν
18 εἰρήνης. ἐῶ λέγειν τὰς τῶν βασιλέων μεγάλας καὶ ὑπερόγκους εὐπρα-
γίας, οἷς ἀγώνισμα πρῶτον εὐθὺς ἅμα τῇ παραλήψει τῆς ἡγεμονίας τὸ

1 τε om. A 1. 2 ἐν αὐτῷ F, αὐτῷ (om. ἐν) Arm 2 ταῦτ᾽ ἐπράχθη κτλ. cum praecedentibus coniunxi 3 παιδὸς] καὶ τοῦ παιδὸς M 4 κατ᾽ FA: κατὰ ceteri 4. 5 κακῶν φορὰν F: κακῶν om. A, φορὰν κακῶν ceteri (v) 6 γὰρ om. A 7 κλήρου F ἐκγόνοις FA Barb.: ἐγγόνοις ceteri (v) πατέρων] πατρώων Turn. (Richt.!) 8 φθορὰ Arm 9 τῶν om. A 10 φθοραὶ] φόνοι coni. Mang. 11 καὶ seclusit Mang. 14 ἀπελείφθησαν M 15 οὐ μὴν om. Barb. 16 αἰεὶ F στρατιαῖς FN, στρατείᾳ A 17 τοτὲ] ποτὲ N 19 γοῦν] οὖν A Barb. (Mang.), γὰρ G 20 μηδένα τοῦ ἔτους] μηδ᾽ ἐν τούτοις A 21 θέρους καὶ χειμῶνος om. HP (Turn.) post χειμῶνος add. καὶ Mang., om. codd. 22 πλείω FN: πλείονα ceteri (v) τοῖς om. N 23 οἰκοῦντας v (Turn.): οἰκεῖν codd. 24 ἐῶ γὰρ A

2sqq. cf. Soph. Oed. Tyr. 1404—1408. 15—155,5 N fol. 158v: οὐ μὴν — τοὺς ἀσεβοῦντας.

μέγιστον ἄγος, ἀδελφοκτονία, μαντευομένων τὴν ἐκ τῶν ἀδελφῶν γενη-
σομένην ἴσως ἐπίθεσιν ὑπὲρ τοῦ δοκεῖν εὐλόγως κτείνειν. ἅπερ μοι 19
δοκεῖ πάντα συμβαίνειν διὰ τὰς ἀναρμόστους υἱῶν πρὸς μητέρας ὁμιλίας,
τῆς ἐφόρου τῶν ἀνθρωπείων δίκης ἀμυνομένης τῶν ἀνοσιουργημάτων
τοὺς ἀσεβοῦντας· ἀσεβοῦσι δ' οὐχ οἱ δρῶντες μόνον, ἀλλὰ καὶ ὅσοι τοῖς
δρῶσιν ἑκουσίῳ γνώμῃ συνεπιγράφονται. τοσαύτην δὲ ὁ ἡμέτερος νόμος 20
φυλακὴν πεποίηται τοῦ πράγματος, ὥστε οὐδὲ προγονῷ τελευτήσαντος
πατρὸς ἄγεσθαι μητρυιὰν ἐφῆκε, διά τε τὴν εἰς τὸν πατέρα τιμὴν καὶ
διότι μητρυιᾶς καὶ μητρὸς ὄνομα συγγενές, εἰ καὶ μὴ τὸ τῆς ψυχῆς
συνῳδὸν πάθος· ὁ γὰρ ἀλλοτρίας ἀπέχεσθαι διδαχθείς, ὅτι μητρυιὰ 21
προσερρήθη, πολὺ μᾶλλον ἀφέξεται τῆς φύσει μητρός· καὶ εἴ τις διὰ
p. 303 M. τὴν ἐπὶ τῷ πατρὶ μνήμην αἰδεῖται τὴν ἐκείνου | ποτὲ γενομένην γυναῖκα,
δῆλός ἐστιν ἕνεκα τῆς εἰς ἀμφοτέρους τοὺς γονεῖς τιμῆς οὐδὲν βουλευ-
σόμενος ἐπὶ τῇ μητρὶ νεώτερον, ἐπεὶ καὶ σφόδρα ἐστὶν εὔηθες ἡμίσει
μέρει τοῦ γένους χαριζόμενον ὁλοκλήρου καὶ παντελοῦς ὀλιγωρεῖν
δοκεῖν.

(4.) Ἑξῆς ἐστι παράγγελμα μηδ' ἀδελφὴν ἐγγυᾶσθαι, πάνυ σπουδαῖον 22
καὶ συντεῖνον εἰς ἐγκράτειαν ὁμοῦ καὶ εὐκοσμίαν. ὁ μὲν οὖν Ἀθηναῖος
Σόλων ὁμοπατρίους ἐφεὶς ἄγεσθαι τὰς ὁμομητρίους ἐκώλυσεν, ὁ δὲ
Λακεδαιμονίων νομοθέτης ἔμπαλιν τὸν ἐπὶ ταῖς ὁμογαστρίοις γάμον ἐπι-

---

1 μαντευομένη A; μαντευομένοις scribendum censuit Mang. ἀδελφῶν om. G 1. 2 οὐ γενησομένην ἴσως MA (Mang.), γενησομένην om. F 2. 3 μοι δοκῶ MFN (fort. recte, tum vero συμβαίνει scribendum est) 5 ἀσεβοῦσι] ἀσε (sic) F δ' F: γοῦν Barb., γὰρ ceteri (v) μόνον FP Barb.: μόνοι ceteri (v) 5. 6 γρ. καὶ ὅσοι τῶν ἔτι δρώντων ἔχουσι συνεπιγράφους mg M 6 ἑκουσίω γνώμη συνεπιγράφονται F Arm: post γνώμῃ add. σὺν τῇ τῶν δρώντων ἐξουσίᾳ ceteri (v) δ' F, δὲ om. Arm 7 ὥστε M: ὥστ' ceteri προγονῷ scripsi: προγόνω codd. (v) 8 ἀφῆκε G 9 μητρὸς καὶ μητρυιᾶς Arm 10. 11 προσερρήθη μητρυιά transp. A 11 προσερρέθη M 12 μνήμην] τιμὴν coni. Mang. 13. 14 βουλευσόμενος F Arm (Mang.): βουλευόμενος ceteri (βουλόμενος Turn.) 14 τῇ μητρὶ F: τῇ om. ceteri σφόδρ' F 15 vel μέρει delendum vel ἢ inserendum putavit Mang. 15. 16 ὀλιγωρεῖν δοκεῖν ante ὁλοκλήρου καὶ παντελοῦς transp. HP (v) 17 tit. περὶ τοῦ δεῖν μὴ ἀδελφὴν ἄγεσθαι γυναῖκα add. mg M ἑξῆς] ἐξ ἧς F 18 ὁμοῦ] νόμου Arm Ἀθηναῖος] Ἀθηναίων νομοθέτης Arm 19 ὁμοπατρίους ἐφεὶς ἄγεσθαι om. Arm ἐφεὶς F: ἐφιεὶς ceteri (v) τὰς] τοὺς A 20 ταῖς] τοῖς A Barb.

---

7 Lev. 18,8. 20,11. Deut. 22,30. 17 Lev. 18,9. 20,17. 19 cf. Schol. Arist. Nub. 1371. Corn. Nep. Cim. 1.

23 τρέψας τὸν πρὸς τὰς ὁμοπατρίους ἀπεῖπεν· ὁ δὲ τῶν Αἰγυπτίων χλεύην
⟨θέμενος⟩ τὴν ἑκατέρων εὐλάβειαν ὡς ἡμίεργα διαταττομένων εὐφόρησεν
εἰς ἀσέλγειαν, ἐπιδαψιλευόμενος δυσθεράπευτον κακὸν σώμασι καὶ ψυχαῖς
ἀκρασίαν καὶ παρασχὼν ἄδειαν ἁπάσας ἀδελφὰς ἄγεσθαι, τάς τε ἰδίας
τοῦ ἑτέρου τῶν γονέων, τοῦδε ἢ τοῦδε, καὶ τὰς ἐξ ἀμφοῖν καὶ τὰς οὐ
νεωτέρας μόνον ἀλλὰ καὶ πρεσβυτέρας καὶ ἰσήλικας· καὶ δίδυμοι γὰρ
πολλάκις ἐγεννήθησαν, οὓς ἡ μὲν φύσις ἅμα τῇ γενέσει διήρτησε καὶ
διέζευξεν, ἡ δ' ἀκολασία καὶ φιληδονία εἰς κοινωνίαν ἐκάλεσεν ἀκοινώνητον
24 καὶ ἁρμονίαν ἀνάρμοστον. ἅπερ ἐκμυσαξάμενος ὁ ἱερώτατος Μωυσῆς
ὡς ἀλλότρια καὶ ἐχθρὰ πολιτείας ἀνεπιλήπτου καὶ προτρέποντα καὶ
ἀλείφοντα πρὸς τὰ αἴσχιστα τῶν ἐπιτηδευμάτων ἀνὰ κράτος ἀπεῖπεν
ἀδελφῇ συνέρχεσθαι, εἴτε ἐξ ἀμφοῖν εἴτε καὶ μόνου γένοιτο τοῦ ἑτέρου.
25 τί γὰρ δεῖ τὸ τῆς αἰδοῦς κάλλος αἰσχύνειν; τί δ' ἀχρωμάτους κατα-
σκευάζειν παρθένους, ἃς ἐρυθριᾶν ἀναγκαῖον; τί δὲ τὰς πρὸς τοὺς ἄλλους
ἀνθρώπους κοινωνίας καὶ ἐπιμιξίας ἐπέχειν εἰς βραχὺ χωρίον τὸ ἑκάστης
οἰκίας συνωθοῦντας μέγα καὶ λαμπρὸν γένος ἐκτείνεσθαι καὶ χεῖσθαι
δυνάμενον εἰς ἠπείρους καὶ νήσους καὶ τὴν οἰκουμένην πᾶσαν; αἱ γὰρ
πρὸς τοὺς ὀθνείους ἐπιγαμίαι καινὰς ἀπεργάζονται συγγενείας τῶν ἀφ'
26 αἵματος οὐκ ἀποδεούσας. (5.) ὧν χάριν πολλὰς καὶ ἄλλας ὁμιλίας
ἐκώλυσε προστάξας μὴ θυγατριδῆν, μὴ υἱιδῆν, μὴ τηθίδα πρὸς πατρὸς
ἢ μητρός, μὴ θείου ἢ υἱοῦ ἢ ἀδελφοῦ γυναῖκα γενομένην ἐγγυᾶσθαι, μηδ'
αὖ προγονὴν ἢ χήραν ἢ παρθένον ζώσης μὲν τῆς γυναικὸς — ἄπαγε —

---

1 τὸν] τὰς G   τὰς om. G   1. 2 χλεύην θέμενος scripsi: χλεύην codd.; χλευάζων v (Turn.)   2 ἑκατέραν F[1]   εὐφόρησεν] ἀφόρησεν (sic) F, ἐγνώρισεν A, ἐγνώρησεν P[2]; εὐφόρησεν corruptum, ἐφώρμησεν conicio   3 δαψιλευόμενος M   4 ἀκρασίαν] ἀκολασίαν coni. Mang.   ἅπασιν Arm   5 τοῦδε ἢ τῆσδε coni. Mang.   6 καὶ τὰς πρεσβυτέρας A   ἀλλὰ καὶ ἰσήλικας F   7 γεννήσει A   9 ἐκθυσαξάμενος (sic) F   10 ὡς om. F Arm   ἀνεπιλήπτου πολιτείας transp. Barb.   προτρέποντος F   11 αἴσχιστα FL[2]: ἔχθιστα ceteri   12 pr. εἴτε FG: εἴτε καὶ ceteri (v)   γένηται Barb.   14 τὰς om. F   15 ἀνθρώπους om. A   16 ἀπωθοῦντας Arm (?)   γένος Mang.: ἔργον codd.   17 αἵ τε γὰρ M   18 πρὸς τοὺς ὀθνείους F: τῶν ὀθνείων ceteri (v)   ἐπιγαμ[illegible]αι F[2],
ὁμιλίας
ἐπιγαμιαίας F[1] ut vid.   19 συγγενείας A   20 μὴ υἱιδῆν om. F   22 προγονὴν ἢ A: πρόγονον (om. ἢ) ceteri (Turn.)   μὲν] μέντοι A   ἄπαγε FG Arm: ἐπάγεσθαι ceteri (v)

---

1 sqq. cf. Diod. Sic. I 27. Sext. Emp. Pyrrh. Hyp. III 205.   20 Lev. 18,10. 12. 13. 20,19. cf. *Ioseph. Ant. Iud. III § 274* (supra p. 153).   21 Lev. 18,14. 15. 16. 20,12. 20. 21.   22 Lev. 18,17. 20,14.

ἀλλὰ μηδ' ἀποθανούσης· δυνάμει γὰρ ὅ γε πατρωὸς πατὴρ ὀφείλων τὴν
ἐκ τῆς γυναικὸς ἐν τάξει θυγατρὸς τίθεσθαι. πάλιν δύο ἀδελφὰς 27
p. 304 M. ἄγεσθαι τὸν αὐτὸν οὐκ ἐπιτρέπει, οὔτ' ἐν τῷ αὐτῷ | οὔτ' ἐν διαφέρουσι
χρόνοις, κἂν τύχῃ τις ἣν προέγημεν ἀπεωσμένος· ζώσης γὰρ ἔτι τῆς
συνοικούσης, εἴτε καὶ ἀπηλλαγμένης, ἐάν τε χηρεύῃ ἐάν τε καὶ ἑτέρῳ
γαμηθῇ, τὴν ἀδελφὴν οὐχ ὅσιον ὑπέλαβεν ἐπὶ τὰ τῆς ἠτυχηκυίας
παρέρχεσθαι, προδιδάσκων τὰ συγγενικὰ δίκαια μὴ λύειν μηδ' ἐπιβαίνειν
πταίσμασι τῆς οὕτως ἡνωμένης κατὰ γένος μηδ' ἐναβρύνεσθαι καὶ ἐντρυ-
φᾶν θεραπευομένην ὑπὸ τῶν ἐχθρῶν ἐκείνης καὶ ἀντιθεραπεύουσαν
αὐτούς. ἐγείρονται γὰρ ἐκ τούτων χαλεπαὶ ζηλοτυπίαι καὶ δυσπαρηγόρητοι 28
φιλονεικίαι φορὰς ἀμυθήτους ἐπάγουσαι κακῶν· ὅμοιον γὰρ ὡς εἰ καὶ
τὰ μέρη τοῦ σώματος τῆς κατὰ φύσιν ἁρμονίας ἐκστάντα καὶ κοινωνίας
στασιάζοι πρὸς ἄλληλα, ὃ νόσους ἀνιάτους ἀπεργάζεται καὶ φθοράς·
ἀδελφαὶ δέ, εἰ καὶ διαιρετὰ μέρη γεγόνασιν, ἀλλ' οὖν ἁρμόζονται καὶ
ἑνοῦνται φύσει καὶ συγγενείᾳ μιᾷ· ἡ δὲ ζηλοτυπία, πάθος ἀργαλεώ-
τατον, ἀπορρήττουσα χαλεπὰ καινουργεῖ κακὰ καὶ δυσίατα. ἀλλὰ μηδὲ 29
ἀλλοεθνεῖ, φησί, κοινωνίαν γάμου συντίθεσο, μή ποτε μαχομένοις
ἔθεσιν ὑπαχθεὶς ἐνδῷς καὶ τῆς πρὸς εὐσέβειαν ὁδοῦ λάθῃς διαμαρτὼν

---

1 πατρωὸς A: πατρῷος ceteri (v) πατὴρ ὀφείλων om. M ὀφείλων F: ὀφείλει ceteri (v), ἐστὶ καὶ ὀφείλει Arm 2 τῆς om. A 2. 3 tit. περὶ τοῦ μὴ ἄγεσθαι τὸν αὐτὸν δύο ἀδελφάς add. mg M 3 ἐν ταὐτῷ A 4 ἀπεωσμένον F 4. 5 ζώσης γὰρ ἔτι τῆς ⟨πρότερον⟩ συνοικούσης, εἶτα καὶ ἀπηλλαγμένης coni. Mang. 5 εἴτε] ἢ A χηρεύη F: χηρεύσῃ ceteri (v) καὶ om. M 6 τὰ] τὴν M, om. G 7 προδιδάσκων F Arm: προδιδάσκων ταύτας ceteri (v); ταύτῃ coni. Mang. διαλύειν M 8 μηδὲ A 11 ἐπάγουσαι F: ἄγουσαι ceteri (v) ὅμοιον F: ὁμοίως ceteri (v) ὡς εἰ καὶ] ὥσπερ M 13 στασιάζει MA Barb. ὃ Mang.: om. F Arm, ἃ ceteri ἀπεργάζεται F: πάντως ἀπεργάζεται A, ἀπεργάζεται πάντως ceteri (v) καὶ φθοράς FL²: ἢ φθοράς ceteri 14 ἀδελφαὶ Barb. (coni. Mang.): ἀδελφῆς F, ἀδελφὰ ceteri (v) εἰ om. F καὶ εἰ transp. A μέρη] τὰ μέρη H² (v) 14. 15 καὶ ἑνοῦνται om. HL (Turn.) 15 φύσει κα om. Mang. 16 ἀπορρήττουσα F: om. ceteri (v) καινουργεῖ] καινουργοῦν A, καὶ πανουργῇ F μηδὲ A: μηδ' ceteri 17 ἐπιτίθεσο M 18 ἔθνεσιν AG

---

2 Lev. 18,18. 16 sqq. Exod. 34,16. Deut. 7,3.4. cf. *Ioseph. Ant. Iud. VIII § 191* (de Salomone rege) . . . πολλὰς δὲ καὶ ἐκ τῶν ἀλλοτρίων ἐθνῶν γήμας . . . παρέβη μὲν τοὺς Μωυσέως νόμους, ὃς ἀπηγόρευσε συνοικεῖν ταῖς οὐχ ὁμοφύλοις, (192) τοὺς δ' ἐκείνων ἤρξατο θρησκεύειν θεοὺς ταῖς γυναιξὶ καὶ τῷ πρὸς αὐτὰς ἔρωτι χαριζόμενος, τοῦτ' αὐτὸ ὑπιδομένου τοῦ νομοθέτου προειπόντος μὴ γαμεῖν τὰς ἀλλοτριοχώρους, ἵνα μὴ τοῖς ξένοις ἐπιπλακέντες ἔθεσι τῶν πατρίων ἀποστῶσι μηδὲ τοὺς ἐκείνων σέβωνται θεοὺς παρέντες τιμᾶν τὸν ἴδιον.

πρὸς ἀνοδίαν ἐκτραπείς· καὶ τάχα μὲν αὐτὸς ἀνθέξεις ἐκ πρώτης ἡλικίας
ἡρματισμένος ὑποθήκαις ἀρίσταις, ἃς οἱ γονεῖς κατεπᾴδοντες ἀεὶ τοὺς
ἱεροὺς νόμους ὑφηγοῦντο· δέος δὲ οὐ μικρόν ἐστι περὶ υἱῶν καὶ θυγα-
τέρων, ἴσως γὰρ δελεασθέντες νόθοις πρὸ γνησίων ἔθεσι κινδυνεύουσι
τὴν τοῦ ἑνὸς θεοῦ τιμὴν ἀπομαθεῖν, ὅπερ ἐστὶν ἀρχὴ καὶ τέλος τῆς
30 ἀνωτάτω βαρυδαιμονίας. ἐὰν δέ, φησίν, ἀνδρὸς ἀπαλλαγεῖσα γυνὴ καθ'
ἣν ἂν τύχῃ πρόφασιν ἑτέρῳ γημαμένη πάλιν χηρεύσῃ, ζῶντος ἢ καὶ
τετελευτηκότος τοῦ δευτέρου, μὴ ἐπανίτω πρὸς ἄνδρα τὸν πρότερον,
ἀλλὰ πᾶσι τοῖς ἄλλοις ἔνσπονδος μᾶλλον ἢ τῷδε γενέσθω, θεσμοὺς παρα-
βᾶσα τοὺς ἀρχαίους, ὧν ἐξελάθετο φίλτρα καινὰ πρὸ τῶν παλαιῶν
31 ἑλομένη. πρὸς δὲ συμβάσεις εἴ τις ἐθέλει χωρεῖν ἀνὴρ τῇ τοιαύτῃ
γυναικί, μαλακίας καὶ ἀνανδρίας ἐκφερέσθω δόξαν, ἐκτετμημένος τῆς
ψυχῆς τὸ βιωφελέστατον, μισοπόνηρον πάθος, ὑφ' οὗ καὶ τὰ οἴκων καὶ
τὰ πόλεων πράγματα κατορθοῦται, καὶ δύο τὰ μέγιστα τῶν ἀδικημάτων
εὐφόρως ἀπομαξάμενος, μοιχείαν τε καὶ προαγωγείαν· αἱ γὰρ αὖθις
καταλλαγαὶ μηνύματ' εἰσὶ τοῦ ἑκατέρου· θανάτου δίκην τινέτω σὺν τῇ
γυναικί.
32 (6.) | Φορὰ τῶν μηνιαίων ὁπότε γένοιτο, μὴ ψαυέτω γυναικὸς ἀνήρ, p. 305
ἀλλὰ τὸν χρόνον ἐκεῖνον ὁμιλίας ἀνεχέτω νόμον φύσεως αἰδούμενος καὶ

---

1 τάχα] τὰ F 2 ἡρματισμένος F Arm: ἠρτημένος ceteri (v) αἰεὶ F 3 ἱεροὺς] ἱερεῖς A δ' FA, δὲ om. G οὐ] οὐδὲ ν F 4 γὰρ om. Arm πρὸ] πρὸς G ἔθνεσι A κινδυνεύουσι FAP: κινδυνεύσουσι ceteri (v) 5 τιμὴν ἀπομαθεῖν F: ἀπομαθεῖν τιμήν ceteri (v) 6 δέ om. Arm γυνὴ om. A 9 γενέσθω F: γινέσθω ceteri (v) θεσμοὺς] δεσμοὺς H (Turn.) 11 ἐθέλει F: ἐθέλοι ceteri (v) 12 μαλακείας καὶ ἀνανδρείας HP ἐκτετμημένος codd.: ὡς ἐκτετμημένος v 13 καὶ μισοπόνηρον Turn. 14 τὰ πόλεων codd.: τὰ om. v κατορθοῦνται A 15 εὐφόρως scripsi: εὐφυῶς codd. (v); εὐθέως coni. Mang. προαγωγίαν P (Mang.) 16 μηνύματ' F: μηνύματα ceteri τοῦ ἑκατέρου F: τοῦ ἑκατέρων ceteri (v) θανάτου. δίκην codd. v (cf. Mang.) τινέτω F Arm: γοῦν τινέτω A, οὖν τινέτω ceteri (v) 18 tit. περὶ τῶν καταμηνίων add. mg M φορὰ δὲ Arm τῶν om. A γυναικὸς FA: τῆς γυναικὸς ceteri (v) ἀνήρ MFA: ὁ ἀνήρ ceteri (v), ἀνήρ om. G Barb. 19 ἀνεχέτω F: ἀπεχέσθω G, ἀνεχέσθω ceteri (v)

---

6 sqq. Deut. 24,1—4. cf. *Ioseph. Ant. Iud. IV* § *253* γυναικὸς δὲ τῆς συνοικούσης βουλόμενος διαζευχθῆναι καθ' ἁσδηποτοῦν αἰτίας, πολλαὶ δ' ἂν τοῖς ἀνθρώποις τοιαῦται γίγνοιντο, γράμμασι μὲν περὶ τοῦ μηδέποτε συνελθεῖν ἰσχυριζέσθω· λάβοι γὰρ ἂν οὕτως ἐξουσίαν συνοικεῖν ἑτέρῳ, πρότερον γὰρ οὐκ ἐφετέον· εἰ δὲ καὶ πρὸς ἐκεῖνον κακωθείη καὶ τελευτήσαντος αὐτοῦ θελήσειε γαμεῖν ὁ πρότερος, μὴ ἐξεῖναι αὐτῇ ἐπανιέναι. 18 Lev. 18,19. 20,18. cf. *Ioseph. Ant. Iud. III* § *275.* 18—159,13 pergit Catena Barber. IV 56 fol. 122v: φορὰ τῶν μηνιαίων — δεδιώς.

ἅμα προδιδασκόμενος μὴ ἀτελεῖς γονὰς ἀκαίρου καὶ ἀμούσου χάριν ἡδονῆς
προίεσθαι· ὅμοιον γὰρ ὡς εἴ τις γεωπόνος ὑπὸ μέθης ἢ φρενοβλαβείας
πυροὺς καὶ κριθὰς εἰς λίμνας καὶ χειμάρρους ἀντὶ πεδίων σπείροι, ξηραῖς
γὰρ γενομέναις ταῖς ἀρούραις καταβάλλεσθαι χρὴ τὸν σπόρον εἰς εὐκαρ-
πίαν. καθαίρει δὲ καὶ ἡ φύσις ἑκάστῳ μηνὶ τὴν μήτραν οἷά τινα θαυ- 33
μαστὴν ἄρουραν, ἧς τὸν καιρὸν ἀγαθοῦ γεωργοῦ τρόπον ἐπιτηρητέον, ἵν'
ἔτι μὲν ἐπικλυζομένης ἐπέχοι τὸν σπόρον — λήσεται γὰρ τῇ φορᾷ κατα-
συρεὶς ὑπὸ τῆς ὑγρότητος τοὺς σπερματικοὺς τόνους οὐ χαλασθεὶς
μόνον ἀλλὰ καὶ εἰς ἅπαν ἐκλυθείς· οὗτοι δ' εἰσὶν οἱ ἐν τῇ μήτρᾳ τῷ
τῆς φύσεως ἐργαστηρίῳ ζῳοπλαστοῦντες καὶ τῶν μερῶν ἕκαστον σώματός
τε καὶ ψυχῆς ἀκρότητι τέχνης τελεσιουργοῦντες —, εἰ δ' ἐπίσχοι τὰ
μηνιαῖα, θαρρῶν ἤδη γόνιμα κατασπείροι μηκέτι φθορὰς τῶν καταβλη-
θησομένων δεδιώς. ὀνειδιστέον καὶ τοῖς σκληρὰν καὶ λιθώδη γῆν 34
ἀροῦσιν· οὗτοι δὲ τίνες ἂν εἶεν ἢ οἱ στείραις συνερχόμενοι γυναιξί;
θήρᾳ γὰρ αὐτὸ μόνον ἡδονῆς ἀκράτορος ὡς οἱ λαγνίστατοι τὰς γονὰς
ἑκουσίῳ γνώμῃ διαφθείρουσιν· ἐπεὶ τίνος ἄλλου χάριν ἐγγυῶνται τὰς
τοιαύτας; οὐ μὴν δι' ἐλπίδα τέκνων, ἣν ἴσασιν ἐξ ἀνάγκης ἀτελῆ γενη-
σομένην, ἀλλὰ δι' ὑπερβάλλοντα οἶστρον καὶ ἀκρασίαν ἀνίατον. ὅσοι μὲν 35
οὖν ἄγονται κόρας ἀγνοίᾳ τοῦ πῶς ἔχουσιν εὐθὺς εὐτοχίας ἢ τοὐναντίον,
ὁπόταν χρόνῳ μακρῷ ὕστερον ἐκ τῆς ἀγονίας αἰσθανόμενοι στείρας αὐτὰς

---

1 προδιδασκόμενος MAG Barb.: προσδιδασκόμενος F Arm, διδασκέσθω HP (v) 2 προσίεσθαι FH (Turn.) γὰρ om. F ἢ] καὶ A, om. F[1] 3 πυροὺς καὶ κριθὰς M: πυροῖς καὶ κριθαῖς F, πυροὺς ἢ κριθὰς ceteri (v), πυροὺς ἢ καὶ κριθὰς Barb. κριθοὺς A εἰς om. F σπείροι F: κατασπείρει A, κατασπείροι ceteri (v) 5 δὲ καὶ F: δ' A, δὲ ceteri 6 καιροῦ F[1] ▒ (ras. 3 litt.) τρόπον F, τὸν τρόπον Barb. ἵν' — σπόρον (7) om. G 7 ἐπέχοι H[2] (v): ἐπέχῃ ceteri τῇ φορᾷ F Arm: ἡ σπορὰ ceteri (v), ἡ σπορὰ ὑπὸ τῆς φορᾶς Barb. 7. 8 γρ. λήσεται γὰρ τῇ γῇ φθορὰ κατασυρεῖσα ὑπὸ τῆς ὑγρότητος πνευματικοὺς τόνους mg M κατασυρεὶς Arm: ἐκσυρεῖσα A, κατασυρεῖσα ceteri (v) 8 ἀγριότητος Barb. σπερματικοὺς A: πνευματικοὺς ceteri τόνους] γόνους MG 8. 9 χαλασθεὶς et ἐκλυθείς scripsi (Arm?): χαλασθεῖσα et ἐκλυθεῖσα codd. (v) 9 δ' FA: δὲ ceteri 10 ἕκαστον F Barb.: ἕκαστα ceteri (v) 11 τε καὶ ψυχῆς om. Arm (fort. recte) δὲ F ἐπίσχοιτο G 12 μηναῖα F[1], ι add. F[2] φθορὰς F: σπορὰν H, φθορὰν ceteri (v) 12. 13 βληθησομένων M 13 tit. περὶ τῶν συνερχομένων στείραις add. mg M τοῖς] τὴν A 14 ἢ om. AGH[1]P 15 θήρᾳ γὰρ αὐτὸ μόνον] θηραταὶ γὰρ οὗτοι μόνον M (Mang.) ἄκρατοι M ὡς οἱ scripsi: οἳ F, ὅσοι ceteri (v) 17 ἐξ ἀνάγκης ἴσασιν transp. A 18 ἀκρασίαν] ἀκολασίαν A (Mang.) ἀνίατον ἀκρασίαν Arm 20 ὁπόταν F: ὁπότε ceteri (v) μακρῷ χρόνῳ Arm αἰσθόμενοι A στείρας] χήρας A

μὴ ἀποπέμπωνται, συγγνώμης εἰσὶν ἐπάξιοι συνηθείας, βιαστικωτάτου
πράγματος, ἡττώμενοι καὶ φίλτρα ἀρχαῖα συμβιώσει μακρᾷ ταῖς ψυχαῖς
36 ἐνεσφραγισμένα λύειν ἀδυνατοῦντες. ὅσοι δὲ προδεδοκιμασμένας ἑτέροις
ἀνδράσιν ὡς εἰσὶν ἄγονοι μνῶνται συῶν τρόπον ἢ τράγων ὀχεύοντες
αὐτὸ μόνον, ἐν ἀσεβῶν στήλαις ἐγγραφέσθωσαν ὡς ἀντίπαλοι θεοῦ· τῷ
μὲν γὰρ ἅτε φιλοζῴῳ καὶ φιλανθρώπῳ δι' ἐπιμελείας τῆς πάσης ἐστὶ
σωτηρίαν καὶ μονὴν τοῖς γένεσιν ἅπασιν ἐργάζεσθαι, οἱ δ' ἅμα τῇ κατα-
βολῇ σβέσιν τοῖς σπέρμασι τεχνάζοντες ἐχθροὶ τῆς φύσεως ὁμολογου-
μένως εἰσίν.
37 (7.) Ἐπεισκεχώμακε δὲ ταῖς πόλεσιν ἕτερον πολὺ τοῦ λεχθέντος
μεῖζον κακόν, τὸ παιδεραστεῖν, ὃ πρότερον μὲν καὶ λεχθῆναι μέγα
ὄνειδος ἦν, νυνὶ δ' ἐστὶν αὔχημα οὐ τοῖς δρῶσι μόνον, ἀλλὰ καὶ | τοῖς p. 306
πάσχουσιν, οἳ νόσον θήλειαν νοσεῖν ἐθιζόμενοι τάς τε ψυχὰς καὶ τὰ
σώματα διαρρέουσι μηδὲν ἐμπύρευμα τῆς ἄρρενος γενεᾶς ἐῶντες ὑποτύ-
φεσθαι, περιφανῶς οὕτως τὰς τῆς κεφαλῆς τρίχας ἀναπλεκόμενοι καὶ
διακοσμούμενοι καὶ ψιμμυθίῳ καὶ φύκεσι καὶ τοῖς ὁμοιοτρόποις τὰς ὄψεις
τριβόμενοι καὶ ὑπογραφόμενοι καὶ εὐώδεσι μύροις λίπα χριόμενοι — προσ-
αγωγὸν γὰρ μάλιστα ἐν τοῖς τοιούτοις τὸ εὐῶδες ἐν ἅπασι τοῖς εἰς
εὐκοσμίαν ἠσκημένοις —, καὶ τὴν ἄρρενα φύσιν ἐπιτηδεύσει τεχνάζοντες
38 εἰς θήλειαν μεταβάλλειν οὐκ ἐρυθριῶσι. καθ' ὧν φονᾶν ἄξιον νόμῳ
πειθαρχοῦντας, ὃς κελεύει τὸν ἀνδρόγυνον τὸ φύσεως νόμισμα παρακό-
πτοντα νηποινεὶ τεθνάναι, μηδεμίαν ἡμέραν ἀλλὰ μηδ' ὥραν ἐώμενον ζῆν,

1 ἀποπέμπονται M, ἀποπεμπέτωσαν, οὗτοι δὲ HP; ἀπέπεμψαν· οὗτοι δὴ Turn. ἐπάξιοι F: ἄξιοι ceteri (v) 2 ἀρχαῖα φίλτρα Arm μακρᾷ συμβιώσει transp. HP (v) 3 προδεδοκιμασμένας FA: πρὸς δεδοκιμασμένας ceteri (Turn.) 4 ἄγονοι — ὁμολογουμένως εἰσίν (9) om. F 5 ἐγγεγραφέσθωσαν H (Turn.) 7 μονὴν M: μόνην GHP, μόνον A; διαμονὴν coni. Mang. 10 tit. κατὰ παιδεραστῶν add. mg M ἐπισκεχώμακε F, ἐπικεχώμακε N ἕτερον] πρότερον A 10. 11 ἕτερον — μεῖζον] μέγα Barb. 11 κακόν om. G τὸ παιδεραστῶν HP (Turn.) 15 οὕτω Barb. 15. 16 καὶ διακοσμούμενοι om. G 16 ψιμμιθίῳ MA, ψιμυθίῳ P 17 ἐπιτριβόμενοι A λίπα χριόμενοι] ὑποχριόμενοι M; ἐπιχριόμενοι coni. Mang. 17. 18 προσαγωγὸν incipit S 19 ἠσκημένοις codd.: ἠσκημένοι Mang. ἐπιτηδεύσει F: ἐν ἐπιτηδεύσει ceteri 20 μεταβαλεῖν S ἐρυθριῶσιν S καθῶν S νόμον F[1] 21 ὃς] θσ̄ (θεὸς) S τὸ φύσεως νόμισμα Mang.: τὰ φύσεως ὄργανα S, τὰ φύσει νόμιμα FN, τὰ φύσεως νόμιμα ceteri (v) 22 νηποινεὶ] ἀκρίτως S, γρ. ἀκρίτως mg M νηποινῆ A, νηποινὶ ceteri ἡμέραν] ὥραν G ἀλλ' οὐδ' ὥραν M μηδὲ AP

10—163,1 pergit Catena Barber. IV 56 fol. 122v: ἐπεισκεχώμακε — καὶ τῶν ὁμοιοτρόπων. 10—161,11 N fol. 158v: ἐπικεχώμακε — καὶ νύκτωρ. 21 Deut. 23,17.

ὄνειδος αὑτοῦ καὶ οἰκίας καὶ πατρίδος ὄντα καὶ τοῦ σύμπαντος ἀνθρώ-
πων γένους. ὁ δὲ παιδεραστὴς ἴστω τὴν αὐτὴν δίκην ὑπομένων, ἐπειδὴ 39
τὴν παρὰ φύσιν ἡδονὴν διώκει καὶ τὰς πόλεις τό γε ἐπ' αὐτὸν ἧκον
μέρος ἐρήμους καὶ κενὰς ἀποδείκνυσιν οἰκητόρων διαφθείρων τὰς γονὰς
καὶ προσέτι τῶν μεγίστων κακῶν, ἀνανδρίας καὶ μαλακίας, ὑφηγητὴς
καὶ διδάσκαλος ἀξιοῖ γενέσθαι τοὺς νέους ὡραΐζων καὶ τὸ τῆς ἀκμῆς
ἄνθος ἐκθηλύνων, ὃ πρὸς ἀλκὴν καὶ ῥώμην ἀλείφειν ἁρμόττον ἦν, καὶ
τελευταῖον ὅτι κακοῦ τρόπον γεωργοῦ τὰς μὲν βαθυγείους καὶ εὐκάρπους
ἀρούρας χερσεύειν ἐᾷ μηχανώμενος ἐπ' αὐταῖς ἀγονίαν, ἐξ ὧν δ' οὐδὲν
βλάστημα προσδοκᾶται τὸ παράπαν, εἰς ταῦτα πονεῖται μεθ' ἡμέραν τε
καὶ νύκτωρ. αἴτιον δ' οἶμαι τὸ παρὰ πολλοῖς τῶν δήμων ἀκρασίας καὶ 40
μαλακίας ἆθλα κεῖσθαι· τοὺς γοῦν ἀνδρογύνους ἔστιν ἰδεῖν διὰ πλη-
θυούσης ἀγορᾶς ἀεὶ σοβοῦντας κἀν ταῖς ἑορταῖς προπομπεύοντας καὶ τὰ
ἱερὰ τοὺς ἀνιέρους διειληχότας καὶ μυστηρίων καὶ τελετῶν κατάρχοντας
καὶ ⟨τὰ⟩ Δήμητρος ὀργιάζοντας. ὅσοι δ' αὐτῶν τὴν καλὴν νεανιείαν 41
προσεπιτείνοντες εἰς ἅπαν ὠρέχθησαν μεταβολῆς τῆς εἰς γυναῖκας καὶ
τὰ γεννητικὰ προσαπέκοψαν, ἁλουργίδας ἀμπεχόμενοι καθάπερ οἱ μεγάλων
ἀγαθῶν αἴτιοι ταῖς πατρίσι προέρχονται δορυφορούμενοι, τοὺς ὑπαντῶντας
ἐπιστρέφοντες. εἰ δ' ἦν ἀγανάκτησις οἵα παρὰ τῷ ἡμετέρῳ νομοθέτῃ 42
κατὰ τῶν τὰ τοιαῦτα τολμώντων καὶ ὡς κοινὰ τῶν πατρίδων ἄγη καὶ

---

1 αὑτοῦ SA: αὐτοῦ corr. in αὐτὸν H, αὐτοῦ ceteri 2 ἴστω Mang.: ἔστω codd. 3 γε SM: γ' ceteri 4 μέρος om. Arm ἐρήμας F¹ καὶ om. F¹N ἀποδείκνυσθαι F 5 κακῶν om. A ἀνανδρείας HP 6 γενέσθαι SAG: γίνεσθαι ceteri (v) τοὺς νέους] τοῦ γένους A mg P; τοὺς γένυς coni. Mang. 7 ῥώμης A ἀλείφειν om. A ἁρμότατον (sic) A 9 ἀρούρας] χώρας S, om. A μηχανώμενον S 10 προσδοκᾶ F πονεῖσθαι S, ποιεῖται N μεθ' om. M μεθ' ἡμέραν codd.: καθ' ἡμέραν v τε S: om. ceteri (v)

11 τὸ (ὦ supra) A, τὸ om. GH¹P ἀκρασίας] ἀνανδρίας coni. Mang. 12 μαλακείας HP ἔστιν ἰδεῖν S: ἰδεῖν ἐστι ceteri (v) 12. 13 πληθυούσης S: πληθούσης ceteri (v) 13 αἰεὶ F κἀν] καὶ SF 14 μυστηρίων] μυρίων M 15 τὰ add. Turn., om. codd. Δήμητρος] μ̄ρ̄ά̄σ̄ (μητέρας) S νεανιείαν (sed ι eras.) F: νεανείαν AGP Barb., νεανίαν MH, νεανιότητα S 16 προσεπιτείνοντες SMA (Mang.): προσεπιτείναντες ceteri ὠρέχθησαν] ἠνέχθησαν S γυναῖκα S καὶ om. S (Mang.) 17 προαπέκοψαν A καὶ καθάπερ Barb. 18 τοῖς πατρίσιν (sic) F 19 ὑποστρέφοντες S οἷα περὶ F 20 τὰ om. A

---

2 Lev. 18,22. 20,13. cf. *Ioseph. Ant. Iud. III § 275. c. Ap. II § 199.*

μιάσματα δίχα συγγνώμης ἀνῃροῦντο, πολλοὺς ἂν ἑτέρους συνέβαινε
νουθετεῖσθαι· αἱ γὰρ τῶν προκαταγνωσθέντων ἀπαραίτητοι τιμωρίαι
ἀνακοπὴν οὐ βραχεῖαν ἐργάζονται τοῖς ζηλωταῖς τῶν ὁμοίων ἐπιτη-
δευμάτων.
43 (8.) | Ἀλλὰ γὰρ ἔνιοι τὰς Συβαριτῶν καὶ τὰς ἔτι λαγνιστέρων ἐπι- p. 307
θυμίας ζηλώσαντες τὸ μὲν πρῶτον ὀψοφαγίαις καὶ οἰνοφλυγίαις καὶ ταῖς
ἄλλαις ταῖς γαστρὸς καὶ τῶν μετὰ γαστέρα ἡδοναῖς ἐνησχήθησαν, εἶτα
δὲ κορεσθέντες ἐξύβρισαν — ὕβριν γὰρ κόρος γεννᾶν πέφυκεν —, ὡς
ὑπὸ φρενοβλαβείας λυττᾶν καὶ ἐπιμεμηνέναι μηκέτ' ἀνθρώποις εἴτ' ἄρρε-
σιν εἴτε θηλείαις ἀλλὰ καὶ ἀλόγοις ζῴοις, ὥσπερ ἐν Κρήτῃ φασὶ τὸ
44 παλαιὸν τὴν γυναῖκα Μίνω τοῦ βασιλέως ὄνομα Πασιφάην· ταύρου γὰρ
ἐρασθεῖσαν καὶ τῷ πάθει σφαδάζουσαν ἕνεκα τῆς περὶ τὴν ὁμιλίαν ἀπο-
γνώσεως — ἀποτυγχανόμενος γὰρ ἔρως οὐ μετρίως ἐπιτείνεται —
Δαιδάλῳ τὴν κατέχουσαν συμφορὰν ἀνενεγκεῖν, ὃς ἦν τῶν κατ' αὐτὸν
ἄριστος δημιουργός· τὸν δὲ πάνυ δεινὸν ὄντα ταῖς ἐπινοίαις τὰ ἀθήρατα
θηρᾶν δούρειον κατασκευάσαι βοῦν καὶ διὰ τῆς ἑτέρας πλευρᾶς ἐνθεῖναι
τὴν Πασιφάην, τὸν δὲ ταῦρον ὁρμήσαντα ὡς ἐπὶ ζῷον συγγενὲς ἐπι-
βαίνειν· ἐγκύμονα δὲ γενομένην χρόνοις ὕστερον ἀποτεκεῖν μιξόθηρα τὸν
45 ἐπικαλούμενον Μινώταυρον. εἰκὸς δὲ καὶ ἄλλας ἔσεσθαι Πασιφάας,
ἀχαλινώτων ἐωμένων τῶν παθῶν, καὶ οὐ γυναῖκας μόνον ἀλλὰ καὶ
ἄνδρας ἐπιμανήσεσθαι θηρίοις, ἐξ ὧν γενήσεσθαι τέρατα παλίμφημα,
μηνύματα τῆς ἀνθρώπων ὑπερβαλλούσης βδελυρίας· δι' ἣν ἴσως καὶ αἱ
τῶν ἀνυπάρκτων καὶ μεμυθευμένων ἀγένητοι φύσεις Ἱπποκενταύρων καὶ

1 ἂν om. S ἑτέρους om. Arm. 1. 2 συνέβαινε νουθετεῖσθαι S: νουθετεῖσθαι (νομοθετεῖσθαι A) συνέβαινεν ceteri (v) 2 ἀπαραίτητοι τιμωρίαι SF: τιμωρίαι ἀπαραίτητοι ceteri (v) 5 ἔτι λαγνιστέρων M: ἐπὶ τῶν λαγνιστέρων SF, ἔτι τῶν λαγνιστέρων ceteri (v); τῶν ἔτι λ. coni. Mang. 6 ταῖς ante ἄλλαις om. S Arm 7 ταῖς] τῆς MFA, om. Arm καὶ τῶν F (coni. Mang.): καὶ ταῖς S, καὶ (om. τῶν) ceteri (v) 7. 8 εἶτα δὲ F: δὲ om. ceteri (v) 8 ἐνύβρισαν S γὰρ Barb.: δὲ codd. (v) ὁ κόρος M 9. 10 εἴτ' . . . εἴτε] ἢ . . . ἢ A 10 ἀλόγοις om. Arm 11 Μίνω] μιλίω G γὰρ om. A (Mang.) 12 τὴν] τὸν A τὴν ὁμιλίαν] τὸν λόγον S 14 ἐπενεγκεῖν F καταυτὸν S, κατ' αὐτὸν Barb.: καθ' αὑτὸν ceteri (v) 15 δημιουργῶν F πάνυ δεινὸν S², πανδεινὸν S¹ ὄντα ταῖς ἐπινοίαις F: ὄντα ταῖς ἐπιθυμίαις S, οἷα (οἷον H²) ταῖς ἐπινοίαις ὄντα ceteri 16 δούρειον] δούριόν τε tum ras. 6 fere litt. S (δούριον v) 18 ἀποτεκεῖν ὕστερον transp. F μιξόθηρα] μικρὸν θῆρα S 19 ἐπικαλούμενον SF: καλούμενον ceteri (v) μινόταυρον G, μινώταυρον M 21 ἐπιμανήσασθαι F¹ γενέσθαι παλίμφημα τέρατα A 22 μυνήματα S ὑπερβαλλούσης ἀνθρώπων transp. P αἱ om. A Barb. 23 μυθευομένων S ἀγένητοι SGP Barb.: ἀγέννητοι ceteri

Χιμαιρῶν καὶ τῶν ὁμοιοτρόπων ἔσονται. τοσοῦτον δ' ἄρα τὸ προμηθὲς 46
ἐν τοῖς ἱεροῖς νόμοις ἐστίν, ὥσθ' ὑπὲρ τοῦ μηδεμίαν ἔκθεσμον ὁμιλίαν
ἀνθρώπους προσίεσθαι διείρηται μηδὲ κτῆνος ἐὰν ὑπό τινος ἑτερογενοῦς
ὀχεύεσθαι· τράγον οὐδεὶς ἐάσει ποιμὴν Ἰουδαῖος ἐπιβαίνειν ἀμνάδι οὐδὲ
κριὸν χιμαίρᾳ οὐδὲ βοῦν ἵππῳ, εἰ δὲ μή, δώσει δίκας ὡς φύσεως δόγμα
λύων, ᾗ τὰ ἀνωτάτω γένη διατηρεῖν ἐπιμελὲς οὐ νοθευόμενα. τοὺς 47
ὀρεῖς ἔνιοι μὲν ἁπάντων ὑποζυγίων προτιμῶσιν, ἐπειδὴ τὰ σώματα
αὐτοῖς πέπηγε καὶ σφόδρα νενεύρωται, κἀν τοῖς ἱπποφορβίοις καὶ ταῖς
ἱπποστάσεσιν ὄνους ὑπερμεγέθεις, οὓς προσαγορεύουσι κήλωνας, ἀνατρέ-
φουσιν, ἵνα ταῖς θηλείαις ἐπιβαίνωσι πώλοις, αἳ δὴ μικτὸν ζῷον ἀπο-
τίκτουσιν ἡμίονον, ἧς παρὰ φύσιν τὴν γένεσιν εἰδὼς ἀνὰ κράτος ἀπεῖπε
Μωυσῆς καθολικωτέρᾳ προστάξει, τοῖς ἀνομοιογενέσι μὴ ἐφεὶς ὀχεύειν
ἢ ὀχεύεσθαι. προὐνόησε μὲν οὖν ἀναλόγως τοῦ πρέποντος καὶ ἀκο- 48
λούθου τῇ φύσει, μακρόθεν δ' ὡς ἀπὸ σκοπῆς ἐσωφρόνισεν ἀνθρώπους,
ἵν' ἐκ τῶνδε προμαθόντες ἄνδρες ὁμοῦ καὶ γυναῖκες ἀνέχωσιν ὁμιλιῶν
ἐκνόμων. ἐάν τε οὖν ἀνὴρ ὀχεύῃ τετράπουν ἐάν τε γυνὴ ὑπὸ τετρά- 49
ποδος ὀχεύηται, θνησκέτωσαν καὶ οἱ ἄνθρωποι καὶ τὰ τετράποδα, οἱ
L 308 M. μὲν ὅτι ὑπὲρ τοὺς | ὅρους ἀκρασίας αὐτῆς ἤλασαν εὑρεταὶ γενόμενοι
παρηλλαγμένων ἐπιθυμιῶν καὶ ὅτι ἡδονὰς ἀηδεστάτας ἐκαινούργησαν,

1 δ' SF: om. ceteri 3 προσίεσθαι S: προΐεσθαι ceteri διήρηται S μηδὲ κτῆνος F: μηδενὶ H, μηδὲν (om. κτῆνος) ceteri (v) 4 ἀναβαίνειν A 5 χιμαίρῃ S δώσει S Arm: τίσει ceteri (v) δίκην (ας supra) A 6 ἢ P[2], ἡ FP[1] τανωτάτω γένει S νοθευόμενον S, νενοθευμένα HP[1] (v) τοὺς om. S 7 ἔνιοι μὲν F: οὓς ἔνιοι ceteri ἁπάντων ὑποζυγίων] τῶν ὑποζυγίων ἁπάντων HP(v) σώματ' HP 8 αὐτοῖς] αὐτῶν F 10 ἐπιβαίνωσι SF: ἀναβαίνωσι ceteri (v) αἳ δὴ F: αἱ δὲ ceteri (v) 11. 12 ἀπεῖπε Μωυσῆς] ἀπεῖπεν ὁ ἱερὸς λόγος S 12 ἀνομοιογενέσι SF (coni. Mang.): ἀνομοίοις γένεσι ceteri (v) ἐφεὶς ὀχεύειν] ἀφεὶς ὀχεῖν S 13 προυνόησεν S, προενόησε A μὲν οὖν om. S, οὖν om. G καὶ ante ἀναλόγως add. F ἀναλόγως SFHP: ἀλλ' ἀλόγως G, ἄλλως MA 13. 14 ἀκολούθως S Arm, ἀκολουθία F 14 δὲ ὡς A, ἕως S ἀπὸ om. S σκοπῆς SF: σκοπιῆς ceteri (v) 15 προμαθοῦσαι ὁμοῦ (om. ἄνδρες) F ὁμοῦ τε καὶ S 16 ἐκνόμων] ἐννόμων F τ' A ὀχετεύῃ A τετράπουν — ὀχεύηται (17) om. S γυνὴ FAH[2]: ἡ γυνὴ MGH[1]P 16. 17 τετράποδος FA Arm: τετραπόδου (sic) MGHP; τετραπόδων v 17 ὀχετεύηται A θνησκέτωσαν (θνησκέτω· θνησκέτωσαν δὲ corr. man. rec.) καὶ ἄλογα καὶ τετράποδα S τὰ om. F 18 ὑπὲρ SFL[2]: πρὸς ceteri ὅρους] ὄνους F τῆς ἀκρασίας M; ἀκολασίας coni. Mang. αὐτῆς om. Arm 19 ἀηδεστάτας] ἀκηδεστάτας M; ἀηθεστάτας coni. Mang.

3 Lev. 19,19. 16 Exod. 22,19. Lev. 18,23. 20,15. 16. Deut. 27,21. cf. *Ioseph. Ant. Iud. III* § 275.

ὧν καὶ ἡ διήγησις αἰσχίστη, τὰ δὲ ὅτι τοιούτοις ὀνείδεσιν ὑπηρέτησε
καὶ ἵνα μηδὲν ᾖ τέκῃ ἢ γεννήσῃ παλίμφημον, οἷα εἰκὸς ἐκ τοιούτων
50 μιασμάτων· ἄλλως τε οἷς καὶ βραχὺ μέλει τοῦ πρέποντος οὐκέτ' ἂν
χρήσαιντο τοῖς θρέμμασιν εἰς οὐδεμίαν τῶν περὶ βίον ὑπηρεσίαν, μυσαττό-
μενοι καὶ ἀποστρεφόμενοι καὶ τὴν ὄψιν αὐτὴν δυσχεραίνοντες καὶ νομί-
ζοντες ὧν ἂν προσάψαιτο κἀκεῖνα εὐθὺς ἀκάθαρτα εἶναι· τὰ δὲ μηδαμῇ
χρήσιμα τῷ βίῳ ζῆν εἰ καὶ λυσιτελὲς ἀλλ' οὖν περιττὸν „ἄχθος γῆς“,
ὥς εἶπέ τις.
51 (9.) Πάλιν πόρνην ἡ κατὰ Μωυσῆν οὐ παραδέχεται πολιτεία κοσ-
μιότητος καὶ αἰδοῦς καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν ἀλλοτρίαν,
ἣ ἀναπιμπλᾶσα τὰς ψυχὰς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἀκολασίας τὸ μὲν
τῆς διανοίας ἀθάνατον κάλλος αἰσχύνει, τὴν δὲ τοῦ σώματος ὀλιγοχρόνιον
εὐμορφίαν προτιμᾷ, παραρριπτοῦσα μὲν αὑτὴν τοῖς ἐπιτυχοῦσι, τὴν δ'
ὥραν ὥσπερ τι τῶν ὠνίων ἐπ' ἀγορᾶς πιπράσκουσα, καὶ ἐπὶ μὲν θήρᾳ
τῶν νέων ἕκαστα λέγει τε καὶ πράττει, τοὺς δὲ ἐραστὰς ἀλείφει κατὰ
ἀλλήλων αἴσχιστον ἆθλον αὑτὴν προτιθεῖσα τοῖς τὸ πλέον εἰσενεγκοῦσιν.
ὡς λύμη καὶ ζημία καὶ κοινὸν μίασμα καταλευέσθω, τὰς τῆς φύσεως
διαφθείρασα χάριτας, ἃς ἥρμοττε καλοκἀγαθίᾳ προσεπικοσμῆσαι.

---

1 ἡ om. S ὑπηρέτησαν S 2 pr. ἢ om. FA παλίμφημον SF Arm: δύσφημον ceteri (Turn.) οἷα εἰκὸς] οἵων S ἐκ τῶν τοιούτων A 3 τε om. M καὶ SF: κἂν ceteri (v) μέλει SF^{2}G (Mang.): μέλι F^1, μέλοι A, μέλῃ MHP (Turn.) οὐκέτ' SFA: οὐκέτι ceteri 4 τοῖς θρέμμασιν] τοῖς τοιούτοις θρέμμασιν A (Mang.) τὸν βίον M ὑπηρεσιῶν F 6 ὧν] ὡς S προσάψαιτο scripsi: προσάψαιντο codd. (v) κακεῖνα S: καὶ ἐκεῖνα FG, καὶ ἐκεῖν' ceteri ἀκάθαρτ' GHP 7 ζῆν—περιττὸν] οὐ ζῆν εἶναι λυσιτελές, περιττὸν A (Mang.) ἀλυσιτελές F Arm ἢ περιττὸν F ἄχθος γῆς F: ἄχθος γῆς ὄντα M, ἄχθος ὄντα γῆς ceteri (v) 9 tit. περὶ πόρνης add. mg M πάλιν δὲ Arm post πόρνην add. ἡ F^2: om. ceteri (v) μωῦσῆν F Arm: τὸν ἱερὸν λόγον ceteri (v) πολιτεία SF Arm: ἡ πολιτεία ceteri (v) 10 καὶ σωφροσύνης om. A ἀλλοτρίαν om. F Arm 11 ἣ om. SF Arm ἀναπιμπλᾶσαν S, sed ν add. m. 2; scribendum fortasse (om. ἣ) ἀναπιμπλᾶσα ⟨γὰρ⟩ ἀκολασίας] ἥτις δ' ἂν ἀκολασία F 12 αἰσχύνῃ F τοῦ om. HP (Turn.) ὀλιγοχρονίαν P 13 παραρρίπτουσα F αὐτὴν SFGP, αὑ in αὐ corr. H 14 τι FL^2: om. ceteri τῶν ὠνίων SF: ὤνιον ceteri (v) καὶ F: om. ceteri (v) 15 λέγει τε καὶ πράττει SMAG: λέγῃ τε καὶ πράττῃ F, καὶ λέγει καὶ πράττει HP (v) δὲ S: δ' ceteri ἀλείφῃ F κατὰ S: κατ' ceteri 16 αἴσχους Arm δ' ante ἆθλον add. S αὐτὴν ἆθλον transp. A αὐτὴν SFG, ἑαυτὴν M προτιθεῖσα FA: προτιθεῖσαν S, προθεῖσα ceteri (Turn.) τὸ om. F 17 λοίμη S post λύμη add. οὖν GH (v), om. ceteri καταλεύεσθαι G

---

7 ἄχθος γῆς: v. supra p. 19,12. 9 Deut. 23,17.

(10.) Μοιχείας δὲ τὰς μὲν ἢ αὐτοφώρους ἢ ἐναργέσιν ἐλέγχοις 52
πιστουμένας ὑπαιτίους ἀπέφηνεν ὁ νόμος, τὰς δὲ καθ' ὑπόνοιαν οὐκ ἐδι-
καίωσεν ἐξετάζεσθαι πρὸς ἀνθρώπων, ἀλλὰ εἰς τὸ τῆς φύσεως ἤγαγε
δικαστήριον, ἐπειδήπερ ἄνθρωποι μὲν τῶν ἐμφανῶν ἐπιγνώμονες, θεὸς
δὲ καὶ τῶν ἀδήλων, ᾧ μόνῳ δυνατὸν ψυχὴν ἐναργῶς θεάσασθαι. φησὶν 53
οὖν τῷ ὑπονοήσαντι ἀνδρί· γραψάμενος πρόκλησιν εἰς τὴν ἱερόπολιν
ἴθι σὺν τῇ γυναικὶ καὶ καταστὰς ἐπὶ τῶν δικαστῶν ἀπογύμνωσον τὸ
παραστάν σοι τῆς ὑπονοίας πάθος, μὴ ὡς ἄν τις συκοφάντης ἢ κακο-
τεχνῶν ὑπὲρ τοῦ πάντως περιγενέσθαι, ἀλλ' ὡς ἄν τις τῆς ἀληθείας
ἀκριβὴς ἐξεταστὴς ἄνευ σοφιστείας. ἡ δὲ γυνὴ δύο κινδύνους ὑπο- 54
309 M. μένουσα, τὸν μὲν ὑπὲρ ψυχῆς, τὸν δὲ | αἰσχύνης βίου, παντὸς ἀργα-
λεώτερον θανάτου, κρινάτω παρ' αὑτῇ τὸ πρᾶγμα, κἂν μὲν καθαρεύῃ,
θαρροῦσα ἀπολογείσθω, εἰ δὲ ὑπὸ τοῦ συνειδότος ἐλέγχοιτο, καταδυέσθω,
προκάλυμμα τῶν ἁμαρτημάτων αἰδῶ ποιησαμένη· τὸ γὰρ μέχρι τέλους
ἀναισχυντεῖν ὑπερβολὴ κακίας. ἐὰν δὲ ἀμφήριστα ᾖ τὰ λεχθέντα καὶ 55
μηδέτερον καθέλκῃ μέρος, ἴτωσαν εἰς τὸ ἱερόν, καὶ ὁ μὲν ἀνὴρ στὰς
ἀντικρὺ τοῦ βωμοῦ, παρόντος τοῦ κατ' ἐκείνην τὴν ἡμέραν ἱερωμένου,
δηλούτω τὴν ὑπόνοιαν, ἅμα καὶ κομίζων ἄλευρον κρίθινον, εἶδός τι
θυσίας ὑπὲρ τῆς γυναικός, εἰς ἔνδειξιν τοῦ μὴ κατ' ἐπήρειαν ἀλλ' ἀπὸ
γνώμης ὑγιοῦς κατ' ἐνδοιασμὸν εὔλογον αἰτιᾶσθαι. ὁ δὲ ἱερεὺς λαβὼν 56
προτεινέτω τῇ γυναικὶ καὶ τοὐπίκρανον ἀφελών, ἵν' ἐπικρίνηται γεγυμ-

1 tit. περὶ μοιχαλίδος add. S mg¹M, om. ceteri pr. ἢ] καὶ P, om. H (v) αὐτοφώροις (ι in ras.) S, αὐτοφόρους FHP alt. ἢ om. HP (Turn.) 2 post πιστουμένας add. ἐνθένδε FL² (v) ἀπέφαινεν F, ὑπέφηνεν HP 3 ἀλλὰ SHP: ἀλλ' ceteri εἰς om. HP (Turn.) 4 δικαστήριον SF: δικαιωτήριον ceteri ἐπιφανῶν G 5 μόνον G 6 ὡς γραψάμενος A πρόσκλησιν MAHP 7 εἴσιθι F 8 παριστάν F, παριστὰν εἶδος S συκοφαντήσῃ κακοτεχνῶν F 9 πάντων A τις] τι F 10. 11 ὑπομένουσα F: ὑπομείνασα ceteri (v) 11 δὲ SFA: δ' ceteri αἰσχύνης βίου SFG: αἰσχύνην βίου AHP (Turn.), αἰσχύνης τοῦ M (Mang.) 12 παρ' αὐτῇ A: παρ' ἑαυτῇ M, παρ' αὑτῇ ceteri 13 θαρροῦσ' HP, θαρσοῦσ' S ἀπολογείσθω] ἀποκρινάσθω G δὲ S: δ' ceteri 14 τῶν ἁμαρτηθέντων F ποιησαμένη] προστησαμένη vel προφασισαμένη coni. Mang. 15 δὲ ἀμφήριστα SF: δ' ἀμφήριστ' ceteri 16 μηδ' ἕτερον FGH καθέλκει F 17 ἄντικρυς F βωμοῦ mg H, ἱεροῦ in textu H ἱερωμένου τὴν ἡμέραν transp. F 18 δηλοῦται S¹, corr. S² 20 γνώμης FGL²: γνώσεως ceteri ἐνδυασμὸν S ὁ δὲ F, ὁ δ' S: ὃ θ' ceteri (v) 21 καὶ ante τῇ γυναικὶ add. F τοὐπίκρανον] τὸ ὑπόκρανον S ἵνα A ἐπικρίνηται] εἴη κρίνηται S

5sqq. Num. 5,12sqq. cf. *Ioseph. Ant. Iud. III § 270—273.*

νωμένῃ τῇ κεφαλῇ, τὸ τῆς αἰδοῦς περιῃρημένη σύμβολον, ᾧ ταῖς εἰς
ἅπαν ἀναιτίοις ἔθος χρῆσθαι. μήτε δὲ ἔλαιον μήτε λιβανωτὸς ὡς ἐπὶ
τῶν ἄλλων θυσιῶν παρέστω, διὰ τὸ μὴ ἐπὶ χαρτοῖς ἀλλ' ἄγαν ὀδυνηροῖς
57 τὴν θυσίαν μέλλειν ἐπιτελεῖσθαι. κρίθινον δ' ἐστὶ τὸ ἄλευρον, ἴσως
ἐπειδὴ ὑπαμφίβολός ἐστιν ἡ ἀπὸ κριθῆς τροφὴ καὶ ἀλόγοις ζῴοις καὶ
ἀτυχέσιν ἀνθρώποις ἐφαρμόζεται, σύμβολον τοῦ τὴν μεμοιχευμένην οὐδὲν
θηρίων διαφέρειν, ὧν ἀδιακρίτους εἶναι καὶ ἀνεπιστάτους τὰς ὀχείας συμ-
βέβηκε, τὴν δὲ καθαρεύουσαν τῶν ἐγκλημάτων τὸν οἰκεῖον ἀνθρώπων
58 βίον ἐζηλωκέναι. λαβὼν δέ, φησίν, ὁ ἱερεὺς κεραμεοῦν ἀγγεῖον ἐγχείτω
καθαρὸν ὕδωρ ἐκ πηγῆς ἀρυσάμενος καὶ ἐπιφερέτω βῶλον γῆς ἐκ τοῦ
κατὰ τὸ ἱερὸν ἐδάφους· ἅπερ οἶμαι καὶ αὐτὰ συντείνειν πρὸς τὴν ἔρευ-
ναν τῆς ἀληθείας διὰ συμβόλων, τὸ μὲν κεραμεοῦν ἀγγεῖον πρὸς τὸ
μεμοιχεῦσθαι, διὰ τὸ εὐκάτακτον, θάνατος γὰρ ἡ κατὰ μοιχῶν δίκη, ἡ
δὲ γῆ καὶ τὸ ὕδωρ πρὸς τὸ καθαρεύειν τῆς αἰτίας, ἐπειδὴ δι' ἀμφοτέρων
59 αἱ γενέσεις καὶ αὐξήσεις καὶ τελειώσεις ἁπάντων. ὅθεν ἑκάτερον οὐκ
ἀπὸ σκοποῦ καὶ τοῖς ὀνόμασιν ἐπεκόσμησε, τὸ μὲν ὕδωρ εἰπὼν δεῖν
„καθαρὸν“ λαμβάνειν καὶ „ζῶν“, ἐπεὶ ἀνυπαίτιος ἡ γυνὴ καθαρεύει τὸν
βίον καὶ ζῆν ὀφείλει, τὴν δὲ γῆν οὐκ ἀπὸ τοῦ τυχόντος ἀλλ' ἀπὸ τοῦ
ἱεροῦ ἐδάφους, ὅπερ ἀναγκαῖον ἀρετᾶν, ὡς καὶ γυναῖκα τὴν σώφρονα.
60 τούτων δὲ προευτρεπισθέντων, ἡ μὲν ἀκατακαλύπτῳ τῇ κεφαλῇ τὸ
κρίθινον ἄλευρον κομίζουσα, καθάπερ ἐλέχθη, παρίτω, ὁ δὲ ἱερεὺς

1 σύμβολον—ἐπὶ (2) om. A ᾧ] ὡς S 2 ἀναιτίαις HP (v) δὲ F: δ' ceteri λιβανωτὸν S 3 τῶν δ' ἄλλων A παρέστω S: μὴ προσαπτέσθω A, προσέστω ceteri (Turn.) 4 μέλλειν τὴν θυσίαν transp. HP (v) δ' ἐστὶ] δὲ καὶ S 5 ἐπαμφίβολος S 6 ἐφαρμόζεται Mang.: ἐφαρμόζεσθαι codd. 7 θηρίου S ἀνεπιστάτους mg H, ἀσυστάτους in textu HP 8 τὸν οἰκεῖον F: οἰκεῖον τὸν S, τὸν om. ceteri (v) ἀνθρώπων om. S 9 λαβὼν δ' ὁ ἱερεὺς φησὶ A φησίν om. S (Mang.) 10 ἀρρυσάμενος SFH ἐπιφερέτω F Arm: φερέτω ceteri (v) γῆς om. F 11 ἅπερ F: ἃ μὲν S Arm, ὅπερ ceteri (Turn.) αὐτὰ SF Arm: αὐτὸ ceteri (Turn.) συντείνει conicio 12 τὸ μὲν F: τὸ γὰρ ceteri (v) 13 μεμοιχεῦσθαι SF: μὴ μοιχεύεσθαι A, μοιχεύεσθαι ceteri (v) εὐκάτακτον F^2AGHP: εὔτακτον F^1, εὔθραυστον καὶ εὐκάτακτον M, εὐκατέακτον S, εὐκτὸν L (Turn.) γὰρ FA Arm: om. ceteri (Turn.) 15 ὅθεν om. S οὐκ] οὖν S 16 ἐπεκόσμησεν S εἰπὼν om. Arm, post καθαρὸν transp. M 16. 17 δεῖν—λαμβάνειν] δεῖ ἀναβαίνειν καθαρόν τε F 17 καθαρὸν codd. (praeter F): καθαρόν τε Turn., καθαρόν τι Mang. ἀνυπαίτιος ἡ S: ἡ ἀνυπαίτιος ceteri (v) 19 ἀρετᾶν SF Arm: αἱρέτωσαν A, ἀρετῶσαν ceteri (v) καὶ om. H^1P 20 τούτων δὲ] τὸ δὲ τῶν F ἀκατακαλύφω F 21 ἐλέγχθη H ὁ δὲ SFG: δὲ om. M, ὁ δ' HP, ὅ θ' A

17 Num. 5,17.

[ἀντικρὺ] τὸ κεραμεοῦν ἀγγεῖον, ἐν ᾧ ὕδωρ ἐστὶ καὶ γῆ, ⟨ἀντικρὺ⟩ στὰς
ἐπιλεγέτω τάδε· „εἰ μὲν τοὺς ἐπὶ γάμοις θεσμοὺς οὐ παραβέβηκας οὐδ' 61
310 M. ἀνήρ ἕτερος ὡμίλησέ σοι καθυφεμένῃ τὰ πρὸς τὸν | νόμῳ συνοικισθέντα
δίκαια, ἀνυπαίτιος καὶ ἀθῷος ἴσθι· εἰ δ' ὠλιγώρησας μὲν ἀνδρὸς καινὰς
δὲ ἐζήλωσας ἐπιθυμίας ἢ ἐρασθεῖσα ἢ ἐρασθέντι ἐνδοῦσα, τὰ ἀναγ-
καιότατα καὶ φίλτατα προδοῦσα καὶ νοθεύσασα, μὴ ἀγνόει πάσαις ἀραῖς
ἔνοχος γεγενημένη, ὧν τὰ δείγματα ἀναφανεῖς ἐπὶ τοῦ σώματος. ἴθι
δὴ ἔκπινε ποτὸν ἐλέγχου, ὃ τὰ κεκρυμμένα νῦν καὶ ἀδηλούμενα ἀπαμ-
φιάσει καὶ ἀπογυμνώσει.“ ταῦτα γράψας ἐν χαρτιδίῳ καὶ ἀπαλείψας 62
τῷ κατὰ τὸ ἀγγεῖον ὕδατι προτεινέτω τῇ γυναικί· ἡ δὲ πιοῦσα ἀπαλ-
λαττέσθω προσδοκῶσα ἢ σωφροσύνης ἆθλον ἢ ἀκολασίας τὴν ἀνωτάτω
τιμωρίαν. εἰ μὲν γὰρ σεσυκοφάντηται, σπορὰν καὶ γένεσιν τέκνων ἐλπι-
ζέτω τῶν ἐπὶ στειρώσει καὶ ἀγονίᾳ φόβων καὶ φροντίδων ἀλογοῦσα·
εἰ δ' ἐστὶν ἔνοχος, ἐφεδρεύσοντα ἴστω γαστρὸς ὄγκον οἰδούσης καὶ πιμ-
πραμένης καὶ τῶν περὶ μήτραν δεινὴν κάκωσιν, ἣν καθαρὰν οὐκ ἠξίωσε
διατηρεῖν ἀνδρὶ τῷ κατὰ πάτρια γήμαντι. τοσαύτην δ' ἔχει πρόνοιαν 63
ὁ νόμος τοῦ μηδὲν ἐπὶ γάμοις νεωτερίζεσθαι, ὥστε καὶ τοὺς συνιόντας

1 ἀντικρυς S¹F ἀντικρὺ h. l. seclusi; ⟨ἔχων⟩ ἐν τῇ χειρὶ conicio coll. Num. 5,18 ἀντικρὺ ante στὰς addidi στὰς οὖν A 2 οὐδὲ F 3 ὡμίλησέ σοι] σε ὡμίλησε F καθυφιεμένη FL² (Turn.) νόμῳ Mang. (Arm): νόμον codd. συνοικισθέντα S: συνεληλυθότα ceteri (v) 4 ἀθῷος S: ἀθῷα ceteri (v) ἴθι S²A Arm ὠλιγώρηκας F (v) καινὰς M (Mang.): κενὰς ceteri 5 δὲ F: om. ceteri (v) ἐζήλωσας scripsi: ζηλώσας H, ζηλώσασ' P, ζηλώσασα ceteri (v) ἢ ἐρασθέντι — νοθεύσασα (6) om. HP (Turn.) post ἐνδοῦσα add. καὶ A 5. 6 τὰ ἀναγκαιότατα FG: τἀναγκαιότατα SMA 7 δείγματα SF: δείγματ' ceteri ἀναφανῆς F, ἀναφανῇ A Arm ἐπὶ] ἀπὸ A ἴσθι SHP (Turn.) 8 δὴ S: δὴ καὶ ceteri (v) ἔκπιε A, ἐκπίνουσα S² τοῦ ἐλέγχου F 9 ὃ] ὅς F, ᾧ S² νῦν F Arm: σοι AP, σου ceteri (v) ἀδηλούμενα SF Arm: τὰ ἀδηλούμενα M, τὰ μὴ δηλούμενα A, τἀδηλούμενά σοι GHP (v) 8. 9 ἀπαμφιάσει SA: ἀπαμφιάσει F, ἀπαμφιέσει ceteri (v) 10 τῷ om. A κατὰ τὸ ἀγγεῖον SFA: κατὰ (κατ' M) ἀγγεῖον ceteri (Turn.) πιοῦσ' AHP 11 ἢ σωφροσύνης F Arm: ἢ om. ceteri (v) ἆθλον] ἔργον S 12 τιμωρίαν] τιμὴν ἢ τιμωρίαν A (Mang.) γένεσιν SF: γέννησιν ceteri (v) τέκνων F: om. ceteri (v) 12. 13 ἐλπιζέτω post φόβων (13) transp. A 13 ἀλογοῦσα] ἀλόγου F 14 ἐφεδρεύσοντα ἴστω F: ἐφεδρεύσοντα εἰς τὸν GHP¹, ἐφεδρεύσοιτό σοι τὸν AP², ἐφεδρεύσονται εἰς αὐτὴν SM (Mang.) τῆς γαστρὸς A ὄγκος S²M (Mang.) 14. 15 πιμπραμένης S: πιμπλαμένης ceteri (v) 15 δεινὴ κάκωσις S²M (Mang.) 16 ἀνδρὶ διατηρεῖν transp. HP (v) πάτρια FL²: πάντα MGHP, παντὶ (sic) SA 17 μηδὲν SF Arm: μηδ' ceteri (v) συνόντας A

17 Lev. 15,18. cf. *Ioseph. c. Ap. II* § *203.*

εἰς ὁμιλίαν ἄνδρας καὶ γυναῖκας κατὰ τοὺς ἐπὶ γάμοις θεσμούς, ὅταν εὐνῆς ἀπαλλάττωνται, οὐ πρότερον ἐᾷ τινος ψαύειν ἢ λουτροῖς καὶ περιρραντηρίοις χρῆσθαι, πόρρωθεν μοιχείας ἀνείργων καὶ τῶν ἐπὶ μοιχείαις ἐγκλημάτων.

64 (11.) Ἐὰν δέ τις χήραν ἀποθανόντος ἀνδρὸς ἢ καὶ διαζευχθεῖσαν ἄλλως βιασάμενος αἰσχύνῃ, κουφότερον ἢ κατὰ μοιχείαν ἁμάρτημα δρῶν, ἥμισυ σχεδὸν ἐκείνου, τῆς μὲν θανάτου τιμωρίας ἀφείσθω, βίαν δὲ καὶ ὕβριν καὶ ἀκολασίαν καὶ θράσος τὰ αἴσχιστα ὡς κάλλιστα ἀποδεξάμενος κατηγορείσθω καὶ ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι τιμάτω τὸ δικαστήριον ἐπ᾽ αὐτῷ.

Περὶ φθορᾶς.

65 Ἀδελφὸν μὲν καὶ συγγενὲς ἀδίκημα μοιχείας φθορά, καθάπερ ἐκ
μητρὸς μιᾶς, ἀκολασίας, φύντα· ἣν ἔνιοι τῶν εἰωθότων εὐπρεπέσιν ὀνό-
μασι τὰ αἰσχρὰ ἐπικοσμεῖν ἔρωτα ὀνομάζουσι τἀληθὲς ὁμολογεῖν ἐρυ-
θριῶντες. ἀλλ᾽ ὅμως, εἰ καὶ συγγενές, οὐ παντάπασιν ὅμοιον, τῷ τὸ
ἀδίκημα μὴ εἰς πλείους χωρεῖν οἰκίας, ὡς ἐπὶ τῆς μοιχείας συμβέβηκεν,
66 ἀλλ᾽ εἰς μίαν συνῆχθαι τὴν τῆς παρθένου. λεκτέον οὖν τῷ κόρης ἀστῆς
ἐπιθυμοῦντι· „προπέτειαν καὶ θράσος ἀναίσχυντον ἢ τὰς ἐπ᾽ ἐνέδρᾳ πάγας
ἤ τι τῶν ὁμοιοτρόπων, ὦ | οὗτος, ἀποστραφεὶς μήτε ἀναφανδὸν μήτε p. 311
67 λάθρα πονηρὸς ἐξετασθῇς. ἀλλ᾽ εἴπερ ἄρα τι τῇ ψυχῇ πέπονθας πρὸς
τὴν παῖδα οἰκεῖον, ἴθι πρὸς τοὺς γονεῖς αὐτῆς, ἐὰν ζῶντες τυγχάνωσιν,
εἰ δὲ μή, πρὸς τοὺς ἀδελφοὺς ἢ ἐπιτρόπους ἢ ἄλλους κυρίους, καὶ

---

1 κατὰ] καὶ A, om. HP ὅταν] σπᾶν F (pro ἐπὰν?) 2 εὐνῆς] εὖ A ἀπαλλάττων F ἐᾶν SM 3 ἀνείργων — μοιχείαις (4) om. F 4 μοιχείαις S: μοιχεία A (-ᾳ Mang.), μοιχείας ceteri (Turn.) 6 ἄλλως S^{1}, ἄλλος S^{2} 7 ἥμισυ S^{1}, ἡμίσει S^{2} θανάτου S: τοῦ θανάτου ceteri (v) ἀφείσθω codd: ἀφιέσθω Mang. δὲ om. Arm 8 καὶ θράσος] θράσους ὃς F κάλλιστ᾽ AHP 9 τιμάτω Mang. (Arm): τιμάσθω codd. 10 ἐπ᾽ αὐτῷ: desinit Arm 11 tit. περὶ φθορᾶς add. SF mg M mg G mg H mg P 12 ἀδελφὸν μὲν καὶ om. S (fort. recte) συγγενὲς δὲ G 13 μιᾶς μητρὸς transp. MA, μητρὸς om. S ἀκολάστου M φύντα] φῦσα coni. Mang. ἣν ἔνιοι F: ἔνιοι δὲ ceteri (v) 14 ταἰσχρὰ HP, τὰ αἴσχιστα M ἔρωτ᾽ MAHP 16 μὴ SFA: οὐκ ss. H^{2} (v), om. ceteri 17 τῷ] τὸ S^{1} ἀστῆς $S^{1}FAGP^{2}$: αὐτῆς $S^{2}MHP^{1}$ (Turn.) 18 καὶ θράσος SMF: ἢ θράσος ceteri (Turn.) πάγας] πηγὰς Mang. Richt. 19 pr. μήτε SF: μήτ᾽ ceteri ἀναφανδὸν] ἀναφανῆς H (Turn.) 20 πονήρως L^{2} (Turn.) ἐξετασθεὶς $S^{2}H^{1}P$ εἴπερ] ἐπείπερ G, εἴ τι A 21 τυγχάνωσιν SM: τύχωσιν ceteri (v) 22 τοὺς om. F ἄλλους S: τοὺς ἄλλως A, τοὺς ἄλλους ceteri (v)

ἀπογυμνώσας τὸ σεαυτοῦ πάθος, ὡς χρὴ τὸν ἐλεύθερον, αἴτει πρὸς γάμον
καὶ παρακάλει μὴ ἀνάξιος νομισθῆναι. σκαιὸς γὰρ οὐδεὶς ἂν οὕτως 68
γένοιτο τῶν ἐπιμελουμένων τῆς παιδός, ὡς ἐναντιωθῆναι πρὸς λιπαρε-
στέρας δεήσεις, καὶ μάλιστά γε ἐπειδὰν ἐξετάσας ἀνευρίσκῃ μὴ κατεψευσ-
μένον ἢ ἐπιπόλαιον ἄλλως τὸ πάθος ἀλλ' ἐπαληθεῦον καὶ παγίως ἐνιδρυ-
μένον." ἐὰν δέ τις λυττῶν καὶ μεμηνώς, ἅπασι τοῖς ἐκ λογισμοῦ πολλὰ 69
χαίρειν φράσας, δυναστείαν τὸν οἶστρον καὶ τὴν ἐπιθυμίαν ὑπολαβών,
νόμου βίαν, ὥς φασί τινες, προτιμοτέραν θέμενος, ἁρπάζῃ καὶ φθείρῃ
ταῖς ἐλευθέραις ὡς θεραπαίναις χρώμενος, τὰ πολέμου δρῶν ἐν εἰρήνῃ,
πρὸς τοὺς δικαστὰς ἀγέσθω. κἂν μὲν ᾖ πατὴρ τῇ βιασθείσῃ, βου- 70
λευέσθω περὶ ἐγγύης τῆς πρὸς τὸν ἐφθαρκότα· εἶτα ἐὰν μὲν ἀνανεύῃ,
προικιζέτω τὴν παῖδα ὁ φθορεὺς ἄλλως ζημιούμενος χρήμασιν, ἐὰν δὲ
συναινῇ καὶ συνεπιγράφηται, μηδὲν ὑπερτιθέμενος ἀγέσθω προῖκα πάλιν
τὴν ἴσην ὁμολογῶν καὶ μήτε ἀναδύεσθαι τὴν ἐξουσίαν ἐχέτω μήτε παραι-
τεῖσθαι, καὶ δι' αὐτόν, ἵνα μὴ λαγνείας ἕνεκα δοκῇ μᾶλλον ἢ κατ' ἔρωτα
νόμιμον ἐφθαρκέναι, καὶ διὰ τὴν κόρην, ἵν' αὐτῆς τὸ περὶ τὴν πρώτην
σύνοδον ἀτύχημα παρηγορηθῇ βεβαιοτάτῳ γάμῳ, ὃν οὐδὲν ἄλλο τι ἢ
θάνατος διαζεύξει. ἐὰν δὲ πατρὸς ὀρφανὴ τυγχάνῃ, πρὸς τῶν δικαστῶν 71
ἐρωτάσθω, εἴτε βούλεται συνοικεῖν εἴτε μή· ἐάν τε δὲ συναινῇ ἐάν τε
ἀρνῆται, τὰ αὐτὰ γινέσθω ἃ ἂν καὶ ἐπὶ ζῶντι διωμολογήθη τῷ πατρί.

---

1 γυμνώσας S σεαυτοῦ S: σαυτοῦ ceteri 2 καὶ παρακάλει μὴ ἀνάξιος νομισθῆναι om. F νομισθῆναι S: λογισθῆναι ceteri (v) ἂν οὕτως FA: οὕτως ἂν ceteri (v) 4 γε AP², γ' S (coni. Mang.): σε ceteri (v) ἐπεί γ' ἂν S μὴ] ἵνα μὴ S 5 ἢ] ἡ S¹, ἢ ss. S² ἐπιπόλεον S, ἐπὶ παλαιὸν F τὸ πάθος ἄλλως transp. A παγίως SF: παντελῶς ceteri (v) 6 λυττῶν] αὐτῶν SF 7 δυναστείαν S (coni. Mang.): δυναστεία ceteri (-ᾳ v) τὴν om. S ὑπολαβὼν] ὑποβαλὼν GH² (v) 8 προτιμοτέραν θέμενος] προτιμήσας SF ὑποθέμενος A ἁρπάξῃ AP, ἐπάζῃ (sic) S 9 ὡς] καὶ A καὶ ante τὰ πολέμου add. MAGHP (v), om. SF τὰ] τὸ S 10 ἀγέσθω] ἀνείσθω A ᾖ] ἦν F 11 πρὸς Mang.: περὶ codd. εἶτα F: εἶτ' ceteri 12 παῖδ' GHP ἄλλως SMH¹P, ἀλλ' ὡς F: ἄλλω AGH² (v) 13 συναινεῖ S¹, corr. S² συνεπιστρέφηται S 14 pr. μήτε S: μήτ' ceteri 14.15 παραιτείσθω S 15 αὐτόν SA, αὑ in αὐ corr. H 15.16 κατ' ἔρωτα νόμιμον SMF, καὶ ἔρωτα νόμιμον AP: ἑτέρων τὰ νόμιμα G, ἱμέρω τὰ νόμιμ' H (v) 16 ἵνα F 17 γάμῳ] νόμῳ A ἄλλο τι ἢ] ἔτι μὴ F (scribendum ὅτι μὴ?) 18 διαζεύξῃ FA, διαζεύγει H δὲ] δὲ καὶ A δικαστῶν] δικαίων A 19 ἀνερωτάσθω F alt. εἴτε] ἢ F, εἴτε καὶ A ἐὰν — ἀρνῆται (20)] εἴτε δὲ συναινεῖ, εἴτε καὶ ἀρνήσεται HP; εἴτε συναινεῖ καὶ ἀρνήσεται Turn. δὲ om. F; δὴ conicio alt. ἐάν τε S: ἐάν τε καὶ FAG, ἐάν τε δὲ M 20 ἀρνῆται SF: ἀρνήσηται MAG γενέσθω F ἃ ἂν S: ἂν om. ceteri (v) διωμολογήθη F: διωμολόγησε ceteri; διωμολογήσατο v

---

6sqq. Exod. 22,16. 17. Deut. 22,28. 29 cf. *Ioseph. Ant. Iud. IV* § 252.

Περὶ ὑπογαμίου.

72 (12.) Μεθόριόν τινες ὑπολαμβάνουσιν ἀδίκημα εἶναι φθορᾶς καὶ
μοιχείας ὑπογάμιον, ὅταν ὁμολογίαι μὲν ὑπερεγγυήσωσι, μήπω δὲ τῶν γάμων
ἐπιτελεσθέντων ἕτερος ἀπατήσας τις ἢ καὶ βιασάμενος εἰς ὁμιλίαν ἔλθῃ.
παρ' ἐμοὶ δὲ κριτῇ μοιχείας καὶ τοῦτ' ἐστὶν εἶδος· αἱ γὰρ ὁμολογίαι
γάμοις ἰσοδυναμοῦσιν, αἷς ἀνδρὸς ὄνομα καὶ γυναικὸς καὶ τὰ ἄλλα τὰ
73 ἐπὶ συνόδοις ἐγγράφεται. ὧν χάριν καταλεύειν ὁ νόμος ἀμφοτέρους
προσέταξεν, ἐάν γε ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς γνώμης ἐπιθῶνται τοῖς
ἀδικήμασι συμφρονήσαντες· οὐχ οἷόν τε γὰρ μὴ ἀπὸ τῶν αὐτῶν ὁρμη-
74 θέντας βουλευμάτων νομίζεσθαι συναδικεῖν, οὐ συναδικοῦντας. παρὰ γοῦν
τὰς τῶν τόπων διαφορὰς | αὔξεσθαι συμβέβηκε καὶ μειοῦσθαι τἀδίκημα· p. 312
μεῖζον μὲν γάρ, ὡς εἰκός, ἐστίν, εἰ πραχθείη κατὰ πόλιν, ἔλαττον δέ,
εἰ τειχῶν ἔξω κατ' ἐρημίαν· ἐνταῦθα μὲν γὰρ βοηθὸς οὐδὲ εἷς ἐστι τῇ
παιδὶ πάνθ' ὅσα ὑπὲρ τοῦ διατηρῆσαι τὴν παρθενίαν ἄψαυστον καὶ ἀνεπι-
βούλευτον λεγούσῃ τε καὶ δρώσῃ, ἐν ἄστει δὲ βουλευτήρια, δικαστήρια,
στρατηγῶν, ἀγορανόμων, ἀστυνόμων, ἄλλων ἀρχόντων ὅμιλοι μεγάλοι καὶ
75 σὺν τούτοις ὁ δῆμος. ἔστι γὰρ ἔστιν ἐν ἑκάστου τῇ ψυχῇ, κἂν ἰδιώτης
τυγχάνῃ, μισοπόνηρον πάθος, ὃ διακινηθὲν ἀποδείκνυσι τὸν ἔχοντα κατ'
ἐκεῖνον τὸν χρόνον ὑπέρμαχον καὶ προαγωνιστὴν αὐτοκέλευστον τοῦ

---

1 tit. περὶ ὑπογαμίου add. SF mg M mg G mg H mg P 2 τινὲς ὑπολαμβάνουσιν S: ὑπολαμβάνουσί τινες ceteri (v) ἀδίκημ' MHP εἶναι om. A 3 ὑπογάμιον] ὑπὸ γάμον A ὁμολογίαι SMF: ὁμολογίας A, ὁμολογία GHP (-ᾳ v) ὑπερεγγυήσωσι] αἱ περιεγγυήσασαι F μηδέπω MG 4 ἀπατήσας SFM[1] ut vid. (coni. Mang.): ἀπαντήσας ceteri (v) τις S: om. ceteri (v) καὶ om. S ἔλθη (οι supra) A, ἔλθῃς G 6 τὰ ἄλλα SF: τἄλλα ceteri 6. 7 τἀπὶ A 7 καταλεύειν] κατέλυεν F 8 ἐάν γε A, ἄν γε F: ἐάν τε GP, ἐὰν δὲ S, ἐάνπερ M, ἐὰν H (v) ἀπὸ τῆς αὐτῆς καὶ τῆς μιᾶς M ἐπίθωνται MA 9 οὐχ om. F ἀπὸ μὴ transp. A (Mang.) 10 οὐ om. S παρὰ] περὶ A 11 αὔξεσθαι δοκεῖ A συμβέβηκε—ἔλαττον δέ (12) om. A τἀδικήματα S 13 εἰ SF: om. ceteri (v) τειχῶν SF: τείχεων G, τειχέων ceteri (v) οὐδὲ εἷς SF: οὐδεὶς ceteri (v) 14 ὅσα ὑπὲρ F: ὅσαπερ MAGP, ὅσα περὶ H (v), ὡς ὑπὲρ S[1], ὥσπερ S[2] τὴν παρθένον A ἄψαυστον—δικαστήρια (15) om. A 15 δικαστήρια SMF: καὶ δικαστήρια GHP (v) 17 ὁ om. P ἔστι γὰρ ἔστιν SFAG: alt. ἔστιν om. MHP (v) 18 ἀποδείκνυσι F: διαδεικνύει M, ἀποδεικνύει ceteri (v) ἔχοντα] παρατυχόντα coni. Mang. 19 προαγωνιστὴν SMG: προσαγωνιστὴν F, προδιαγωνιστὴν AHP (Turn.)

---

2 sqq. Deut. 22,23—27. cf. *Ioseph. Ant. Iud. IV* § 251.

δόξαντος ἠδικῆσθαι. (13.) τῷ μὲν οὖν διαπραξαμένῳ τὴν βίαν ἕπεται 76
δίκη πανταχοῦ, μηδὲν ἐκ τῆς τῶν χωρίων διαφορᾶς εὑρισκομένῳ πρὸς
ἐπανόρθωσιν ὧν ὕβρισε καὶ παρηνόμησε· τῇ δὲ παιδί, καθάπερ ἔφην,
τοτὲ μὲν ἔλεος καὶ συγγνώμη τοτὲ δὲ ἀπαραίτητος τιμωρία παρακολου-
θήσει. καὶ περὶ ταύτης μέντοι πολυπραγμονητέον τῷ δικαστῇ μὴ πάντ' 77
ἐπὶ τοὺς τόπους ἀναφέροντι· δύναται γὰρ καὶ κατὰ μέσην τὴν πόλιν
ἄκουσα βεβιάσθαι καὶ ἔξω τῆς πόλεως ἑκοῦσα πρὸς ἔκθεσμον ὁμιλίαν
ἐνδοῦναι. διὸ παρατετηρημένως καὶ σφόδρα καλῶς ἀπολογούμενος ὑπὲρ
τῆς ἐν ἐρημίᾳ φθειρομένης φησὶν ὁ νόμος· „ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ
βοηθήσων οὐκ ἦν αὐτῇ“ (Deut. 22,27), ὥστε, εἰ μήτε ἐβόησε μήτε
ἠναντιώθη, βουλομένη δὲ συναπῆρε, γένοιτ' ἂν ἔνοχος, σόφισμα τοῦ
βεβιάσθαι δοκεῖν προστησαμένη τὸν τόπον. καὶ μὴν ἐν πόλει τί γένοιτ' 78
ἂν ὄφελος τῇ πάντα μὲν ἐθελούσῃ ποιεῖν ὑπὲρ τῆς ἰδίας ἐπιτιμίας,
ἀδυνατούσῃ δὲ ἕνεκα τῆς περὶ τὸν ὑβριστὴν ἰσχύος; τί γάρ, εἰ μετὰ
τῶν ἄλλων καταδήσειεν ἢ τὸ στόμα ἀποφράξειεν, ὡς μηδὲ φωνὴν ῥῆξαι
δύνασθαι, γένοιτ' ἂν ὄφελος ἐκ τῶν συνοικούντων; τρόπον γάρ τινα ἥδε
μὲν ἐν πόλει διατρίβουσα κατ' ἐρημίαν ἐστὶν ἅτε βοηθῶν ἔρημος, ἡ δέ,
κἂν μηδεὶς παρατυγχάνῃ, τῷ ἑκοῦσα συναπᾶραι λέγοιτ' ἂν οὐδὲν δια-
φέρειν τῆς ἐν ἄστει.

(14.) Εἰσὶ δέ τινες περὶ τὰς ὁμιλίας ἀψίκοροι, γυναικομανεῖς ἐν 79
ταὐτῷ καὶ μισογύναιοι, συγκλύδων καὶ μιγάδων ἠθῶν ἀνάπλεῳ, οἳ ταῖς

2 εὑρισκομένων F 4 δ' GHP 5 περὶ om. F μέντοι] μὲν A μὴ] καὶ F 6 ἀναφέροντι] ἀναφέρειν S καὶ κατὰ SF: καὶ om. ceteri (v) τὴν om. A 7 βεβιάσθαι mg H, βιάσασθαι in textu H καὶ] ἢ A ἔξω τῆς πόλεως S: τῆς om. ceteri (v) ἔκθεσμον ὁμιλίαν S: ὁμιλίαν ἔκθεσμον ceteri (v) 8 ἐκδοῦναι A διότι A 9. 10 ὁ βοηθήσων SF: ὁ βοηθὸς M, βοηθὸς ceteri (v) 10 ὥστε F: ὥστ' ceteri pr. μήτε F: μηδ' S, μήτ' ceteri alt. μήτε F: μήτ' ceteri 11 ἐναντιώθη SF ἔνοχος — γένοιτ' ἂν (12) om. F
σοφϊ
12 προστησάμενος (sic) A 13 ὤφελος S[1], corr. S[2] πάντα μὲν SF: πάντ' (om. μὲν) ceteri (v) θελούσῃ F 14 ἀδυνατούσῃ SFG: ἀδυνατούσης ceteri δὲ S: δ' ceteri εἵνεκα M 14. 15 μετὰ τῶν ἄλλων SF: μετὰ τῶν κάλων MAGP, μετὰ ▒ κάλων (ras. 3 litt.) H; μετάγων ⟨ἄποθεν τῶν⟩ ἄλλων conicio 15 καταδήσειεν SF: ἀποδήσειεν ceteri (v) στόμ' AHP 16 ὤφελος S[1], corr. S[2] 17 μὲν] καίπερ M (Mang.) βοηθῶν] βοηθείας S (fort. recte) ἡ δέ SFA: ὁ δέ ceteri (Turn.) 18 τῷ F: τὸ δ' S, τῷ δ' ceteri (v) συναπᾶραι λέγοιτ'] συμπαραλέγοιτ' SA 18. 19 διαφέρει A 20 tit. περὶ τῶν προφασιζομένων μετὰ (τὸν add. M) γάμον καὶ λεγόντων μὴ εὑρηκέναι (εὑρίσκεσθαι M) παρθενίαν τῆς γυναικός add. S mg M ἀψίκοροι MFP γυναιμανεῖς FA 20. 21 ἐν ταὐτῷ SF: ἐν τῷ αὐτῷ MGHP, ἐπὶ τὸ αὐτὸ A 21 ἠθῶν SF: ἐθῶν ceteri ἀνάπλεω A: ἀνάπλεοι ceteri (v) οἳ om. SF

πρώταις εὐθὺς ὁρμαῖς ἐνδιδόντες, ὁποῖαί περ ἂν οὖσαι τυγχάνωσιν, ἃς
ἡνιοχεῖν δέον ἀχαλινώτους ἐῶσιν, ἀπερισκέπτως καὶ ἀπροοράτως σώμασιν
ὁμοῦ καὶ πράγμασιν ἐπεμπίπτοντες τυφλῶν τρόπον, ἅτε ῥύμῃ καὶ φορᾷ
βιαίῳ συνωθοῦντες καὶ ἀνατρέποντες, οὐκ ἐλάττω ὧν διατιθέασι πάσχουσι.
80 περὶ ὧν τάδε νομοθετεῖται· κόρας οἱ ἀγόμενοι νόμῳ καὶ γάμους θύσαντές
τε καὶ ἑστιαθέντες, μηδὲν οἰκεῖον ἐπὶ ταῖς γαμεταῖς πάθος σῴζοντες,
ἀλλ' ὑβρίσαντες | καὶ ὡς ἑταίραις ταῖς ἀσταῖς προσενεχθέντες, ἐὰν διά- p. 31
ζευξιν τεχνάζωσι μηδεμίαν ἀπαλλαγῆς πρόφασιν ἀνευρίσκοντες, εἶτ' ἐπὶ
τὸ συκοφαντεῖν τραπόμενοι σπάνει φανερῶν ἐγκλημάτων πρὸς τὰ ἀφανῆ
τρέπωσι τὰς αἰτίας καὶ παρελθόντες κατηγορῶσιν, ὅτι παρθένοις δόξαντες
συνεληλυθέναι γυναῖκας ἐν ταῖς πρώταις ὁμιλίαις ἐφώρασαν, ἀθροιζέσθω
μὲν ἡ γερουσία πᾶσα πρὸς τὴν κρίσιν, παρίτωσαν δὲ οἱ τῶν κατηγορου-
81 μένων γονεῖς ἀπολογησόμενοι περὶ κοινοῦ κινδύνου. κίνδυνος γὰρ οὐ ταῖς
θυγατράσι μόνον περὶ τῆς τῶν σωμάτων ἁγνείας ἐστίν, ἀλλὰ καὶ τοῖς
ἐπιμεληταῖς, οὐ μόνον ὅτι εἰς τὸν ἀναγκαιότατον τῆς ἀκμῆς καιρὸν οὐ
παρετήρησαν, ἀλλ' ὅτι καὶ ὡς παρθένους τὰς ὑφ' ἑτέρων ἐφθαρμένας
82 ἐνεγύησαν ἀπατῶντες καὶ φενακίζοντες τοὺς λαμβάνοντας. εἶτα ἐὰν
περιγένωνται τοῖς δικαίοις, τιμάτωσαν οἱ δικασταὶ κατὰ τῶν ψευδεῖς
αἰτίας πλαττομένων χρημάτων ζημίας καὶ τὰς διὰ πληγῶν εἰς τὰ σώματα
ὕβρεις καὶ — τὸ πάντων ἐκείνοις ἀηδέστατον — τὴν τῶν γάμων βεβαίωσιν,

1 ὁρμαῖς εὐθὺς S ὁποῖαί ποτ' A ὦσαι (sic) M 2 καὶ ἀπροοράτως σώμασιν om. S 3 ἐμπεπίπτοντες (sic) F, ἐμπίπτοντες A ἅτε] ἅπαντα coni. Mang. ῥύμῃ] τρυφῇ S 4 βιαία A 5 κόρας om. A 6 τε om. MHP (v) σώσαντες coni. Mang. 7 ἀσταῖς S[1]FAG: αὐταῖς S[2]MHP (Turn.) ἐὰν om. F 8 τεχνάζουσι F, τεχνάσωσι SM μηδεμιᾶς S εὑρίσκοντες SM εἶτε F 9 τραπόμενοι] πραττομένοις F τῶν φανερῶν M (Mang.), καθαρῶς (sic) A τὰ ἀφανῆ S: τἀφανῆ ceteri 10 τρέπωσι SM: τρέπουσι ceteri κατηγορῶσιν SM, ω ex ου corr. H: κατηγοροῦσιν ceteri post ὅτι add. ὡς Mang., om. codd. δόξαντας A 11 γυναῖκες H (Turn.) ἐφωράθησαν HP (Turn.), φωραθείσας εὗρον A 12 παρέστωσαν coni. Mang. δὲ SM: δ' ceteri 15 οὐ μόνον ὅτι om. SF εἰς] εἰ SF 16 παρετήρησαν S: παρεφύλαξαν ceteri (v) καὶ ὡς SMF: τὰς ceteri (v) παρθένος F[1] 17 ἐνεγύησαν scripsi: ▤εγγύησαν M, ἐνεγγύησαν ceteri (v), συνέστησαν S εἶτ' MGHP ἐὰν] ἂν F, ἐὰν μὴ S 17. 18 εἴ τι δ' ἂν περιγένηται A 18 τοῖς δικαίοις] τούτοις S κατὰ δὲ τῶν AP[2], κατ' αὐτῶν G ψευδεῖς SF: τὰς ψευδεῖς ceteri (v) 19 πλαττομένων S: πλασσομένων ceteri (v)

5 sqq. Deut. 22,13—21. cf. *Ioseph. Ant. Iud. IV* § *246—248.*

ἐὰν ὑπομένωσιν αἱ γυναῖκες ἔτι τοῖς τοιούτοις συνοικεῖν· ταῖς μὲν γὰρ ἐφίησιν ὁ νόμος θελούσαις καὶ μένειν καὶ ἀπαλλάττεσθαι, τοὺς δὲ οὐδετέρου κυρίους ἀπέφηνεν, ἀνθ' ὧν ἐσυκοφάντησαν.

Κατὰ ἀνδροφόνων.

(15.) Ὄνομα μὲν ἀνδροφονία κατὰ τοῦ κτείναντος ἄνθρωπον ἐπι- 83
φημίζεται, τὸ δ' ἀληθὲς ἔργον ἐστὶν ἱεροσυλία καὶ ἱεροσυλιῶν ἡ μεγίστη, διότι τῶν ἐν κόσμῳ κτημάτων καὶ κειμηλίων οὐδὲν οὔτε ἱεροπρεπέστερον οὔτε θεοειδέστερόν ἐστιν ἀνθρώπου· * * * παγκάλης εἰκόνος πάγκαλον ἐκμαγεῖον ἀρχετύπου λογικῆς ἰδέας παραδείγματι τυπωθέν. τὸν οὖν 84
ἀνδροφόνον εὐθὺς ἀσεβῆ καὶ ἀνοσιουργὸν ὑποληπτέον, ἀνοσιουργημάτων καὶ ἀσεβημάτων δρῶντα τὸ μέγιστον, ὃν ἀμείλικτα ἐργασάμενον ἀναιρετέον, ἐπειδὴ μυρίων θανάτων ἐπάξιος ὢν ἕνα ὑπομένει διὰ τὸ τῆς τιμωρίας ἀθάνατον εἰς πλῆθος μὴ πεφυκυίας συναύξεσθαι· χαλεπὸν δὲ οὐδέν,

---

1 ἔτι τοῖς τοιούτοις F: ἔτι τοῖς αὐτοῖς S, ἔτι αὐτοῖς MAG, αὐτοῖς ἔτι HP (v) 2 καὶ θελούσαις transp. S δὲ SF: δ' ceteri 2. 3 οὐδ' ἑτέρου GH (Turn.) 3 ἀπέφηναν F, ἀπέφαινεν S 4 tit. κατὰ ἀνδροφόνων SF mg M, περὶ ἀνδροφόνων A, τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ ἀνδροφόνων H², περὶ ἀνδροφονίας mg G mg H¹ mg P 5 κτείνοντος S 7 καὶ] τε καὶ AH² οὐδὲν οὔτε] οὐδενός τε F θεοπρεπέστερον S 8 ⟨ἔστι γὰρ⟩ ante παγκάλης suppleo, ⟨ὅς ἐστι⟩ Mang. 9 ἀρχετύπου Turn. (v): ἀρχέτυπον codd. (καὶ ἀρχέτυπον M) οὐ μόνον ὅτι ante λογικῆς add. S παραδείγματι codd.: παράδειγμα Turn. οὖν] νοῦν S 10 ἀσεβῆ ἀνοσιουργὸν καὶ ἀσεβῆ (sic) AH² 11 τὸ μέγιστον δρῶντα transp. H¹P (v) ἀμείλικτα SF: ἀμείλικτ' ceteri 12 ἐπειδὴ suspectum; καίτοι conicio ἄξιος M Nicet. ὢν] ἦν S ἕνα ὑπομένει] εἰ ὑπέμενεν S 12. 13 διὰ τὸν τῆς τιμωρίας θάνατον S 13 ἀθάνατον corruptum; εὐθάνατον coni. Mang., εἶδος conicio vel διὰ τὸν τῆς τιμωρίας τρόπον δὲ SFA: δ' ceteri

---

7—174,9 Nicetae Catena in Lucam (Vat. 1611 fol. 245v): Φίλωνος: οὐδὲν γὰρ οὔτε ἱεροπρεπέστερον οὔτε θεοειδέστερόν ἐστιν ἀνθρώπου, παγκάλης εἰκόνος πάγκαλον ἐκμαγεῖον, ἁγνότερον παντὸς κειμηλίου, ἀπεικόνισμα καὶ μίμημα τῆς ἀϊδίου οὐσίας, τὸν νοῦν λαβών. τὸν οὖν ἀνδροφόνον ἀσεβῆ καὶ ἀνοσιουργὸν ὁ νόμος ὑπολαμβάνων ὡς ἀμείλικτα ἐργασάμενον εὐθὺς ἀναιρεῖ· καὶ μυρίων θανάτων ἄξιος ὢν ἕνα ὑπομένει — λαβόντες τοῦ πάθους οἶκτον. sequuntur verba haec (cf. Wendland vol. II p. XV): πρότερον μὲν ὁ νόμος τὰ ἐν οἷς εὐκολώτερον διολισθαίνομεν διορθωσάμενος, οἷον τὸ μοιχεύειν, ἐπειδὴ τὸ πῦρ φυσικόν ἐστιν καὶ ἔνδοθεν, καὶ τὸ φονεύειν, ἐπειδὴ μέγα θηρίον ὁ θυμός, δεύτερα τὰ σπανίως συμβάντα τίθησι, λέγων μὴ κλέψαι (sic), μὴ ψευδομαρτυρήσῃς. 10 Exod. 21,12. Lev. 24, 17. 21. Num. 35,16. 31.

85 εἰ ταὐτὸν οἷς διέθηκέ τις πείσεται. καίτοι πῶς ἐστι ταὐτόν, εἰ καὶ χρό-
νοις καὶ πράξεσι καὶ βουλήμασι καὶ προσώποις διαλλάττει; ἢ οὐχὶ τὸ
μὲν χειρῶν ἄρχειν ἀδίκων ἐστὶ πρότερον, τὸ δ' ἀμύνεσθαι ὕστερον; καὶ
ἀνδροφονία μὲν παρανομώτατον, ἡ δὲ κατὰ ἀνδροφόνων κόλασις νομι-
μώτατον; καὶ ὁ μὲν κτείνας ἐκπεπλήρωκε τὴν ἐπιθυμίαν ὃν προῄρητο
ἀνελών, ὁ δὲ πεπονθὼς ἅτε γεγονὼς ἐκποδὼν οὔτ' ἀντιδιαθεῖναι οὔτ'
ἀντεφησθῆναι δυνατός ἐστι; καὶ ὁ μὲν ἐπιβουλεύειν αὐτοχειρίᾳ | πέφυκε p. 314
δι' ἑαυτοῦ, τῷ δ' ἀτελὴς ἡ ἐπέξοδος, εἰ μὴ συγγενεῖς ἢ φίλοι προαγωνί-
σαιντο λαβόντες τοῦ πάθους οἶκτον;
86 Ἐάν τις ἐπανατείνηται ξίφος, ὥστε ἀποκτεῖναι, κἂν μὴ ἀνέλῃ,
ἔνοχος ἔστω προαιρέσει γεγονὼς ἀνδροφόνος, εἰ καὶ μὴ τὸ τέλος τῇ
γνώμῃ συνέδραμε. τὰ δ' αὐτὰ πασχέτω, κἂν σὺν τέχνῃ τις ἐξ ἐνέδρας,
οὐ θαρρῶν ἄντικρυς ἐπιχειρεῖν, βουλεύῃ καὶ μηχανᾶται δολερῶς τὸν
φόνον· ἐναγὴς γὰρ καὶ οὗτος εἰ καὶ μήπω ταῖς χερσὶν ἀλλά τοι τῇ
87 ψυχῇ καθέστηκεν. ὥσπερ γάρ, οἶμαι, πολεμίους οὐ μόνον τοὺς ἤδη
ναυμαχοῦντας ἢ πεζομαχοῦντας ἀλλὰ καὶ τοὺς εἰς ἑκάτερον παρεσκευασ-
μένους καὶ τὰς ἑλεπόλεις ἐφιστάντας τοῖς λιμέσι καὶ τείχεσι, κἂν μήπω

1 ταυτὸν S: τὰ αὐτὰ ceteri (v), ταὐτὰ Nicet. διέθηκέ τις F, ἔθηκέ τις Nicet.: τις om. ceteri (v), διέθηκεν ≣ H^{1}P ὃ πείσεται M πῶς ἐστι] οὐδὲ Nicet. εἰ S: ὃ AH^2, εἰ ὃ ceteri, ἀλλὰ Nicet. 2 πράξεσι S: πράξει ceteri (v) βουλήματι F, βουλεύμασι AH^2 (Mang.) διαλλάττει· ἢ S: διαλλάττον εἴη ceteri (v), διαλλάσσον ἐστίν Nicet. οὐχὶ om. Nicet. 2. 3 τὸ μὲν F Nicet.: μὲν om. ceteri (v) 3 ἀμύνεσθαι SF Nicet.: ἀμύνασθαι ceteri (v) 4 κατὰ S: κατ' ceteri 5 ὃν προῄρητο F Nicet.: ἣν προηρεῖτο S, ὃν τρόπον ᾑρεῖτ' ceteri (Turn.) 6 ὁ δὲ] ὅ τε M ἐκποδὼν] ἐκ παθῶν AH^2 οὔτ'] οὐδ' SH^{1}P (v) ἀντιδιατιθέναι S οὔτ] οὐδ' S 7 ἀντεφησθῆναι] ἀνταφαιρεθῆναι S, ἀντιστῆναι Nicet. ἐστιν S αὐτοχειρία ἐπιβουλεύειν transp. S 8 ἑαυτοῦ S: αὑτοῦ ceteri δ' SF Nicet.: δὲ ceteri ἡ ἐπέξοδος codd. et Nicet.: ἡ om. v ἢ φίλοι] καὶ φίλοι H^{1}P (v) 10 tit. περὶ ἐπιτιθεμένων add. SF mg M mg H^1 mg P ὥστε SF: ὥστ' ceteri 11 ἔστω] ἔσται H (Turn.) 12 γνώμῃ] τέχνη AH^2 κἂν] καὶ S σὺν τέχνῃ τις] συντεχνήτης S^1, συντεχνίτης S^2, συνέλῃ τις AH^2 post τις repet. συνέδραμεν H^{1}P 13 οὐ] οὐ γὰρ AH^2 καὶ ἐπιχειρεῖν GH^{1}P (Turn.) βουλεύῃ F: βουλεύει S, βουλεύηται MGH^{1}P (v), δόλῳ βουλεύεται AH^2 14 ἐναγὴς] ἐναργὴς SF καὶ ante οὗτος om. FH^{1}P τοι om. AH^2 15 ἤδη om. S 16 ἢ πεζομαχοῦντας om. S post πεζομαχοῦντας (ναυμαχοῦντας) addunt codd. praeter F νομιστέον, omisi cum F εἰς om. G 16. 17 ἐσκευασμένους G 17 ἐπιστάντας MGP λιμέσιν καὶ τείχεσιν S μήπω S: μὴ ceteri (v)

10 Num. 35,16. 12 Exod. 21,14. Num. 35,20.

συμπλέκωνται, κρίνομεν, οὕτως καὶ ἀνδροφόνους χρὴ νομίζειν οὐ τοὺς
κτείναντας αὐτὸ μόνον ἀλλὰ καὶ τοὺς πάντα δρῶντας εἰς τὸ ἀνελεῖν ἢ
φανερῶς ἢ λάθρα, κἂν μὴ τὸ ἀδίκημα ὦσιν εἰργασμένοι. ἐὰν δὲ καὶ 88
ὑπὸ δειλίας ἢ θράσους, μαχομένων καὶ ἐπιλήπτων παθῶν, καταφυγεῖν
τολμῶσιν εἰς τὸ ἱερὸν ὡς ἀσυλίαν εὑρησόμενοι, κωλυτέον· κἂν ὀφθῶσι
παρεισδύντες, ἐκδοτέον ἐπ' ἀναιρέσει τοιαῦτα ἐπιλέγοντας, ἀσυλίαν ἀνιέροις
τὸ ἱερὸν μὴ παρέχεσθαι. πᾶς γὰρ ὁ ἀνίατα δρῶν ἐχθρὸς θεῷ· ἀνδρο-
φόνοι δὲ ἀνίατα δρῶσιν, ἐπεὶ καὶ οἱ ἀνδροφονηθέντες ἀνίατα πεπόν-
θασιν. ἢ τοῖς μὲν μηδὲν ἡμαρτηκόσιν, ἕως ἂν ἀπολούσωνται καὶ περιρρα- 89
νάμενοι καθαρθῶσι τοῖς εἰωθόσι καθαρσίοις, ἄβατος ὁ νεώς ἐστι, τοὺς
δὲ ἐνόχους ἀνεκπλύτοις ἄγεσιν, ὧν τὰ μιάσματα οὐδεὶς ἀπονίψει χρόνος,
ἄξιον ἐπιφοιτᾶν καὶ ἐνδιατρίβειν τοῖς ἕδεσιν, οὓς οὐδ' ἂν οἰκία δέξαιτο
κοσμίων ἀνδρῶν οἷς μέλει τῶν ὁσίων; (16.) προστιθέντας οὖν ἀδική- 90
ματα ἀδικήμασιν, ἀνδροφονίᾳ παρανομίαν καὶ ἀσέβειαν, ἀναγκαῖον ἀπάγειν
δώσοντας δίκην, τοὺς ὡς ἔφην ἄξια μυρίων θανάτων, οὐχ ἑνός, εἰργασ-
μένους. ἄλλως τε τοῖς συγγενέσι καὶ φίλοις τοῦ δολοφονηθέντος ἀπο-
κεκλείσεται τὸ ἱερόν, εἰ ὁ ἀνδροφόνος ἐνδιατρίβοι, μὴ ἂν ὑπομείνασιν εἰς
ταὐτόν ποτε ἐλθεῖν· ἄτοπον δὲ ἑνὸς ἕνεκα πολλοὺς καὶ τοῦ παρανομω-
τάτου τοὺς παρανομηθέντας ἐξελαύνεσθαι, οἳ πρὸς τῷ μηδὲν ἁμαρτεῖν

1 οὕτως SFP: οὕτω ceteri οὐ] οὐ μόνον S 2 κτείναντας FG: κτείνοντας ceteri (v) πάντας M εἰς τἀνελεῖν MH[1]P 3 μὴ τὸ om. F τἀδίκημα MAH[2]P ἐργασάμενοι S tit. περὶ τοῦ δεῖν ἐκδιδόναι εἰς τὸ ἱερὸν καταφυγόντα θανάτου ἄξια δρᾶντα (sic) add. S mg M 4 μαχομένων] μισουμένων M καὶ] ἢ SAH[2] καταφυγεῖν SFN: καταφεύγειν ceteri (v) 5 ὀφθῶσι FN(S[1]?): ▒ ὦσιν (ras. 2 vel 3 litt.) S, φθάνωσι ceteri (v) 6 παρεισδύναντες S προδοτέον S τοιαῦτα SFN: ταῦτ' ceteri (v) ἐπιλέγοντες SG 7 παρεχέτω SFN εἰ πᾶς S post δρῶν add. ἀδίκως ἀδικῶν S 8 δὲ FN: δ' ceteri δρῶσιν] ἀδικοῦσιν FN 9 ἢ SFAH[2]: ἡ ceteri (v) μὲν om. N 9. 10 περιρρανώμενοι H[1]P; περιρρανόμενοι v 10 καθαρθῶσι post καθαρσίοις transp. AH[2] 11 δὲ FNAH[2]: δ' ceteri ὧν τὰ μιάσματα] τὰ μιάσματα οὓς S ἀπονίψει] ἀπαλείψει FN 12 φοιτᾶν S ἕδεσιν S[1]AH[2] (εὐαγέσιν S[2]): ἔδεσιν ceteri 13 καὶ κοσμίων S οἷς μέλει τῆς ὁσίας τῶν ὁσίων FN προστιθέντες N οὖν add. mg H[1]P, om. in textu H[1]P 13. 14 ἀδικήματα SF: ἀδικήματ' ceteri 14 καὶ om. G ἀναγκαῖον — εἰργασμένους (15) om. AH[2] ἀπάγειν] ἐπάγειν S, ἄγειν FN 15 τοὺς οὖν G 16 συγγενέσι καὶ S: συγγενέσιν ἢ ceteri (v) 16. 17 ἀποκλείσεται SAH[2] 17 ἐνδιατρίβει F ὑπομείνωσιν H[1]P 18 ταυτόν S: ταὐτό ceteri ποτε SF: ποτ' ceteri δὲ SFA: δ' ceteri ἕνεκεν S πολλοὺς SF: τοὺς πολλοὺς ceteri (v) 19 μηθὲν MGH[1]

3—18 N fol. 158[v]: ἐὰν δὲ καὶ — εἰς ταὐτό ποτε ἐλθεῖν. 4 Exod. 21,14.

91 ἔτι καὶ πένθος πρόωρον ἀνεδέξαντο. τάχα μέντοι καὶ τὰ μακρὰν
ὀξυωπίᾳ λογισμοῦ πεφυκὼς ἐμβλέπειν | προυνόησε μὴ φόνον ἐν τῷ ἱερῷ p. 31
γενέσθαι κατὰ τὰς ἐπιφοιτήσεις τῶν τοῦ σφαγέντος ἐπιτηδείων, οὓς
στοργή, πάθος ἀδούλωτον, ὥσπερ τοὺς ἐνθουσιῶντας καὶ κατεχομένους
προκαλέσεται μόνον οὐκ αὐτοχειρίᾳ κτεῖναι τὸν ἀνδροφόνον· οὗ γενομένου
σύμβήσεταί τι τῶν ἀνοσιωτάτων, αἵματι γὰρ ἀνδροφόνων αἷμα θυσιῶν
ἀνακραθήσεται, τὸ τῶν καθωσιωμένων τῷ μὴ καθαρῷ. διὰ μὲν δὴ
ταῦτα κελεύει καὶ ἀπ᾽ αὐτῶν τῶν βωμῶν ἐκδοῦναι τὸν ἀνδροφόνον.
92 (17.) Ἀλλ᾽ οἱ μὲν ξίφεσιν ἢ δορατίοις ἢ βέλεσιν ἢ ξύλοις ἢ λίθοις
ἤ τισιν ὁμοιοτρόποις ἀναιροῦντες δύνανται μὴ προβεβουλευμένοι μηδ᾽ ἐκ
πολλοῦ παρ᾽ αὑτοῖς λελογισμένοι τὸ ἄγος, ἐκ ταὐτομάτου διακινηθέντες
καὶ θυμῷ δυνατωτέρῳ χρησάμενοι λογισμοῦ, δρᾶσαι τὸν φόνον, ὡς
ἡμίεργον τὴν πρᾶξιν εἶναι, τῆς διανοίας μὴ προκατεσχημένης ἐκ μακροῦ
93 τοῖς μιάσμασιν. εἰσὶ δὲ ἕτεροι πονηρότατοι, χερσὶ καὶ γνώμαις ἐναγεῖς,
οἱ μάγοι καὶ φαρμακευταί, σχολὴν καὶ ἀναχώρησιν ἐνδιδόντες αὑτοῖς
πρὸς καιρίους ἐπιθέσεις καὶ τέχνας καὶ μηχανὰς πολυτρόπους ἀνευρί-
94 σχοντες ἐπὶ ταῖς τῶν πλησίον συμφοραῖς. ὅθεν κελεύει φαρμακευτὰς
καὶ φαρμακίδας μηδεμίαν ἡμέραν ἀλλὰ μηδ᾽ ὥραν ἐπιβιοῦν, ἀλλ᾽ ἅμα
τῷ ἁλῶναι τεθνάναι, μηδεμιᾶς ἐγγινομένης προφάσεως εἰς ἀναβολὴν καὶ
ὑπέρθεσιν τῆς τιμωρίας· τοὺς μὲν γὰρ ἄντικρυς ἐπιβουλεύοντας δύναιτ᾽

1 ἔτι] ὅτι F, om. H^{1}P^1 πρόωρον] ἄωρον MAH^2 ἐδέξαντο AH^2
2 ὀξυωπία SF: ὀξύτητι ceteri (v) ἐμβλέπειν SF: ἐπιβλέπειν ceteri (v)
προενόησε AH^2 3 κατὰ] διὰ M 3. 4 οὗ στοργὴ (sic) S 4 οὕσπερ S
5 προσκαλέσεται AH^2 μονονοὺ καὐτοχειρία FH^{1}P, μονονοὺ εἰς αὐτοχειρίαν M
6 ἀνοσιωτάτων mg H^1, ἀτοπωτάτων in textu H^1 ἀνδροφόνων] ἀνθρώπων S
θυσιῶν] ὁσίων F 7 τῶν καθοσιωμένων S (τὸ τῶν καθωσιωμένων scripsi): τὸ
καθοσιούμενον F, τὸ καθοσιωμένον H^{1}P, τὸ καθωσιωμένον ceteri (v) 8 τῶν βωμῶν S:
τῶν om. ceteri (Turn.) ἐκδοῦναι S: ἐκδιδόναι ceteri (v) τὸν om. S
10 προβεβουλευμένοι F: προβουλευόμενοι ceteri (v) 11 αὐτοῖς codd.
κινηθέντες F 12 καὶ om. S διαδρᾶσαι G 13 τῆς] τοῖς P
14 tit. κατὰ φαρμακῶν add. S mg M δὲ S: δ᾽ ceteri πονηρότεροι AH^2
ἐναγέσιν AH^2 15 σχολῆς F καὶ] κατ᾽ S αὑτοῖς SGH^1: αὐτοῖς
ceteri 17 πλησίον SM: πλησίων ceteri (Turn.) 18 φαρμακίδας] φαρμακείας S
ἀλλὰ μηδ᾽ ὥραν om. H^{1}P (Turn.) ἐπιβιοῦν SF: βιοῦν ceteri (Turn.)
20 ἄντικρυς S: φανερῶς ἄντικρυς FH^{1}P, φανερῶς κἄντικρυς H^1 (v), ἄντικρυς φανερῶς
MAH^2, ἄντικρυς καὶ φανερῶς G

9 Num. 35,22. 23. 17 Exod. 22,18. Deut. 18,10. cf. *Ioseph. Ant. Iud. IV* § 279
φάρμακον μήτε θανάσιμον μήτε τῶν εἰς ἄλλας βλάβας πεποιημένων Ἰσραηλιτῶν ἐχέτω
μηδὲ εἷς· ἐὰν δὲ κεκτημένος φωραθῇ, τεθνάτω, τοῦτο πάσχων ὃ διέθηκεν ἂν ἐκείνους καθ᾽
ὧν τὸ φάρμακον ἦν παρεσκευασμένον.

ἂν τις φυλάξασθαι, τῶν δὲ κρύφα συντιθέντων καὶ σκευωρούντων τὰς
ἐπιθέσεις φαρμακείαις οὐ ῥᾴδιον τὰς τέχνας συνιδεῖν. ἀναγκαῖον οὖν, ἃ 95
μελλήσουσι δι' αὐτοὺς ἕτεροι παθεῖν, τοὺς δρῶντας προδιαθεῖναι. καὶ
γὰρ ἄλλως ὁ μὲν ἐμφανῶς ξίφει κτείνων ἤ τινι ὅπλῳ τῶν ὁμοιοτρόπων
καθ' ἕνα καιρὸν ὀλίγους ἀνελεῖ, φαρμάκοις δὲ θανασίμοις μυρίους ὅσους
τὴν ἐπιβουλὴν οὐ προαισθανομένους ἐδωδίμοις τισὶν ἀναμίξας καὶ συνανα-
κερασάμενος. ἤδη γοῦν πολυάνθρωπα συσσίτια καθ' ἑταιρείαν συνεληλυθότων 96
ἐπὶ τοὺς αὐτοὺς ἅλας καὶ τὴν αὐτὴν τράπεζαν ἐν σπονδαῖς
ἄσπονδα ἔπαθεν ἐξαίφνης διαφθαρέντα καὶ θάνατον ἀντ' εὐωχίας ἀντηλ-
λάξατο. διὸ προσήκει κατὰ τῶν τοιούτων καὶ τοὺς ἐπιεικεστάτους καὶ
τοὺς μετριοπαθεστάτους φονᾶν, μόνον οὐκ αὐτόχειρας γινομένους καὶ
νομίζοντας εὐαγὲς εἶναι τὸ μὴ ἑτέροις τὴν τιμωρίαν ἐπιτρέπειν ἀλλ'
ἑαυτοῖς. πῶς γὰρ οὐκ ἔστι πάνδεινον, διὰ τροφῆς ἢ τοῦ ζῆν αἰτία 97
καθέστηκε θάνατον τεχνάζειν καὶ τοῖς φύσει τροφίμοις φθοροποιὸν ἐν-
εργάζεσθαι μεταβολήν, ἵνα τινὲς διὰ φυσικὴν ἀνάγκην ἐπ' ἐδωδὴν καὶ
πόσιν ἰόντες, οὐ προϊδόντες τὴν ἐνέδραν, ὡς σωτήρια προσῶνται τὰ
πανωλεθρίας αἴτια; τὴν δ' αὐτὴν ὑπομενέτωσαν τιμωρίαν, κἂν [εἴ] τινες 98
16 M. θανάσιμα μὴ συντιθέντες τὰ δι' ὧν μακραὶ κατασκευάζονται | νόσοι προσ-
φέρωσι· θάνατοι γὰρ πολλάκις αἱρετώτεροι νόσων εἰσὶ καὶ μάλιστα τῶν
τοιούτων, αἳ μήκεσι χρόνων ἀποτείνονται καὶ τέλος ἔχουσιν οὐκ αἴσιον·
δυσίατα γὰρ ἤδη καὶ παντελῶς ἀθεράπευτα τὰ ἐκ φαρμακειῶν ἀρρω-
στήματα. χαλεπώτερα μέντοι συμβαίνειν φιλεῖ τῶν ἐν τοῖς σώμασι καὶ 99

---

1 συντεθέντων F σκευωρούντων S: συσκαιωρούντων FH^{1}P (Turn.), συσκευωρούντων ceteri (Mang.) 2 οὖν om. F 3 μελλήσουσιν S, μελήσουσιν F δι' αὐτοὺς MGPH^2, δι' αὐτοὺς A: δι' αὐτῶν H^1 (v), αὐτοῖς F, αὐτοὶ καὶ S δρῶντας] ζῶντας S; δράσοντας coni. Mang. 4 μὲν] μὴ AH^2 ξίφει om. S 5 ὀλίγους om. M ἀνελεῖ] ἂν ἀνέλοι S^2, ἀναιρεῖ MAH^2 ὅσους om. P 6 οὐ] μὴ AH^2 προαισθομένους S 6. 7 ἀνακερασάμενος S 7 ἑταιρίαν MAH^2 7. 8 συνεληλυθότα FAH^2 9 ἄσπονδα SF: ἄσπονδ' ceteri ἀντ' om. F 9. 10 ἀντηλλάξατο F: ἀντηλλάξαντο S, ὑπηλλάξαντο ceteri (v) 11 τοὺς om. AH^2 μόνον οὐκ αὐτόχειρας γινομένους S: μονονοὺ γινομένους (γεν. M) αὐτόχειρας ceteri (v) 12 ἐναγὲς AH^2 13 διὰ τροφῆς ἢ codd.: δι' ἃ τροφῆς ἢ Turn. (Richt.), διὰ τροφῆς ἢ Mang. 14 τεχνάζειν F: τεχνάζεσθαι ceteri (v) τοῖς] ταῖς M 14. 15 ἐνεργάζεσθαι F: ἐργάζεσθαι ceteri (v) 15 ἐπὶ A 16 προϊδόντες S: προειδόμενοι ceteri (v) σωτηρίαν SF προῶνται S, πρόσ(ω)ονται A 17 πανωλεθρίας SF: παντολέθρια MAH^{2}G, παντώλεθρα H^{1}P; πανώλεθρα v αἴτια SF: αἰτία ceteri (v) κἂν] καὶ F εἰ seclusi (quod si tenetur, l. 18. 19 προσφέρουσι scribendum) 18 τὰ] τὰ δὲ G 20 μήκει M ἐκτείνονται M τέλος αἴσιον οὐκ ἔχουσι F 21 δυσίατα] δύο ταῦτα F ἐκ τῶν φαρμακειῶν AH^2

⟨τὰ⟩ περὶ τὰς ψυχὰς πάθη τῶν ἐπιβουλευομένων· ἐκστάσεις γὰρ καὶ παραφροσύναι καὶ ἀφόρητοι μανίαι κατασκήπτουσι, δι' ὧν ὁ νοῦς, ἣν μεγίστην ἀπένειμεν ἀνθρώπων γένει δωρεὰν ὁ θεός, κακούμενος πάσας κακώσεις, ὅταν ἀπογνῷ τὰ σωτήρια, μετανίσταται καὶ μετοικίζεται τὸ τῆς ψυχῆς φαυλότερον εἶδος ὑπολειπόμενος ἐν τῷ σώματι, τὸ ἄλογον, οὗ καὶ τὰ θηρία μετέσχηκεν, ἐπειδὴ πᾶς ὁ ἐρημωθεὶς λογισμοῦ τοῦ κρείττονος μέρους ψυχῆς μεταβέβληκεν εἰς θήρειον φύσιν, κἂν ἔτι
100 μένωσιν οἱ τοῦ σώματος χαρακτῆρες ἀνθρωπόμορφοι. (18.) τὴν μὲν οὖν ἀληθῆ μαγικήν, ὀπτικὴν ἐπιστήμην οὖσαν, ᾗ τὰ τῆς φύσεως ἔργα τρανοτέραις φαντασίαις αὐγάζεται, σεμνὴν καὶ περιμάχητον δοκοῦσαν εἶναι, οὐχ ἰδιῶται μόνον ἀλλὰ καὶ βασιλεῖς καὶ βασιλέων οἱ μέγιστοι καὶ μάλιστα οἱ Περσῶν διαπονοῦσιν οὕτως, ὥστ' οὐδένα φασὶν ἐπὶ βασιλείαν δύνασθαι παραπεμφθῆναι παρ' αὐτοῖς, εἰ μὴ πρότερον τοῦ μάγων γένους
101 κεκοινωνηκὼς τυγχάνοι. ἔστι δέ τι παράκομμα ταύτης, κυριώτατα φάναι κακοτεχνία, ἣν μηναγύρται καὶ βωμολόχοι μετίασι καὶ γυναίων καὶ ἀνδραπόδων τὰ φαυλότατα, περιμάττειν καὶ καθαίρειν κατεπαγγελλόμενα καὶ στέργοντας μὲν εἰς ἀνήκεστον ἔχθραν μισοῦντας δὲ εἰς ὑπερβάλλουσαν εὔνοιαν ἄξειν ὑπισχνούμενα φίλτροις καὶ ἐπῳδαῖς τισιν, εἶτα τοὺς ἀπλάστοις καὶ ἀκακωτάτοις ἤθεσι κεχρημένους ἀπατᾷ τε καὶ ἀγκιστρεύεται,

---

1 τὰ add. Mang.   3 ἀνθρώπων γένει] τῷ τῶν ἀνθρώπων γένει M, ἀνθρώπῳ H¹ (v)   5 τῆς om. S   εἶδος] μέρος coni. Mang.   ὑπολιπόμενος H¹   7 μέρος F¹   μεταβέβληκεν F: μεταβέβηκεν ceteri (v)   μεταβέβηκεν—φύσιν post ἀνθρωπόμορφοι (8) transp. M   θήρειον] θηρίων SF   7. 8 ἔτι μένωσιν] ἐπιμένωσιν S   8 σώματος] σύμπαντος F   9 ἀληθῆ] ἀλήθειαν G   ὀπτικὴν om. GH²   ᾗ scripsi: ἣ codd. (v)   τῆς F: om. ceteri (v)   10 τρανωτέραις S (sic v)   αὐγάζεται FL²: ἐργάζεται ceteri   11 alt. καὶ om. A   12 μάλιστα S: μάλα F, μάλιστ' P, μάλισθ' ceteri   διακονοῦσιν S   βασιλείας F, βασίλειον AH²   13 δύνασθαι παραπεμφθῆναι S: παραπεμφθῆναι δύνασθαι MG, παραπεμφθῆναι δύναμιν AH²H¹P, παροφθῆναι δύναμιν F; παραληφθῆναι δύναμιν Turn., παραληφθῆναι δύνασθαι Mang.   14 post κεκοινωνηκὼς add. πως M (Mang.)   τυγχάνει AH²   τι S (coni. Mang.): τι ὃ AH², τις ὃ MGH¹P, τις ἣ FL² (τις ἡ v)   ὃ ante κυριώτατα add. S   κυριότατα F, κυριώτατον AH²   15 μηναγύρται] ἀγύρται S   γυναίων SF: γυναικῶν ceteri (v)   16 καθαιρεῖν AH²P   17 ἀνήκεστον FAH²: ἀνήκεστον τὴν H¹P (Turn.), ἀνηκεστάτην SMG; ἀνηκεστοτάτην Mang.   ἔχθραν] ὕβριν καὶ ἔχθραν S   μισοῦντες F   δὲ SM: δ' ceteri   18 ἄξειν] αὔξειν A   19 κεχρημένους] χρωμένους H¹P (v)   ἀπατᾶται S (ἀπατᾷ τε scripsi): ἀπατῶσι AH² (Mang.), ἀπατᾶ ceteri (Turn.)   ἀγκιστρεύεται] ἀγκιστρεύουσι AH²; ἀγκιστρεύονται Mang.

---

12 cf. *Cic. de divin. I 90* ... et in Persis augurantur et divinant magi ... nec quisquam rex Persarum potest esse, qui non ante magorum disciplinam scientiamque perceperit.

μέχρις ἂν τὰς μεγίστας προσλάβωσι συμφοράς, δι' ἃς οἰκείων καὶ συγγε-
νῶν ὅμιλοι μεγάλοι καὶ πολυάνθρωποι κατὰ μικρὸν ὑπορρέοντες ἀψοφητὶ
ταχέως ἐξεφθάρησαν. εἰς ἅπερ, οἶμαι, πάντα ἀπιδὼν ὁ ἡμέτερος νομο- 102
θέτης οὐκ ἐᾷ τὰς κατὰ φαρμακευτῶν εἰς ὕστερον ἀναβάλλεσθαι δίκας,
παραχρῆμα τὰς τιμωρίας ἀναπράττειν κελεύσας· αἱ γὰρ ὑπερθέσεις τοὺς
μὲν ὑπαιτίους ἐνευκαιρεῖν τοῖς αὐτοῖς ἀδικήμασι παρορμῶσιν ἅτε θανα-
τῶντας, τοὺς δὲ εἰς τὸ παθεῖν ὑπόπτους φοβερωτέρου δέους ἀναπιμ-
πλᾶσι, τὴν ἐκείνων ζωὴν θάνατον αὐτῶν εἶναι νομίζοντας. καθάπερ 103
.317 M. οὖν ἔχεις καὶ σκορπίους | καὶ ὅσα ἰοβόλα, πρὶν δακεῖν ἢ τρῶσαι ἢ συνόλως
ἐφορμῆσαι, θεασάμενοι μόνον χωρὶς ὑπερθέσεως κτείνομεν, προφυλαττό-
μενοι διὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς κακίαν τὸ μηδὲν παθεῖν, τὸν αὐτὸν
τρόπον καὶ ἀνθρώπους ἄξιον τιμωρεῖσθαι, οἳ φύσεως ἐπιλαχόντες ἡμέρου
διὰ τὴν κοινωνίας αἰτίαν, λογικὴν ψυχήν, ἐπιτηδεύσει πρὸς θηρίων ἀτι-
θάσων ἀγριότητας μετέβαλον ἐν ἡδονῇ καὶ ὠφελείᾳ τῇ πάσῃ τιθέμενοι
τὸ κακῶς ποιεῖν ὅσους ἂν δύνωνται.

(19.) Τοσαῦτ' ἐν τῷ παρόντι περὶ φαρμακευτῶν ἀποχρώντως 104
λελέχθω. προσήκει μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι καιροὶ συμπίπτουσιν
ἀβούλητοι πολλάκις, ἐν οἷς ἀνδροφονεῖ τις οὐκ ἐπὶ τοῦτ' ἐλθὼν ἢ παρε-
σκευασμένος, ἀλλ' ἐξαπιναίως ἁρπασθεὶς ὑπ' ὀργῆς, ἀνηκέστου καὶ ἐπι-
βούλου πάθους, ὃ καὶ τὸν ἔχοντα καὶ ⟨τὸν⟩ καθ' οὗ γίνεται τὰ μέγιστα
βλάπτει. προελθὼν γὰρ ἔστιν ὅτε εἰς ἀγορὰν ἕνεκα πραγματείας ἐπειγούσης, 105

---

1 προσλάβωσι AH²: προσλάβη FG, προσλάβοι SMH¹P (Turn.) οἰκείων] οἰκιῶν GH¹P¹ (Turn.) 1. 2 συγγενῶν SMG: συγγενειῶν ceteri (Turn.) 3 πάντα SFAH²: πάντ' ceteri 4 κατὰ SF (coni. Mang.): om. ceteri (v) ἐσύστερον M δικὴ
5 αἱ] ὡς L² (Turn.) 6 ὑπαιτίους om. S (fort. recte) ἀτοπήμασι A
6. 7 ἅτε θανατῶντας spuria videntur (an θανατοῦντας scribendum?) 7 δὲ F: δ' ceteri 8 αὐτὸν F¹P, αὐτῶν ceteri νομίζοντας] νομίσαντες S
9 pr. καὶ om. F ὅσα SFP: ὅσ' ceteri ἢ συνόλως] καὶ συνόλως L (Turn.)
10 ἐφορμῆσαι] ὁρμῆσαι L (Turn.) 11 αὐτοῖς SFMG: ἐν αὐτοῖς ceteri (v)
12 ἀνθρώπους] αὐτοὺς A 13 ψυχήν Mang.: πηγήν codd. 13. 14 ἀτιθάσων SH¹: ἀτιθάσσων ceteri (v) 14 μετέβαλον SAH²H¹P, μετέβαλλον MG: μεταβαλόντες F, μεταβάλλοντες L²; μεταβάλλουσιν v τῇ πάσῃ SF: om. ceteri (v)
15 ἂν v: ἐὰν codd. 16 τοσαῦτα AH² 17 tit. περὶ ἀκουσίου φόνου ἤτοι καιρίας πληγῆς add. S mg M τοῦτο S 18 ἀνδροφονεῖ S: ἠνδροφόνησε ceteri (v) ἐπὶ τοῦτ' ἐλθὼν ἢ] ἐπὶ τοῦ καθ' ἑαυτὸν M; ἐπὶ τοῦθ' ἑαυτὸν Mang.
18. 19 παρεσκευασμένος F: παρασκευασάμενος ceteri (v) 19 ἐξαπινέως S ἁρπαγεὶς F 19. 20 ἐπιβούλου codd.: ἐπηβόλου Turn. 20 τὸν ante καθ' οὗ addidi τὰ om. GH¹P; μάλιστα (pro τὰ μέγιστα) Turn. 20. 21 βλάπτει τὰ μέγιστα transp. S
21 προσελθὼν F προελθὼν γὰρ ἔστιν om. in textu H¹, add. mg H¹ ὅτε SFM: ὅτ' ceteri πραγματείας ἐπειγούσης] τοῦ πραγματεύσασθαι M

ἐντυχὼν τινι προπετεστέρῳ κακηγορεῖν ἢ τύπτειν ἐπιχειροῦντι ἢ καὶ αὐτὸς ἄρξας τῆς πρὸς ἐκεῖνον διαφορᾶς, συμπλοκῆς γενομένης, ὑπὲρ τοῦ διαζευχθῆναι καὶ θᾶττον ἐκφυγεῖν ἢ πὺξ ἔπαισε τῇ χειρὶ ἢ
106 λίθον ἀράμενος ἔρριψε· καιρίως δὲ τῆς πληγῆς ἐνεχθείσης, εἰ μὲν εὐθὺς θνήσκοι, καὶ ὁ παίσας θνησκέτω τὰ ἴσα οἷς διέθηκε παθών· ἐὰν δὲ παραχρῆμα μὲν ἐκ τῆς πληγῆς μὴ τελευτήσῃ, νόσῳ δὲ χρήσηται καὶ κλινήρης γενόμενος ἐπιμελείας τυχὼν τῆς προσηκούσης αὖθις ἐξαναστῇ καὶ προέλθῃ, κἂν μὴ ποσὶν ἀρτίοις πως δύνηται βαδίζειν ἀλλ' ὑπερειδόντων τινῶν ἢ καὶ βακτηρίᾳ σκηριπτόμενος, διττὰς ὁ παίσας ἐκτινέτω ζημίας, τὴν μὲν εἰς ἀργίας ἐπανόρθωσιν, τὴν δ' ἀντὶ τῶν ἰατρείων.
107 καταθεὶς δ' ἀπηλλάχθω τῆς ἐπὶ τῷ θανάτῳ τιμωρίας, κἂν ὕστερον ὁ τὴν πληγὴν λαβὼν τελευτήσῃ· τάχα γὰρ οὐκ ἀπὸ τῆς πληγῆς, ἐπειδὴ ῥᾴων γενόμενος εἰς περίπατον προῆλθεν, ἀλλὰ καθ' ἑτέρας αἰτίας, αἳ καὶ τοὺς ὑγιεινοτάτους τὰ σώματα πολλάκις ἐξαίφνης ἐπιθέμεναι διέ-
108 φθειραν. ἐὰν δὲ συμπλακεὶς γυναικί τις ἐγκύῳ πληγὴν ἐμφορήσῃ κατὰ τὴν γαστέρα, ἡ δὲ ἀμβλώσῃ, ἐὰν μὲν ἄπλαστον καὶ ἀδιατύπωτον τὸ ἀμβλωθὲν τύχῃ, ζημιούσθω, καὶ διὰ τὴν ὕβριν καὶ ὅτι ἐμποδὼν ἐγένετο τῇ φύσει ζῳογονῆσαι τὸ κάλλιστον τεχνιτευούσῃ καὶ δημιουργούσῃ ζῷον, ἄνθρωπον· εἰ δὲ ἤδη μεμορφωμένον, ἁπάντων μελῶν τὰς οἰκείους

---

1 προπετεστέρῳ] προγενεστέρω F κακηγορεῖν (τ suprascr.) M, κατηγορεῖν FGP κύπτειν G 3 ἔπαισε — ἐνεχθείσης (4) om. in textu H[1], add. mg H[1] ἔπαισεν S 4 ἔρριψεν S 5 θνήσκοι S: θνήσκει ceteri (v) μετέθηκε F 6 μὴ] οὐ AH[2] χρήσεται AH[2] 8 καὶ προέλθῃ F: om. ceteri (v) ἀρτίως S, ὀρθίοις AH[2] πως om. H[1]P (v) δυνήσηται S, δύναται AH[2] 9 ἢ om. S βακτηρίᾳ SF: βακτηρίαις ceteri (v) διττὰς om. F ἐκτεινέτω F, ἐκτιννύτω S[2]M 10 ἀντὶ] αὐτὴν M ἰατρείων F: ἰατρειῶν ceteri (v) 11 δ' om. M 13 περίπατον SF: πάτον ceteri (Turn.) προῆλθεν] περιῆλθεν H[1]P (Turn.) 14 τῷ σώματι G 15 tit. περὶ ἐκθέσεως βρεφῶν h. l. add. S ἐὰν δὲ συμπλακῇ H[1]P (v), ἐὰν δ' ἐν συμπλοκῇ F τις γυναικὶ transp. H[1]P (v) ἐγγύῳ FAH[2] post ἐγκύῳ add. καὶ H[1] alt. man. (v), om. ceteri πληγὴν F: πληγὰς ceteri (v) 16 ἡ] εἰ S[1], corr. S[2] δὲ SF: δ' ceteri 18 τῇ φύσει om. S ζῳογονούσῃ coni. Mang. τεχνητευούσῃ S δημιουργῆσαι F 19 εἰς ἄνθρωπον S δὲ SAH[2]: δ' ceteri ἤδη] ἢ S ἁπάντων μελῶν S: ἁπάντων τῶν μερῶν AH[2] (Mang.), ἁπάντων μερῶν ceteri (v) οἰκείους SF: οἰκείας ceteri (v)

---

4 Exod. 21,12. Num. 35,17. 21. cf. *Ioseph. Ant. Iud. IV § 277* ἐν μάχῃ τις, ὅπου μὴ σίδηρος, πληγεὶς παραχρῆμα μὲν ἀποθανὼν ἐκδικείσθω ταὐτὸν παθόντος τοῦ πεπληγότος. 6 Exod. 21,18. 19. cf. *Ioseph. l. l.* ἂν δὲ κομισθεὶς παρ' ἑαυτὸν καὶ νοσήσας ἐπὶ πλείονας ἡμέρας ἔπειτ' ἀποθάνῃ, ἀθῷος ἔστω ὁ πλήξας, σωθέντος δὲ καὶ πολλὰ δαπανήσαντος εἰς τὴν νοσηλείαν, ἀποτινέτω πάνθ' ὅσα παρὰ τὸν χρόνον τῆς κατακλίσεως ἀνάλωσε καὶ ὅσα τοῖς ἰατροῖς ἔδωκεν. 15 sqq. Exod. 21,22. 23. (cf. *Ioseph. Ant. Iud. IV § 278.*)

τάξεις καὶ ποιότητας ἀπειληφότων, θνῃσκέτω. τὸ γὰρ τοιοῦτον ἄνθρωπός 109
ἐστιν, ὃν ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διεχρήσατο μήπω καιρὸν εἶναι
p. 318 M. νομιζούσης εἰς φῶς προαγαγεῖν, ἐοικὸς ἀνδριάντι | ἐν πλαστικῇ κατακει-
μένῳ, πλέον οὐδὲν ἢ τὴν ἔξω παραπομπὴν καὶ ἄνεσιν ἐπιζητοῦντι.
(20.) Διὰ ταύτης τῆς προστάξεως καὶ ἕτερόν τι μεῖζον ἀπηγό- 110
ρευται, βρεφῶν ἔκθεσις, ὃ παρὰ πολλοῖς τῶν ἄλλων ἐθνῶν ἕνεκα τῆς
φυσικῆς ἀπανθρωπίας χειρόηθες ἀσέβημα γέγονεν. εἰ γὰρ τοῦ μηδέπω 111
ταῖς ὡρισμέναις τῶν καιρῶν περιόδοις ἀποχυθέντος προνοητέον, ὡς μὴ
ἐξ ἐπιβουλῆς τι δεινὸν πάθοι, πῶς οὐχὶ μᾶλλον τοῦ τελειογονηθέντος
καὶ ὥσπερ εἰς ἀποικίαν ἣν ἔλαχον ἄνθρωποι προπεμφθέντος ἐπὶ τῷ
μεταλαχεῖν τῶν τῆς φύσεως δωρεῶν, ἃς ἀνίησιν ἐκ γῆς καὶ ὕδατος
καὶ ἀέρος καὶ οὐρανοῦ, παρέχουσα τῶν μὲν οὐρανίων τὴν θέαν, τῶν
δὲ ἐπιγείων τὸ κράτος καὶ τὴν ἡγεμονίαν, καὶ πάσαις μὲν χορηγοῦσα
ταῖς αἰσθήσεσιν ἄφθονα τὰ πάντων, τῷ δὲ νῷ καθάπερ μεγάλῳ βασιλεῖ
τὰ μὲν διὰ τούτων ὡς ἂν δορυφόρων ὅσα αἰσθητά, τὰ δ᾽ ἄνευ τούτων
ὅσα λόγῳ καταληπτά; τοσούτων οὖν ἀποστεροῦντες ἀγαθῶν τοὺς παῖδας 112
οἱ τροφεῖς, ἅμα τῇ γενέσει τούτων μηδενὸς μεταδιδόντες, ἴστωσαν νόμους
φύσεως καταλύοντες καὶ τὰ μέγιστα κατηγοροῦντες αὑτῶν, φιληδονίαν,
μισανθρωπίαν, ἀνδροφονίαν καὶ — τὸ χαλεπώτατον ἄγος — τεκνοκτονίαν.
φιλήδονοι μὲν γάρ, εἰ μὴ σπορᾶς ἕνεκα τέκνων καὶ τοῦ διαιωνίσαι τὸ 113
γένος συνέρχονται γυναιξὶν ἀλλὰ θηρώμενοι συῶν ἢ τράγων τρόπον τὴν
ἐξ ὁμιλίας ἀπόλαυσιν· μισάνθρωποι δὲ τίνες ἂν εἶεν μᾶλλον ἢ οἱ τῶν

---

1 ἀπειληφότων om. S   2 ὃν] ὃς F   τῆς om. F   3 ἀγαγεῖν F   ἐοικὼς MGP, -ὸς ex -ὼς corr. H^{1} 4 ἄνεσιν] ἄφεσιν conicio   5. 6 ἀπηγορεύεται (sic) Richt. Tauchn.   6 ἄλλων om. S   8 ἢ ante τῶν καιρῶν add. F   καιρῶν] ἐτῶν S   ἀποκριθέντος AH^{2} μὴ] μηδὲ F   9 ἐπιβολῆς coni. Mang.   πάθη G   10 προπεμφέντος (sic) A   11 ἐνίησιν A   ἐξ ὕδατος (γῆς καὶ om.) AH^{2} 12 παρεχομένου F   13 δὲ S: δ᾽ ceteri   14 τὰ ⟨ἀπὸ⟩ πάντων coni. Mang., τὰ ἀπαντῶντα Wendl.   μεγάλῳ βασιλεῖ F: βασιλεῖ μεγάλῳ ceteri (v)   15 ὡς ἂν] ὡς S   δορυφορῶν MP   ὅσ᾽ $MGH^{1}P$ 16 οὖν SFG: γοῦν ceteri (v)   17 τροφῆς $H^{1}P$ (Turn.)   μηδὲ ἑνὸς F, μηδεμιᾶς AH^{2} 18 αὑτῶν v: ἑαυτῶν MAH^{2}, αὐτῶν ceteri   20 μὲν om. S   εἰ SF: ὅτι M,   οἳ ceteri (v)

---

5 cf. *Hecat. Abder. ap. Diodor. Bibl. XL 3,8* τεκνοτροφεῖν τε ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας· καὶ δι᾽ ὀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν, ἀεὶ τὸ γένος τῶν Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον. *Ioseph. c. Ap. II § 202* τέκνα τρέφειν ἅπαντα προσέταξεν καὶ γυναιξὶν ἀπεῖπεν μήτ᾽ ἀμβλοῦν τὸ σπαρὲν μήτε διαφθείρειν. *Tacit. Histor. V 5* augendae tamen multitudini consulitur; nam et necare quemquam ex agnatis nefas . . . putant.

γεννηθέντων ἐχθροὶ καὶ ἀμείλικτοι δυσμενεῖς; εἰ μή τις οὕτως ἐστὶν
ἠλίθιος, ὡς ὑπολαβεῖν ὅτι πρὸς τοὺς ἀλλοτρίους ἔνσπονδοι γένοιντ' ἂν
114 οἱ τοὺς ἡνωμένους κατὰ γένος ἔκσπονδα εἰργασμένοι. τάς γε μὴν
ἀνδροφονίας καὶ τεκνοκτονίας ἐναργεστάταις βεβαιοῦνται πίστεσιν οἱ μὲν
αὐτόχειρες γινόμενοι καὶ τὴν πρώτην εἰσπνοὴν τῶν βρεφῶν πιέζοντες
καὶ ἀναθλίβοντες ὑπὸ ὠμότητος καὶ δεινῆς ἀναλγησίας, οἱ δὲ εἰς ποταμὸν
ἢ θαλάττης βυθὸν ἀφιέντες, ὅταν ἀπαιωρήσωσιν ἄχθος, ἵνα θᾶττον
115 τῷ βάρει καταφέρηται· οἱ δ' ἐπ' ἐρημίαν κομίζουσιν ἐκθήσοντες, ὡς
μὲν αὐτοί φασιν, ἐλπίδι σωτηρίας, ὡς δὲ τἀληθὲς ἔχει, πρὸς ἀνια-
ροτάτας συμφοράς· ὅσα γὰρ ἀνθρωπίνων σαρκῶν ἅπτεται θηρία, μηδενὸς
ἀνείργοντος, ἐπιφοιτᾷ καὶ εὐωχεῖται τῶν βρεφῶν, καλῆς θοίνης, ἣν οἱ
μόνοι κηδεμόνες καὶ πρὸ τῶν ἄλλων σῴζειν ὀφείλοντες, πατὴρ καὶ μήτηρ,
προὔθεσαν· καὶ τὰ λείψανα μέντοι προσεπιλιχμῶνται τῶν οἰωνῶν οἱ
σαρκοβόροι καταπτάντες, ὅταν μὴ προαίσθωνται· αἰσθόμενοι γὰρ καὶ
116 περὶ τῶν ὅλων πρὸς τοὺς χερσαίους θῆρας κονίονται. φέρε δ' οὖν
| τῶν ὁδῷ παριόντων τινὰς ἡμέρῳ κινηθέντας πάθει λαβεῖν οἶκτον καὶ p. 319 M
ἔλεον τῶν ἐκτεθέντων, ὡς ἀνελέσθαι τε καὶ τροφῆς μεταδοῦναι καὶ τῆς
ἄλλης ἐπιμελείας ἀξιῶσαι· ταυτὶ τὰ οὕτως χρηστὰ ἔργα τί νομίζομεν;
ἆρ' οὐ τῶν γεννησάντων εἶναι καταδίκην, εἴ γ' οἱ μὲν ἀλλότριοι τὰ
γονέων, οἱ δὲ γονεῖς οὐδὲ τὰ τῶν ἀλλοτρίων εἰς εὔνοιαν ἐπετήδευσαν;

---

1 καὶ ἀμείλικτοι δυσμενεῖς SFM: καὶ om. ceteri; ἀμείλικτοι δ' εὐμενεῖς Turn., ἀμείλικτοι καὶ δυσμενεῖς Mang. 2 γένοιτ' FAH^2 3 ἡνωμένους] γεννωμένους S ἄσπονδα SM μὴν om. H^{1}P, ss. P^2 4 ἀνδροκτονίας S ἐνεργεστάταις S βεβαιοῦνται] ποιοῦνται M 5 γενόμενοι F ἐμπνοὴν S εἰσπιέζοντες F 6 ἐναποθλίβοντες AH^2 ὑπ' AH^2 δεινῆς ἀναλγησίας F: ἀναλγησίας δεινῆς (πολλῆς G) ceteri (v) 7 ἢ θαλάττης] καὶ θαλάσσης H^{1}P (v) ἐπαιωρήσωσιν S δι' ἄχθος AH^2 8 τῷ βάρει S: ἡ ὁλκὴ τῷ βάρει ceteri (v) δὲ AH^{2}G 9 τἀληθῆ AH^2 9. 10 ἀνιαροτάτας S: ἀνιατωτέρας (sic) F, ἀνιερωτέρας M, ἀνιαρωτέρας ceteri 10 ἀνθρωπίνων σαρκῶν S: σαρκῶν ἀνθρωπίνων ceteri (v) ἅπτεσθαι MH^{1}P, εἴωθεν ἅπτεσθαι AH^2 12 κηδαιμόνες S πατὴρ καὶ μήτηρ SA: μήτηρ καὶ πατὴρ ceteri (v) 13 προὔθησαν F προσεπιλιχμῶνται MGH^{1}P: προσεπιλιχνῶνται S, προσεπιλικμῶνται FAH^2 corr. H^1 (v) τῶν F: αὐτῶν ceteri (v) οἰωνῶν οἱ] οἰωνοὶ S, οἰωνῶν om. AH^2 14 αἰσθόμενοι SM: αἰσθανόμενοι ceteri (Turn.) 15 περὶ τῶν ὅλων Mang.: πρὸ τῶν ὁδῶν SM, τῶν ὅλων ceteri κονιοῦνται SM δ' οὖν] δὴ AH^2 16 ὁδῷ παριόντων] ὁδοιπορούντων AH^2 ⟨ἐν⟩ ὁδῷ conicio τινὰς . . . κινηθέντας F: τινὰ . . . κινηθέντα ceteri (v) ἡμέρων AH^2 οἶκτον τινὰ M 18 ταυτὶ] ταῦτ' εἰ S οὕτως SF: οὕτω ceteri ἔργα om. AH^2 τί νομίζομεν SFL^2: νομιζόμενα ceteri 19 καταδίκην scripsi: καταδίκη F, καταδίκας ceteri (v) εἴ γ'] εἰ γὰρ S, εἴθ' F 20 τὰ SF: τὴν ceteri (v) εἰς εὔνοιαν SF: εὔνοιαν MAH^2 (Mang.), πρόνοιαν GH^{1}P (Turn.)

πόρρωθεν οὖν τὴν βρεφῶν ἔκθεσιν ἀπεῖπε δι' ὑπονοιῶν θάνατον, ὡς 117
ἔφην, ὁρίσας κατὰ τῶν αἰτίων ἀμβλώσεως τὰ μεμορφωμένα ἤδη κυϊσκού-
σαις· καίτοι τὰ μὲν ἔτι κατὰ γαστρὸς προσεχόμενα τῇ μήτρᾳ τῶν
κυουσῶν εἶναι μέρη λέγεται παρά τε φυσικοῖς ἀνδράσιν, οἷς ὁ θεωρη-
τικὸς διαπονεῖται βίος, καὶ παρὰ ἰατρῶν τοῖς δοκιμωτάτοις, οἳ τὴν
ἀνθρώπου κατασκευὴν διηρεύνησαν τά τ' ἐν ὄψει καὶ τὰ ἀφανῆ μετ'
ἐπιμελείας ἐξ ἀνατομῆς ἀκριβώσαντες, ἵν', εἰ χρεία τις γένοιτο θεραπείας,
μηδὲν ἀγνοίᾳ παρολιγωρηθὲν αἴτιον μεγάλου κινδύνου γένηται. τὰ δ' 118
ἀποχυηθέντα τῆς τε συμφυΐας ἀπέζευκται καὶ διυφειμένα καθ' αὑτὰ
ζῷα γέγονεν οὐδενὸς ἐπιδεᾶ τῶν ὅσα συμπληρωτικὰ τῆς ἀνθρωπίνης
φύσεώς ἐστιν, ὥστε ἀνενδοιάστως ἀνδροφόνον εἶναι τὸν βρέφος ἀναιροῦντα,
τοῦ νόμου μὴ ἐπὶ ταῖς ἡλικίαις ἀλλ' ἐπὶ τῷ γένει παρασπονδουμένῳ
δυσχεραίνοντος. εἰ μέντοι καὶ ἡλικιῶν ἔδει προμηθεῖσθαι, δοκεῖ μοί 119
τις ἂν δεόντως ἀγανακτῆσαι μᾶλλον ἐπὶ τοῖς ἀναιροῦσι βρέφη· πρὸς μὲν
γὰρ τοὺς τελείους μυρίαι προφάσεις εὔλογοι προσκρουσμάτων τε καὶ
διαφορῶν, τοῖς δὲ κομιδῇ νηπίοις ἄρτι παρεληλυθόσιν εἰς φῶς καὶ τὸν
ἀνθρώπινον βίον οὐδ' ἐπιψεύσασθαι κατηγορίαν ἀκακωτάτοις οὖσιν ἐνδέ-
χεται. διὸ πάντων ὠμότατοι καὶ ἀνηλεέστατοι κριθεῖεν ἂν οἱ ἐπαπο-
δυόμενοι ταῖς τούτων ἐπιβουλαῖς, οὓς ἐχθαίρων ὁ ἱερὸς νόμος ἐνόχους
ἀπεφήνατο.

---

1 τὴν τῶν βρεφῶν AH^{2} 2 ταῖς ante τὰ μεμορφωμένα add. AH^{2}, ss. P^{2} ἤδη] εἴδη N 2. 3 κυϊσκούσης SF (sed in S η in ras.), κυούσαις AH^{2}, εὑρισκούσης N 3 προσεχόμενα SMFN: παρεχόμενα GH^{1}P^{1} (v), συνεχόμενα AH^{2}P^{2} 4 λέγεται μέρη transp. N φυσικοῖς SMFNL^{2}: θεωρητικοῖς ceteri 5 παρὰ SF: παρ' ceteri 6 διερευνήσαντες FN τά τ' om. FN τὰ ἀφανῆ SFN: τἀφανῆ ceteri μετ'] δι' AH^{2} 7 γένοιτό τις transp. S γένητο (ο in ras.) F 8 αἴτιον] αἰτία S 9 διυφειμένα (η supra) FN, διυφειμένα M, διυφημένα S; ὑφειμένα conicio, διαφειμένα coni. Mang. 10 πληρωτικὰ AH^{2}H^{1}P 11 ἐστὶ φύσεως transp. M ὥστε SFN: ὥστ' ceteri ἀνενδυάστως S 12 γένει] γε FN παρασπονδουμένῳ] τοῦ παρασπονδουμένου AH^{2}P (Mang.) 13 δυσχεράναντος FN 14 μᾶλλον om. N 15 εὐλόγων AH^{2} προσκρουσμάτων S: προσκρου F^{1}, προσκρούονται F^{2}, προσκρουμάτων ceteri τε om. N 16. 17 εἰς βίον τὸν ἀνθρώπινον καὶ εἰς φῶς AH^{2} 17 οὐδ'] οὓς FN ἐπιψαύσασθαι SFN ἀκακωτάτοις SFN: ἀκακώτοις ceteri (v) 17. 18 οὐκ ante ἐνδέχεται ss. F^{2} 18 πάντων ὠμότατοι SMFN: πᾶσιν εἶναι φαυλότατοι ceteri 19 ταῖς κατὰ τούτων ἐπιβολαῖς coni. Mang. οὓς ἐχθαίρων FNG: οὓς ἔχεται θαρρῶν S, οἷς ἐχθραίνων ceteri (Turn.) 20 ἀπεφήνατο SFN: ἀπέφηνε θανάτου MGH^{1}P (v), θανάτου ἀπέφηνε AH^{2}

1—20 N fol. 159^{r}: πόρρωθεν — ἀπεφήνατο.

Περὶ ἀκουσίου φόνου.

120 (21.) Τὸν μὴ ἑκουσίῳ γνώμῃ τοῦ κτείναντος ἀναιρεθέντα φησὶν
ὁ ἱερὸς νόμος παραδεδόσθαι ὑπὸ θεοῦ χερσὶν ἀνδροφόνοις (Exod. 21,13),
τῇ μὲν ἀπολογούμενος ὑπὲρ τοῦ δόξαντος ἀνελεῖν ὡς ἔνοχον ἀνελόντος —
121 μὴ γὰρ ἄν ποτε τὸν ἵλεω καὶ συγγνώμονα θεὸν ἐπ' ἀναιρέσει τόν γε
ἀναίτιον ἐκδοῦναι, ἀλλ' ὅστις τὰς μὲν παρὰ ἀνθρώποις κρίσεις εὐμη-
χάνως ἕνεκα τοῦ πολυτρόπου διαδιδράσκει, πρὸς δὲ τὸ τῆς φύσεως
ἀχθεὶς ἀφανὲς δικαστήριον ἑάλω, ἐν ᾧ μόνῳ τἀληθὲς ἀκραιφνέστατον
ὁρᾶται, λόγων τέχναις οὐκ ἐπισκιαζόμενον, οὐδὲ γὰρ λόγους τὴν ἀρχὴν
παραδέχεται βουλήματα ἀπαμπίσχον καὶ διανοίας ἀφανεῖς εἰς τοὐμφανὲς
ἄγον —, τῇ δὲ καὶ τὸν ἀνελόντα φόνῳ μὲν οὐ ποιῶν ὑπόδικον ἅτε θείᾳ
κρίσει δόξαντα ὑπηρετῆσαι, μιάσματι δὲ ἀδηλουμένῳ καὶ βραχεῖ πάντως,
122 ὃ παραιτητὸν καὶ | συγγνωστόν ἐστι. χρῆται γὰρ ὁ θεὸς τοῖς ὀλίγα καὶ p. 320 I
ἰάσιμα διαμαρτάνουσι κατὰ τῶν μέγιστα καὶ ἀνίατα ἠδικηκότων ὑπηρέ-
ταις κολάσεως, οὐκ ἐκείνους ἀποδεχόμενος, ἀλλ' ὡς ἂν ὄργανα παρα-
λαμβάνων ἐπιτήδεια πρὸς τιμωρίαν, ἵνα μηδεὶς ὅλῳ βίῳ καθαρὸς ὢν
123 καὶ ἐκ καθαρῶν φόνου, κἂν δικαιότατος ᾖ, προσάψηται. φυγὴν οὖν
κατὰ τοῦ κτείναντος ἀκουσίως ὥρισεν, οὐχ ὅπῃ τύχοι οὐδ' εἰς ἀεί·

1 tit. περὶ ἀκουσίου φόνου add. SF mg M, περὶ ἀκουσίου mg H^1P 2 μὴ ἑκουσίῳ SF: ἀκουσίῳ ceteri (v) 2. 3 φησὶν ὁ ἱερὸς νόμος] φησὶ μωσῆς F 3 παραδεδόσθαι post ἀνδροφόνοις transp. F ὑπὸ F: ἀπὸ ceteri (v) 4 δοξάσαντος G 5 ἵλεων GH^1P (v) εὐγνώμονα M 5. 6 τόν γε ἀναίτιον S: τινὰ τῶν ἀναιτίων ceteri (v) 6 παρὰ SH^1P: παρ' ceteri 8 μόνῳ om. S ἀκραιφνέστατον FL^2: ἐμφανέστατον A, ἐκφανέστατον ceteri 9 λόγους] λόγω AH^2 10 βουλήματα SFM: βουλήματ' ceteri ἀπαμπίσχον F: ἀπαμφισκον S (ά τα ss. m. 2), ἀπαμφιάσκον M Barb., ἀπαμφίσκον ceteri (v) ἐννοίας ἀφανεῖς vel τὰ διανοίας ἀφανῆ coni. Mang. τοὐμφανὲς S: τοὐμφανέστατον ceteri (v) 11 ἄγον S (τα ss. m. 2) φόνου F^2 11. 12 κρίσει θεία transp. FAH^2 12 δόξαντα FM: δόξαντ' H^1P (v), δόξανθ' GAH^2 Barb., δοξάσαντα S δὲ SF: δ' ceteri ἀδηλουμένῳ] ἀβουλήτῳ coni. Mang. 13 θεὸς] ἔλεος F 14 ἰάσιμ' GH^1P (Barb.), μικρὰ S διαμαρτάνουσι FL^2: ἁμαρτάνουσι ceteri μέγιστα SH^1: τὰ μέγιστα ceteri (v) ἀνίατα SFAH^2: ἀνίατ' ceteri 15 ὡς ἂν] ὡς ἔστιν AH^2 16 τιμωρίαν FL^2: τιμωρίας ceteri 17 ἐκ καθαροῦ G ᾖ om. M 18 κτείνοντος S οὐχ S: οὔθ' ceteri (v) ὅποι M τύχοι FM: τύχη ceteri (τύχῃ v) οὐδ'] οὔτ' F εἰς ἀεί F: ἐσαεί ceteri (v)

2—185,7 Catena Barber. IV 56 fol. 134r φίλωνος ἑβραίου ἐν τῷ περὶ εὐσεβείας λόγῳ: τὸν ἀκουσίῳ γνώμῃ — ὑποληπτέον.

πόλεις μὲν γὰρ ἓξ ἀπένειμεν, ὀγδόην μοῖραν ὧν ἔλαχεν ἡ ἱερωμένη
φυλή, τοῖς ἁλοῦσιν, ἃς ἀπὸ τοῦ συμβεβηκότος ὠνόμασε „φυγαδευτηρίων“·
χρόνον δὲ τῆς φυγῆς τὸν βίον τοῦ ἀρχιερέως προσενομοθέτησε κάθο-
δον μετὰ τὴν ἐκείνου τελευτὴν ἐπιτρέπων. (22.) αἰτία δὲ τούτου μὲν 124
προτέρα ἥδε· ἡ λεχθεῖσα φυλὴ τὰς πόλεις εἴληφεν ἆθλον ἀνδροφονίας
εὐαγοῦς, ἣν ἀριστειῶν ὅσαι πώποτε γεγόνασιν ἐπιφανεστάτην καὶ μεγίστην
ὑποληπτέον. ἡνίκα γὰρ ὁ προφήτης εἰς τὸ περιμηκέστατον καὶ ἱερώτατον 125
τῶν κατ᾽ ἐκεῖνον τὸν τόπον ὀρῶν ἀνακληθεὶς ἐθεσπίζετο τὰ γένη τῶν
ἐν εἴδει νόμων καὶ πλείους ἦν ἀφανὴς ἡμέρας, οἱ μὴ τὰς φύσεις εἰρη-
νικοὶ τῶν ἐξ ἀναρχίας κακιῶν πάντα κατέπλησαν καὶ τέλος προσέθηκαν
ἀσέβειαν· τὰς μὲν ἀρίστας καὶ καλὰς ὑφηγήσεις περὶ τῆς τοῦ ὄντως
ὄντος θεοῦ τιμῆς χλευάσαντες, ταῦρον δὲ κατασκευασάμενοι χρυσοῦν,
Αἰγυπτιακοῦ μίμημα τύφου, θυσίας ἀνῆγον ἀθύτους καὶ ἑορτὰς ἀνεόρ-
τους καὶ χοροὺς ἀχορεύτους ἐπετέλουν σὺν ᾠδαῖς καὶ ὕμνοις ἀντὶ
θρήνων. ἡ δὲ λεχθεῖσα φυλὴ πάνυ χαλεπῶς ἐνεγκοῦσα τὴν αἰφνίδιον 126
ἐκδιαίτησιν καὶ ζήλῳ πυρωθεῖσα διὰ μισοπόνηρον πάθος, ὑπόπλεῳ
πάντες ὀργῆς, μεμηνότες, ἐνθουσιῶντες, ὡς ἀφ᾽ ἑνὸς συνθήματος ὁπλι-
σάμενοι, διττὴν μεθύοντας μέθην, τὴν μὲν ἀσεβείᾳ, τὴν δὲ οἴνῳ, μάλα

1 ἓξ ἀπένειμεν] ἔξα μὲν (sic) F ὧν] τῶν ὧν M 2 φυγαδευτηρίων scripsi: φυγαδευτήριον SFL^1, φυγαδευτηρίου AH^{2}GP, τοῦ φυγαδευτηρίου M, φυγαδευτήρια H^{1}L^2 (v) 4. 5 τούτου μὲν προτέρα F: τοῦ μὲν προτέρου ceteri (v) 5 ἡ om. S τὰς πόλεις εἴληφεν] ἧς αἱ πόλεις SF 6 ἐναγοῦς A ἀριστιῶν S πώποτε] ποτε A μεγίστην καὶ ἐπιφανεστάτην transp. G 7 ὁ προφήτης] μωσῆς F, ὁ μωσῆς AH^2, ὁ πρεσβύτερος G 8 τῶν SFL: ὅρος AH^2, om. MGH^{1}P ἱερῶν GPL (sic v), ὀρῶν om. AH^2 ἀνακλιθεὶς M ἐθεσπίζετο γὰρ L (Turn.) τὰ γένη] τά γε F 9 πλείους ἦν] πλείουσιν S ἀφανεῖς SAH^2 9. 10 εἰρηνικοὶ] ἑρμαῖοι coni. Mang. 10 κακιῶν scripsi: κακῶν codd. (v) κατέπρησαν S προσέθηκαν — περὶ τῆς (11) om. G προσεπέθηκαν F 11 τῆς om. Richt. 11. 12 ὄντος ὄντως GH^{1}P, ὄντως om. F 12 χλευάσαντες τιμῆς transp. M, τιμῆς om. S χρυσοῦν] χαλκοῦν F 13 καὶ αἰγυπτιακοῦ S ἀνήγαγον S καὶ ἵστωσαν (sic) ἑορτὰς S, unde Mang. coni. καὶ ἵστασαν ἑορτὰς coll. *de vita Mos. II § 162* 14 ὕμνους S 15 πάνυ] πάλιν F χαλεπῶς] κακῶς S ἐνεγκοῦσα SF: ἐνέγκασα ceteri (v) 16 πειρωθεῖσα F^1, corr. F^2 πάθος om. M ὑπόπλεω S: ὑπόπλεοι ceteri (v) 17 πάντες om. F μεμηνότες S: om. ceteri (v) 17. 18 ὡπλισμένοι F 18 διττὴν] διὰ τὴν S μεθύοντας F^{2}MP: μεθύοντες F^{1}AH^{2}GH^1, om. S τῇ bis S εὐσεβείᾳ H^{1}H^2 ἀσεβείας et οἴνου voluit Mang., sed cf. *de vit. Mos. II § 162*

1 Num. 35,6. 11—15. Deut. 4,42. cf. *Ioseph. Ant. Iud. IV § 172* 3 Num. 35, 32. 28. 7 sqq. Exod. cap. 32.

καταφρονητικῶς ἐπιστροφάδην ἀνῄρουν, ἀπὸ τῶν οἰκειοτάτων καὶ φιλτάτων
ἀρξάμενοι, φίλον καὶ συγγένειαν ἓν τὸ θεοφιλὲς εἶναι νομίζοντες· καὶ
βραχεῖ μέρει ἡμέρας τέσσαρες πρὸς ταῖς εἴκοσι χιλιάδες ἀνῃρέθησαν,
ὧν αἱ συμφοραὶ τοὺς συναπονοεῖσθαι μέλλοντας ἐνουθέτησαν, δέει τοῦ
127 μὴ τὰ παραπλήσια παθεῖν. ταύτην τὴν στρατείαν ἐθελουργὸν καὶ αὐτο-
κέλευστον ὑπὲρ εὐσεβείας καὶ ὁσιότητος τῆς εἰς τὸν ὄντως ὄντα θεὸν
γενομένην οὐκ ἄνευ μεγάλων κινδύνων τοῖς ἀραμένοις τοὺς ἀγῶνας αὐτὸς
ὁ πατὴρ τῶν ὅλων ἀπεδέξατο καὶ τοὺς ἀνελόντας δικάσας παρ' αὐτῷ
καθαροὺς εἶναι παντὸς ἄγους | καὶ μιάσματος ἱερωσύνην τῆς ἀνδραγαθίας p. 321
128 τούτοις ἀντιδωρεῖται. (23.) τὸν οὖν ἀκούσιον δράσαντα φόνον κελεύει
φυγεῖν εἰς ἐνίας ὧν ἔλαχον οὗτοι πόλεις ἕνεκα παρηγορίας καὶ ὑπὲρ
τοῦ μὴ ἀπογινώσκειν τὴν εἰς ἅπαν ἀσφάλειαν, ὑπομιμνησκόμενον ἐκ
τοῦ τόπου τὸ ἄφοβον καὶ λογιζόμενον, ὅτι τοῖς ἑκουσίως ἀπεκτονόσιν
οὐ μόνον ἀμνηστία δέδοται ἀλλὰ καὶ γέρα μεγάλα καὶ περιμάχητα καὶ
πολλῆς εὐδαιμονίας, εἰ δὲ τούτοις, πολὺ μᾶλλον τοῖς μὴ ἐκ προνοίας
ἀνελοῦσιν, εἰ καὶ μηδὲν τῶν ἐπὶ τιμῇ, ἀλλ' αὐτὸ γοῦν τὸ πανύστατον,
μὴ ἀνταναιρεθῆναι· δι' οὗ παρίσταται τὸ μὴ πᾶσαν ἀνδροφονίαν ἐπί-
ληπτον ἀλλὰ τὴν σὺν ἀδικίᾳ μόνην εἶναι, καὶ τῶν ἄλλων ἐπαινετὴν

---

1 τῶν codd.: om. v 2 φίλον καὶ συγγένειαν] φίλων καὶ συγγγενειῶν F^1 (ει eras. F^2): φίλων καὶ συγγενῶν v ἓν] καὶ υἱὸν AH^2 ἓν τὸ] ἐν τῷ S 3 τέσσαρες SF^2 (τέσσαρσιν F^1): τέτταρες ceteri 4 συναπονοεῖσθαι SFL^2: ἀπονοεῖσθαι ceteri δέει] πλέον S 6 ὁσιότητος καὶ εὐσεβείας F τῆς Mang.: τὴν codd. ὄντως ὄντα SAH^2: ὄντα ὄντως ceteri 7 κινδύνων] ἀγώνων S τοῖς ἀραμένοις SFL^2: τοὺς ἀραμένους ceteri 8 παρ' αὐτῶ SF (αὐτῷ scripsi): παραυτὰ ceteri; παραυτίκα coni. Mang. 9 καθαροὺς om. M ἀνδραγαθίας SF: ἀνδρείας MAH^{2}P, ἀνδρίας GH^1 (Turn.) 10 δωρεῖται F φόνον om. SF 11 φυγὴν M, φεύγειν S ὑπὲρ S: om. ceteri (v) 12 τὴν om. SM εἰς ἅπαντας L (Turn.) ὑπομιμνησκόμενος F^1, corr. F^2 13 καὶ om. Turn. ἀκουσίως F ἀπεκτονοῦσιν P, ό ex οῦ corr. H^1, ἀποκτείνουσιν S 14 ἀμνηστεία S Barb. δέδοται F: δίδοται ceteri καὶ μεγάλα M 15 πολλῆς εὐδαιμονίας SF: πόλεις εὐδαιμονίας ceteri; πολλὴ εὐδαιμονία v; πολλῆς εὐδαιμονίας ⟨μεστὰ⟩ vel ⟨γέμοντα⟩ conicio πολλῶ F, μᾶλλον πολὺ transp. AH^2 μὴ om. GP^1 16 ἀναιροῦσιν (sic) A, ἀναιροῦσιν H^2 (μελ above) εἰ καὶ] καὶ εἰ S ἀλλ' αὐτό γ' οὖν τὸ πᾶν ὕστατον S: ἀλλὰ τὸ γοῦν πανύστατον ceteri (v) 17 pr. μὴ] τὸ μὴ M

3—188,19 pergit Catena Barber. IV 56: εἶτα διεξιὼν τῶν Λευιτῶν τὸν ζῆλον, ὃν ἐνεδείξαντο ἐπ' ἀναιρέσει τῶν μοσχοποιησάντων βραχεῖ μέρει ἡμέρας τέσσαρας πρὸς τὰς (sic) εἴκοσι χιλιάδας τῶν ὁμογενῶν ἀνελόντες, ἐπάγει· τὸν οὖν ἀκούσιον δράσαντα φόνον (10)— θάνατον κατέγνω. 3 τέσσαρες πρὸς ταῖς εἴκοσι χιλιάδες: *de vit. Mos. II § 172* ἀναιροῦσιν ἡβηδὸν εἰς τρισχιλίους (Exod. 32,28).

μὲν τὴν κατὰ πόθον καὶ ζῆλον ἀρετῆς, οὐ ψεκτὴν δὲ τὴν ἀκούσιον.
ἥδε μὲν αἰτία προτέρα λελέχθω, δευτέραν δ᾽ αὐτίκα μηνυτέον· βούλεται 129
ὁ νόμος τὸν ἀκουσίως ἀποκτείναντα διασῴζειν, εἰδὼς γνώμῃ μὲν οὐκ
ἔνοχον χερσὶ δὲ ὑπηρετήσαντα τῇ τῶν ἀνθρωπίνων ἐφόρῳ δίκῃ πραγμάτων· ἐφεδρεύουσι γὰρ ἐχθροὶ φονῶντες οἱ τοῦ τεθνεῶτος ἀγχιστεῖς,
οἳ δι᾽ ὑπερβάλλοντα οἶκτον καὶ πένθος ἀπαρηγόρητον ἵενται πρὸς ἄμυναν
ἀλόγῳ φορᾷ τἀληθὲς καὶ τὸ φύσει δίκαιον οὐκ ἐξετάζοντες. ἐπέτρεψεν 130
οὖν τῷ τοιούτῳ καταφεύγειν οὔτε εἰς ἱερὸν ἅτε μήπω κεκαθαρμένῳ
οὔτε εἰς ἠμελημένον καὶ ἀφανὲς χωρίον, ἵνα μὴ ῥᾳδίως ἐκδοθῇ καταφρονηθείς, ἀλλ᾽ εἰς ἱερόπολιν, ἥτις ἐστὶν ἱεροῦ καὶ βεβήλου τόπου μεθόριος, τρόπον τινὰ δεύτερον ἱερόν· αἱ γὰρ τῶν ἱερωμένων πόλεις σεμνότεραι
τῶν ἄλλων εἰσίν, ἐφ᾽ ὅσον, οἶμαι, καὶ οἰκήτορες οἰκητόρων ἐντιμότεροι·
βούλεται γὰρ τῇ τῆς ὑποδεξαμένης προνομίᾳ βεβαιοτάτην ἀσφάλειαν περιποιῆσαι τῷ καταφυγόντι. χρόνον δ᾽, ὡς ἔφην, ὥρισε τῆς καθόδου τὴν 131
τοῦ μεγάλου ἱερέως τελευτὴν αἰτίας ἕνεκα τοιᾶσδε· ὥσπερ ἑνὸς ἑκάστου
τῶν δολοφονηθέντων οἱ συγγενεῖς εἰσιν ἔφεδροι τῆς κατὰ τῶν δολοφονησάντων δίκης καὶ τιμωρίας, οὕτως καὶ τοῦ σύμπαντος ἔθνους συγγενὴς
καὶ ἀγχιστεὺς κοινὸς ὁ ἀρχιερεύς ἐστι, πρυτανεύων μὲν τὰ δίκαια τοῖς
ἀμφισβητοῦσι κατὰ τοὺς νόμους, εὐχὰς δὲ καὶ θυσίας τελῶν καθ᾽
ἑκάστην ἡμέραν καὶ τὰ ἀγαθὰ αἰτούμενος ὡς ὑπὲρ ἀδελφῶν καὶ γονέων
καὶ τέκνων, ἵνα πᾶσα ἡλικία καὶ πάντα μέρη τοῦ ἔθνους ὡς ἑνὸς σώματος
εἰς μίαν καὶ τὴν αὐτὴν ἁρμόζηται κοινωνίαν εἰρήνης καὶ εὐνομίας
ἐφιέμενα. τοῦτον οὖν εὐλαβείσθω πᾶς ὁ ἀκουσίως ἀνελὼν ὡς ὑπέρ- 132
μαχον καὶ προαγωνιστὴν τῶν ἀναιρεθέντων καὶ εἴσω τῆς πόλεως εἰς

---

1 μὲν om. G 2 ἥδε] ἡ δὲ Richt. Tauchn. δευτέραν SFH[1]: δεύτερον ceteri 3 οὐκ ἔνοχον γνώμῃ μὲν εἰδὼς transp. AH[2] γνώμης S 4 ἔνοχον] ἐναγῆ coni. Mang. δὲ S: δ᾽ ceteri τὴν . . . ἔφορον δίκην S[1], corr. S[2] ἀνθρωπίνων S: ἀνθρωπείων ceteri (v) 5 φονῶντες] φόνων τε F 6 οἳ om. H[2] διὰ τὸν βάλλοντα F[1], corr. F[2] ἵενται MAH[2] Barb.: ἵενται ceteri ἄμυναν mg H[1], ἄλογον in textu H[1] 8 τὸ τοιοῦτον A οὔτε SF: οὔτ᾽ ceteri κεκαθαρμένον M 9 οὔτε SF: οὔτ᾽ ceteri ἐμφανὲς F 10 ἀβεβήλου L[2] (Turn.) 10. 11 μεθόριον (sic) τόπου transp. M 12 οἰκήτορες] οἱ κτήτορες S 13 τῇ . . . προνομίᾳ SF: τὴν . . . προνομίαν ceteri (v) βεβαιοτέραν H[1]P (Turn.) 14 καταφεύγοντι SA 15 τοῦ om. GH[1]P (v) 16 οἱ συγγενεῖς F: οἱ om. ceteri (v) 16. 17 δολοφονηθέντων S 17 οὕτως καὶ S: οὕτως F, οὕτω ceteri (v) ἔθνους] γένους G 18 ὁ ἱερεὺς P ἐστι om. M πρυτανεύων μὲν] πρυτανεύομεν G 20 τὰ ἀγαθὰ SF: τἀγαθὰ M, τἀγάθ᾽ ceteri 21 πᾶσ᾽ GH[1]P Barb. πάντα μέρη Mang.: τὰ μέρη codd. 22 ἐς S ἁρμόζῃ S 23 ὁ om. S ἑκουσίως F 24 προαγωνιστὴν FL[2]: ἀγωνιστὴν ceteri

ἣν κατέφυγε κατακεκλείσθω, | μὴ ἐπιθαρρῶν ἔξω προέρχεσθαι τειχῶν, p. 322
133 εἰ δή τινα ποιεῖται λόγον ἀσφαλείας καὶ τοῦ ζῆν ἀκινδύνως. ὅταν οὖν λέγῃ „μὴ ἐπανίτω ὁ φυγάς, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας“, ἴσον τι τούτῳ φησίν· ἕως ἂν ἀποθάνῃ ὁ πάντων κοινὸς ἀγχιστεύς, ᾧ μόνῳ καὶ τὰ τῶν ζώντων καὶ τὰ τῶν τετελευτηκότων ἐφεῖται βραβεύειν.
134 (24.) τὴν μὲν οὖν καὶ νεωτέρων ἀκοαῖς ἐφαρμόζουσαν αἰτίαν τοιαύτην εἶναι συμβέβηκεν. ἣν δὲ πρεσβυτέροις καὶ τελείοις τὸ ἦθος θέμις ἀναφέρειν, ἥδ' ἐστί· τῶν μὲν ἑκουσίων ἀδικημάτων αὐτὸ μόνον ἰδιώτας καθαρεύειν ἐφείσθω, λεγέτω δ' εἰ βούλεταί τις καὶ τοὺς ἄλλους ἱερεῖς, ἀμφοτέρων δ' ἑκουσίων τε καὶ ἀκουσίων κατὰ τὸν ἐξαίρετον λόγον τὸν
135 ἀρχιερέα. προσάπτεσθαι γὰρ αὐτῷ μιάσματος τὸ σύνολον οὐ θεμιτόν, οὔτ' ἐκ προνοίας οὔτε κατὰ τροπὴν τῆς ψυχῆς ἀβούλητον, ἵνα ἱεροφάντης ὢν κοσμῆται καθ' ἑκάτερον, διανοίᾳ τε χρώμενος ἀνεπιλήπτῳ καὶ
136 εὐπραγίᾳ βίου, ᾧ μηδὲν ὄνειδος πρόσεστι. τῷ δὴ τοιούτῳ γένοιτ' ἂν ἀκόλουθον ὑποβλέπεσθαι καὶ τοὺς ἀκουσίως ἀπεκτονότας [οὐχ] ὡς ἐναγεῖς, ἀλλ' οὐχ ὡς καθαροὺς καὶ παντὸς ἀμετόχους ἁμαρτήματος, καὶ εἰ τὰ μάλιστα τοῖς τῆς φύσεως ὑπηρετῆσαι βουλήμασιν ἔδοξαν τισαμένης διὰ τούτων τοὺς ἀναιρεθέντας, ὧν ἀφανῶς αὔτη δικάσασα παρ' ἑαυτῇ θάνατον κατέγνω. (25.) ταῦτα μὲν ἐπ' ἐλευθέροις καὶ ἀστοῖς· ἑξῆς δὲ καὶ περὶ οἰκετῶν νομοθετεῖται βιαίως ἀναιρεθέντων.

---

1 κατέφυγε om. F μὴ ἐπιθαρρῶν codd. praeter S: μὴ πειθαρχῶν S: μηκέτι θαρρῶν v τειχῶν om. H¹ (Turn.) 2 δή] δέ S 3 φυγάς] φονεὺς S ἕως ἂν SF Barb.: ἂν om. ceteri (v) 4 τούτῳ] τοῦτο S post ἀποθάνῃ repet. ὁ ἱερεὺς ὁ μέγας H¹P (v) πάντων κοινὸς ἀγχιστεύς F: πᾶσι κοινῶς ἀγχιστεύων S, πάντων κοινὸς ἀγχιστεὺς ὢν ceteri (v) 5 ἐφίεται S (Mang.) 6 νεωτέραις AH² ἁρμόζουσαν S 7 ἣν S (Mang.): τὴν ceteri (v) ἡ θέμις M 8 ἥδ'] ἡ δὲ AH² ἐστίν S μὲν] μὲν οὖν A ἑκουσίων S (Mang.): ἀκουσίων ceteri ἀδικημάτων om. AH² 9 ἐφείσθω codd.: ἐφιέσθω Mang. βούλεται F: βούλοιτο ceteri (v) 10 ἀμφοτέρω S ἀκουσίων τε καὶ ἑκουσίων transp. AH² 11 τὸ σύνολον S: συνόλως ceteri (v) 12 τροπὴν SF: τρόπον ceteri (Turn.) ἵνα SF: ἵν' ceteri ἱεροφάντης] θεοῦ θεραπευτὴς F 13 κοσμεῖται S¹AH² ἑκάτερον] ἕτερον S τε] δὲ MGH¹P, τε om. Barb. 14 δὴ] δὲ AH² ἂν om. MGH¹P 15 ἀποβλέπεσθαι AH² ἀκουσίους P, ως ex ους corr. H¹, ἑκουσίως AH² ἀποκτείνοντας S οὐχ seclusi 16 οὐχ om. FH¹P (Turn.) καθαροὺς καὶ παντὸς SFL²: om. ceteri παντὸς] πάντως v ἀμετόχους H¹ alt. καὶ] κἂν coni. Mang. 17 τοῖς om. F ὑπηρετήσασθαι S τισαμένης] πεισαμένης F 18 αὔτη scripsi: αὐτή codd. (v) 19 ἀστοῖς] αὐτοῖς M, αὐτοῖς H¹P¹ 20 καὶ om. S

Κατὰ τῶν οἰκέτας κτεινόντων.

Θεράποντες τύχῃ μὲν ἐλάττονι κέχρηνται, φύσεως δὲ τῆς αὐτῆς 137 μεταποιοῦνται τοῖς δεσπόταις. τῷ δὲ θείῳ νόμῳ κανὼν τῶν δικαίων ἐστὶν οὐ τὸ τῆς τύχης ἀλλὰ τὸ τῆς φύσεως ἐναρμόνιον. διὸ προσήκει τοὺς κυρίους μὴ κατακόρως χρῆσθαι ταῖς ἐξουσίαις κατὰ τῶν οἰκετῶν, ἀλαζονείαν καὶ ὑπεροψίαν καὶ δεινὴν ὠμότητα ἐπιδεικνυμένους· ταῦτα γὰρ οὐκ ἔστι δείγματα ψυχῆς εἰρηνικῆς ἀλλ' ὑπὸ ἀκρασίας τὸ ἀνυπεύθυνον ζηλούσης κατὰ τυραννικὴν δυναστείαν. ὁ γὰρ τὴν μὲν ἰδίαν οἰκίαν 138 ὥσπερ ἄκραν ἐπιτειχίσας, παρρησίας δὲ τῶν ἔνδον μηδενὶ μεταδιδούς, ἀλλὰ πρὸς ἅπαντας ἠγριωμένος ὑπὸ τῆς ἐμφύτου τάχα δὲ καὶ ἐπιτετηδευμένης μισανθρωπίας, τύραννός ἐστιν ἐλάττοσι παρασκευαῖς χρώμενος. ἐξ ὧν διελέγχεται μὴ στησόμενος ἐπὶ τῶν αὐτῶν, εἰ μειζόνων λάβοιτο 139 χρημάτων· διαβήσεται γὰρ εὐθὺς ἐπὶ πόλεις τε καὶ χώρας καὶ ἔθνη τὴν αὐτοῦ πατρίδα προδουλωσάμενος εἰς ἔνδειξιν τοῦ μηδενὶ μέλλειν τῶν ἄλλων ὑπηκόων ἡμέρως προσφέρεσθαι. σαφῶς οὖν ὁ τοιοῦτος 140
323 M. ἴστω μὴ τὴν τοῦ συνεχῶς καὶ εἰς πολλοὺς ἁμαρτάνειν | ἄδειαν ἕξων· ἐναντιώσεται γὰρ ἡ μισοπόνηρος αὐτῷ δίκη, ἡ βοηθὸς καὶ ὑπέρμαχος τῶν ἀδικηθέντων, ἣ λόγον καὶ εὐθύνας αὐτὸν τῆς περὶ τοὺς πεπονθότας συμφορᾶς ἀπαιτήσει· κἂν ἄρα φάσκῃ πληγὰς ἕνεκα νουθεσίας ἐντεῖναι 141

---

1 tit. κατὰ τῶν οἰκέτας κτεινόντων F, περὶ τῶν οἰκέτας κτεινόντων SAH² mg M mg G: om. H¹P (v) 2 ἔλαττον GH¹P 3 θείῳ νόμῳ] θεῷ μόνῳ S τῶν δικαίων καὶ ἀδίκων F 4 pr. τῆς om. MGH¹P (v) τύχης] ψυχῆς F ἀλλὰ τὸ] ἀλλ' ἡ F ἐναρμόνιον AH²L: ἁρμονία F, ἁρμόνιον ceteri 5 κυρίως GH² χρήσασθαι AH² 7 ἔστιν εἰρήνης δείγματα ψυχῆς F ψυχικῆς G ὑπ' AH² ὑπὸ ἀκρασίας τὸ] αὐτοκρατῆ καὶ FN ἀνυπεύθυνον FN: ἀνεύθυνον ceteri (v) 8 ζηλούσης] κολαζούσης in ras. H¹ (Turn.) κατὰ τυραννικὴν om. FN ὁ γὰρ τὴν μὲν SFN: ὁ μὲν γὰρ τὴν ceteri (v) 9 ἀποτειχίσας F 10 ἅπαντα AH² ἠγριωμένος] ἐκκαιόμενος FN 11 ἐλάττοσι παρασκευαῖς χρώμενος FN: ἐλάττοσι παρασκευαῖς S, ἐν ἐλάττοσι παρασκευαῖς ceteri (v) παρασκευαῖς] περιγραφαῖς coni. Mang. 12 διελέγχεται FN: ἐλέγχεται ceteri (v) 13 χρημάτων] ἀφορμῶν coni. Mang. τε om. FN 13. 14 ἔθνη τὴν] θνητὴν S 14 αὐτοῦ] αὐτὴν H¹P, αὐτοῦ ceteri προδουλωσόμενος AH² (ο ex α corr. A) μέλλειν] μέλειν H¹, μᾶλλον AH² 15 ἡμέρας F¹, ἡμέρως F² 16 τὴν S: om. ceteri (v) εἰς] εἴοι (sic) F πολλὰ M ἕξων] ἐξ ὧν F 17 γὰρ] δὲ AH² alt. ἡ om. SF 18 ἣ] ἡ F 18. 19 περὶ . . . συμφορᾶς] πρὸς . . . διαφορᾶς coni. Mang. 19 ἀπαιτήσει συμφορᾶς transp. F ἀπαιτεῖ S κἂν—ἀνελεῖν (190,1) om. in textu H¹, add. mg H¹ εἵνεκα F νουθεσίας ἕνεκα transp. H² νομοθεσίας G ἐντεῖναι] ἐπανατεῖναι coni. Mang.

4—14 N fol. 159r: διὸ προσήκει—προδουλωσάμενος. 18 sqq. Exod. 21,20.

μὴ διανοηθεὶς ἀνελεῖν, οὐκ εὐθὺς βαδιεῖται γεγηθώς, ἀλλ' εἰς δικαστήριον ἀπαχθεὶς παρ' ἀκριβέσι λογισταῖς τῆς ἀληθείας ἐξετασθήσεται, πότερον ἑκὼν ἀπέκτεινεν ἢ ἄκων· κἂν ἐπιβεβουλευκὼς ἀνευρίσκηται γνώμῃ ἀνοσίῳ, θνῃσκέτω, μηδὲν παρόσον δεσπότης ἐστὶ κερδαίνων εἰς τὸ
142 σωθῆναι. ἐὰν δὲ μὴ εὐθὺς ἐκ τῶν πληγῶν οἱ τυπτηθέντες ἀναιρεθῶσιν, ἀλλὰ βιώσωσιν ἡμέραν μίαν ἢ καὶ δύο, μηκέθ' ὁμοίως ὁ δεσπότης ὑπόδικος ἔστω φόνου, πλεονέκτημα εἰς ἀπολογίαν πεπορισμένος τὸ μήτε παραχρῆμα τύπτων ἀνελεῖν μήθ' ὕστερον, ἔχων κατὰ τὴν οἰκίαν, ἀλλὰ ζῆν ἐάσας ὅσον βιοῦν οἷοί τε ἦσαν χρόνον, εἰ καὶ παντάπασιν ὀλίγον· χωρὶς τοῦ μηδένα οὕτως ἠλίθιον εἶναι, ὡς λυπεῖν ἕτερον ἐπιχειρεῖν, ἐν
143 οἷς αὐτὸς ἀδικηθήσεται. κτείνων δέ τις οἰκέτην πολὺ πρότερον ἑαυτὸν βλάπτει, ὑπηρεσιῶν τε ἃς παρὰ ζῶντος εἶχε στερόμενος καὶ τὴν τιμὴν ζημιούμενος καὶ πλείστην ἴσως. ἐὰν μέντοι θανάτου πεπραχὼς ἄξια τυγχάνῃ, πρὸς τοὺς δικαστὰς ἀγέτω καὶ δηλούτω τὸ ἀδίκημα, τοὺς νόμους κυρίους ποιῶν τῆς τιμωρίας ἀλλὰ μὴ ἑαυτόν.

Κατὰ ζῴων ἀλόγων ἃ παραίτια γίνεται θανάτου.

144 (26.) Ἐάν τινα ταῦρος ἀναπείρας ἀποκτείνῃ, καταλευέσθω — ἀσφαγὴς γὰρ ἱερείοις — καὶ ἄβρωτα ἔστω τὰ τούτου κρέα. διὰ τί; ὅτι τροφὴν ἢ προσόψημα τροφῆς ἀνθρώπων γίνεσθαι τὰ τοῦ κτείναντος ἄνθρωπον

1 οὐκ SF: οὐ γὰρ ceteri (Turn.); οὐκ ἄρα Mang. 2 ἀπαχθεὶς S: om. A, ἀχθεὶς ceteri (v) 3 εὑρίσκηται F 4 ἀνοσίῳ SF: ἀνοσίᾳ ceteri (v) 6 ἀλλὰ βιώσωσιν om. F in lac. δ' ἡμέραν F καὶ om. AH² μηκέθ' ὁμοίως S, μηκέτι ὁμοίως F: μηκέθ' (om. ὁμοίως) ceteri (v) 7 φόνου v: φόνῳ codd. (ω in ras. ex ου A) πλεονέκτημ' MGH¹P μήτε SF: μὴ ceteri (v) 8 ἔχειν S 9 βιοῦν F: βιωτὸν ceteri; βιῶναι v τε SF: τ' ceteri 11. 12 ἑαυτὸν βλάπτει F: κτείνει αὐτὸν S¹ (ἑαυτὸν S²), βλάπτει ἑαυτὸν ceteri (v) 12 τε F: om. ceteri (v) ζώντων S στερόμενος F: στερούμενος ceteri (v) 13 πλείστην ἴσως] πλεῖστον ἴσως F, πλείστων ὅσων S θανάτου πεπραχὼς ἄξια S: πεπραχὼς θανάτου ἄξια F, θανάτου ἄξια πεπραχὼς ceteri (v) 14 τυγχάνῃ SF: τυγχάνοι ceteri 15 ἑαυτῶν AH² 16 tit. κατὰ ζώων ἀλόγων ἃ παραίτια γίνεται θανάτου F: κατὰ ζώων ἀλόγων ἃ παραίτια θανάτου γίνεται: περὶ ταύρου ἀνδροφόνου S mg M, κατὰ ζώων ἀλόγων ἅπερ αἴτια γίνεται θανάτου ceteri (v) 17 ἐφεξῆς λέγει ante ἐάν add. AH² ἀναπήρας S ἀσφαγὴς AH²GH¹P: σφαγὴ F, ἀσφαγῆ SM (v); ἀπρεπὴς coni. Wendl. 18 ἐν ἱερείοις AH² (Mang.), ἱερείοις ὅσιον F ἄβρωτα SFM: ἄβρωτ' ceteri ἔστω] ἤτω F τὰ τούτου κρέα SMP: τούτου τὰ κρέα ceteri (v) κρέη (sic) AH² διὰ τί; ὅτι] διότι M 18. 19 ἢ προσόψημα τροφῆς om. S 19 ἀνθρώπων F: ἀνθρώπου S, ἀνθρώπῳ ceteri (v)

5sqq. Exod. 21,21. 17 Exod. 21,28. cf. *Ioseph. Ant. Iud. IV* § *281.*

οὐχ ὅσιον. ἐὰν δὲ ὁ τοῦ κτήνους κύριος ἄγριον εἰδὼς καὶ ἀτίθασον 145
μήτε καταδήσῃ μήτε κατακλείσας φυλάττῃ, τύχῃ δὲ καὶ παρ' ἑτέρων
πεπυσμένος ὅτι οὐκ ἔστι χειρόηθες, ἄφετον ἐάσας ἐκνέμεσθαι ὥσπερ
αἴτιος ὑπόδικος ἔστω· καὶ τὸ μὲν ἀναπεῖραν αὐτίκα θνῃσκέτω, ὁ δὲ
κύριος προσαναιρείσθω ἢ λύτρα καὶ σῶστρα κατατιθέσθω, τὸ δὲ δικα-
στήριον ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι διαγνώσεται. εἰ μέντοι δοῦλος ὁ
ἀναιρεθεὶς εἴη, τὴν τιμὴν ἐπανορθούσθω τῷ δεσπότῃ. ἐὰν δὲ μὴ 146
p. 324 M. ἄνθρωπον ἀλλὰ | κτῆνος ἀναπείρῃ, τὸ τεθνηκὸς ὁ τοῦ κτείναντος λαβὼν
δεσπότης τὸ ὅμοιον ἀποτισάτω, [διότι τὸ ἀνήμερον τοῦ ἰδίου προαισθανό-
μενος οὐκ ἐφυλάξατο· κἂν αὐτὸ μέντοι τὸ θρέμμα ἀλλότριον ἀνέλῃ,
πάλιν ὅμοιον ἀποτινέτω,] χάριν εἰδὼς ἐπὶ τῷ μὴ πλείονα ζημίαν ὑπο-
μένειν ἄρξας ἐπηρείας.

(27.) Ὀρύγματα γῆς εἰώθασί τινες εὖ μάλα βαθύνειν ἢ φλέβας 147
πηγαζούσας ἀναστέλλοντες ἢ πρὸς ὑποδοχὴν ὀμβρίου ὕδατος, εἶθ' ὑπο-
νόμους εὐρύναντες ἀφανεῖς, δέον τὰ στόμια ἢ περιοικοδομῆσαι ἢ περι-
πωμάσαι, κατά τινα δεινὴν ῥᾳθυμίαν ἢ φρενοβλάβειαν ἐπ' ὀλέθρῳ
τινῶν εἴασαν ἀχανῆ. ἐὰν οὖν τις τῶν ὁδῷ παριόντων μὴ προ- 148
αισθόμενος κατὰ κενοῦ ἐπιβὰς ἐνεχθῇ καὶ τελευτήσῃ, ἐπιγραφέσθωσαν
οἱ βουλόμενοι ὑπὲρ τοῦ τετελευτηκότος πρὸς τοὺς τὸ ὄρυγμα ποιησα-
μένους καὶ τιμάτω τὸ δικαστήριον ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι.

---

1 ἐὰν] κἂν F δὲ SF: δ' ceteri ἀτίθασον H[1], ἀττίθασον S: ἀτίθασσον ceteri 3 πεπευσμένος A χειρόηθες FM: χειροήθης ceteri (v) 3. 4 ὥσπερ αἴτιος SF: ὡς παραίτιος ceteri (v) 4 ἀνὰ πεῖραν FH[2], ἀναπῆραν M, πήραν S 5 ἢ προσ-αναιρείσθω F, προσαιρείσθω AH[2] καὶ] ἢ F, ἢ (καὶ ss.) A, ἢ καὶ H[2] κατατιθέσθω om. AH[2] 7 ἐπανορθούσθω F: ἐπανορθούτω ceteri μὴ] μηδ' F 8 ἀνασπείρῃ F[1], ἀναπήρῃ SM τὸ om. F 9 pr. τὸ om. F ἀποτινέτω F διότι — ἀποτινέτω (11) FL (v): om. ceteri; seclusi quippe interpolata 9. 10 προαισθόμενος coni. Mang. 11 ἀποτεινέτω F 11. 12 ὑπομεῖναι AH[2] 13 tit. περὶ ὀρυγμάτων add. S mg M γῆς] γὰρ AH[2] 14 ἀποδοχὴν F[1], ἀναδοχὴν S 14. 15 ὑπὸ νόμους A 15 post ἀφανεῖς add. ἢ προσόψημα τροφῆς S (v. sup. 190,18. 19) ἀφανεῖς, δέον τὰ] ἀφανῆ δὲ ὄντα F 15. 16 περιπωματίσαι F 17 εἰάσας (sic) S ⟨ἐν⟩ ὁδῷ conicio 18 ἐπιβὰς] προβὰς vel διαβὰς conicio ἐνεχθῇ] κατενεχθῇ coni. Mang. ἐπιγραφέσθωσαν FL[2]: ἐπιγραφέσαν (τω ss.) S (τω ss. S[2]), κρινέσθωσαν ceteri 19 οἱ βουλευόμενοι S 19 ὑπὲρ τοῦ τετελευτηκότος πρὸς AH[2]: ὑπὲρ om. MGH[1]P, omnia om. SF (fort. recte) τοὺς om. AH[2]

---

1 Exod. 21,29. 30. 6. 7 Exod. 21,32. 8 Exod. 21,36.

ἐὰν δὲ θρέμμα κατενεχθὲν ἀποθάνῃ, τὴν ἀξίαν τιμὴν ὡς ζῶντος ἐπανορθού-
149 σθωσαν τῷ δεσπότῃ τὸ νεκρὸν αὐτοὶ λαβόντες. ἀδελφὸν δὲ καὶ συγγενὲς
ἀδίκημα δρῶσι τῷ λεχθέντι καὶ ὅσοι κατασκευάζοντες οἰκίας ἰσόπεδα
καταλείπουσι τὰ τέγη, περιστεφανοῦν θωρακίοις δέον ὑπὲρ τοῦ μή τινα
καταχρημνισθῆναι λαθόντα· φόνον γάρ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, δρῶσι,
κἂν μηδεὶς ὑποσυρεὶς ἀποθάνῃ, τό γε ἐπ' αὐτοὺς ἧκον μέρος. κολα-
ζέσθωσαν οὖν ἐν ἴσῳ τοῖς ἀχανῆ τὰ στόμια τῶν ὀρυγμάτων κατα-
λείπουσι.
150 (28.) Λύτρα παρὰ ἀνδροφόνου, ὃν δέον τεθνάναι, διαγορεύει ὁ
νόμος μὴ ἐξεῖναι λαμβάνειν ἐπὶ μειώσει τῆς τιμωρίας ἢ ὑπαλλαγῇ
φυγῆς ἀντὶ θανάτου· αἵματι γὰρ αἷμα καθαίρεται, τῷ τοῦ κτείναντος τὸ
151 τοῦ ἐπιβουλευθέντος. ἐπεὶ δ' ὅρον οὐκ ἔχουσιν οἱ πονηροὶ τὰς φύσεις
τοῦ πλημμελεῖν, ἀλλ' ἀεὶ μεγαλουργοῦσι προσυπερβάλλοντες καὶ τὰς
κακίας ἐπιτείνουσι καὶ διαίρουσι πρὸς τὸ ἄμετρον καὶ ἀπερίγραφον,
μυρίους μὲν θανάτους, εἴπερ οἷόν τε ἦν, ὥρισεν ἂν κατ' αὐτῶν ὁ νομο-
θέτης· ἐπεὶ δὲ τοῦτ' οὐκ ἐνεδέχετο, τιμωρίαν ἄλλην προσδιατάττεται
152 κελεύων τοὺς ἀνελόντας ἀνασκολοπίζεσθαι. καὶ τοῦτο προστάξας ἀνατρέχει
πάλιν ἐπὶ τὴν αὐτοῦ φιλανθρωπίαν, ἡμερούμενος πρὸς τοὺς ἀνήμερα

1.2 ἐπανορθούσθωσαν SF: ἐπανορθούτωσαν ceteri (v) 2 τὸ] τὸν F λαμβάνοντες F tit. περὶ οἰκοδομῆς οἰκίας add. S mg M 3 τῷ προλεχθέντι S καὶ ὅσοι SF: καὶ om. ceteri (v) 4 καταλίπουσι S στέγη F περιστεφανοῦν θωρακίοις δέον] ἐπιστεφανοῦσθαι δίκαιον θωρακίοις AH² 6 γε SF: γ' ceteri αὐτοὺς F: αὐτοῖς ceteri (v) 7 οὖν SF: om. M, γοῦν ceteri (v) ἀχανῆ] ἀμηχανῆ G 7.8 καταλιποῦσι S 9 tit. περὶ τοῦ μὴ λαμβάνειν λύτρα παρὰ ἀνδροφόνου add. S mg M παρὰ S: παρ' ceteri ἀνδροφόνου ὃν F: ἀνδροφόνων οὓς ceteri (v) 10 ἐπὶ μείονι F ἢ om. F ἀπαλλαγῇ S (sed ἀ corr. ex ὑ) 11 φυγῆς] φυγὰς (sic) S, φυγὴν ἢ ἀτιμίαν ὁρίζοντας F 12 ἐπεὶ δ' ὅρον SFM: ἐπεὶ ὅρον A, ἐπεὶ κόρον ceteri (v) οἱ πονηροὶ om. AH²
ἐ ï
13 κακουργοῦσι SM (μεγαλουργοῦσι mg M) 14 ἐπιτείνουσι FL: ἀποτείνουσι H¹, ἀποτείνουσι ceteri ἀπερίγραπτον M 15 μὲν SFM: μὲν γὰρ ceteri (v) τε SF: τ' ceteri ὥρισε F (ὥρισεν ἂν scripsi): ἤνεγκεν ἂν ceteri (v) 16 διατάττεται S, προσδιαπλάττεται F 17 ἀνελόντας] ἀναιρεθέντας F 18 ἐπὶ F: πρὸς ceteri (v) αὐτοῦ SF (αὐτοῦ scripsi): ἑαυτοῦ ceteri (v)

1 Exod. 21,33.34. cf. *Ioseph. Ant. Iud. IV § 283* οἱ φρέαρ ἢ λάκκον ὀρύξαντες ἐπιμελὲς ποιείσθωσαν, ὥστε σανίδων ἐπιβολαῖς ἔχειν κεκλεισμένα, οὐχ ὅπως τινὲς εἴργοιντο ὑδρείας, ἀλλ' ἵνα μηδεὶς κίνδυνος ὡς ἐμπεσουμένοις ᾖ. (284) οὗ δ' ἂν εἰς ὄρυγμα τοιοῦτον μὴ κλειστὸν ἐμπεσὸν βόσκημά τινος διαφθαρῇ, τὴν τιμὴν αὐτοῦ τῷ δεσπότῃ καταβαλλέτω.
3 Deut. 22,8. cf. *Ioseph. l. l.* περιβαλλέσθω δὲ καὶ τοῖς στέγεσιν ἅπερ ὡς ἀντὶ τείχους ὄντα οὐκ ἐάσει τινὰς ἀποκυλισθέντας ἀπολέσθαι. 9 Num. 35,31.32.

εἰργασμένους, καί φησι· μὴ ἐπιδυέτω ὁ ἥλιος ἀνεσκολοπισμένοις, ἀλλ' ἐπικρυπτέσθωσαν γῇ πρὸ δύσεως καθαιρεθέντες. ἦν γὰρ ἀναγκαῖον τοὺς ἅπασι τοῖς μέρεσι τοῦ κόσμου πολεμίους μετεωρίσαντας εἰς τοὐμφανὲς ἐπιδείξασθαι μὲν αὐτοὺς ἡλίῳ καὶ οὐρανῷ καὶ ἀέρι καὶ ὕδατι καὶ M. γῇ | κολασθέντας, πάλιν δὲ εἰς τὸν νεκρῶν χῶρον ὑποσῦραί τε καὶ καταχῶσαι, ὅπως μὴ τὰ ὑπὲρ γῆν μιαίνωσι.

(29.) Παγκάλως μέντοι κἀκεῖνο διατέτακται, πατέρας ὑπὲρ υἱῶν 153 μὴ ἀποθνῄσκειν μηδ' υἱοὺς ὑπὲρ γονέων, ἀλλ' ἕκαστον τῶν ἄξια θανάτου δεδρακότων αὐτὸν ἰδίᾳ μόνον ἀναιρεῖσθαι, διὰ τοὺς ἢ βίαν τοῦ δικαίου προτιμῶντας ἢ πάνυ φιλοστόργους. οὗτοι μὲν γὰρ διὰ περιττὴν καὶ 154 ὑπερβάλλουσαν εὔνοιαν ἐθελήσουσι πολλάκις ἄσμενοι προαποθνῄσκειν, αὐτοὺς ἐπιδιδόντες ὑπὲρ τῶν ἐνόχων οἱ ἀνυπαίτιοι, μέγα κέρδος νομίζοντες τὸ μὴ ἐπιδεῖν κολαζομένους ἢ τοὺς γεννήσαντας υἱοὶ ἢ τοὺς παῖδας γονεῖς, ὡς ἀβίωτον καὶ παντὸς ἀργαλεώτερον θανάτου τὸν αὖθις χρόνον βιωσόμενοι. πρὸς οὓς λεκτέον· „ἡ εὔνοια ὑμῶν οὐκ ἔχει καιρόν, 155 τὰ δ' ὅσα μὴ ἐν καιρῷ ψέγεται δεόντως, ἐπεὶ καὶ τὰ καίρια ἐπαινεῖται. χρὴ μέντοι φιλεῖν τοὺς ἄξια φιλίας δρῶντας, πονηρὸς δ' οὐδεὶς πρὸς ἀλήθειαν φίλος. συγγενεῖς δὲ καὶ ἐν συγγενέσι φίλους καλουμένους ἠλλοτρίωσαν αἱ μοχθηρίαι πλημμελοῦντας· συγγένεια γὰρ οἰκειοτέρα τῆς πρὸς αἵματος ἡ πρὸς δικαιοσύνην καὶ πᾶσαν ἀρετὴν ὁμολογία, ἣν ἐκλιπὼν

1 ἀνασκολοπισμένοις S ἀλλὰ A 2 ἦν] τί S 3 τοὺς] τοῖς S ἐν ἅπασι SF μετεωρήσαντας AH², μετεωρήσαντας S (σιν ss. S²) εἰς] ἐκ A 3.4 τὸ ἐμφανὲς F 4 οὐρανῷ] σελήνη A 5 δὲ FM: δ' ceteri τε om. F 6 γῆν S: γῆς ceteri (v) 7 tit. οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων add. S mg M διατετάχθαι AH² 9 αὐτῶν F 11 ἐθέλουσι coni. Mang. προαποθνήσκειν codd.: προσαποθνήσκειν v 12 ἑαυτοὺς M, αὐτοὺς FGH²P, αὐ in αὑ corr. H¹ ἐπιδόντες G τῶν om. F οἱ δ' ἀνυπαίτιοι F, οἱ δ' ὑπαίτιοι S 13 ἐπιδεῖν FM, ἐφιδεῖν (π ss.) S: ἰδεῖν ceteri (v) alt. ἢ codd.: ἢ καὶ v 14 ἀβιώτατον S ἀργαλεώτατον SFMG 15 ἡμῶν G 16 τὰ δὲ μὴ ὅσα S ἐπεὶ] ἐπὶ S καὶ om. S 17 φιλίας SFL²: φιλοσοφίας ceteri 18 καὶ] ἔτι καὶ F ἐν et φίλους om. S καλουμένους] καλοῦμεν οὓς F 18. 19 ἠλλοτρίωσαν] ἢ ἀλλοτρίως ἂν S 19 πλημμελοῦνται S (sed ι corr. ex σ) τῆς] τοῦ H¹P (Turn.) 20 πᾶσαν] πᾶσαν ἄλλην H¹P (v) ἣν] ἢ AH² ἐκλιπὼν SF: ἐκλείπων ceteri (v)

1 Deut. 21,22. 23. 7 Deut. 24,16. cf. *Ioseph. Ant. Iud. IV § 289.*
17. 18. 19. 20 Vindob. hist. gr. fol. 59r τοῦ αὐτοῦ περὶ φιλίας: χρὴ μέντοι φιλεῖν τοὺς ἄξια φιλίας δρῶντας· πονηρὸς δ' οὐδεὶς πρὸς ἀλήθειαν φίλος: — περὶ συγγενείας: συγγένεια γὰρ οἰκειοτέρα τῆς πρὸς αἵματος ἡ πρὸς δικαιοσύνην καὶ πᾶσαν ἀρετὴν ὁμολογία: —

τις οὐκ ἐν ὀθνείοις καὶ ξένοις μόνον ἀλλὰ καὶ ἐν ἀσπόνδοις ἐχθροῖς
156 ἀναγράφεται. τί οὖν κατεψευσμένον ὄνομα εὐνοίας ὅ τι χρηστὸν καὶ
φιλάνθρωπόν ἐστιν ὑποδύεσθε, τἀληθῆ μαλακίαν καὶ ἀνανδρίαν παρα-
καλυπτόμενοι; ἢ οὐκ ἄνανδροι τὰς φύσεις, παρ' οἷς οἴκτου λογισμὸς
ἡττᾶται; καὶ ταῦθ' ἵνα διπλοῦν ἀδίκημα δράσητε, τοὺς μὲν ὑπαιτίους
ῥυόμενοι τῆς τιμωρίας, αὐτοὺς δ' ἐπὶ μηδενὶ μεμφθέντας τὸ παράπαν
157 οἰόμενοι δεῖν ἀντ' ἐκείνων κολάζειν;" (30.) ἀλλ' οὗτοι μὲν ὑποτίμησιν
ἔχουσι τὸ μηδὲν θηρᾶσθαι ἐπ' ὠφελείᾳ καὶ τὸ λίαν πρὸς τοὺς ἐγγυτάτω
γένους φιλόστοργον, ὑπὲρ ὧν τῆς σωτηρίας ἀποθνῄσκειν ἄσμενοι δια-
158 νοοῦνται. τοὺς δὲ ὠμοθύμους καὶ τὴν φύσιν θηριώδεις τίς οὐκ ἂν
προβάλοιτο τῶν οὐ λέγω μετρίων ἀλλὰ καὶ τῶν μὴ σφόδρα ἀτιθάσων
τὴν ψυχήν, οἳ ἢ λάθρα τεχνάζουσιν ἢ ἐπιθαρροῦσι φανερῶς ἑτέροις
ἀνθ' ἑτέρων τὰς μεγίστας ἐπανατείνεσθαι συμφοράς, φιλίαν ἢ συγγένειαν
ἢ κοινωνίαν ἤ τι ὁμοιότροπον ἐπ' ὀλέθρῳ τῶν οὐδὲν ἠδικηκότων προ-
φασιζόμενοι; καὶ ταῦτα δρῶσιν ἔστιν ὅτε μηδὲν πεπονθότες δεινόν,
159 ἕνεκα δὲ πλεονεξίας ἢ ἁρπαγῆς. πρώην τις ἐκλογεὺς φόρων ταχθεὶς
παρ' ἡμῖν, ἐπειδή τινες τῶν δοξάντων ὀφείλειν διὰ πενίαν ἔφυγον δέει
τιμωριῶν ἀνηκέστων, γύναια τούτων | καὶ τέκνα καὶ γονεῖς καὶ τὴν p. 326 I
ἄλλην γενεὰν ἀπαγαγὼν πρὸς βίαν, τύπτων καὶ προπηλακίζων καὶ πάσας
αἰκίας αἰκιζόμενος, ἵν' ἢ τὸν φυγόντα μηνύσωσιν ἢ τὰ ὑπὲρ ἐκείνου
καταθῶσιν οὐδέτερον δυνάμενοι, τὸ μὲν ὅτι ἠγνόουν, τὸ δ' ὅτι οὐχ

---

1 οὐκ] οὐδ' S   ἐν οὐκ transp. M   pr. καὶ] ἢ AH^2 μόνον SF, μόνον corr. ex μᾶλλον H^1: μᾶλλον ceteri   2 κατεψευσμένον S^{2}FAH^2: κατεψευσμένοι ceteri (v)   ὄνομ' AG   3 ὑποδύεσθε S^{2}MGH^1 corr.: ὑποδύεσθαι ceteri   3. 4 περικαλυπτόμενοι AH^2 4 τὰς φύσεις F: om. ceteri (v)   οἴκτου SH^2, οἴκτω (ου) A: οἴκτω ceteri (v)   5 ἡττᾶται SF: ἥττηται ceteri (v)   6 αὐτοὺς SAH^1 corr.: τοὺς F, αὑτοὺς ceteri   δὲ AH^2 7 οὗτοι] αὐτοὶ S   8 μηδὲν scripsi: μηδενὸς codd. (v); τὸ μὴ ἰδίαν θηρᾶσθαι ὠφέλειαν coni. Mang.   10 δὲ F: δ' ceteri   ὁμοθύμους F, ὠμοθύμους οὓς S   τὴν φύσιν] τοὺς φύσει AH^2 τίς et ἂν om. S   11 ἐκθύσαιτο (ἐκμυσάξαιτο coni. Wendl.) καὶ προβάλοιτο F   ἀποβάλλοιτο S   λέγω S^{1}M: λόγω ceteri   σφόδρ' GH^{1}P (v)   ἀτιθάσων GP, ἀττιθάσων S: om. F, ἀτιθάσσων ceteri (v)   12 οἳ] οἷον M   ἐπιθαρροῦσιν S   14 ὁμοιότροπον om. S   ἠδικηκότων SF: ἠδικημένων ceteri (v)   14. 15 προφασιζόμενον (τες) G   15 πεπονθόσι A   16 πρώην] πρώων A, πρῶων (i. e. πατρώων) H^2 17 ὀφείλειν om. A   ἔφυγον codd.: ἔφευγον v   18 ἀνειχέστων S   καὶ τέκνα τούτων transp. AH^2 19 ἐπαγαγὼν S   τύπτων — αἰκιζόμενος (20) om. in textu H^1, add. mg H^1 19. 20 πάσαις αἰκίαις H^1 (v)   20 αἰκίας om. S   τοὺς φυγόντας coni. Mang.   μηνύσωσιν F: καταμηνύσωσιν ceteri (v)   21 οὐδέτεροι AH^2 δυνάμενοι (α) A   pr. ὅτι] ὅτ' AH^2

ἧττον τοῦ φυγόντος ἀπόρως εἶχον, οὐ πρότερον ἀνῆκεν, ἢ βασάνοις καὶ
στρέβλαις τὰ σώματα κατατείνων ἀποκτεῖναι κεκαινουργημέναις ἰδέαις
θανάτου· ἄμμου σπυρίδα πλήρη βρόχοις ἐκδησάμενος ἀνῆπτε κατὰ τῶν 160
αὐχένων, βαρύτατον ἄχθος, ἱστὰς ἐν ὑπαίθρῳ κατὰ μέσην ἀγοράν, ἵν'
οἱ μὲν ἀθρόαις τιμωρίαις, ἀνέμῳ καὶ ἡλίῳ καὶ τῇ ἀπὸ τῶν παριόντων
αἰσχύνῃ καὶ τοῖς ἐκκρεμαμένοις ἄχθεσι, βιαζόμενοι χαλεπῶς ἀπαγο-
ρεύωσιν, οἱ δὲ θεώμενοι τὰς τούτων τιμωρίας προαλγῶσιν· ὧν ἔνιοι 161
τρανότερον τῆς διὰ τῶν ὀφθαλμῶν τὴν διὰ τῆς ψυχῆς λαβόντες αἴσθησιν,
ὡς ἐν τοῖς ἑτέρων σώμασιν αὐτοὶ κακούμενοι, τῷ βίῳ προαπετάξαντο
ξίφεσιν ἢ φαρμάκοις ἢ ἀγχόναις, μεγάλην ὡς ἐν κακοπραγίαις νομίζοντες
ἐπιτυχίαν τὴν ἄνευ βασάνων τελευτήν· οἱ δὲ μὴ φθάσαντες ἑαυτοὺς 162
διαχρήσασθαι, καθάπερ ἐν ταῖς τῶν κλήρων ἐπιδικασίαις, κατὰ στοῖχον
ἤγοντο οἱ ἀπὸ τοῦ γένους πρῶτοι καὶ μετ' αὐτοὺς δεύτεροι καὶ τρίτοι
μέχρι τῶν ὑστάτων· καὶ ὁπότε μηδεὶς λοιπὸς εἴη τῶν συγγενῶν, διέβαινε
τὸ κακὸν καὶ ἐπὶ τοὺς γειτνιῶντας, ἔστι δ' ὅτε καὶ ἐπὶ κώμας καὶ
πόλεις, αἳ ταχέως ἔρημοι καὶ κεναὶ τῶν οἰκητόρων ἐγένοντο μετανι-
σταμένων καὶ σκεδαννυμένων ἔνθα λήσεσθαι προσεδόκων. ἀλλ' οὐδὲν 163
ἴσως θαυμαστόν, εἰ φορολογίας ἕνεκα βάρβαροι τὰς φύσεις, ἡμέρου
παιδείας ἄγευστοι, δεσποτικοῖς πειθαρχοῦντες ἐπιτάγμασι τοὺς ἐτησίους
ἀναπράττουσι δασμούς, οὐ μόνον ἐκ τῶν οὐσιῶν ἀλλὰ καὶ ἐκ τῶν σωμά-
των, ἄχρι καὶ ψυχῆς τοὺς κινδύνους ἐπιφέροντες ὑπὲρ ἑτέρων ἑτέροις.
ἤδη δὲ καὶ οἱ τῶν δικαίων ὅροι καὶ κανόνες, αὐτοὶ οἱ νομοθέται, πρὸς 164
δόξαν μᾶλλον ἢ πρὸς ἀλήθειαν ἀπιδόντες, τῶν ἀδικωτάτων ὑπέμειναν

---

1 φυγόντως (sic) FP 2 κατατείνων SFMP: κατακτείνων ceteri (Turn.) 3 ἄμμου σπυρίδα πλήρη FL²: πληροῦν ἢ (ἄ. σπ. om.) S, ἄ. σ. π. om. ceteri ἐκδησάμενος om. AH² ἀνῆπται P 3. 4 τῶν αὐχένων SFM: τὸν αὐχένα ceteri (Turn.) 4 ἐν ὑπαίθρῳ om. AH² 5 ἀθρόοις S pr. καὶ om. AH² 6 βιαζόμενοι] πιεζόμενοι coni. Mang. 6. 7 ἀπαγορεύωσιν SFM: ἀπαγορεύσωσιν ceteri (v) 7 προσαλγῶσιν F, προάγωσιν S, προαλλαγῶσιν AH² 8 τρανότερον SF: τρανοτέραν ceteri (v) 9 κακούμενοι] καλούμενοι S 10 ἢ ξίφεσιν S μεγάλαις AH² ἐν om. M κακοπραγίᾳ AH² 10. 11 νομίζοντες ἐπιτυχίαν om. F 11 εὐτυχίαν coni. Mang. ἑαυτοὺς SF: αὑτοὺς MH¹ corr., αὐτοὺς AH²GP 12 κλήρων καὶ ἐπικλήρων F στοῖχον SFM: στοιχεῖον ceteri (v); στίχον voluit Mang. 13 μετὰ τούτους S 14 μηδεὶς λοιπὸς F: μηδεὶς λοιπὸν SGH¹P, λοιπὸν μηδεὶς MAH² τῶν συγγενῶν F: τῶν om. ceteri (v) 15 ἔστιν S 16 κεναὶ om. A ἐγίνοντο S²AP 17 προσεδόκουν H¹P 18 βάρβαροι τὰς φύσεις βάρβαροι (sic) AH² 19 πειθαρχοῦντες δεσποτικοῖς transp. H¹P (v) ἐπιτάγμασι(ν) SF: προστάγμασι ceteri (v) 21 ἄχρι SF: μέχρι ceteri (v) ὑποφέροντες S 22 ἤδη δὲ et οἱ om. S αὐτοὶ νομοθέται οἱ S 23 δόξας F ἀπιδόντες] ἀποδιδόντες τὰ AH² ἀδικωτάτων codd.: ἀδικημάτων Turn.

γενέσθαι, κελεύσαντες τοῖς μὲν προδόταις τοὺς παῖδας συναναιρεῖσθαι,
165 τοῖς δὲ τυράννοις τὰς ἐγγυτάτω πέντε οἰκίας. διὰ τί; φαίην ἄν· εἰ μὲν
γὰρ συνεξήμαρτον, καὶ συγκολαζέσθωσαν, εἰ δὲ μήτε κατεκοινώνησαν
μήτε ζηλωταὶ τῶν ὁμοίων ἐγένοντο μήτε ταῖς τῶν οἰκείων εὐτυχίαις
ἐπαρθέντες ἐνηδυπάθησαν, τίνος χάριν ἀναιρεθήσονται; ἢ δι' ἓν τοῦτο
μόνον, ὅτι συγγενεῖς εἰσι; γένους γὰρ ἢ | παρανομημάτων αἱ τιμωρίαι; p. 3
166 χρηστῶν ἴσως ὑμεῖς, ὦ σεμνοὶ νομοθέται, τῶν οἰκείων ἐλάχετε·
μοχθηροὶ δ' εἴπερ ἐγένοντο, δοκεῖτέ μοι μηδ' ἂν εἰς νοῦν ποτε βαλέσθαι τὰς τοιαύτας προστάξεις, ἀλλὰ καὶ γράφοντας ἑτέρους δυσχερᾶναι,
διὰ τὴν τοῦ μηδὲν ἀνήκεστον παθεῖν προφυλακὴν * * * τὸν ἐν ἀσφαλεῖ
βίῳ διάγοντα μετὰ τῶν κινδυνευόντων σκοπεῖν καὶ ἐν ταῖς ἴσαις κακοπραγίαις ἐξετάζεσθαι· τὸ μὲν γὰρ ἔχει δέος, ὃ φυλαττόμενός τις οὐδ'
ἂν ἕτερον περιίδοι, τὸ δ' ἐστὶν ἄφοβον, ὑφ' οὗ πολλάκις ἀνεπείσθησάν
167 τινες ἀλογεῖν ἀνθρώπων ἀνυπαιτίων ἀσφαλείας. ταῦτ' οὖν ἐκλογισάμενος
ὁ ἡμέτερος νομοθέτης καὶ τὰ παρὰ τοῖς ἄλλοις ἁμαρτήματα συνιδὼν ὡς φθοροποιὰ τῆς ἀρίστης πολιτείας ἀπεστράφη καὶ διεμίσησε [καὶ] τοὺς χρωμένους εἴτε ῥᾳθυμίαις εἴτε ἀπανθρωπίαις καὶ κακίαις καὶ οὐδέποτέ

---

2 τοῖς δὲ τυράννοις] τῶν τυράννων AH² τὰς ἐγγυτάτω om. AH² ἐγγυτάτω] ἀνωτάτω H¹ τὰς . . . οἰκίας] τοὺς . . . οἰκείους coni. Mang. 3 μήτε] μὴ S 4 ἐγίνοντο AH² οἰκείων] οἰκιῶν S συντυχίαις S 5 ἐπαρθέντας G ἀναιρεθήσονται SFM: ἀναιρήσονται ceteri (Turn.) 6 μόνον om. A 7 ὡς σεμνοὶ S, σεμνοὶ om. M 8 ἐγίνοντο A μηδ' ἂν] μηδὲ F 8. 9 βάλλεσθαι S 9 προστάξεις] πράξεις AH² γράφοντας ἑτέρους S: γράφοντος ἑτέρου F, γράφουσιν ἑτέροις ceteri (v) δυσχεραίνειν S 10 τὴν om. S ἀνηκέστατον S πρὸς φυλακὴν F lacunam indicavit Mang. ἀσφαλῆ S 10. 11 ἀσφαλεία βίου H¹P 11 μετὰ om. S σκοπεῖν suspectum 12 ἐξετάζεσθαι F: συνεξετάζεσθαι ceteri (v) ἔχειν S ὃ om. S 12. 13 οὐδ' ἂν] οὐδὲν S, οὐδένα F, οὐκ ἂν AH² 13 τόδ' ἔστιν M ἀφ' οὗ AH² ἐπείσθησαν AH², ἀνεσπάσθησαν L (Turn.) 14 ἀλογεῖν om. F ἀσφαλείας SFM: ἀσφάλειαν AH², ἀσφαλείαις GH¹P (v) 15 τὰ om. S παρὰ τοῖς ἄλλοις F, πέρα τοῖς ἄλλοις S: παρ' ἄλλοις ceteri (v) ἁμαρτήμασιν S 16 ἀρίστης] ἄλλης S ἐμίσησε S καὶ post διεμίσησε seclusit Mang. 17 alt. εἴτε F: εἴτ' ceteri utrumque καὶ om. F κακίας F

---

1 cf. *Cic. de invent. II 144* Ex contrariis autem legibus controversia nascitur . . . hoc modo: lex: Qui tyrannum occiderit, Olympionicarum praemia capito et quam volet sibi rem a magistratu deposcito et magistratus ei concedito. et altera lex: Tyranno occiso quinque eius proximos cognatione magistratus necato. *Curtius Ruf. VI 42,20* Interim equites . . . legem Macedonum veriti, qua cautum erat, ut propinqui eorum qui regi insidiati essent cum ipsis necarentur, alii se interficiunt, alii . . . fugiunt

τινα τῶν συμβεβιωκότων ἐξέδωκεν ἐπὶ τιμωρίᾳ προσθήκην ποιησάμενος
αὐτὸν ἀδικημάτων ἑτέρων. διόπερ ἄντικρυς ἀπεῖπεν υἱοὺς ἀντὶ γονέων 168
ἢ γονεῖς ἀντὶ υἱῶν ἀναιρεῖσθαι, δικαιώσας ὧν τὰ ἁμαρτήματα τούτων εἶναι καὶ τὰς τιμωρίας, εἴτε ζημίας χρημάτων εἴτε καὶ πληγὰς καὶ βιαιοτέρας ὕβρεις εἴτε τραύματα καὶ πηρώσεις καὶ ἀτιμίας καὶ φυγὰς καὶ ὅσα ἄλλα τῶν ἐπὶ δίκαις· ἑνὸς γὰρ τοῦ μὴ ἕτερον ἀνθ' ἑτέρου κτείνειν μνησθεὶς καὶ τὰ ἡσυχασθέντα προσπεριέλαβεν.

Περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας.

(31.) Ἀγοραὶ καὶ βουλευτήρια καὶ δικαστήρια καὶ θίασοι καὶ 169
σύλλογοι πολυανθρώπων ὁμίλων καὶ ὁ ἐν ὑπαίθρῳ βίος διὰ λόγων καὶ πράξεων κατὰ πολέμους καὶ κατ' εἰρήνην ἀνδράσιν ἐφαρμόζουσι, θηλείαις δὲ οἰκουρία καὶ ἡ ἔνδον μονή, παρθένοις μὲν εἴσω κλισιάδων τὴν μέσαυλον ὅρον πεποιημέναις, τελείαις δὲ ἤδη γυναιξὶ τὴν αὔλειον.
διττὸν γὰρ πόλεων εἶδος, μειζόνων καὶ βραχυτέρων· αἱ μὲν οὖν μείζους 170
ἄστη καλοῦνται, οἰκίαι δ' αἱ βραχύτεραι. τὴν δ' ἑκατέρων προστασίαν διειλήχασιν ἄνδρες μὲν τῶν μειζόνων, ἧς ὄνομα πολιτεία, γυναῖκες δὲ
τῶν βραχυτέρων, ἧς ὄνομα οἰκονομία. μηδὲν οὖν ἔξω τῶν κατὰ τὴν 171
οἰκονομίαν πολυπραγμονείτω γυνὴ ζητοῦσα μοναυλίαν μηδ' οἷα νομὰς κατὰ τὰς ὁδοὺς ἐν ὄψεσιν ἀνδρῶν ἑτέρων ἐξεταζέσθω, πλὴν εἰς ἱερὸν ὁπότε

1 τῶν συμβεβιωκότων AH^{2}GH^{1}P (coni. Mang.): τῶν συμβεβηκότων FL^2 (v), τῶν πολιτῶν M, om. S 2 ἑτέρους F ἀντεῖπεν F 3 ἀντὶ υἱῶν S: ἀνθ' υἱῶν ceteri (v) ὧν] ὧν ἂν F 5 βεβαιοτέρας A 6 ὅσα SFM: ὅσ' ceteri post δίκαις add. δή F τοῦ] τὸ P ἀνθ' ἑτέρων GH^{1}P (Turn.) 7 κτεῖναι A μνησθεὶς om. SF τὰ ἡσυχασθέντα] τὰς ἡσυχῇ S, ταύτας ἡσυχῇ F περιέλαβεν AH^2, προσλαβεῖν S 8 tit. περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας SFAH^2 mg MH^{1}P: om. G 9 καὶ δικαστήρια om. F 10 ἐν] μὲν M 11 κατ' SF: κατὰ ceteri ἐφαρμόζουσιν SM 12 δὲ SF: δ' ceteri ἡ ἔνδον μονή S: ἡ om. ceteri (v) κλασιάδιων (sic) S τὴν om. F 13 μέσαυλον F: μεταυτὸν (sic) S, μεσαύλιον ceteri (v) δ' FAH^2 ἤδη om. SM γυναιξὶν S αὔλιον codd. 14 διττῶν S εἶδος πόλεων transp. H^{1}P (v), εἶδος πόλεως F 15 ἄστη S^{1}FAH^2: ἄσται S^2, ἀσταὶ ceteri (v) οἰκεῖαι (sic) S 16 ἧς corr. ex οἷς H^1 17. 18 κατ' οἰκονομίαν H^{1}P (v) 18 ζητοῦσαν A; ζηλοῦσα coni. Mang. μόνον αὐλίαν (sic) S νομὰς] σοβὰς coni. Mang. 19 post ἀνδρῶν inserunt verba ἐπεχθεῖν — στρατεία (198,5. 6), eadem post ἀνδρῶν (198,4) repetunt AH^2 ἐξεταζέσθω] ἐργαζέσθω H^1 (Turn.) ὁπότε] ὁπόταν P, ὅπου S

12 cf. Menand. frg. 546 K. (Nauck, Mélanges gréco-romains VI 1 p. 119.)

γενέσθαι, κελεύσαντες τοῖς μὲν προδόταις τοὺς παῖδας συναναιρεῖσθαι,
165 τοῖς δὲ τυράννοις τὰς ἐγγυτάτω πέντε οἰκίας. διὰ τί; φαίην ἄν· εἰ μὲν
γὰρ συνεξήμαρτον, καὶ συγκολαζέσθωσαν, εἰ δὲ μήτε κατεκοινώνησαν
μήτε ζηλωταὶ τῶν ὁμοίων ἐγένοντο μήτε ταῖς τῶν οἰκείων εὐτυχίαις
ἐπαρθέντες ἐνηδυπάθησαν, τίνος χάριν ἀναιρεθήσονται; ἢ δι' ἓν τοῦτο
μόνον, ὅτι συγγενεῖς εἰσι; γένους γὰρ ἢ | παρανομημάτων αἱ τιμωρίαι; p. 327
166 χρηστῶν ἴσως ὑμεῖς, ὦ σεμνοὶ νομοθέται, τῶν οἰκείων ἐλάχετε·
μοχθηροὶ δ' εἴπερ ἐγένοντο, δοκεῖτέ μοι μηδ' ἂν εἰς νοῦν ποτε βαλέσθαι τὰς τοιαύτας προστάξεις, ἀλλὰ καὶ γράφοντας ἑτέρους δυσχερᾶναι,
διὰ τὴν τοῦ μηδὲν ἀνήκεστον παθεῖν προφυλακὴν * * * τὸν ἐν ἀσφαλεῖ
βίῳ διάγοντα μετὰ τῶν κινδυνευόντων σκοπεῖν καὶ ἐν ταῖς ἴσαις κακοπραγίαις ἐξετάζεσθαι· τὸ μὲν γὰρ ἔχει δέος, ὃ φυλαττόμενός τις οὐδ'
ἂν ἕτερον περιίδοι, τὸ δ' ἐστὶν ἄφοβον, ὑφ' οὗ πολλάκις ἀνεπείσθησάν
167 τινες ἀλογεῖν ἀνθρώπων ἀνυπαιτίων ἀσφαλείας. ταῦτ' οὖν ἐκλογισάμενος
ὁ ἡμέτερος νομοθέτης καὶ τὰ παρὰ τοῖς ἄλλοις ἁμαρτήματα συνιδὼν
ὡς φθοροποιὰ τῆς ἀρίστης πολιτείας ἀπεστράφη καὶ διεμίσησε [καὶ] τοὺς
χρωμένους εἴτε ῥᾳθυμίαις εἴτε ἀπανθρωπίαις καὶ κακίαις καὶ οὐδέποτέ

---

2 τοῖς δὲ τυράννοις] τῶν τυράννων AH^2 τὰς ἐγγυτάτω om. AH^2 ἐγγυτάτω] ἀνωτάτω H^1 τὰς . . . οἰκίας] τοὺς . . . οἰκείους coni. Mang. 3 μήτε] μὴ S 4 ἐγίνοντο AH^2 οἰκείων] οἰκιῶν S συντυχίαις S 5 ἐπαρθέντας G ἀναιρεθήσονται SFM: ἀναιρήσονται ceteri (Turn.) 6 μόνον om. A 7 ὡς σεμνοὶ S, σεμνοὶ om. M 8 ἐγί(ε)νοντο A μηδ' ἂν] μηδὲ F 8. 9 βάλλεσθαι S 9 προστάξεις] πράξεις AH^2 γράφοντας ἑτέρους S: γράφοντος ἑτέρου F, γράφουσιν ἑτέροις ceteri (v) δυσχεραίνειν S 10 τὴν om. S ἀνηκέστατον S πρὸς φυλακὴν F lacunam indicavit Mang. ἀσφαλῆ S 10. 11 ἀσφαλείᾳ βίου H^{1}P 11 μετὰ om. S σκοπεῖν suspectum 12 ἐξετάζεσθαι F: συνεξετάζεσθαι ceteri (v) ἔχειν S ὃ om. S 12. 13 οὐδ' ἂν] οὐδὲν S, οὐδένα F, οὐκ ἂν AH^2 13 τόδ' ἔστιν M ἀφ' οὗ AH^2 ἐπείσθησαν AH^2, ἀνεσπάσθησαν L (Turn.) 14 ἀλογεῖν om. F ἀσφαλείας SFM: ἀσφάλειαν AH^2, ἀσφαλείαις GH^{1}P (v) 15 τὰ om. S παρὰ τοῖς ἄλλοις F, πέρα τοῖς ἄλλοις S: παρ' ἄλλοις ceteri (v) ἁμαρτήμασιν S 16 ἀρίστης] ἄλλης S ἐμίσησε S καὶ post διεμίσησε seclusit Mang. 17 alt. εἴτε F: εἴτ' ceteri utrumque καὶ om. F κακίας F

---

1 cf. *Cic. de invent. II 144* Ex contrariis autem legibus controversia nascitur . . . hoc modo: lex: Qui tyrannum occiderit, Olympionicarum praemia capito et quam volet sibi rem a magistratu deposcito et magistratus ei concedito. et altera lex: Tyranno occiso quinque eius proximos cognatione magistratus necato. *Curtius Ruf. VI 42,20* Interim equites . . . legem Macedonum veriti, qua cautum erat, ut propinqui eorum qui regi insidiati essent cum ipsis necarentur, alii se interficiunt, alii . . . fugiunt.

τινα τῶν συμβεβιωκότων ἐξέδωκεν ἐπὶ τιμωρίᾳ προσθήκην ποιησάμενος
αὐτὸν ἀδικημάτων ἑτέρων. διόπερ ἄντικρυς ἀπεῖπεν υἱοὺς ἀντὶ γονέων 168
ἢ γονεῖς ἀντὶ υἱῶν ἀναιρεῖσθαι, δικαιώσας ὧν τὰ ἁμαρτήματα τούτων
εἶναι καὶ τὰς τιμωρίας, εἴτε ζημίας χρημάτων εἴτε καὶ πληγὰς καὶ
βιαιοτέρας ὕβρεις εἴτε τραύματα καὶ πηρώσεις καὶ ἀτιμίας καὶ φυγὰς
καὶ ὅσα ἄλλα τῶν ἐπὶ δίκαις· ἑνὸς γὰρ τοῦ μὴ ἕτερον ἀνθ' ἑτέρου
κτείνειν μνησθεὶς καὶ τὰ ἡσυχασθέντα προσπεριέλαβεν.

Περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας.

(31.) Ἀγοραὶ καὶ βουλευτήρια καὶ δικαστήρια καὶ θίασοι καὶ 169
σύλλογοι πολυανθρώπων ὁμίλων καὶ ὁ ἐν ὑπαίθρῳ βίος διὰ λόγων καὶ
πράξεων κατὰ πολέμους καὶ κατ' εἰρήνην ἀνδράσιν ἐφαρμόζουσι, θηλείαις
δὲ οἰκουρία καὶ ἡ ἔνδον μονή, παρθένοις μὲν εἴσω κλισιάδων τὴν
μέσαυλον ὅρον πεποιημέναις, τελείαις δὲ ἤδη γυναιξὶ τὴν αὔλειον.
διττὸν γὰρ πόλεων εἶδος, μειζόνων καὶ βραχυτέρων· αἱ μὲν οὖν μείζους 170
ἄστη καλοῦνται, οἰκίαι δ' αἱ βραχύτεραι. τὴν δ' ἑκατέρων προστασίαν
διειλήχασιν ἄνδρες μὲν τῶν μειζόνων, ἧς ὄνομα πολιτεία, γυναῖκες δὲ
τῶν βραχυτέρων, ἧς ὄνομα οἰκονομία. μηδὲν οὖν ἔξω τῶν κατὰ τὴν 171
οἰκονομίαν πολυπραγμονείτω γυνὴ ζητοῦσα μοναυλίαν μηδ' οἷα νομὰς κατὰ
τὰς ὁδοὺς ἐν ὄψεσιν ἀνδρῶν ἑτέρων ἐξεταζέσθω, πλὴν εἰς ἱερὸν ὁπότε

---

1 τῶν συμβεβιωκότων AH²GH¹P (coni. Mang.): τῶν συμβεβηκότων FL³ (v), τῶν πολιτῶν M, om. S   2 ἑτέρους F   ἀντεῖπεν F   3 ἀντὶ υἱῶν S: ἀνθ' υἱῶν ceteri (v)   ὧν] ὧν ἂν F   5 βεβαιοτέρας A   6 ὅσα SFM: ὅσ' ceteri   post δίκαις add. δή F   τοῦ] τὸ P   ἀνθ' ἑτέρων GH¹P (Turn.)   7 κτεῖναι A   μνησθεὶς om. SF   τὰ ἡσυχασθέντα] τὰς ἡσυχῇ S, ταύτας ἡσυχῇ F   περιέλαβεν AH², προσλαβεῖν S   8 tit. περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας SFAH² mg MH¹P: om. G   9 καὶ δικαστήρια om. F   10 ἐν] μὲν M   11 κατ' SF: κατὰ ceteri   ἐφαρμόζουσιν SM   12 δὲ SF: δ' ceteri   ἡ ἔνδον μονή S: ἡ om. ceteri (v)   κλασιάδων (sic) S   τὴν om. F   13 μέσαυλον F: μεταυτὸν (sic) S, μεσαύλιον ceteri (v)   δ' FAH²   ἤδη om. SM   γυναιξὶν S   αὔλιον codd.   14 διττῶν S   εἶδος πόλεων transp. H¹P (v), εἶδος πόλεως F   15 ἄστη S¹FAH²: ἄσται S², ἀσταὶ ceteri (v)   οἰκεῖαι (sic) S   16 ἧς corr. ex οἷς H¹   17. 18 κατ' οἰκονομίαν H¹P (v)   18 ζητοῦσαν A; ζηλοῦσα coni. Mang.   μόνον αὐλίαν (sic) S   νομὰς] σοβὰς coni. Mang.   19 post ἀνδρῶν inserunt verba ἐπεχθεῖν—στρατεία (198,5. 6), eadem post ἀνδρῶν (198,4) repetunt AH²   ἐξεταζέσθω] ἐργαζέσθω H¹ (Turn.)   ὁπότε] ὁπόταν P, ὅπου S

---

12 cf. Menand. frg. 546 K. (Nauck, Mélanges gréco-romains VI 1 p. 119.)

δέοι βαδίζειν, φροντίδα ποιουμένη καὶ τότε μὴ πληθυούσης ἀγορᾶς, ἀλλ'
ἐπανεληλυθότων οἴκαδε τῶν πλείστων, ἐλευθέρας τρόπον καὶ τῷ ὄντι
ἀστῆς ἐν ἠρεμίᾳ θυσίας | ἐπιτελοῦσα καὶ εὐχὰς εἰς ἀποτροπὴν κακῶν p. 328
172 καὶ μετουσίαν ἀγαθῶν. τὸ δὲ λοιδορουμένων ἢ συμπλεκομένων ἀνδρῶν
ἐπεχθεῖν τολμᾶν κατὰ πρόφασιν συμμαχίας ἢ βοηθείας γυναῖκας ἐπί-
ληπτον καὶ οὐ μετρίως ἀναίσχυντον, ἃς οὐδ' ἐν πολέμοις καὶ στρατείαις
καὶ τοῖς ὑπὲρ πάσης τῆς πατρίδος κινδύνοις ἐδικαίωσεν ὁ νόμος ἐξετά-
ζεσθαι, τὸ πρέπον ἰδών, ὅπερ ἀκίνητον ἀεὶ καὶ πανταχοῦ φυλάττειν
διενοήθη, νομίσας αὐτὸ τοῦτ' εἶναι καθ' αὑτὸ νίκης καὶ ἐλευθερίας καὶ
173 πάσης ἄμεινον εὐτυχίας. ἐὰν μέντοι καὶ πυθομένη τις ὑβρίζεσθαι τὸν
ἄνδρα, πόθῳ τῷ πρὸς ἐκεῖνον ἡττηθεῖσα φιλανδρίας, ὑπὸ τοῦ παρα-
στάντος πάθους ἐξορμῆσαι βιασθῇ, μὴ πλέον τῆς φύσεως ἀρρενούσθω
θρασυνομένη, μενέτω δὲ καὶ ἐν οἷς βοηθεῖ γυνή· πάνδεινον γάρ, εἰ
βουλομένη τις ὑπεξελέσθαι τὸν ἄνδρα ὕβρεως ὑβρισθήσεται πρὸς ἑαυτῆς
κατάπλεων ἀποφαινούσης τὸν ἴδιον βίον αἰσχύνης καὶ μεγάλων ὀνειδῶν
174 τῶν ἐπ' ἀνιάτῳ θρασύτητι. λοιδορήσεται γὰρ γυνὴ κατ' ἀγορὰν ῥῆμά
τέ τι τῶν ἀπηγορευμένων φθέγξεται, ἑτέρου δὲ κακηγοροῦντος οὐκ ἀπο-
δραμεῖται τὰ ὦτα ἐπιφράξασα; νυνὶ δὲ προβαίνουσί τινες, ὡς μὴ μόνον
ὑπὸ γλωσσαλγίας ἐν ἀνδρῶν ὄχλῳ [γυναῖκες] κακηγορεῖν καὶ προπη-
λακίζειν, ἀλλὰ καὶ τὰς χεῖρας ἐπιφέρειν τὰς ὑφάσμασι καὶ ταλασίαις

---

1 πληθυούσης SM, πληθ[illegible]ούσης F: πληθούσης ceteri (v) 2 καὶ om. AH^2 3 ἐρημίᾳ SF εἰς SFAH^2: om. ceteri (Turn.) 4 μετουσιῶν A tit. περὶ γυναικὸς τῶν γεννητικῶν ἀνθρώπου λαβομένης add. S mg M τὸ] τῶν F 5 ἐπεχθεῖν S^1, ἐπελθεῖν S^2, ἐπέχειν F πρόφασιν] πρόθεσιν AH^2 (priore loco) ἢ] καὶ F 5. 6 ἐπίληπτον γὰρ AH^2 (priore loco) 6 οὐ μετρίως καὶ transp. AH^2 (altero loco) ἃς οὐδ'] ἢ δὴ οὐκ AH^2 (priore loco), οὐκ (pro οὐδ') etiam F στρατιαῖς S^{2}F, στρατείᾳ AH^2 9 καθ' αὑτὸ] κατ' αὐτὸν F νίκης SF: νίκην ceteri (Turn.) 10 καὶ πυθομένη τις F: τις καὶ πυθομένη ceteri (v) 11 φιλανδρίας vel secludendum vel post πάθους (12) transponendum videtur ὑπὸ ex ὑπὲρ corr. H^1 12 ἐξορμῆσθαι H^2 13 βοηθεῖ ex βοηθῇ corr. H^1, βοηθῇ P ἡ γυνή S (sed ἡ add. S^2 ut vid.) 14 ὑπερελέσθαι AH^2 ὕβρεως F: ὕβρεων ceteri (v) πρὸς ἑαυτῆς SF, πρὸς αὐτῆς MAH^2, πρὸς αὐτῆς GP: παρ' αὐτῆς H^1 (v) 16 λοιδορήσεται scripsi: λοιδορηθήσεται codd. (v) 16. 17 ῥήματά τε AH^2, ῥῆμα δὲ F 17 τι F: om. ceteri (v) δὲ SFAH^2: τε ceteri (Turn.) κακηγοροῦντος H^{1}P: κατηγοροῦντος ceteri 17. 18 ἐπιδραμεῖται F 18 ὦτα SF: ὦτ' ceteri ἐπιφθέγξασα (sic) AH^2 19 ὑπὸ γλωσσαλγίας F: γλωσσαλγίας (om. ὑπὸ) SMGP, γλωσσαλγίαις H^1 corr. (v), γλωσσαλγεῖν AH^2 γυναῖκες codd.: γυναῖκας Mang. γυναῖκες seclusi (fortasse post προβαίνουσι (18) transponendum) κατηγορεῖν SF, καὶ κακηγορεῖν AH^2 19. 20 verba καὶ προπηλακίζειν huc trahenda esse vidit Mang.: post ἐπιφέρειν (20) tradunt codd. 20 alt. καὶ] ἢ AH^2

ἀλλ' οὐ πληγαῖς καὶ ὕβρεσι καθάπερ παγκρατιαστῶν καὶ πυκτῶν ἐνα-
σχουμένας. καὶ τὰ μὲν ἄλλα [οἰστὰ καὶ] φέρειν ἄν τις δύναιτο· χαλεπὸν 175
δ' ἐκεῖνο, εἴ τις γυνὴ τοσοῦτον καταθρασύνοιτο, ὡς διαδράξασθαι τῶν
τοῦ διαφερομένου γεννητικῶν· μὴ γάρ, παρόσον ἀνδρὶ βοηθοῦσα δοκεῖ
τοῦτο πράττειν, ἀφείσθω, τῆς δ' ἄγαν θρασύτητος ἐπεχέσθω τίνουσα
δίκην, ὑφ' ἧς αὐτὴ μὲν τὰ ὅμοια ἐξαμαρτάνειν ἐθέλουσα αὖθις οὐκ ἂν
δύναιτο, τῶν δ' ἄλλων ὅσαι προπετέστεραι φόβῳ μετριάσουσιν· ἔστω
δ' ἡ δίκη χειρὸς ἀποκοπὴ τῆς ἀψαμένης ὧν οὐ θέμις. ἄξιον ἐπαινεῖν 176
καὶ τοὺς τῶν γυμνικῶν ἀγώνων ἀθλοθέτας, οἳ τῆς θέας ἀνεῖρξαν
γυναῖκας, ἵνα μὴ γυμνουμένοις ἀνδράσι παρατυγχάνουσαι τὸ δόκιμον
αἰδοῦς νόμισμα παρακόπτωσιν ἀλογοῦσαι φύσεως θεσμῶν, οὓς ὥρισεν
ἑκατέρῳ τμήματι τοῦ γένους ἡμῶν. οὐδὲ γὰρ ἄνδρας, ἀποτιθεμένων
ἐσθῆτας γυναικῶν, ἐμπρεπὲς παρατυγχάνειν, ἀλλ' ἑκατέρους τὰς τῶν
ἑτέρων ὄψεις ἐκτρέπεσθαι γυμνουμένων τοῖς τῆς φύσεως βουλήμασιν
ἑπομένους. εἶθ' ὧν ἡ ὄψις ἐπίληπτος, οὐ πολὺ μᾶλλον αἱ χεῖρες 177
ὑπαίτιοι; ὀφθαλμοὶ μὲν γὰρ καὶ ἃ μὴ βουλόμεθα πολλάκις ὁρᾶν ἀπελευ-
θεριάζοντες ἀποβιάζονται, χεῖρες δ' ἐν τῇ τῶν ὑπηκόων τάξει τεταγ-
329 M. μέναι | μερῶν πειθαρχοῦσαι τοῖς ἡμετέροις ἐπιτάγμασιν ὑπηρετοῦσιν.
(32.) ἥδε μὲν αἰτία ἡ παρὰ πολλοῖς εἴωθε λέγεσθαι· ἑτέραν δὲ ἤκουσα 178
θεσπεσίων ἀνδρῶν τὰ πλεῖστα τῶν ἐν τοῖς νόμοις ὑπολαμβανόντων εἶναι
σύμβολα φανερὰ ἀφανῶν καὶ ῥητὰ ἀρρήτων. ἣν δὲ τοιάδε· ψυχῆς,
ὥσπερ ἐν ταῖς συγγενείαις, ἡ μέν ἐστιν ἄρρην καὶ πρὸς ἀνδρῶν, ἡ δὲ

---

2 καὶ — οἰστὰ om. AH² οἰστὰ καὶ seclusi 3 δὲ ἐκεῖνο AH², δὲ κἀκεῖνο S καταθρασύνοιτο SF: καταθρασύναιτο ceteri (v) 4 παρόσων S¹ 5 ἀφείσθω codd.: ἀφιέσθω Mang. δ' SF: γὰρ AH², δὲ ceteri ἐπισχέσθω M; ἐνεχέσθω coni. Mang. τείνουσα S 6 μὲν om. M ἐξαμαρτεῖν G ἐθέλουσ' AH²H¹ 7 δ' om. AH²G ἄλλων] ὅσων S 8 δ' ἡ] δὴ FM ἐφαψαμένης coni. Mang. 9 τῶν om. AH² γυμνικῶν SFM: γυναικῶν GH¹P, γυναικείων AH² οἳ] οἵ τε AH² 10 τὸ δοκιμώτατον F 10. 11 τὸ τῆς αἰδοῦς δόκιμον AH² 11 περικόπτωσιν AH² θεσμόν S¹, corr. S² 13 ἐμπρεπὲς SF: εὐπρεπὲς ceteri (v) τῶν om. M 14 ὄψεις] ὕβρεις S γυμνουμένων] γυμνοὺς μὲν ὧν F 15 ἑπομένοις AH², ἑπομένων F 15. 16 αἱ χεῖρες ὑπαίτιοι S: ὑπαίτιοι χεῖρες ceteri (v) ὑπαίτιοι corr. ex αἴτιοι A, ὑπαίτιον H² 16 βουλόμενοι AH² 16. 17 ἀπελευθεριάζοντες SF: ἐπελευθεριάζοντες ceteri (v) 17 ἀποβιάζονται SFMGP: ὑποβιάζονται H¹ (v), βιάζονται AH² 17. 18 τάξει τεταγμέναι S: τεταγμέναι τάξει ceteri (v) 19 ἡ om. F (fort. recte) λέγειν F δὲ SF: δ' ceteri 21 ψυχή coni. Mang. 22 ἄρρεν S

3sqq. Deut. 25,11. 12.

θήλεια καὶ πρὸς γυναικῶν· ἄρρην μὲν ἡ μόνῳ θεῷ προσκληροῦσα
ἑαυτὴν ὡς πατρὶ καὶ ποιητῇ τῶν ὅλων καὶ πάντων αἰτίῳ, θήλεια δὲ ἡ
ἐκκρεμαμένη τῶν ἐν γενέσει καὶ φθορᾷ καὶ ἀποτείνουσα καθάπερ χεῖρα
τὴν δύναμιν αὐτῆς, ἵνα τυφλῶς τῶν ἐπιτυχόντων ἐφάπτηται, γένεσιν
δεξιουμένη τὴν τροπαῖς ἀμυθήτοις χρωμένην καὶ μεταβολαῖς, δέον τὴν
179 ἀμετάβλητον καὶ μακαρίαν καὶ τρισευδαίμονα θείαν φύσιν. εἰκότως οὖν
τὴν ἐφαψαμένην χεῖρα τῶν διδύμων ἀποκόπτειν διείρηται συμβολικῶς,
οὐχ ὅπως ἀκρωτηριάζηται τὸ σῶμα στερόμενον ἀναγκαιοτάτου μέρους,
ἀλλ' ὑπὲρ τοῦ τῆς ψυχῆς πάντας τοὺς ἀθέους ἐκτέμνειν λογισμοὺς ἐπι-
βάθρᾳ χρωμένους ἅπασιν ὧν γένεσίς ἐστι· δίδυμοι γὰρ σύμβολον σπορᾶς
180 καὶ γενέσεως. ἑπόμενος δ' ἀκολουθίᾳ φύσεως κἀκεῖνο λέξω, ὅτι μονὰς
μέν ἐστιν εἰκὼν αἰτίου πρώτου, δυὰς δὲ παθητῆς καὶ διαιρετῆς ὕλης·
ὃς ἂν οὖν δυάδα πρὸ μονάδος τιμήσῃ καὶ δεξιώσηται, μὴ ἀγνοείτω
⟨τὴν⟩ ὕλην ἀποδεχόμενος μᾶλλον ἢ θεόν. ἧς χάριν αἰτίας ἐδικαίωσεν
ὁ νόμος ταύτην τὴν ἐπιβολὴν τῆς ψυχῆς ἀποκόπτειν οἷα χεῖρα· μεῖζον
γὰρ οὐκ ἔστιν ἀσέβημα ἢ τῷ παθητῷ τὴν τοῦ δρῶντος ἀνατιθέναι δύναμιν.
181 (33.) Μέμψαιτ' ἄν τις δεόντως τοὺς ἀνόμοια τοῖς ἀδικήμασι
τάττοντας ἐπιτίμια κατὰ τῶν εἰργασμένων, ζημίας χρημάτων ἐπ' αἰκίαις
ἢ ἐπὶ τραύμασι καὶ πηρώσεσιν ἀτιμίας ἢ ἐπ' ἀνδροφονίαις ἑκουσίοις
ἐλάσεις ὑπερορίους καὶ τὰς εἰς ἀεὶ φυγὰς ἢ δεσμοὺς ἐπὶ κλοπαῖς· τὸ
γὰρ ἀνώμαλον καὶ ἄνισον ἐχθρὸν πολιτείας ζηλούσης τὴν ἀλήθειαν.
182 ἰσότητος δὲ ὑφηγητὴς ὁ ἡμέτερος νόμος τὰ ὅμοια κελεύων τοὺς ἁμαρ-

---

1 προσκληροῦσα SM, προσηροῦσα F: προσκληροῦσ' ceteri   2 θῆλυς F   3 ὑπο-τείνουσα F   χεῖρας M   4 αὐτῆς codd.   5 pr. τὴν] ταῖς AH^2 χρωμένη AH^2 6 μακαρίαν SF: μακάριον ceteri (v)   φύσιν θείαν transp. G   7 τῶν διδύμων χεῖρα trânsp. M   ἀποκόπτεσθαι AH^2 διήρηται S, εἴρηται AH^2 8 ἀκρωτηριάζῃ AH^2 στερούμενον S^{2}H^2 9 τοῦ] τοῦ τοὺς H^1 corr. (Turn.)   πάντας SF: om. ceteri (Turn.)   τοὺς ἀθέους F: τοὺς θεοὺς M, ἀθέους ceteri (v)   ἐκτεμεῖν F, ἐκβάλλειν S   9. 10 ἐπὶ βάθρα A   10 ἅπασιν—ἑπόμενος δ' (11) om. H^{1}P, add. mg H^1 11 ἑπόμενον G   δ' om. S   13 οὖν ἂν transp. AH^2, οὖν om. S   τιμήσῃ καὶ F: τιμήσας ceteri (v)   ἀγνοήτω H^{1}P   14 τὴν addidi   ἀποδεχόμενος] ἀμπεχόμενος F   ἐδίκασεν S   15 τὴν om. Turn.   ἐπιβουλὴν SP   16 τὴν om. F   17 μέμψαιτ' SF: μέμψαιτο δ' AH^2, μέμψεται δ' ceteri (v)   δεόντως om. S   ἀνόμοια] ἀνομία S   18 κατὰ om. M   ἐπ'] εἶτ' S   19 ἐπὶ om. M   τραύμασιν S   ἀκουσίοις F   20 ἐσαεὶ S, ἀεὶ (om. εἰς) M   ηδεεμοὺσ (sic) S   21 ἐχθρὸν] ἔχθρα F, ἐχθρᾶς S   οὐ ζητούσης S (sed οὐ add. S^2)   22 δὲ S: δ' αὖ F, δ' ceteri   κελεύων SFL: κελεύει ceteri (Mang.)

---

22 Exod. 21,24. 25. Lev. 24,19. 20. Deut. 19,19. 21.

τάνοντας ὑπομένειν οἷς ἔδρασαν, ἐκ τῶν οὐσιῶν, ἐὰν περὶ τὰς οὐσίας
ἀδικοπραγῶσι τῶν πλησίον, ἐκ τῶν σωμάτων, ἐὰν εἰς τὰ σώματα ἐξαμαρ-
130 M. τάνωσι κατὰ μέρη καὶ μέλη καὶ τὰς αἰσθήσεις· κἂν ἄχρι | μέντοι τῆς
ψυχῆς ἐπιβουλεύσωσιν, εἰς ψυχὴν τιμωρεῖσθαι κελεύει· ὑπομένειν γὰρ
ἀνθ' ἑτέρων ἕτερα μηδεμίαν ἔχοντα κοινωνίαν ἀλλὰ τοῖς εἴδεσιν ἀπηρ-
τημένα καταλυόντων νόμους ἐστίν, οὐ βεβαιούντων. ταυτὶ δέ φαμεν 183
τῶν ἄλλων [οὐχ] ὁμοίως ἐχόντων· οὐ γὰρ ταὐτὸν ἀλλοτρίῳ καὶ πατρὶ
πληγὰς ἐμφορῆσαι οὐδὲ ἄρχοντα ἢ ἰδιώτην κακῶς εἰπεῖν οὐδὲ ἐργάσασθαί
τι τῶν μὴ ἐφειμένων ἐν βεβήλοις ἢ ἱεροῖς χωρίοις οὐδ' ἐν ἑορταῖς καὶ
πανηγύρεσι καὶ δημοτελέσι θυσίαις καὶ πάλιν ἐν ἡμέραις αἷς μηδὲν
πρόσεστι τῶν εἰς ἐκεχειρίαν ἢ καὶ συνόλως ἀποφράσι, καὶ ὅσα ἄλλα
τοιουτότροπα διερευνητέον εἰς συναύξησιν ἢ μείωσιν κολάσεως.

Πάλιν ἐάν τις, φησίν, ὀφθαλμὸν οἰκέτου ἢ θεραπαίνης ἐκκόψῃ, ἐλευθέ- 184
ρους ἀφιέτω. διὰ τί; ὥσπερ τὴν τοῦ σώματος ἡγεμονίαν ἡ φύσις ἀνῆψε
κεφαλῇ χαρισαμένη καὶ τόπον οἰκειότατον ὡς βασιλεῖ τὴν ἄκραν — ἄνω
γὰρ αὐτὴν ἐπ' ἀρχὴν παραπέμψασα ἱδρύσατο καθάπερ ἀνδριάντι βάσιν
ὑποθεῖσα τὴν ἀπ' αὐχένος ἄχρι ποδῶν ἅπασαν ἁρμονίαν —, οὕτως
καὶ τῶν αἰσθήσεων τὸ κράτος ἀνέδωκεν ὀφθαλμοῖς· ὑπεράνω γοῦν καὶ

---

1 οἷς] οἷα M 2 ἀδικῶσι P τῶν πλησίον F, τῶν πλησίων S^{1} (ut vid.): τὸν πλησίον ceteri (v) ἐὰν] ἂν AH^{2} 2. 3 ἐξαμαρτάνωσι(ν) SG: ἁμαρτάνωσι ceteri (v) 3 κατά τε S καὶ μέλη SF: ἢ μέλη M, ἢ καὶ μέλη ceteri (v) alt. καὶ om. A ἄχρι om. S; post μέντοι add. μέχρι mg S^{2} 4 τιμωρεῖσθαι· κελεύειν γὰρ (om. ὑπομένειν) S 5 ἄνθ'] ἂν F ἕτερα om. G 5. 6 ἀπηρτιμένα S 6 ταυτὶ] ταυτει S 7 ⟨περὶ⟩ vel ⟨ἐπὶ⟩ τῶν ἄλλων coni. Mang. ἄλλων] ὅλων F οὐχ ὁμοίως ἐχόντων om. S οὐχ seclusi ἀλλοτρίῳ καὶ πατρὶ FNMG: ἀλλοτρίῳ καὶ δεόντως πατρὶ S, ἀλλοτρίῳ καὶ πατρίῳ AH^{2}, πατρὶ καὶ ἀλλοτρίῳ $H^{1}P$ (v) 8 pr. οὐδὲ S: οὐδ' ceteri ἄρχοντ' $GH^{1}P$ alt. οὐδὲ S: οὔτ' M, οὐδ' ceteri ἐργάσθαι (sic) F, ἐργάζεσθαι S (v) 9 ἐφειμένων F: ἐφιεμένων ceteri (v) οὐδ' ἐν] οὐδὲν G 10 θυσίαις] ἀσυλίαις S 11 πρόσεστι] προσέτι S^{2}, ἔστι AH^{2} ἄδειαν ἐκεχειρίαν S (ἢ ss. S^{2}) ἐκκεχειρίαν $AH^{2}H^{1}P$ pr. καὶ om. S ἀποφράσι AH^{2}: ἀποφορὰς SFM, ἀποφορᾶς $GH^{1}P$ (Turn.) ὅσα SFM: ὅσ' ceteri 12 κολάσεων F 13 tit. περὶ ἐκκοπῆς ὀφθαλμοῦ (-ῶν S) οἰκέτου add. S mg M ὀφθαλμοὺς F 14 ἀφιέτω] ἐάτω F διὰ τί SF: διότι ceteri (v) τοῦ om. $H^{1}P$ (Turn.) ἀνῆψεν S 15 κεφαλὴν F τόπον] τὸ πᾶν S 16 ἀρχὴν] ἄκραν coni. Mang. παραπέμψασα SF: ἀναπέμψας ceteri (-ασ' v) ἀνδριὰν AH^{2} 17 ἀπ'] ὑπ' F ἄχρι] μέχρι S πᾶσαν S ⟨σώματος⟩ ἁρμονίαν coni. Mang. οὕτως S: οὕτω ceteri 18 τὸ κράτος om. AH^{2} ὀφθαλμούς AH^{2}

7—8 N fol. 159v: οὐ γὰρ ταὐτὸν — κακῶς εἰπεῖν. 13 Exod. 21,26.

ἐὰν δὲ θρέμμα κατενεχθὲν ἀποθάνῃ, τὴν ἀξίαν τιμὴν ὡς ζῶντος ἐπανορθού-
149 σθωσαν τῷ δεσπότῃ τὸ νεκρὸν αὐτοὶ λαβόντες. ἀδελφὸν δὲ καὶ συγγενὲς
ἀδίκημα δρῶσι τῷ λεχθέντι καὶ ὅσοι κατασκευάζοντες οἰκίας ἰσόπεδα
καταλείπουσι τὰ τέγη, περιστεφανοῦν θωρακίοις δέον ὑπὲρ τοῦ μή τινα
καταχρημνισθῆναι λαθόντα· φόνον γάρ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, δρῶσι,
κἂν μηδεὶς ὑποσυρεὶς ἀποθάνῃ, τό γε ἐπ' αὐτοὺς ἧκον μέρος. κολα-
ζέσθωσαν οὖν ἐν ἴσῳ τοῖς ἀχανῆ τὰ στόμια τῶν ὀρυγμάτων κατα-
λείπουσι.
150 (28.) Λύτρα παρὰ ἀνδροφόνου, ὃν δέον τεθνάναι, διαγορεύει ὁ
νόμος μὴ ἐξεῖναι λαμβάνειν ἐπὶ μειώσει τῆς τιμωρίας ἢ ὑπαλλαγῇ
φυγῆς ἀντὶ θανάτου· αἵματι γὰρ αἷμα καθαίρεται, τῷ τοῦ κτείναντος τὸ
151 τοῦ ἐπιβουλευθέντος. ἐπεὶ δ' ὅρον οὐκ ἔχουσιν οἱ πονηροὶ τὰς φύσεις
τοῦ πλημμελεῖν, ἀλλ' ἀεὶ μεγαλουργοῦσι προσυπερβάλλοντες καὶ τὰς
κακίας ἐπιτείνουσι καὶ διαίρουσι πρὸς τὸ ἄμετρον καὶ ἀπερίγραφον,
μυρίους μὲν θανάτους, εἴπερ οἷόν τε ἦν, ὥρισεν ἂν κατ' αὐτῶν ὁ νομο-
θέτης· ἐπεὶ δὲ τοῦτ' οὐκ ἐνεδέχετο, τιμωρίαν ἄλλην προσδιατάττεται
152 κελεύων τοὺς ἀνελόντας ἀνασκολοπίζεσθαι. καὶ τοῦτο προστάξας ἀνατρέχει
πάλιν ἐπὶ τὴν αὑτοῦ φιλανθρωπίαν, ἡμερούμενος πρὸς τοὺς ἀνήμερα

---

1. 2 ἐπανορθούσθωσαν SF: ἐπανορθούτωσαν ceteri (v) 2 τὸ] τὸν F λαμβάνοντες F tit. περὶ οἰκοδομῆς οἰκίας add. S mg M 3 τῷ προλεχθέντι S καὶ ὅσοι SF: καὶ om. ceteri (v) 4 καταλίπουσι S στέγη F περιστεφανοῦν θωρακίοις δέον] ἐπιστεφανοῦσθαι δίκαιον θωρακίοις AH^{2} 6 γε SF: γ' ceteri αὐτοὺς F: αὐτοῖς ceteri (v) 7 οὖν SF: om. M, γοῦν ceteri (v) ἀχανῆ] ἀμηχανῆ G 7. 8 καταλιποῦσι S 9 tit. περὶ τοῦ μὴ λαμβάνειν λύτρα παρὰ ἀνδροφόνου add. S mg M παρὰ S: παρ' ceteri ἀνδροφόνου ὃν F: ἀνδροφόνων οὓς ceteri (v) 10 ἐπὶ μείονι F ἢ om. F ἀπαλλαγῇ S (sed ἀ corr. ex ὑ) 11 φυγῆς] φυγὰς (sic) S, φυγὴν ἢ ἀτιμίαν ὁρίζοντας F 12 ἐπεὶ δ' ὅρον SFM: ἐπεὶ ὅρον A, ἐπεὶ κόρον ceteri (v) οἱ πονηροὶ om. AH^{2} 13 κακουργοῦσι SM (μεγαλουργοῦσι mg M) 14 ἐπιτείνουσι FL: ἀποτείνουσι (ἐ ῐ superscr.) H^{1}, ἀποτείνουσι ceteri ἀπερίγραπτον M 15 μὲν SFM: μὲν γὰρ ceteri (v) τε SF: τ' ceteri ὥρισε F (ὥρισεν ἂν scripsi): ἤνεγκεν ἂν ceteri (v) 16 διατάττεται S, προσδιαπλάττεται F 17 ἀνελόντας] ἀναιρεθέντας F 18 ἐπὶ F: πρὸς ceteri (v) αὐτοῦ SF (αὑτοῦ scripsi): ἑαυτοῦ ceteri (v)

---

1 Exod. 21,33. 34. cf. *Ioseph. Ant. Iud. IV § 283* οἱ φρέαρ ἢ λάκκον ὀρύξαντες ἐπιμελὲς ποιείσθωσαν, ὥστε σανίδων ἐπιβολαῖς ἔχειν κεκλεισμένα, οὐχ ὅπως τινὲς εἴργοιντο ὑδρείας, ἀλλ' ἵνα μηδεὶς κίνδυνος ὡς ἐμπεσουμένοις ᾖ. (284) οὗ δ' ἂν εἰς ὄρυγμα τοιοῦτον μὴ κλειστὸν ἐμπεσὸν βόσκημά τινος διαφθαρῇ, τὴν τιμὴν αὐτοῦ τῷ δεσπότῃ καταβαλλέτω. 3 Deut. 22,8. cf. *Ioseph. l. l.* περιβαλλέσθω δὲ καὶ τοῖς στέγεσιν ἅπερ ὡς ἀντὶ τείχους ὄντα οὐκ ἐάσει τινὰς ἀποκυλισθέντας ἀπολέσθαι. 9 Num. 35,31. 32.

εἰργασμένους, καί φησι· μὴ ἐπιδυέτω ὁ ἥλιος ἀνεσκολοπισμένοις, ἀλλ' ἐπικρυπτέσθωσαν γῇ πρὸ δύσεως καθαιρεθέντες. ἦν γὰρ ἀναγκαῖον τοὺς ἅπασι τοῖς μέρεσι τοῦ κόσμου πολεμίους μετεωρίσαντας εἰς τοὐμφανὲς ἐπιδείξασθαι μὲν αὐτοὺς ἡλίῳ καὶ οὐρανῷ καὶ ἀέρι καὶ ὕδατι καὶ
II 325 M. γῇ | κολασθέντας, πάλιν δὲ εἰς τὸν νεκρῶν χῶρον ὑποσῦραί τε καὶ καταχῶσαι, ὅπως μὴ τὰ ὑπὲρ γῆν μιαίνωσι.

(29.) Παγκάλως μέντοι κἀκεῖνο διατέτακται, πατέρας ὑπὲρ υἱῶν μὴ ἀποθνῄσκειν μηδ' υἱοὺς ὑπὲρ γονέων, ἀλλ' ἕκαστον τῶν ἄξια θανάτου δεδρακότων αὐτὸν ἰδίᾳ μόνον ἀναιρεῖσθαι, διὰ τοὺς ἢ βίαν τοῦ δικαίου 153
προτιμῶντας ἢ πάνυ φιλοστόργους. οὗτοι μὲν γὰρ διὰ περιττὴν καὶ 154
ὑπερβάλλουσαν εὔνοιαν ἐθελήσουσι πολλάκις ἄσμενοι προαποθνῄσκειν, αὐτοὺς ἐπιδιδόντες ὑπὲρ τῶν ἐνόχων οἱ ἀνυπαίτιοι, μέγα κέρδος νομίζοντες τὸ μὴ ἐπιδεῖν κολαζομένους ἢ τοὺς γεννήσαντας υἱοὶ ἢ τοὺς παῖδας γονεῖς, ὡς ἀβίωτον καὶ παντὸς ἀργαλεώτερον θανάτου τὸν αὖθις χρόνον βιωσόμενοι. πρὸς οὓς λεκτέον· „ἡ εὔνοια ὑμῶν οὐκ ἔχει καιρόν, 155
τὰ δ' ὅσα μὴ ἐν καιρῷ ψέγεται δεόντως, ἐπεὶ καὶ τὰ καίρια ἐπαινεῖται. χρὴ μέντοι φιλεῖν τοὺς ἄξια φιλίας δρῶντας, πονηρὸς δ' οὐδεὶς πρὸς ἀλήθειαν φίλος. συγγενεῖς δὲ καὶ ἐν συγγενέσι φίλους καλουμένους ἠλλοτρίωσαν αἱ μοχθηρίαι πλημμελοῦντας· συγγένεια γὰρ οἰκειοτέρα τῆς πρὸς αἵματος ἡ πρὸς δικαιοσύνην καὶ πᾶσαν ἀρετὴν ὁμολογία, ἣν ἐκλιπὼν

---

1 ἀνασκολοπισμένοις S   ἀλλὰ A   2 ἦν] τί S   3 τοὺς] τοῖς S   ἐν ἅπασι SF   μετεωρήσαντας AH[2], μετεωρήσαντας S (σιν ss. S[2])   εἰς] ἐκ A   3. 4 τὸ ἐμφανὲς F   4 οὐρανῷ] σελήνῃ A   5 δὲ FM: δ' ceteri   τε om. F   6 γῆν S: γῆς ceteri (v)   7 tit. οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων add. S mg M   διατετάχθαι AH[2]   9 αὐτῶν F   11 ἐθέλουσι coni. Mang.   προαποθνήσκειν codd.: προσαποθνήσκειν v   12 ἑαυτοὺς M, αὐτοὺς FGH[2]P, αὐ in αὑ corr. H[1]   ἐπιδόντες G   τῶν om. F   οἱ δ' ἀνυπαίτιοι F, οἱ δ' ὑπαίτιοι S   13 ἐπιδεῖν FM, ἐφιδεῖν (π ss.) S: ἰδεῖν ceteri (v)   alt. ἢ codd.: ἢ καὶ v   14 ἀβιώτατον S   ἀργαλεώτατον SFMG   15 ἡμῶν G   16 τὰ δὲ μὴ ὅσα S   ἐπεὶ] ἐπὶ S   καὶ om. S   17 φιλίας SFL[2]: φιλοσοφίας ceteri   18 καὶ] ἔτι καὶ F   ἐν et φίλους om. S   καλουμένους] καλοῦμεν οὓς F   18. 19 ἠλλοτρίωσαν] ἢ ἀλλοτρίως ἂν S   19 πλημμελοῦνται S (sed ι corr. ex σ)   τῆς] τοῦ H[1]P (Turn.)   20 πᾶσαν] πᾶσαν ἄλλην H[1]P (v)   ἣν] ἢ AH[2]   ἐκλιπὼν SF: ἐκλείπων ceteri (v)

---

1 Deut. 21,22. 23.   7 Deut. 24,16. cf. *Ioseph. Ant. Iud. IV § 289.*
17. 18. 19. 20 Vindob. hist. gr. fol. 59r τοῦ αὐτοῦ περὶ φιλίας: χρὴ μέντοι φιλεῖν τοὺς ἄξια φιλίας δρῶντας· πονηρὸς δ' οὐδεὶς πρὸς ἀλήθειαν φίλος: — περὶ συγγενείας: συγγένεια γὰρ οἰκειοτέρα τῆς πρὸς αἵματος ἡ πρὸς δικαιοσύνην καὶ πᾶσαν ἀρετὴν ὁμολογία: —

τις οὐκ ἐν ὀθνείοις καὶ ξένοις μόνον ἀλλὰ καὶ ἐν ἀσπόνδοις ἐχθροῖς
156 ἀναγράφεται. τί οὖν κατεψευσμένον ὄνομα εὐνοίας ὅ τι χρηστὸν καὶ
φιλάνθρωπόν ἐστιν ὑποδύεσθε, τἀληθῆ μαλακίαν καὶ ἀνανδρίαν παρα-
καλυπτόμενοι; ἢ οὐκ ἄνανδροι τὰς φύσεις, παρ' οἷς οἴκτου λογισμὸς
ἡττᾶται; καὶ ταῦθ' ἵνα διπλοῦν ἀδίκημα δράσητε, τοὺς μὲν ὑπαιτίους
ῥυόμενοι τῆς τιμωρίας, αὐτοὺς δ' ἐπὶ μηδενὶ μεμφθέντας τὸ παράπαν
157 οἰόμενοι δεῖν ἀντ' ἐκείνων κολάζειν;" (30.) ἀλλ' οὗτοι μὲν ὑποτίμησιν
ἔχουσι τὸ μηδὲν θηρᾶσθαι ἐπ' ὠφελείᾳ καὶ τὸ λίαν πρὸς τοὺς ἐγγυτάτω
γένους φιλόστοργον, ὑπὲρ ὧν τῆς σωτηρίας ἀποθνῄσκειν ἄσμενοι δια-
158 νοοῦνται. τοὺς δὲ ὠμοθύμους καὶ τὴν φύσιν θηριώδεις τίς οὐκ ἂν
προβάλοιτο τῶν οὐ λέγω μετρίων ἀλλὰ καὶ τῶν μὴ σφόδρα ἀτιθάσων
τὴν ψυχήν, οἳ ἢ λάθρα τεχνάζουσιν ἢ ἐπιθαρροῦσι φανερῶς ἑτέροις
ἀνθ' ἑτέρων τὰς μεγίστας ἐπανατείνεσθαι συμφοράς, φιλίαν ἢ συγγένειαν
ἢ κοινωνίαν ἤ τι ὁμοιότροπον ἐπ' ὀλέθρῳ τῶν οὐδὲν ἠδικηκότων προ-
φασιζόμενοι; καὶ ταῦτα δρῶσιν ἔστιν ὅτε μηδὲν πεπονθότες δεινόν,
159 ἕνεκα δὲ πλεονεξίας ἢ ἁρπαγῆς. πρῴην τις ἐκλογεὺς φόρων ταχθεὶς
παρ' ἡμῖν, ἐπειδή τινες τῶν δοξάντων ὀφείλειν διὰ πενίαν ἔφυγον δέει
τιμωριῶν ἀνηκέστων, γύναια τούτων | καὶ τέκνα καὶ γονεῖς καὶ τὴν p. 326 M
ἄλλην γενεὰν ἀπαγαγὼν πρὸς βίαν, τύπτων καὶ προπηλακίζων καὶ πάσας
αἰκίας αἰκιζόμενος, ἵν' ἢ τὸν φυγόντα μηνύσωσιν ἢ τὰ ὑπὲρ ἐκείνου
καταθῶσιν οὐδέτερον δυνάμενοι, τὸ μὲν ὅτι ἠγνόουν, τὸ δ' ὅτι οὐχ

---

1 οὐκ] οὐδ' S ἐν οὐκ transp. M pr. καὶ] ἢ AH² μόνον SF, μόνον corr. ex μᾶλλον H¹: μᾶλλον ceteri 2 κατεψευσμένον S²FAH²: κατεψευσμένοι ceteri (v) ὄνομ' AG 3 ὑποδύεσθε S²MGH¹ corr.: ὑποδύεσθαι ceteri 3. 4 περικαλυπτόμενοι AH² 4 τὰς φύσεις F: om. ceteri (v) οἴκτου SH², οἴκτω (ου) A: οἴκτω ceteri (v) 5 ἡττᾶται SF: ἥττηται ceteri (v) 6 αὐτοὺς SAH¹ corr.: τοὺς F, αὑτοὺς ceteri δὲ AH² 7 οὗτοι] αὐτοὶ S 8 μηδὲν scripsi: μηδενὸς codd. (v); τὸ μὴ ἰδίαν θηρᾶσθαι ὠφέλειαν coni. Mang. 10 δὲ F: δ' ceteri ὁμοθύμους F, ὠμοθύμους οὓς S τὴν φύσιν] τοὺς φύσει AH² τίς et ἂν om. S 11 ἐκθύσαιτο (ἐκμυσάξαιτο coni. Wendl.) καὶ προβάλοιτο F ἀποβάλλοιτο S λέγω S¹M: λόγω ceteri σφόδρ' GH¹P (v) ἀτιθάσων GP, ἀττιθάσων S: om. F, ἀτιθάσσων ceteri (v) 12 οἳ] οἷον M ἐπιθαρροῦσιν S 14 ὁμοιότροπον om. S ἠδικηκότων SF: ἠδικημένων ceteri (v) 14. 15 προφασιζόμενον (τες) G 15 πεπονθόσι A 16 πρῴην] πρώων A, πρώων (i. e. πατρώων) H² 17 ὀφείλειν om. A ἔφυγον codd.: ἔφευγον v 18 ἀνεικέστων S καὶ τέκνα τούτων transp. AH² 19 ἐπαγαγὼν S τύπτων—αἰκιζόμενος (20) om. in textu H¹, add. mg H¹ 19. 20 πάσαις αἰκίαις H¹ (v) 20 αἰκίας om. S τοὺς φυγόντας coni. Mang. μηνύσωσιν F: καταμηνύσωσιν ceteri (v) 21 οὐδέτεροι AH² δυνάμενοι (α) A pr. ὅτι] ὅτ' AH²

ἧττον τοῦ φυγόντος ἀπόρως εἶχον, οὐ πρότερον ἀνῆκεν, ἢ βασάνοις καὶ
στρέβλαις τὰ σώματα κατατείνων ἀποκτεῖναι κεκαινουργημέναις ἰδέαις
θανάτου· ἄμμου σπυρίδα πλήρη βρόχοις ἐκδησάμενος ἀνήρτα κατὰ τῶν 160
αὐχένων, βαρύτατον ἄχθος, ἱστὰς ἐν ὑπαίθρῳ κατὰ μέσην ἀγοράν, ἵν'
οἱ μὲν ἀθρόαις τιμωρίαις, ἀνέμῳ καὶ ἡλίῳ καὶ τῇ ἀπὸ τῶν παριόντων
αἰσχύνῃ καὶ τοῖς ἐκκρεμαμένοις ἄχθεσι, βιαζόμενοι χαλεπῶς ἀπαγο-
ρεύωσιν, οἱ δὲ θεώμενοι τὰς τούτων τιμωρίας προαλγῶσιν· ὧν ἔνιοι 161
τρανότερον τῆς διὰ τῶν ὀφθαλμῶν τὴν διὰ τῆς ψυχῆς λαβόντες αἴσθησιν,
ὡς ἐν τοῖς ἑτέρων σώμασιν αὐτοὶ κακούμενοι, τῷ βίῳ προαπετάξαντο
ξίφεσιν ἢ φαρμάκοις ἢ ἀγχόναις, μεγάλην ὡς ἐν κακοπραγίαις νομίζοντες
ἐπιτυχίαν τὴν ἄνευ βασάνων τελευτήν· οἱ δὲ μὴ φθάσαντες ἑαυτοὺς 162
διαχρήσασθαι, καθάπερ ἐν ταῖς τῶν κλήρων ἐπιδικασίαις, κατὰ στοῖχον
ἤγοντο οἱ ἀπὸ τοῦ γένους πρῶτοι καὶ μετ' αὐτοὺς δεύτεροι καὶ τρίτοι
μέχρι τῶν ὑστάτων· καὶ ὁπότε μηδεὶς λοιπὸς εἴη τῶν συγγενῶν, διέβαινε
τὸ κακὸν καὶ ἐπὶ τοὺς γειτνιῶντας, ἔστι δ' ὅτε καὶ ἐπὶ κώμας καὶ
πόλεις, αἳ ταχέως ἔρημοι καὶ κεναὶ τῶν οἰκητόρων ἐγένοντο μετανι-
σταμένων καὶ σκεδαννυμένων ἔνθα λήσεσθαι προσεδόκων. ἀλλ' οὐδὲν 163
ἴσως θαυμαστόν, εἰ φορολογίας ἕνεκα βάρβαροι τὰς φύσεις, ἡμέρου
παιδείας ἄγευστοι, δεσποτικοῖς πειθαρχοῦντες ἐπιτάγμασι τοὺς ἐτησίους
ἀναπράττουσι δασμούς, οὐ μόνον ἐκ τῶν οὐσιῶν ἀλλὰ καὶ ἐκ τῶν σωμά-
των, ἄχρι καὶ ψυχῆς τοὺς κινδύνους ἐπιφέροντες ὑπὲρ ἑτέρων ἑτέροις.
ἤδη δὲ καὶ οἱ τῶν δικαίων ὅροι καὶ κανόνες, αὐτοὶ οἱ νομοθέται, πρὸς 164
δόξαν μᾶλλον ἢ πρὸς ἀλήθειαν ἀπιδόντες, τῶν ἀδικωτάτων ὑπέμειναν

1 φυγόντως (sic) FP 2 κατατείνων SFMP: κατακτείνων ceteri (Turn.) 3 ἄμμου σπυρίδα πλήρη FL[2]: πληροῦν ἢ (ἄ. σπ. om.) S, ἄ. σ. π. om. ceteri ἐκδησάμενος om. AH[2] ἀνῆρται P 3. 4 τῶν αὐχένων SFM: τὸν αὐχένα ceteri (Turn.) 4 ἐν ὑπαίθρῳ om. AH[2] 5 ἀθρόοις S pr. καὶ om. AH[2] 6 βιαζόμενοι] πιεζόμενοι coni. Mang. 6. 7 ἀπαγορεύωσιν SFM: ἀπαγορεύσωσιν ceteri (v) 7 προσαλγῶσιν F, προάγωσιν S, προαλλαγῶσιν AH[2] 8 τρανότερον SF: τρανοτέραν ceteri (v) 9 κακούμενοι] καλούμενοι S 10 ἢ ξίφεσιν S μεγάλαις AH[2] ἐν om. M κακοπραγία AH[2] 10. 11 νομίζοντες ἐπιτυχίαν om. F 11 εὐτυχίαν coni. Mang. ἑαυτοὺς SF: αὑτοὺς MH[1] corr., αὐτοὺς AH[2]GP 12 κλήρων καὶ ἐπικλήρων F στοῖχον SFM: στοιχεῖον ceteri (v); στίχον voluit Mang. 13 μετὰ τούτους S 14 μηδεὶς λοιπὸς F: μηδεὶς λοιπὸν SGH[1]P, λοιπὸν μηδεὶς MAH[2] τῶν συγγενῶν F: τῶν om. ceteri (v) 15 ἔστιν S 16 κεναὶ om. A ἐγίνοντο S[2]AP 17 προσεδόκουν H[1]P 18 βάρβαροι τὰς φύσεις βάρβαροι (sic) AH[3] 19 πειθαρχοῦντες δεσποτικοῖς transp. H[1]P (v) ἐπιτάγμασι(ν) SF: προστάγμασι ceteri (v) 21 ἄχρι SF: μέχρι ceteri (v) ὑποφέροντες S 22 ἤδη δὲ et οἱ om. S αὐτοὶ νομοθέται οἱ S 23 δόξας F ἀπιδόντες] ἀποδιδόντες τὰ AH[2] ἀδικωτάτων codd.: ἀδικημάτων Turn.

γενέσθαι, κελεύσαντες τοῖς μὲν προδόταις τοὺς παῖδας συναναιρεῖσθαι,
165 τοῖς δὲ τυράννοις τὰς ἐγγυτάτω πέντε οἰκίας. διὰ τί; φαίη ἄν· εἰ μὲν γὰρ συνεξήμαρτον, καὶ συγκολαζέσθωσαν, εἰ δὲ μήτε κατεκοινώνησαν μήτε ζηλωταὶ τῶν ὁμοίων ἐγένοντο μήτε ταῖς τῶν οἰκείων εὐτυχίαις ἐπαρθέντες ἐνηδυπάθησαν, τίνος χάριν ἀναιρεθήσονται; ἢ δι' ἓν τοῦτο μόνον, ὅτι συγγενεῖς εἰσι; γένους γὰρ ἢ | παρανομημάτων αἱ τιμωρίαι; p. 327
166 χρηστῶν ἴσως ὑμεῖς, ὦ σεμνοὶ νομοθέται, τῶν οἰκείων ἐλάχετε· μοχθηροὶ δ' εἴπερ ἐγένοντο, δοκεῖτέ μοι μηδ' ἂν εἰς νοῦν ποτε βαλέσθαι τὰς τοιαύτας προστάξεις, ἀλλὰ καὶ γράφοντας ἑτέρους δυσχερᾶναι, διὰ τὴν τοῦ μηδὲν ἀνήκεστον παθεῖν προφυλακὴν * * * τὸν ἐν ἀσφαλεῖ βίῳ διάγοντα μετὰ τῶν κινδυνευόντων σκοπεῖν καὶ ἐν ταῖς ἴσαις κακοπραγίαις ἐξετάζεσθαι· τὸ μὲν γὰρ ἔχει δέος, ὃ φυλαττόμενός τις οὐδ' ἂν ἕτερον περιίδοι, τὸ δ' ἐστὶν ἄφοβον, ὑφ' οὗ πολλάκις ἀνεπείσθησάν
167 τινες ἀλογεῖν ἀνθρώπων ἀνυπαιτίων ἀσφαλείας. ταῦτ' οὖν ἐκλογισάμενος ὁ ἡμέτερος νομοθέτης καὶ τὰ παρὰ τοῖς ἄλλοις ἁμαρτήματα συνιδὼν ὡς φθοροποιὰ τῆς ἀρίστης πολιτείας ἀπεστράφη καὶ διεμίσησε [καὶ] τοὺς χρωμένους εἴτε ῥᾳθυμίαις εἴτε ἀπανθρωπίαις καὶ κακίαις καὶ οὐδέποτέ

---

2 τοῖς δὲ τυράννοις] τῶν τυράννων AH² τὰς ἐγγυτάτω om. AH² ἐγγυτάτω] ἀνωτάτω H¹ τὰς . . . οἰκίας] τοὺς . . . οἰκείους coni. Mang. 3 μήτε] μὴ S 4 ἐγίνοντο AH² οἰκείων] οἰκιῶν S συντυχίαις S 5 ἐπαρθέντας G ἀναιρεθήσονται SFM: ἀναιρήσονται ceteri (Turn.) 6 μόνον om. A 7 ὡς σεμνοὶ S, σεμνοὶ om. M 8 ἐγίνοντο A μηδ' ἂν] μηδὲ F 8. 9 βάλλεσθαι S 9 προστάξεις] πράξεις AH² γράφοντας ἑτέρους S: γράφοντος ἑτέρου F, γράφουσιν ἑτέροις ceteri (v) δυσχεραίνειν S 10 τὴν om. S ἀνηκέστατον S πρὸς φυλακὴν F lacunam indicavit Mang. ἀσφαλῆ S 10. 11 ἀσφαλεία βίου H¹P 11 μετὰ om. S σκοπεῖν suspectum 12 ἐξετάζεσθαι F: συνεξετάζεσθαι ceteri (v) ἔχειν S ὃ om. S 12. 13 οὐδ' ἂν] οὐδὲν S, οὐδένα F, οὐκ ἂν AH² 13 τόδ' ἔστιν M ἀφ' οὗ AH² ἐπείσθησαν AH², ἀνεσπάσθησαν L (Turn.) 14 ἀλογεῖν om. F ἀσφαλείας SFM: ἀσφάλειαν AH², ἀσφαλείαις GH¹P (v) 15 τὰ om. S παρὰ τοῖς ἄλλοις F, πέρα τοῖς ἄλλοις S: παρ' ἄλλοις ceteri (v) ἁμαρτήμασιν S 16 ἀρίστης] ἄλλης S ἐμίσησε S καὶ post διεμίσησε seclusit Mang. 17 alt. εἴτε F: εἴτ' ceteri utrumque καὶ om. F κακίας F

---

1 cf. *Cic. de invent. II 144* Ex contrariis autem legibus controversia nascitur . . . hoc modo: lex: Qui tyrannum occiderit, Olympionicarum praemia capito et quam volet sibi rem a magistratu deposcito et magistratus ei concedito. et altera lex: Tyranno occiso quinque eius proximos cognatione magistratus necato. *Curtius Ruf. VI 42,20* Interim equites . . . legem Macedonum veriti, qua cautum erat, ut propinqui eorum qui regi insidiati essent cum ipsis necarentur, alii se interficiunt, alii . . . fugiunt.

τινα τῶν συμβεβιωκότων ἐξέδωκεν ἐπὶ τιμωρίᾳ προσθήκην ποιησάμενος αὐτὸν ἀδικημάτων ἑτέρων. διόπερ ἄντικρυς ἀπεῖπεν υἱοὺς ἀντὶ γονέων 168
ἢ γονεῖς ἀντὶ υἱῶν ἀναιρεῖσθαι, δικαιώσας ὧν τὰ ἁμαρτήματα τούτων εἶναι καὶ τὰς τιμωρίας, εἴτε ζημίας χρημάτων εἴτε καὶ πληγὰς καὶ βιαιοτέρας ὕβρεις εἴτε τραύματα καὶ πηρώσεις καὶ ἀτιμίας καὶ φυγὰς καὶ ὅσα ἄλλα τῶν ἐπὶ δίκαις· ἑνὸς γὰρ τοῦ μὴ ἕτερον ἀνθ' ἑτέρου κτείνειν μνησθεὶς καὶ τὰ ἡσυχασθέντα προσπεριέλαβεν.

Περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας.

(31.) Ἀγοραὶ καὶ βουλευτήρια καὶ δικαστήρια καὶ θίασοι καὶ 169
σύλλογοι πολυανθρώπων ὁμίλων καὶ ὁ ἐν ὑπαίθρῳ βίος διὰ λόγων καὶ πράξεων κατὰ πολέμους καὶ κατ' εἰρήνην ἀνδράσιν ἐφαρμόζουσι, θηλείαις δὲ οἰκουρία καὶ ἡ ἔνδον μονή, παρθένοις μὲν εἴσω κλισιάδων τὴν μέσαυλον ὅρον πεποιημέναις, τελείαις δὲ ἤδη γυναιξὶ τὴν αὔλειον.
διττὸν γὰρ πόλεων εἶδος, μειζόνων καὶ βραχυτέρων· αἱ μὲν οὖν μείζους 170
ἄστη καλοῦνται, οἰκίαι δ' αἱ βραχύτεραι. τὴν δ' ἑκατέρων προστασίαν διειλήχασιν ἄνδρες μὲν τῶν μειζόνων, ἧς ὄνομα πολιτεία, γυναῖκες δὲ τῶν βραχυτέρων, ἧς ὄνομα οἰκονομία. μηδὲν οὖν ἔξω τῶν κατὰ τὴν 171
οἰκονομίαν πολυπραγμονείτω γυνὴ ζητοῦσα μοναυλίαν μηδ' οἷα νομὰς κατὰ τὰς ὁδοὺς ἐν ὄψεσιν ἀνδρῶν ἑτέρων ἐξεταζέσθω, πλὴν εἰς ἱερὸν ὁπότε

---

1 τῶν συμβεβιωκότων AH^{2}GH^{1}P (coni. Mang.): τῶν συμβεβηκότων FL^2 (v), τῶν πολιτῶν M, om. S 2 ἑτέρους F ἀντεῖπεν F 3 ἀντὶ υἱῶν S: ἀνθ' υἱῶν ceteri (v) ὧν] ὧν ἂν F 5 βεβαιοτέρας A 6 ὅσα SFM: ὅσ' ceteri post δίκαις add. δή F τοῦ] τὸ P ἀνθ' ἑτέρων GH^{1}P (Turn.) 7 κτεῖναι A μνησθεὶς om. SF τὰ ἡσυχασθέντα] τὰς ἡσυχῇ S, ταύτας ἡσυχῇ F περιέλαβεν AH^2, προσλαβεῖν S 8 tit. περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας SFAH^2 mg MH^{1}P: om. G 9 καὶ δικαστήρια om. F 10 ἐν] μὲν M 11 κατ' SF: κατὰ ceteri ἐφαρμόζουσιν SM 12 δὲ SF: δ' ceteri ἡ ἔνδον μονή S: ἡ om. ceteri (v) κλασιάδιων (sic) S τὴν om. F 13 μέσαυλον F: μεταυτὸν (sic) S, μεσαύλιον ceteri (v) δ' FAH^2 ἤδη om. SM γυναιξὶν S αὔλιον codd. 14 διττῶν S εἶδος πόλεων transp. H^{1}P (v), εἶδος πόλεως F 15 ἄστη S^{1}FAH^2: ἄσται S^2, ἀσταὶ ceteri (v) οἰκεῖαι (sic) S 16 ἧς corr. ex οἷς H^1 17. 18 κατ' οἰκονομίαν H^{1}P (v) 18 ζητοῦσαν A; ζηλοῦσα coni. Mang. μόνον αὐλίαν (sic) S νομὰς] σοβὰς coni. Mang. 19 post ἀνδρῶν inserunt verba ἐπεχθεῖν—στρατεία (198,5. 6), eadem post ἀνδρῶν (198,4) repetunt AH^2 ἐξεταζέσθω] ἐργαζέσθιω H^1 (Turn.) ὁπότε] ὁπόταν P, ὅπου S

---

12 cf. Menand. frg. 546 K. (Nauck, Mélanges gréco-romains VI 1 p. 119.)

δέοι βαδίζειν, φροντίδα ποιουμένη καὶ τότε μὴ πληθυούσης ἀγορᾶς, ἀλλ'
ἐπανεληλυθότων οἴκαδε τῶν πλείστων, ἐλευθέρας τρόπον καὶ τῷ ὄντι
ἀστῆς ἐν ἠρεμίᾳ θυσίας | ἐπιτελοῦσα καὶ εὐχὰς εἰς ἀποτροπὴν κακῶν p. 328
172 καὶ μετουσίαν ἀγαθῶν. τὸ δὲ λοιδορουμένων ἢ συμπλεκομένων ἀνδρῶν
ἐπεχθεῖν τολμᾶν κατὰ πρόφασιν συμμαχίας ἢ βοηθείας γυναῖκας ἐπί-
ληπτον καὶ οὐ μετρίως ἀναίσχυντον, ἃς οὐδ' ἐν πολέμοις καὶ στρατείαις
καὶ τοῖς ὑπὲρ πάσης τῆς πατρίδος κινδύνοις ἐδικαίωσεν ὁ νόμος ἐξετά-
ζεσθαι, τὸ πρέπον ἰδών, ὅπερ ἀκίνητον ἀεὶ καὶ πανταχοῦ φυλάττειν
διενοήθη, νομίσας αὐτὸ τοῦτ' εἶναι καθ' αὐτὸ νίκης καὶ ἐλευθερίας καὶ
173 πάσης ἄμεινον εὐτυχίας. ἐὰν μέντοι καὶ πυθομένη τις ὑβρίζεσθαι τὸν
ἄνδρα, πόθῳ τῷ πρὸς ἐκεῖνον ἡττηθεῖσα φιλανδρίας, ὑπὸ τοῦ παρα-
στάντος πάθους ἐξορμῆσαι βιασθῇ, μὴ πλέον τῆς φύσεως ἀρρενούσθω
θρασυνομένη, μενέτω δὲ καὶ ἐν οἷς βοηθεῖ γυνή· πάνδεινον γάρ, εἰ
βουλομένη τις ὑπεξελέσθαι τὸν ἄνδρα ὕβρεως ὑβρισθήσεται πρὸς ἑαυτῆς
κατάπλεων ἀποφαινούσης τὸν ἴδιον βίον αἰσχύνης καὶ μεγάλων ὀνειδῶν
174 τῶν ἐπ' ἀνιάτῳ θρασύτητι. λοιδορήσεται γὰρ γυνὴ κατ' ἀγορὰν ῥῆμά
τέ τι τῶν ἀπηγορευμένων φθέγξεται, ἑτέρου δὲ κακηγοροῦντος οὐκ ἀπο-
δραμεῖται τὰ ὦτα ἐπιφράξασα; νυνὶ δὲ προβαίνουσί τινες, ὡς μὴ μόνον
ὑπὸ γλωσσαλγίας ἐν ἀνδρῶν ὄχλῳ [γυναῖκες] κακηγορεῖν καὶ προπη-
λακίζειν, ἀλλὰ καὶ τὰς χεῖρας ἐπιφέρειν τὰς ὑφάσμασι καὶ ταλασίαις

1 πληθυούσης SM, πληθ≡ούσης F: πληθούσης ceteri (v) 2 καὶ om. AH^2
3 ἐρημία SF εἰς SFAH^2: om. ceteri (Turn.) 4 μετουσιῶν A
tit. περὶ γυναικὸς τῶν γεννητικῶν ἀνθρώπου λαβομένης add. S mg M τὸ] τῶν F
5 ἐπεχθεῖν S^1, ἐπελθεῖν S^2, ἐπέχειν F πρόφασιν] πρόθεσιν AH^2 (priore loco)
ἢ] καὶ F 5. 6 ἐπίληπτον γὰρ AH^2 (priore loco) 6 οὐ μετρίως καὶ transp.
AH^2 (altero loco) ἃς οὐδ'] ἢ δὴ οὐκ AH^2 (priore loco), οὐκ (pro οὐδ') etiam F
στρατιαῖς S^{2}F, στρατεία AH^2 9 καθ' αὐτὸ] κατ' αὐτὸν F νίκης SF: νίκην ceteri
(Turn.) 10 καὶ πυθομένη τις F: τις καὶ πυθομένη ceteri (v) 11 φιλανδρίας vel
secludendum vel post πάθους (12) transponendum videtur ὑπὸ ex ὑπὲρ corr. H^1
12 ἐξορμῆσθαι H^2 13 βοηθεῖ ex βοηθῇ corr. H^1, βοηθῇ P ἡ γυνή S
(sed ἡ add. S^2 ut vid.) 14 ὑπερελέσθαι AH^2 ὕβρεως F: ὕβρεων ceteri (v)
πρὸς ἑαυτῆς SF, πρὸς αὑτῆς MAH^2, πρὸς αὐτῆς GP: παρ' αὐτῆς H^1 (v) 16 λοιδο-
ρήσεται scripsi: λοιδορηθήσεται codd. (v) 16. 17 ῥήματά τε AH^2, ῥῆμα δὲ F
17 τι F: om. ceteri (v) δὲ SFAH^2: τε ceteri (Turn.) κακηγοροῦντος H^{1}P:
κατηγοροῦντος ceteri 17. 18 ἐπιδραμεῖται F 18 ὦτα SF: ὦτ' ceteri
ἐπιφθέγξασα (sic) AH^2 19 ὑπὸ γλωσσαλγίας F: γλωσσαλγίας (om. ὑπὸ) SMGP,
γλωσσαλγίαις H^1 corr. (v), γλωσσαλγεῖν AH^2 γυναῖκες codd.: γυναῖκας Mang.
γυναῖκες seclusi (fortasse post προβαίνουσι (18) transponendum) κατηγορεῖν SF,
καὶ κακηγορεῖν AH^2 19. 20 verba καὶ προπηλακίζειν huc trahenda esse vidit
Mang.: post ἐπιφέρειν (20) tradunt codd. 20 alt. καὶ] ἢ AH^2

ἀλλ' οὐ πληγαῖς καὶ ὕβρεσι καθάπερ παγκρατιαστῶν καὶ πυκτῶν ἐνα-
σχουμένας. καὶ τὰ μὲν ἄλλα [οἰστὰ καὶ] φέρειν ἄν τις δύναιτο· χαλεπὸν 175
δ' ἐκεῖνο, εἴ τις γυνὴ τοσοῦτον καταθρασύνοιτο, ὡς διαδράξασθαι τῶν
τοῦ διαφερομένου γεννητικῶν· μὴ γάρ, παρόσον ἀνδρὶ βοηθοῦσα δοκεῖ
τοῦτο πράττειν, ἀφείσθω, τῆς δ' ἄγαν θρασύτητος ἐπεχέσθω τίνουσα
δίκην, ὑφ' ἧς αὐτὴ μὲν τὰ ὅμοια ἐξαμαρτάνειν ἐθέλουσα αὖθις οὐκ ἂν
δύναιτο, τῶν δ' ἄλλων ὅσαι προπετέστεραι φόβῳ μετριάσουσιν· ἔστω
δ' ἡ δίκη χειρὸς ἀποκοπὴ τῆς ἀψαμένης ὧν οὐ θέμις. ἄξιον ἐπαινεῖν 176
καὶ τοὺς τῶν γυμνικῶν ἀγώνων ἀθλοθέτας, οἳ τῆς θέας ἀνεῖρξαν
γυναῖκας, ἵνα μὴ γυμνουμένοις ἀνδράσι παρατυγχάνουσαι τὸ δόκιμον
αἰδοῦς νόμισμα παρακόπτωσιν ἀλογοῦσαι φύσεως θεσμῶν, οὓς ὥρισεν
ἑκατέρῳ τμήματι τοῦ γένους ἡμῶν. οὐδὲ γὰρ ἄνδρας, ἀποτιθεμένων
ἐσθῆτας γυναικῶν, ἐμπρεπὲς παρατυγχάνειν, ἀλλ' ἑκατέρους τὰς τῶν
ἑτέρων ὄψεις ἐκτρέπεσθαι γυμνουμένων τοῖς τῆς φύσεως βουλήμασιν
ἑπομένους. εἶθ' ὧν ἡ ὄψις ἐπίληπτος, οὐ πολὺ μᾶλλον αἱ χεῖρες 177
ὑπαίτιοι; ὀφθαλμοὶ μὲν γὰρ καὶ ἃ μὴ βουλόμεθα πολλάκις ὁρᾶν ἀπελευ-
θεριάζοντες ἀποβιάζονται, χεῖρες δ' ἐν τῇ τῶν ὑπηκόων τάξει τεταγ-
329 M. μέναι | μερῶν πειθαρχοῦσαι τοῖς ἡμετέροις ἐπιτάγμασιν ὑπηρετοῦσιν.
(32.) ἥδε μὲν αἰτία ἣ παρὰ πολλοῖς εἴωθε λέγεσθαι· ἑτέραν δὲ ἤκουσα 178
θεσπεσίων ἀνδρῶν τὰ πλεῖστα τῶν ἐν τοῖς νόμοις ὑπολαμβανόντων εἶναι
σύμβολα φανερὰ ἀφανῶν καὶ ῥητὰ ἀρρήτων. ἦν δὲ τοιάδε· ψυχῆς,
ὥσπερ ἐν ταῖς συγγενείαις, ἡ μέν ἐστιν ἄρρην καὶ πρὸς ἀνδρῶν, ἡ δὲ

---

2 καὶ—οἰστὰ om. AH^2 οἰστὰ καὶ seclusi 3 δὲ ἐκεῖνο AH^2, δὲ κακεῖνο S καταθρασύνοιτο SF: καταθρασύναιτο ceteri (v) 4 παρόσων S^1 5 ἀφείσθω codd.: ἀφιέσθω Mang. δ' SF: γὰρ AH^2, δὲ ceteri ἐπισχέσθω M; ἐνεχέσθω coni. Mang. τείνουσα S 6 μὲν om. M ἐξαμαρτεῖν G ἐθέλουσ' AH^{2}H^1 7 δ' om. AH^{2}G ἄλλων] ὅσων S 8 δ' ἡ] δὴ FM ἐφαψαμένης coni. Mang. 9 τῶν om. AH^2 γυμνικῶν SFM: γυναικῶν GH^{1}P, γυναικείων AH^2 οἳ] οἵ τε AH^2 10 τὸ δοκιμώτατον F 10. 11 τὸ τῆς αἰδοῦς δόκιμον AH^2 11 περικόπτωσιν AH^2 θεσμόν S^1, corr. S^2 13 ἐμπρεπὲς SF: εὐπρεπὲς ceteri (v) τῶν om. M 14 ὄψεις] ὕβρεις S γυμνουμένων] γυμνοὺς μὲν ὧν F 15 ἑπομένοις AH^2, ἑπομένων F 15. 16 αἱ χεῖρες ὑπαίτιοι S: ὑπαίτιοι χεῖρες ceteri (v) ὑπαίτιοι corr. ex αἴτιοι A, ὑπαίτιον H^2 16 βουλόμενοι AH^2 16. 17 ἀπελευθεριάζοντες SF: ἐπελευθεριάζοντες ceteri (v) 17 ἀποβιάζονται SFMGP: ὑποβιάζονται H^1 (v), βιάζονται AH^2 17. 18 τάξει τεταγμέναι S: τεταγμέναι τάξει ceteri (v) 19 ἡ om. F (fort. recte) λέγειν F δὲ SF: δ' ceteri 21 ψυχή coni. Mang. 22 ἄρρεν S

3sqq. Deut. 25,11. 12.

θήλεια καὶ πρὸς γυναικῶν· ἄρρην μὲν ἡ μόνῳ θεῷ προσκληροῦσα
ἑαυτὴν ὡς πατρὶ καὶ ποιητῇ τῶν ὅλων καὶ πάντων αἰτίῳ, θήλεια δὲ ἡ
ἐκκρεμαμένη τῶν ἐν γενέσει καὶ φθορᾷ καὶ ἀποτείνουσα καθάπερ χεῖρα
τὴν δύναμιν αὑτῆς, ἵνα τυφλῶς τῶν ἐπιτυχόντων ἐφάπτηται, γένεσιν
δεξιουμένη τὴν τροπαῖς ἀμυθήτοις χρωμένην καὶ μεταβολαῖς, δέον τὴν
179 ἀμετάβλητον καὶ μακαρίαν καὶ τρισευδαίμονα θείαν φύσιν. εἰκότως οὖν
τὴν ἐφαψαμένην χεῖρα τῶν διδύμων ἀποκόπτειν διείρηται συμβολικῶς,
οὐχ ὅπως ἀκρωτηριάζηται τὸ σῶμα στερόμενον ἀναγκαιοτάτου μέρους,
ἀλλ' ὑπὲρ τοῦ τῆς ψυχῆς πάντας τοὺς ἀθέους ἐκτέμνειν λογισμοὺς ἐπι-
βάθρᾳ χρωμένους ἅπασιν ὧν γένεσίς ἐστι· δίδυμοι γὰρ σύμβολον σπορᾶς
180 καὶ γενέσεως. ἑπόμενος δ' ἀκολουθίᾳ φύσεως κἀκεῖνο λέξω, ὅτι μονὰς
μέν ἐστιν εἰκὼν αἰτίου πρώτου, δυὰς δὲ παθητῆς καὶ διαιρετῆς ὕλης·
ὃς ἂν οὖν δυάδα πρὸ μονάδος τιμήσῃ καὶ δεξιώσηται, μὴ ἀγνοείτω
⟨τὴν⟩ ὕλην ἀποδεχόμενος μᾶλλον ἢ θεόν. ἧς χάριν αἰτίας ἐδικαίωσεν
ὁ νόμος ταύτην τὴν ἐπιβολὴν τῆς ψυχῆς ἀποκόπτειν οἷα χεῖρα· μεῖζον
γὰρ οὐκ ἔστιν ἀσέβημα ἢ τῷ παθητῷ τὴν τοῦ δρῶντος ἀνατιθέναι δύναμιν.
181 (33.) Μέμψαιτ' ἄν τις δεόντως τοὺς ἀνόμοια τοῖς ἀδικήμασι
τάττοντας ἐπιτίμια κατὰ τῶν εἰργασμένων, ζημίας χρημάτων ἐπ' αἰκίαις
ἢ ἐπὶ τραύμασι καὶ πηρώσεσιν ἀτιμίας ἢ ἐπ' ἀνδροφονίαις ἑκουσίοις
ἐλάσεις ὑπερορίους καὶ τὰς εἰς ἀεὶ φυγὰς ἢ δεσμοὺς ἐπὶ κλοπαῖς· τὸ
γὰρ ἀνώμαλον καὶ ἄνισον ἐχθρὸν πολιτείας ζηλούσης τὴν ἀλήθειαν.
182 ἰσότητος δὲ ὑφηγητὴς ὁ ἡμέτερος νόμος τὰ ὅμοια κελεύων τοὺς ἁμαρ-

1 προσκληροῦσα SM, προσηροῦσα F: προσκληροῦσ' ceteri 2 θῆλυς F 3 ὑπο-τείνουσα F χεῖρας M 4 αὐτῆς codd. 5 pr. τὴν] ταῖς AH² χρωμένη AH² 6 μακαρίαν SF: μακάριον ceteri (v) φύσιν θείαν transp. G 7 τῶν διδύμων χεῖρα trânsp. M ἀποκόπτεσθαι AH² διήρηται S, εἴρηται AH² 8 ἀκρωτηριάζῃ AH² στερούμενον S²H² 9 τοῦ] τοῦ τοὺς H¹ corr. (Turn.) πάντας SF: om. ceteri (Turn.) τοὺς ἀθέους F: τοὺς θεοὺς M, ἀθέους ceteri (v) ἐκτεμεῖν F, ἐκβάλλειν S 9. 10 ἐπὶ βάθρα A 10 ἅπασιν—ἑπόμενος δ' (11) om. H¹P, add. mg H¹ 11 ἑπόμενον G δ' om. S 13 οὖν ἂν transp. AH², οὖν om. S τιμήσῃ καὶ F: τιμήσας ceteri (v) ἀγνοήτω H¹P 14 τὴν addidi ἀποδεχόμενος] ἀμπεχόμενος F ἐδίκασεν S 15 τὴν om. Turn. ἐπιβουλὴν SP 16 τὴν om. F 17 μέμψαιτ' SF: μέμψαιτο δ' AH², μέμψεται δ' ceteri (v) δεόντως om. S ἀνόμοια] ἀνομία S 18 κατὰ om. M ἐπ'] εἶτ' S 19 ἐπὶ om. M τραύμασιν S ἀκουσίοις F 20 ἐσαεὶ S, ἀεὶ (om. εἰς) M ηδεεμοὺς (sic) S 21 ἐχθρὸν] ἔχθρα F, ἐχθρᾶς S οὐ ζητούσης S (sed οὐ add. S²) 22 δὲ S: δ' αὖ F, δ' ceteri κελεύων SFL: κελεύει ceteri (Mang.)

22 Exod. 21,24. 25. Lev. 24,19. 20. Deut. 19,19. 21.

τάνοντας ὑπομένειν οἷς ἔδρασαν, ἐκ τῶν οὐσιῶν, ἐὰν περὶ τὰς οὐσίας
ἀδικοπραγῶσι τῶν πλησίον, ἐκ τῶν σωμάτων, ἐὰν εἰς τὰ σώματα ἐξαμαρ-
130 M. τάνωσι κατὰ μέρη καὶ μέλη καὶ τὰς αἰσθήσεις· κἂν ἄχρι | μέντοι τῆς
ψυχῆς ἐπιβουλεύσωσιν, εἰς ψυχὴν τιμωρεῖσθαι κελεύει· ὑπομένειν γὰρ
ἀνθ' ἑτέρων ἕτερα μηδεμίαν ἔχοντα κοινωνίαν ἀλλὰ τοῖς εἴδεσιν ἀπηρ-
τημένα καταλυόντων νόμους ἐστίν, οὐ βεβαιούντων. ταυτὶ δέ φαμεν 183
τῶν ἄλλων [οὐχ] ὁμοίως ἐχόντων· οὐ γὰρ ταὐτὸν ἀλλοτρίῳ καὶ πατρὶ
πληγὰς ἐμφορῆσαι οὐδὲ ἄρχοντα ἢ ἰδιώτην κακῶς εἰπεῖν οὐδὲ ἐργάσασθαί
τι τῶν μὴ ἐφειμένων ἐν βεβήλοις ἢ ἱεροῖς χωρίοις οὐδ' ἐν ἑορταῖς καὶ
πανηγύρεσι καὶ δημοτελέσι θυσίαις καὶ πάλιν ἐν ἡμέραις αἷς μηδὲν
πρόσεστι τῶν εἰς ἐκεχειρίαν ἢ καὶ συνόλως ἀποφράσι, καὶ ὅσα ἄλλα
τοιουτότροπα διερευνητέον εἰς συναύξησιν ἢ μείωσιν κολάσεως.

Πάλιν ἐάν τις, φησίν, ὀφθαλμὸν οἰκέτου ἢ θεραπαίνης ἐκκόψῃ, ἐλευθέ- 184
ρους ἀφιέτω. διὰ τί; ὥσπερ τὴν τοῦ σώματος ἡγεμονίαν ἡ φύσις ἀνῆψε
κεφαλῇ χαρισαμένη καὶ τόπον οἰκειότατον ὡς βασιλεῖ τὴν ἄκραν — ἄνω
γὰρ αὐτὴν ἐπ' ἀρχὴν παραπέμψασα ἱδρύσατο καθάπερ ἀνδριάντι βάσιν
ὑποθεῖσα τὴν ἀπ' αὐχένος ἄχρι ποδῶν ἅπασαν ἁρμονίαν —, οὕτως
καὶ τῶν αἰσθήσεων τὸ κράτος ἀνέδωκεν ὀφθαλμοῖς· ὑπεράνω γοῦν καὶ

1 οἷς] οἷα M 2 ἀδικῶσι P τῶν πλησίον F, τῶν πλησίων S[1] (ut vid.): τὸν πλησίον ceteri (v) ἐὰν] ἂν AH[2] 2. 3 ἐξαμαρτάνωσι(ν) SG: ἁμαρτάνωσι ceteri (v) 3 κατά τε S καὶ μέλη SF: ἢ μέλη M, ἢ καὶ μέλη ceteri (v) alt. καὶ om. A ἄχρι om. S; post μέντοι add. μέχρι mg S[2] 4 τιμωρεῖσθαι· κελεύειν γὰρ (om. ὑπομένειν) S 5 ἀνθ'] ἂν F ἕτερα om. G 5. 6 ἀπηρτιμένα S 6 ταυτὶ] ταυτεὶ S 7 ⟨περὶ⟩ vel ⟨ἐπὶ⟩ τῶν ἄλλων coni. Mang. ἄλλων] ὅλων F οὐχ ὁμοίως ἐχόντων om. S οὐχ seclusi ἀλλοτρίῳ καὶ πατρὶ FNMG: ἀλλοτρίῳ καὶ δεόντως πατρὶ S, ἀλλοτρίῳ καὶ πατρίῳ AH[2], πατρὶ καὶ ἀλλοτρίῳ H[1]P (v) 8 pr. οὐδὲ S: οὐδ' ceteri ἄρχοντ' GH[1]P alt. οὐδὲ S: οὔτ' M, οὐδ' ceteri ἐργάσθαι (sic) F, ἐργάζεσθαι S (v) 9 ἐφειμένων F: ἐφιεμένων ceteri (v) οὐδ' ἐν] οὐδὲν G 10 θυσίαις] ἀσυλίαις S 11 πρόσεστι] προσέτι S[2], ἐστι AH[2] ἄδειαν ἐκεχειρίαν S (ἢ ss. S[2]) ἐκκεχειρίαν AH[2]H[1]P pr. καὶ om. S ἀποφράσι AH[2]: ἀποφορὰς SFM, ἀποφορᾶς GH[1]P (Turn.) ὅσα SFM: ὅσ' ceteri 12 κολάσεων F 13 tit. περὶ ἐκκοπῆς ὀφθαλμοῦ (-ῶν S) οἰκέτου add. S mg M ὀφθαλμοὺς F 14 ἀφιέτω] ἐάτω F διὰ τί SF: διότι ceteri (v) τοῦ om. H[1]P (Turn.) ἀνῆψεν S 15 κεφαλὴν F τόπον] τὸ πᾶν S 16 ἀρχὴν] ἄκραν coni. Mang. παραπέμψασα SF: ἀναπέμψας ceteri (-ασ' v) ἀνδριὰν AH[2] 17 ἀπ'] ὑπ' F ἄχρι] μέχρι S πᾶσαν S ⟨σώματος⟩ ἁρμονίαν coni. Mang. οὕτως S: οὕτω ceteri 18 τὸ κράτος om. AH[2] ὀφθαλμούς AH[2]

7—8 N fol. 159[v]: οὐ γὰρ ταὐτὸν — κακῶς εἰπεῖν. 13 Exod. 21,26.

τούτοις ὡς ἄρχουσιν ἀπένειμεν οἴκησιν, βουληθεῖσα μὴ μόνον τοῖς ἄλλοις
ἀλλὰ καὶ χωρίῳ περισημοτάτῳ καὶ περιφανεστάτῳ τούτους γεραῖραι.
185 (34.) τὰς μὲν οὖν χρείας καὶ ὠφελείας, ἃς παρέχουσι τῷ γένει ἡμῶν
ὀφθαλμοί, μακρὸν ἂν εἴη καταριθμεῖσθαι· μίαν δὲ τὴν ἀρίστην λεκτέον.
φιλοσοφίαν ὤμβρησε μὲν ὁ οὐρανός, ἐχώρησε δὲ ὁ ἀνθρώπινος νοῦς,
ἐξενάγησε δὲ ὄψις· πρώτη γὰρ αὕτη κατεῖδε τὰς λεωφόρους ἐπ' αἰθέρος
186 ὁδούς. ἀγαθῶν δέ, ὅσα πρὸς ἀλήθειαν ἀγαθά, πηγὴ φιλοσοφία· ἧς ὁ
μὲν ἀρυτόμενος εἰς κτῆσιν καὶ χρῆσιν ἀρετῆς ἐπαινετός, ὁ δ' ἕνεκα
πανουργίας καὶ τοῦ κατασοφίσασθαί τινα ψεκτός· ἔοικε γὰρ ὁ μὲν ἀνδρὶ
συμποτικῷ καὶ ἑαυτὸν καὶ τοὺς συνεστιωμένους πάντας εὐφραίνοντι, ὁ
δὲ τῷ τὸν ἄκρατον εἰς παροινίαν καὶ ὕβριν ἑαυτοῦ τε καὶ τῶν πλησίον
187 ἐμφορουμένῳ. ὅτῳ δ' οὖν τρόπῳ φιλοσοφίαν ἐξενάγησεν ὄψις, ἤδη
λεκτέον. ἀναβλέψασα εἰς αἰθέρα κατεῖδεν ἥλιον καὶ σελήνην καὶ πλάνη-
τας καὶ ἀπλανεῖς ἀστέρας, τὴν ἱεροπρεπεστάτην οὐρανοῦ στρατιάν,
κόσμον ἐν κόσμῳ, εἶτ' ἀνατολὰς καὶ δύσεις καὶ χορείας ἐμμελεῖς καὶ
188 τεταγμέναις χρόνων περιόδοις συνόδους, ἐκλείψεις, ἐπιλάμψεις, εἶτ'
αὐξήσεις καὶ μειώσεις σελήνης, ἡλίου κινήσεις τὰς κατὰ πλάτος, ἀπὸ
μὲν τῶν νοτίων ἐπὶ τὰ βόρεια προσιόντος, ἀπὸ δὲ τῶν βορείων ἐξανα-

1 ὡς] ὡσὰν F 2 χωρίῳ SF (χωρίοις S^2): σημείῳ ceteri (v) περισημοτάτῳ καὶ περιφανεστάτῳ S (οις ss. S^2), περιφανεστάτῳ καὶ παρασημοτάτῳ AH^2 γεραῖραι SF γεραίρειν ceteri (v) 3 παρέχουσι S: παρέχονται ceteri (v) 5 ὤμβρισε SG ὁ οὐρανός F: ὁ om. ceteri (v) δὲ SF: δ' ceteri 6 δὲ S: δ' ceteri αὕτη] ταύτη S ἐπ' αἰθέρος Mang.: ἀπ' αἰθέρος codd. Flor. 7 ὁδοὺς καὶ ὅσα Flor. δέ AH^2: δ' ceteri, om. S ἀγαθὴ S πηγὴ] ἐπήγαγε Flor. φιλοσοφίας GH^1P 8 ἀρυτόμενος scripsi: ὀρεγόμενος F Flor., ἀρρυόμενος SH^1, ἀρυόμενος ceteri (v) χρῆσιν καὶ κτῆσιν transp. MAH^2 9 κατασοφίσασθαι Mang.: καταψηφίσασθαι codd. τινα] τινος A, om. Flor. ἀνδρὶ] ἀνδριάντι S 10 ἑαυτῷ S συμποσιωμένους (sic) S εὐφραίνοντι πάντας transp. H^1P (v) 11 τῷ τὸν M: τῷ ex τὸν corr. H^1, τὸν (om. τῷ) ceteri καὶ ὕβριν SF: om. ceteri (v) αὑτοῦ A, αὐτοῦ GH^2 τε καὶ] τοὺς F τῶν F Flor.: τοῦ ceteri (v) 12 ἐμφορουμένων F, ἐμφορούμενος S^2 ὅτῳ] ὅτι S δ' οὖν scripsi: γοῦν codd. (v) τρόπῳ om. S φιλοσοφίας P, -αν ex -ας corr. H^1 13 ἀναβλέψας AH^2 εἶδεν H^1P (Turn.) 13. 14 πλανήτας AH^1 14 στρατιάν SF: στρατείαν ceteri (v) 16 τεταγμέναις . . . περιόδοις] τεταγμένας . . . περιόδους S^2F^2 corr. H^1 (v) συνόδους om. S 16. 17 εἶτ' αὐξήσεις] ἐπαυξήσεις F, αὐξήσεις S 17 σελήνης, ἡλίου] ἡλίου καὶ σελήνης F 18 ἐπὶ] εἰς AH^2 βόρια S προϊόντος S ἀπὸ δὲ τῶν βορείων mg H^1, ἐπὶ δὲ τὰ βόρεια in textu H^1 βορίων S

5—11 Flor. Laur. nr. 4: φιλοσοφίαν—ψεκτός (9). ὁ μὲν γὰρ καὶ ἑαυτὸν καὶ πάντας εὐφραίνει, ὁ δὲ ὕβριν ἑαυτοῦ τε καὶ τῶν πλησίον καταχέει (κατέχει Neap., καταχεῖ scribendum).

331 M. χωροῦντος | πρὸς τὰ νότια, εἰς καιρῶν τῶν ἐτησίων γένεσιν, οἷς τὰ
πάντα τελεσφορεῖται, καὶ πρὸς τούτοις μυρία ἄλλα θαυμάσια· καὶ περι-
αθρήσασα κατά τε γῆν καὶ κατὰ θάλατταν καὶ ἀέρα τάδε πάντα τῷ νῷ
μετὰ σπουδῆς ἐπεδείξατο. ὁ δ' ἅπερ οὐχ οἷός τ' ἦν δι' αὑτοῦ κατα- 189
λαβεῖν διὰ τῆς ὁράσεως ἰδὼν οὐκ ἐπὶ τῶν ὁραθέντων αὐτὸ μόνον ἔστη,
ἀλλ' ἅτε φιλομαθὴς καὶ φιλόκαλος, ἀγάμενος τὴν θέαν, λογισμὸν εἰκότα
ἐλάμβανεν, ὅτι ταῦτα οὐκ ἀπαυτοματισθέντα συνέστη φοραῖς ἀλόγοις,
ἀλλὰ διανοίᾳ θεοῦ, ὃν πατέρα καὶ ποιητὴν ὀνομάζειν θέμις, καὶ ὅτι οὐκ
ἔστιν ἄπειρα, πεπέρασται δὲ ἑνὸς κόσμου περιγραφῇ, πόλεως τρόπον
τῇ τῶν ἀπλανῶν ἐξωτάτω σφαίρᾳ περιλαμβανόμενα, καὶ ὡς ὁ γεννήσας
πατὴρ νόμῳ φύσεως ἐπιμελεῖται τοῦ γενομένου, προνοούμενος καὶ τοῦ
ὅλου καὶ τῶν μερῶν. εἶτα προσεπεσκέψατο, τίς οὐσία τοῦ ὁρατοῦ καὶ 190
εἰ πάντων ἡ αὐτὴ τῶν κατὰ τὸν κόσμον ἢ ἑτέρων ἑτέρα καὶ ἐκ τίνων
ἕκαστα ἐτελέσθη, καὶ τὰς αἰτίας δι' ἃς ἐγένετο καὶ δυνάμεις αἷς συνέ-
χεται καὶ πότερον αὗται σώματα ἢ ἀσώματοι. ἡ γὰρ περὶ τούτων 191
καὶ τῶν παραπλησίων ἔρευνα τί ἂν ἄλλο ἢ φιλοσοφία προσαγορεύοιτο;
τί δὲ τῷ σκοπουμένῳ ταῦτα θεῖτο ἄν τις οἰκειότερον ὄνομα ἢ φιλό-
σοφον; τὸ γὰρ περὶ θεοῦ σκοπεῖν καὶ κόσμου καὶ τῶν ἐν αὐτῷ
κοινῶς ζῴων τε καὶ φυτῶν καὶ περὶ νοητῶν παραδειγμάτων καὶ
πάλιν αἰσθητῶν ἀποτελεσμάτων καὶ τῆς καθ' ἕκαστον τῶν γεγονότων

---

1 πρὸς] ἐπὶ S   καιρῶν] καρπῶν AH^{2} (Mang.)   οἷς scripsi: ᾧ S^{2}, ὡς ceteri (v)   2 τελεσφορεῖται SF: τελεσφορεῖσθαι ceteri (v)   μυρί' ἄλλα πρὸς τούτοις transp. M   μυρί' MGH^{1}P   θαυμάσια· καὶ] θαυμάσια κάλλη coni. Mang.
2. 3 περιαθρήσας ἃ S   3 alt. κατὰ SF: om. ceteri (Mang.)   καὶ ἀέρα F: καὶ (om. ἀέρα) S, καὶ ἀέρα τὰ κατὰ ceteri (κ. ἀ. καὶ τὰ κατὰ v)   τάδε πάντα om. F, πάντα om. S, πάντα τάδε transp. M   4 ἕκαστα ἐπεδείξατο S   δι' αὐτοῦ FMGP, αὑ ex αὐ corr. H^{1}, διὰ τοῦ S   4. 5 καταλαβεῖν δι' αὑτοῦ transp. M
5 διὰ τῆς ὁράσεως S: δι' ὁράσεως ceteri (v)   ἰδὼν om. S^{1}, add. S^{2} αὐτῷ FM, αὐτῶν S^{2} (αὐτὸ S^{1})   μόνων M   6 καὶ φύσει φιλόκαλος F   εἰκότα SF: εἰκότ' ceteri   7 ταῦτα SF: ταῦτ' ceteri   αὐτοματισθέντα S
8 ὀνομάζειν] νομίζειν coni. Mang.   9 πεπέρασθαι (sic) A; πεπεράτωται coni. Mang.   δὲ SM: δ' ceteri   10 τῶν om. M   περιλαμβανόμενα AH^{2}: περιλαμβανόμενος ceteri (Turn.)   ὡς om. AH^{2} ἐγέννησας (sic) G
12 ὁ ante καὶ τῶν add. F   προεσκέψατο S   13 τῶν om. S   τὸν κόσμον F: τὸν om. ceteri (v)   ἑτέρων ἑτέρα F: ἑτέρα (ἕτερα H^{1}P) ἑτέρων ceteri (v)
14 ἕκαστα SFM: ἕκαστ' ceteri   ἐγένοντο S   14. 15 συνέχονται S
15 καὶ om. AH^{2} πρότερον AH^{2} αὐταὶ S   σώματα SF: σώματ' ceteri
16 τῶν παραπλησίον H^{1}P, τῶν πλησίον S   ἂν om. S   17 τί—θεῖτο] τί δ' ἔστω σκοποῦμεν· ᾧ ταῦτα τ' (om. θεῖτο) S   ταῦτα om. FH^{1}P (Turn.)   17. 18 φιλοσόφου conicio   18 τὸ] τῷ Richt.   θεοῦ] κόσμου F   καὶ κόσμου om. SF   αὐτῷ] κόσμῳ S   19 κοινῶν F, κοινῶς om. SH^{2} ζῴων τε om. SF

ἀρετῆς τε καὶ κακίας φιλομαθῆ καὶ φιλοθεάμονα καὶ τῷ ὄντι φιλόσοφον
192 διάθεσιν ἐμφαίνει. μέγιστον μὲν δὴ τοῦτο τῷ βίῳ τῶν ἀνθρώπων
ἀγαθὸν ὄψις παρέχεται· δοκεῖ δέ μοι ταύτης ἠξιῶσθαι τῆς προνομίας,
ἐπειδὴ τῶν ἄλλων αἰσθήσεων συγγενεστέρα ψυχῇ καθέστηκεν· ἅπασαι
μὲν γὰρ τὴν πρὸς διάνοιαν ἔχουσιν οἰκειότητα, αὕτη δὲ καθάπερ ἐν ταῖς
193 οἰκίαις τὴν ἐγγυτάτω γένους πρώτην καὶ ἀνωτάτω τάξιν εἴληχε. τεκμη-
ριώσαιτο δ' ἄν τις ἐκ πολλῶν· τίς γὰρ οὐκ οἶδεν, ὅτι χαιρόντων μὲν
ὀφθαλμοὶ γανοῦνται καὶ μειδιῶσι, λυπουμένων δὲ συννοίας γέμουσι καὶ
κατηφείας; εἰ δὲ πλεονάζοι καὶ πιέζοι καὶ ἀναθλίβοι τὸ ἄχθος, ἐκδα-
κρύουσι καὶ κρατούσης μὲν ὀργῆς οἰδοῦσι καὶ ὕφαιμον καὶ πυρωπὸν
194 ἐμβλέπουσιν, ἵλεων δὲ καὶ εὐμενές, εἰ χαλάσαι ὁ θυμός. καὶ ἐν μὲν
τῷ λογίζεσθαι καὶ σκοπεῖν αἱ κόραι πεπήγασι τρόπον τινὰ συνεννοοῦσαι,
τῶν δὲ εὐηθεστέρων ὑπ' ἠλιθιότητος πλάζεται καὶ ἡ ὅρασις οὐκ ἠρεμοῦσα·
| καὶ συνόλως τοῖς τῆς ψυχῆς πάθεσι συμπάσχουσιν ὀφθαλμοὶ καὶ ταῖς p. 332
ἀμυθήτοις τροπαῖς συμμεταβάλλειν πεφύκασι διὰ τὴν οἰκειότητα· δοκεῖ
γάρ μοι μηδὲν οὕτως ὁ θεὸς ἐμφανὲς ἀφανοῦς ἀπεργάσασθαι μίμημα
195 ὡς ὄψιν λογισμοῦ. (35.) ἐάν τις οὖν εἰς τὴν ἀρίστην καὶ ἡγεμονικω-
τάτην τῶν αἰσθήσεων ὅρασιν ᾖ ἐπιβεβουλευκώς τῳ καὶ καταφανῇ μὲν
ἐλευθέρου ὀφθαλμὸν ἐκκόψας, τὰ αὐτὰ ἀντιπασχέτω, δούλου δὲ μή·

---

1 φιλομαθῆ τε καὶ MAH^2 2 διάθεσιν] διάνοιαν S μὲν δὴ F: μὲν om. ceteri (v) τῷ βίῳ τῶν ἀνθρώπων SF: τῷ γένει τῶν βροτῶν AH^2, τῶν βροτῶν ἀνθρώπων ceteri (v) 3 ἀγαθῶν M παρέχεται] γὰρ ἔχεται S ταύτης] ταῦτ' AH^2 4 συνεργεστέρα H^1; ἐνεργεστέρα Turn. ψυχὴ FGH^{1}P, ψυχῆς S 5 πρὸς τὴν transp. AH^2 αὕτη δὲ add. H^1: om. ceteri καθάπερ SH^1: καθάπερ δ' ceteri 6 καὶ πρώτην F εἴληφε P, ἔλαχε AH^2 8 γανοῦνται] γάννυνται AH^{2}H^1 (v) μειδιῶσιν S γέμουσιν S 9 κατηφίας S^1 πλεονάζοι Mang.: πλεονάζῃ S^1, πλεονάζει S^2, πλεονάσαν ceteri (v) πιέζει καὶ ἀναθλίβει S 9. 10 ἐκδακρύουσιν S 10 οἰδοῦσιν S alt. καὶ om. S 11 ἵλεων MH^{1}P: ἵλεω ceteri εὐμενεῖς AH^2 χαλάσῃ S^1, χαλάσει S^2 12 καὶ σκοπεῖν SF: ἢ σκοπεῖν ceteri (v) αἱ κόραι πεπήγασι S: πεπήγασιν αἱ κόραι MGAH^2, πεπήγασι FH^{1}P^1, αἱ κόραι ss. H^1 add. mg P^2 συνεννοοῦσαι codd.: συννοοῦσαι v 13 δὲ S: δ' ceteri ὑπ' ἠλιθιότητος πλάζεται F: πλάζεται ἀπὸ ἠλιθιότητος MGH^{1}P (v), πλάζεται (πλάζουσι S^2) οἱ δ' ἀπὸ ἠλιθιότητος S, ἀπὸ ἠλιθιότητος post ἠρεμοῦσα transp. AH^2 14 πάθεσιν SGH^1 οἱ ὀφθαλμοὶ MA (Mang.) 16 οὕτω M ἐργάσασθαι H^{1}P (v) 17 ἐάν] εἰ M 18 ᾖ] ἢ SG, εἴη M, om. F τῳ scripsi: αὐτῷ corr. H^1 (Turn.), om. AH^2, τῷ ceteri καὶ om. F καταφανεῖ F 18. 19 μὲν ἐλευθέρου H^{1}P: ἐλευθέρου μὲν ceteri

---

15—17 Maximi Ecl. cod. Barb. I 158 (cap. νθ'): Φίλωνος: δοκεῖ — λογισμοῦ.

οὐχ ὅτι συγγνώμης ἐστὶν ἄξιος ἢ ἔλαττον ἀδικεῖ, ἀλλ' ὅτι πονηροτέρῳ
χρήσαιτ' ἂν ὁ πεπονθὼς ἀντιπηρωθέντι τῷ δεσπότῃ, μνησικακήσοντι
τῆς συμφορᾶς τὸν ἀεὶ χρόνον καὶ ἀμυνουμένῳ καθ' ἑκάστην ἡμέραν ὡς
ἐχθρὸν ἄσπονδον ἀφορήτοις καὶ βαρυτέροις τῆς δυνάμεως ἐπιτάγμασιν,
οἷς πιεζόμενος καὶ τὴν ψυχὴν ἀπορρήξει. προὐνόησεν οὖν ὁ νόμος τοῦ 196
μήτε τὸν ἐπιβεβουλευκότα ἀθῷον ἀφεθῆναι μήτε τὸν πεπηρωμένον
προσαδικηθῆναι κελεύσας, εἴ τις ἐκκόψειε θεράποντος ὀφθαλμόν, ἀνεν-
δοιάστως ἐλευθερίας μεταδιδόναι. οὕτως γὰρ ὁ μὲν ἀνθ' ὧν ἔδρασε 197
διττὴν ἐνδέξεται ζημίαν, ἅμα τῇ τιμῇ καὶ τὴν ὑπηρεσίαν ἀφαιρεθείς,
καὶ τρίτον ἑκατέρου τῶν λεχθέντων χαλεπώτερον, ἀναγκαζόμενος ἐν τοῖς
μεγίστοις εὐεργετεῖν ἐχθρόν, ὃν ἴσως ηὔχετο κακοῦν ἀεὶ δύνασθαι, ὁ δὲ
ἀνθ' ὧν ὑπέμεινε παρηγορίαν ἕξει διπλῆν, οὐ μόνον ἐλευθερωθεὶς ἀλλὰ
καὶ ἀργαλέον καὶ ὠμὸν δεσπότην ἐκφυγών.

(36.) Προστάττει δὲ κἂν εἴ τις ὀδόντα θεράποντος ἐκκόψειεν, 198
ἐλευθερίαν χαρίζεσθαι τῷ θεράποντι. διὰ τί; ὅτι ζωὴ μὲν τίμιον, ὄργανα
δὲ ζωῆς ἐτεκτήνατο ἡ φύσις ὀδόντας, οἷς τὴν τροφὴν οἰκονομεῖσθαι
συμβέβηκεν. ὀδόντες δὲ οἱ μέν εἰσι τομίαι τῷ τέμνειν σιτία καὶ ὅσα
ἄλλα ἐδώδιμα, διὰ τοῦτο ταύτης τῆς προσηγορίας ἀξιωθέντες, οἱ δὲ
μύλαι τῷ τὰ διατμηθέντα εἰς μείονα λεαίνειν δύνασθαι. παρ' ἣν αἰτίαν 199

1 ἐστιν SAH^{2}: ἔστ' ceteri (v)   ἀλλ'] ἢ M, ἀλλ' om. GH^{1}P, ss. H^{1} 2 ἀντιπηρωθέντι τῶ δεσπότη SF: ἀντιπεπονθότι τῶ δεσπότη ceteri; τῷ δεσπότῃ om. Turn., τῷ δεσπότῃ ἀντιπηρωθέντι Mang.   μνησικακήσοντι Mang.: μνησικακήσαντι codd.   3 ἀμυνομένω SMA   4 καὶ ἄσπονδον AH^{2} ἀφορητοτέροις H^{1} (Turn.)   5 οἷς] ὢ καὶ S   πιαιζόμενος S^{1} ἀπορρήξει] ἀπαγορεύσει coni. Mang.   οὖν om. S^{1}, add. S^{2} τοῦ S^{1}, τῶ S^{2}, τὸ H^{2} 6 ἐπιβεβουλευκότα SFH^{2}: ἐπιβεβουλευκότ' ceteri   7 κελεύσας S: κελεύσας ἵν' ceteri (v)   ἐκκόψειε F, ἐκκόψει S (ει in ras.): ἐκκόψῃ ceteri (v)   8 μεταδιδόναι scripsi: μεταδιδῶ S^{1}FAH^{2} (v), μεταδιδότω ceteri   οὕτως S: οὕτω ceteri   9 ἐνδέξεται scripsi: ἐνδείξεται F, ἐνδέχεται S, ἐκδέχεται M, ἐκδέξηται GH^{1}P, ἐκδέξεται AH^{2} (v)   τῇ τιμῇ FAH^{2}: τῇ om. ceteri (Turn.)   καὶ om. AH^{2} ἀφαιρεθεῖσι G   11 ὁ δὲ SF: ὧδ' H^{1}P, ὁ δ' ceteri   13 alt. καὶ om. AH^{2} 14 tit. περὶ ἐκκοπῆς ὀδόντων add. S mg M   εἴ τις SF: εἴ om. ceteri (v)   ἐκκόψειεν SF: ἐκκόψῃ ceteri (v)   15 ζωὴν S^{1} ut vid. (ν eras.), ζῆν AH^{2} ὄργανον ML (Turn.)   17 δὲ S: δ' ceteri   οἱ] εἰ P   τομίαι F: om. ceteri (v); ὀδόντων . . . ⟨τομεῖς⟩ coni. Mang. coll. Poll. II 91   τῶ FMG: τῶν SH^{1}P, τοῦ AH^{2} τέμνοντι G   ὅσα SF: ὅσ' ceteri   18 ἄλλα SFA: ἄλλ' ceteri   διὰ τοῦτο om. F (fort. recte)   τῆς om. Turn.   οἱ δὲ] αἱ δὲ F   19 μύλαι SFMG: μύλοι H^{1}P (v), om. AH^{2} τῷ] τὸ M, ἐπὶ τῶ AH^{2} με[illegible]ονα F (coni. Mang.): μείζονα ceteri   λιαίνειν S^{1}, corr. S^{2}

14 Exod. 21,27.

ὁ ποιητὴς καὶ πατὴρ οὐδὲν εἰωθὼς δημιουργεῖν, ὃ μὴ πρός τινι τέτακται
χρείᾳ, τοὺς ὀδόντας οὐχ ὥσπερ τῶν ἄλλων μερῶν ἕκαστον κατὰ τὴν
πρώτην γένεσιν εὐθὺς εἰργάζετο, διανοηθεὶς ὅτι βρέφει μὲν γαλακτο-
τροφεῖσθαι μέλλοντι περιττὸν ἄχθος γενήσονται, μαστοῖς δὲ πηγάζουσιν,
οἷς ἄρδεται ἡ τροφή, χαλεπὴ ζημία κατὰ τὴν ὁλκὴν τοῦ γάλακτος
200 ὀδαξωμένοις. τὸν ἐπιτήδειον οὖν καιρὸν προϊδόμενος — ἔστι δ' οὗτος,
ἡνίκα τὸ βρέφος ἀπότιτθον γίνεται — τὴν ἔκφυσιν τῶν ὀδόντων, ἣν
ἐταμιεύσατο πρότερον, ἀνέφηνεν, ⟨ὅτε δύναται⟩ ἤδη τῆς τελειοτέρας ἀνέ-
χεσθαι τροφῆς ὀργάνων ὧν εἶπον δεομένης τὴν διὰ τοῦ γάλακτος ἀπο-
201 στρεφόμενον. ἐὰν οὖν τις εἴξας ἀλαζονείᾳ | θεράποντος ὀδόντα ἐκκόψῃ p. 333
τὸν ὑπηρέτην καὶ ὑποδιάκονον τῶν ἀναγκαιοτάτων, τροφῆς τε καὶ ζωῆς,
ἐλευθερούτω τὸν ἀδικηθέντα, στερόμενος καὶ αὐτὸς τῆς ἐκ τοῦ πεπον-
202 θότος λατρείας τε καὶ ὑπηρεσίας. ἰσότιμον οὖν, φήσει τις, ὀδοὺς
ὀφθαλμῷ; πρὸς ἃ γέγονεν ἑκάτερον, εἴποιμ' ἄν, ἰσότιμον, πρὸς μὲν τὰ
ὁρατὰ ὀφθαλμός, πρὸς δὲ τὰ ἐδώδιμα ὀδούς. εἰ δὲ καὶ συγκρῖναί τις
ἐθελήσει, σεμνότατον μὲν εὑρήσει τῶν ἐν σώματι μερῶν ὀφθαλμὸν ἅτε
θεωρὸν ὄντα τοῦ σεμνοτάτου τῶν κατὰ τὸν κόσμον, οὐρανοῦ, χρήσιμον
δὲ ὀδόντα ὡς ἂν τροφῆς, τοῦ χρησιμωτάτου πρὸς τὸ ζῆν, ἐργάτην· καὶ
ὁ μὲν τὰς ὄψεις ἀποβαλὼν οὐ κεκώλυται βιοῦν, τῷ δὲ ἐκκοπέντι τοὺς
203 ὀδόντας ἐφεδρεύει θάνατος οἴκτιστος. εἰ δή τις ἐπιβουλεύει περὶ τὰ
μέρη ταῦτα τοῖς οἰκέταις, μὴ ἀγνοείτω λιμὸν ἐν εὐθηνίᾳ καὶ εὐετηρίᾳ
κατασκευάζων τούτοις χειροποίητον· τί γὰρ ὄφελος ἀφθονίαν μὲν εἶναι
τροφῶν, τὰ δὲ πρὸς τὴν διοίκησιν αὐτῶν ὄργανα σεσυλῆσθαι καὶ ἀπο-

---

1 τέτακται S: τάξηται AH^2, τετάξεται ceteri (v) 2 ἕκαστον μερῶν transp. F 3 εἰργάσατο AH^2 βρέφη G 5 ἄρδεται] ἀρδεύεται H^1 (Turn.) ἡ om. S 6 ὀδαξωμένοις F: ὀδραξωμένοις S, ὀδαξουμένοις MG (v), ὀδαυξουμένοις H^1P, δακνουμένοις A, διακνουμένους H^2 τὸν δ' ἐπιτήδειον καιρὸν AH^2 προϊδόμενος v: προειδομένου S, προειδόμενος ceteri 7 γίνηται M, γένηται S 8 τὸ πρότερον AH^2 ἀπέφηνεν (ν supra) M ὅτε δύναται e. gr. addidi 8. 9 ἐνέχεσθαι S 9 διά] δὲ M 9. 10 ἀποστρεφομένων F 10 ὀδόντ' GH^1P 11 τε om. S 12 στερούμενος SM καὶ αὐτὸς codd.: καὶ om. v 13 ἰσότιμος G φήσει scripsi: φησί codd. (v) 14 μὴ πρὸς ἃ H^1 (Turn.) ἑκάτερα S εἴποιμι M ἰσότιμον FAH^2: ἰσότιμα ceteri (Turn.) 15 καὶ om. AH^2 συγκρίνειν F 16 ἐθελήσει SF: θελήσειε AH^2, θελήσει ceteri (v) σεμνότερον AH^2 17 τοῦ σεμνοτάτου] τῶν σεμνοτάτων· ἅτε S τῶν] τοῦ M, τῶν om. AH^2 τὸν om. FAH^2 18 δὲ SF: δ' ceteri ὀδόντα] ὄντα S ὡς ἂν τροφῆς SF: ὡς τροφῆς M, ὡς ἀνατροφῆς GH^1P (v), ἀνατροφῆς AH^2 19 δὲ S: δ' ceteri 20 δή] δέ SF ἐπιβουλεύει SFMG: ἐπιβουλεύοι ceteri (v) 21 μή] μὲν P ἀγνοήτω P, ἡ ex εἰ corr. H^1 22 ὤφελος S^1, corr. S^2 23 τροφῶν] τροφῆς S αὐτῶν om. S

βεβληκέναι χαλεπῶν ἕνεκα καὶ ἀμειλίκτων καὶ ὠμοθύμων δεσποτῶν;
διὰ τοῦτο καὶ ἑτέρωθι παρὰ χρεωστῶν ἀπαγορεύει δανεισταῖς μύλον ἢ 204
ἐπιμύλιον ῥύσιον αἰτεῖν, ἐπειπὼν ὅτι ὁ τοῦτο δρῶν ψυχὴν ἐνεχυριάζει·
ὁ γὰρ τὰ τοῦ ζῆν ὄργανα ἀφαιρούμενος ἐπ' ἀνδροφονίαν ἵεται, μέχρι
καὶ ψυχῆς ἐπιβουλεύειν διανοηθείς.

Τοσαύτην δὲ πρόνοιαν ἐποιήσατο τοῦ μηδένα παραίτιόν τινι γενέσθαι 205
θανάτου, ὡς καὶ τοὺς προσαψαμένους νεκροῦ σώματος, ὃ τελευτὴν
ἐνδέδεκται τὴν κατὰ φύσιν, οἴεται δεῖν μὴ εὐθὺς εἶναι καθαρούς, μέχρις
ἂν περιρρανάμενοι καὶ ἀπολουσάμενοι καθαρθῶσιν. εἰς μέντοι τὸ ἱερὸν
οὐδὲ τοῖς σφόδρα καθαροῖς ἐφῆκεν εἰσιέναι ἐντὸς ἡμερῶν ἑπτά, τρίτῃ
καὶ ἑβδόμῃ κελεύσας ἀφαγνίζεσθαι. ἔτι μέντοι καὶ τοῖς εἰσιοῦσιν εἰς 206
οἰκίαν, ἐν ᾗ τετελεύτηκέ τις, προστάττει μηδενὸς ἅπτεσθαι, μέχρις ἂν
ἀπολούσωνται καὶ τὰς ἐσθῆτας αἷς ἀμπίσχοντο προσαποπλύναντες· σκεύη
δὲ καὶ ἔπιπλα καὶ ὅσα ἄλλα ἔνδον εἶναι συμβέβηκε πάνθ' ὡς ἔπος
εἰπεῖν ἀκάθαρτα ἡγεῖται. ψυχὴ γὰρ ἀνθρώπου τίμιον, ἧς μετανισταμένης 207
καὶ μετοικιζομένης τὰ ἀπολειφθησόμενα πάντα μιαίνεται στερόμενα θείας
εἰκόνος, ἐπειδὴ θεοειδὴς ὁ ἀνθρώπινος νοῦς πρὸς ἀρχέτυπον ἰδέαν, τὸν
ἀνωτάτω λόγον, τυπωθείς. ἔστω δέ, φησίν, ἀκάθαρτα καὶ τὰ ἄλλα 208
ὅσων ἂν ὁ ἀκάθαρτος προσάψηται, μετουσίᾳ τοῦ μὴ καθαροῦ μιαινόμενα.
καθολικωτέραν δ' ἀπόφασιν ὁ χρησμὸς οὗτος ἔοικέ πως δηλοῦν, οὐχ

1 ἕνεκεν SF καὶ ante ἀμειλίκτων om. S 2 tit. ὅτι οὐ δεῖ μύλον ἐνεχυριάζειν add. S mg M περὶ AH^2 μύλον] μύλιον S 3 ὁ om. S, ss. F τοῦτο] τοῦθ' ὁ S^2, τοῦτο om. F ἐνεχειριάζει AH^2; ἐνεχυράζει conicio 4 τοῦ ζῆν τὰ ὄργανα F ἀφαιρούμενος] ἀναιρούμενος S, συλῆσαι προαιρούμενος F ἐπ' om. S ἵεται FMH^{1}P, ἵεται om. S 5 ἐπιβουλεύει S διανοηθείς om. S 6 μηδὲν S γίνεσθαι A 7 ὡς] ὥστε conicio ὃ] ὃ καὶ M 8 δέδεκται M εὐθὺς secludendum videtur 10 καθαροῖς] καταθέοις F 11 ἀφανίζεσθαι Turn. 12 ἄχρις AH^2 13 αἷς] ἃς S ἀμπήχοντο F προσαποπλύνασθαι F 14 δὲ] τὲ F ὅσα SF: ὅσ' ceteri ἄλλ' MG ἔνδον] ἔσω S, ἔνδον om. H^{1}P (Turn.), ss. P^2 συμβέβηκεν S 15 ἀκάθαρτα SF: ἀκάθαρθ' AH^2, ἀκάθαρτ' MGH^{1}P τίμιον SF: σημεῖον ceteri (Turn.) 16 στερούμενα S θείας] μιᾶς S 17 ἐπειδὴ] ἐπεὶ δὲ AH^2 θεοειδὲς S^1 ut vid., corr. S^2 ὁ om. AH^2 εἰδέαν S 18 δέ om. FAH^2 τὰ ἄλλα S: τἄλλα M, τἆλλα AH^{2}GH^1, τἄλλ' P, πάντων F 19 ὅσα H^{1}P (Turn.) 20 οὗτος] οὕτως M ἔοικέ πως δηλοῦν] ἔοικε παραδηλοῦν H^{1}P (v)

2 Deut. 24,6. cf. *Ioseph. Ant. Iud. IV § 270* μύλην δὲ καὶ τὰ περὶ ταύτην σκεύη μὴ ἐξεῖναι λαμβάνειν ἐνέχυρον, ὅπως μὴ στέρωνται καὶ τῶν πρὸς τὰ σιτία ὀργάνων μηδ' ὑπ' ἐνδείας πάθωσί τι τῶν χειρόνων. 7 Num. 19,11. 9 sq. Num. 19,12. 11 sq. Num. 19,14. 19. 13 sq. Num. 19,15. 18 Num. 19,22.

ἐπὶ σώματος αὐτὸ μόνον ἱστάμενος, ἀλλὰ ἤθη καὶ τρόπους προσδιερευ-
209 νώμενος ψυχῆς. ἀκάθαρτος γὰρ κυρίως ὁ ἄδικος καὶ ἀσεβής, ὅτῳ μήτε
τῶν ἀνθρωπίνων μήτε | τῶν θείων αἰδώς τις εἰσέρχεται, πάντα φύρων p. 334
καὶ συγχέων διά τε τὰς ἀμετρίας τῶν παθῶν καὶ τὰς τῶν κακιῶν ὑπερ-
βολάς, ὥστε ὧν ἂν ἐφάψηται πραγμάτων πάντ' ἐστὶν ἐπίληπτα τῇ τοῦ
δρῶντος συμμεταβάλλοντα μοχθηρίᾳ· καὶ γὰρ κατὰ τοὐναντίον αἱ πράξεις
τῶν ἀγαθῶν ἐπαινεταί, βελτιούμεναι ταῖς τῶν ἐνεργούντων ἀρεταῖς,
ἐπειδὴ πέφυκέ πως τὰ γινόμενα τοῖς δρῶσιν ἐξομοιοῦσθαι.

---

1 ἀλλὰ ἤθη S, ἀλλ' ἤθη F: ἀλλὰ (om. ἤθη) AH², ἀλλ' ἤδη ceteri (v) 1. 2 διερευνώμενος A 2 καὶ ὁ ἀσεβής S ὅτῳ om. S 3 ἀνθρωπίνων S: ἀνθρωπείων ceteri εἰσέρχεται F (coni. Mang.): ἔρχεται ceteri (v) 4 alt. τὰς] διὰ F κακῶν G 5 ὥσθ' AH² ἂν] ἐὰν S, om. A 6 συμμεταλαμβάνοντα S 7 βελτιούμεναι] ἐξομοιούμεναι F ἐνεργούντων] ἐπιτελούντων F 8 φίλωνος περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς β' γένη τῶν ι' λογίων τὸ ς' καὶ τὸ ζ', τό τε κατὰ μοιχῶν καὶ παντὸς ἀκολάστου καὶ τὸ κατὰ ἀνδροφόνων καὶ πάσης βίας (ἀσεβείας S) subscr. SG

ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ ΕΙΣ ΤΡΙΑ ΓΕΝΗ ΤΩΝ ΔΕΚΑ ΛΟΓΙΩΝ, ΤΟ ΟΓΔΟΟΝ ΚΑΙ ΤΟ ΕΝΑΤΟΝ ΚΑΙ ΤΟ ΔΕΚΑΤΟΝ, ΤΟ ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΛΕΠΤΕΙΝ ΚΑΙ ⟨ΜΗ⟩ ΨΕΥΔΟΜΑΡΤΥΡΕΙΝ ΚΑΙ ΜΗ ΕΠΙΘΥΜΕΙΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΕΚΑΣΤΟΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ, ΚΑΙ ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ, Η ΠΑΣΙ ΤΟΙΣ ΔΕΚΑ ΛΟΓΙΟΙΣ ΕΦΑΡΜΟΖΕΙ, Ο ΕΣΤΙ ΤΗΣ ΟΛΗΣ ΣΥΝΤΑΞΕΩΣ ⟨ΤΕΛΟΣ⟩

Περὶ κλοπῆς.

p. 335 M. (1.) Τὰ μὲν ἐπὶ μοιχείᾳ καὶ ἀνδροφονίᾳ καὶ ὅσα | ἑκατέρᾳ τού- 1
των ὑποστέλλει νόμιμα μετὰ πάσης ἀκριβείας, ὥς γε ἐμαυτὸν πείθω, λέλεκται πρότερον. τὸ δ' ἑπόμενον τῇ τάξει συνεπισκεπτέον, ὅ τι τρίτον μέν ἐστι τῶν ἐπὶ τῇ δευτέρᾳ στήλῃ, τῶν δ' ἐν ἀμφοτέραις ὄγδοον, περὶ τοῦ μὴ κλέπτειν. ὃς ἂν ἄγῃ ἢ φέρῃ τὰ ἑτέρου, μὴ δέον, ἐὰν μὲν βίᾳ 2
ii. 336 M. καὶ φανερῶς τοῦτο ποιῇ, κοινὸς ἀναγραφέσθω πολέμιος, | [γεγράφθω] παρανομίᾳ συνυφαίνων ἀναίσχυντον θράσος, ἐὰν δὲ κρύφα, λανθάνειν

---

1 tit. περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τρία (γ' M) γένη τῶν ι' λογίων· τὸ η' καὶ τὸ θ' καὶ τὸ περὶ τοῦ μὴ κλέπτειν καὶ ψευδομαρτυρεῖν καὶ μὴ ἐπιθυμεῖν· καὶ τῶν εἰς ἕκαστον ἀναφερομένων· καὶ περὶ δικαιοσύνης ἣ πᾶσι τοῖς ι' λογίοις ἐφαρμόζει· ὅ ἐστι τῆς συντάξεως SM 3 τὸ δέκατον (τὸ ι') om. SM κλέπτειν SM: ἐπικλέπτειν v alt. μὴ om. SM 4 περὶ om. SM 6 δέκα om. v λογίοις SM: λογίκοις (sic) v ὅλης addidi ex tabula cod. Vindob. theol. gr. 29 (cf. vol. I p. XXXVI): om. SM (v) 7 τέλος addidi; τὸ τέλος Mang. 8 tit. περὶ κλοπῆς S mg M 9 ἑκατέρα S: ἑκάτερον M 10 μετὰ πάσης SM: μετ' ἁπάσης (sic) Mang. γ' Mang. 11 δ' SM: δὲ v 12 ἐστιν S τῆς δευτέρας στήλης coni. Mang. δ' SM: δὲ v 13 ὃς S: ὡς M ἄγῃ καὶ φέρῃ coni. Mang. 14 πολέμιος] πόλεως ἐχθρὸς coni. Mang. γεγράφθω seclusit Mang.

15sqq. Exod. 22,4. cf. *Ioseph. Ant. Iud. IV § 271* ... ὁ δὲ χρυσὸν ἢ ἄργυρον ὑφελόμενος τὸ διπλοῦν ἀποτινέτω.

ἐπιχειρῶν φωρὸς τρόπον, ⟨δι'⟩ αἰδῶ προκάλυμμα ποιούμενος τῶν ἁμαρ-
τημάτων τὸ σκότος, ἰδίᾳ κολαζέσθω μόνον ὧν ὑπόδικος ὢν ἐπεχείρησε
βλάπτειν καὶ κατατιθέτω διπλοῦν τὸ φώριον, ἄδικον ὠφέλειαν ἐξιώμενος
3 βλάβῃ δικαιοτάτῃ. ἐὰν δὲ ἄπορος ὢν ἐκτίνειν ἀδυνατῇ τό γε ἐπιτίμιον,
πιπρασκέσθω — θέμις γὰρ ἐλευθερίας στέρεσθαι τὸν ὑπομείναντα κέρδους
παρανομωτάτου δοῦλον εἶναι —, ἵνα μηδ' ὁ πεπονθὼς κακῶς ἀπαρη-
γόρητος ἀφεθεὶς διὰ τὴν τοῦ κεκλοφότος ἀχρηματίαν ὀλιγωρεῖσθαι δοκῇ.
4 ἀλλὰ μηδεὶς ἀπανθρωπίαν καταγνώτω τοῦ διατάγματος· ὁ γὰρ πραθεὶς
οὐκ εἰς ἅπαν ἐᾶται δοῦλος, ἀλλ' ἐντὸς ἑπταετίας ἀπαλλάττεται κοινῷ
5 κηρύγματι, καθάπερ ἐν τοῖς περὶ ἑβδόμης ἐδήλωσα. καὶ ἀγαπάτω δι-
πλοῦν ἐκτίνων τὸ φώριον ἢ καὶ πιπρασκόμενος, ἀδικῶν οὐκ ὀλίγα· πρῶτον
μὲν ὅτι τοῖς οὖσιν οὐκ ἀρκούμενος περιττοτέρων ὀρέγεται, πλεονεξίαν,
ἐπίβουλον καὶ δυσίατον πάθος, ἐπιτειχίζων· δεύτερον δ' ὅτι τοῖς ἀλλο-
τρίοις προσοφθαλμιῶν καὶ ἐπικεχηνὼς τὰς ἐπὶ νοσφισμῷ πάγας τίθεται,
τοὺς κυρίους ὧν ἔχουσιν ἀφαιρούμενος· τρίτον δ' ὅτι καὶ λανθάνειν ἐπι-
τηδεύων τὰς μὲν ἐκ τοῦ πράγματος ὠφελείας μόνος ἔστιν ὅτε καρποῦται,
τὰ δ' ἐγκλήματα τρέπει πρὸς τοὺς ἀναιτίους, τυφλὴν ἀπεργαζόμενος τὴν
6 ἔρευναν τῆς ἀληθείας. ἔοικε δέ πως καὶ αὐτὸς ἑαυτοῦ κατηγορεῖν, ὑπὸ
τοῦ συνειδότος ἐλεγχόμενος ἐν οἷς ὑφαιρεῖται λάθρα, πάντως αἰσχυνό-
μενος ἢ εὐλαβούμενος, ὧν τὸ μέν ἐστι σημεῖον τοῦ τὴν πρᾶξιν αἰσχρὰν
ὑπειληφέναι — τὰ γὰρ αἰσχρὰ αἰσχύνην ἐπιφέρει —, τὸ δὲ τοῦ κολά-
σεως ἄξιον νομίζεσθαι, δέος γὰρ ἐμποιοῦσιν αἱ κολάσεις.
7 (2.) Ἐάν τις ἔρωτι τῶν ἀλλοτρίων ἐπιμανεὶς κλέπτειν ἐπιχειρῇ
καὶ μὴ δυνάμενος εὐπετῶς ὑφαιρεῖσθαι τοιχωρυχῇ νύκτωρ, προκάλυμμα
ποιούμενος ὧν ἀδικεῖ τὸ σκότος, ἁλοὺς μὲν ἐπ' αὐτοφώρῳ, πρὶν ἥλιον

---

1 δι' addidi; ⟨καὶ⟩ τὸ σκότος (2) coni. Mang. 2 μόνος M ὧν ὑπόδικος ὢν SM: ὧν ὑπόδικος ὧν v 3 κατατιθέτω SM: κατατιθέσθω v φώριον M: φωρίον S (v) 4 ἐκτίνειν scripsi: ἐκτείνειν S (v), ἐκτίννειν M ἀδυνατεῖ M 5 στέρεσθαι scripsi: στερεῖσθαι SM (v) 6 μήθ' M 7 ἀφεθῇς S δοκεῖ S 8 διατάγματος SM: πράγματος v 10 ἑβδόμης Mang.: ἑβδομάδος SM 11 ἐκτείνων SM (v) φώριον M: φωρίον S 14 προσοφθαλμιῶν S: προσοφθαλμῶν M τίθεται SM: τίθησι v 15. 16 ἐπιτηδεύων τὰς Mang.: ἐπιτηδεύοντας SM 16 μὲν SM: om. v 17 δ' SM: δὲ v 21 τοῦ SM: τῆς v 22 γὰρ om. M 23 tit. κατὰ τοιχωρύχων add. S, περὶ τοιχωρύχων mg M ἐπιμανὴς S[1], corr. S[2] 25 ἀδικῇ S[1], corr. S[2]

---

4 Exod. 22,3. cf. *Ioseph. Ant. Iud. IV § 272* ὁ δὲ τὸ ἐπιτίμιον ἄπορος διαλύσασθαι δοῦλος ἔστω τοῖς καταδικασαμένοις. 23sqq. Exod. 22,2. 3. cf. *Ioseph. Ant. Iud. IV § 271* κτείνας δ' ἐπὶ τοῖς κατ' οἶκον κλεπτομένοις τις ἀθῷος ἔστω κἂν εἰ πρὸς διορύγματι τοίχου.

ἀνίσχειν, ἐν αὐτῷ τῷ διορύγματι πρὸς τοῦ δεσπότου τῆς οἰκίας ἀναι-
337 M. ρείσθω, τὸ μὲν προηγούμενον | ἔργον ἔλαττον ἐξεργαζόμενος, κλοπήν, τὸ
δ' ἑπόμενον μεῖζον, ἀνδροφονίαν, ⟨διανοούμενος, εἰ⟩ διακωλύοι τις,
ὀρυκτῆρσιν οἷς ἐπιφέρεται σιδηροῖς καὶ ἑτέροις ὅπλοις ἀμύνεσθαι παρε-
σκευασμένος· εἰ δ' ἥλιος ἀνάσχοι, μηκέθ' ὁμοίως αὐτοχειρίᾳ κτεινέσθω,
πρὸς δὲ τοὺς ἄρχοντας καὶ δικαστὰς ἀγέσθω δώσων δίκας, ἃς ἂν ἐπι-
κελεύωσιν οὗτοι. νύκτωρ μὲν ⟨γὰρ⟩ οἴκοι διατριβόντων καὶ τετραμμένων 8
πρὸς ἀνάπαυλαν ἀρχόντων ὁμοῦ καὶ ἰδιωτῶν, οὐδεμία τῷ πλημμελου-
μένῳ καταφυγὴ πρὸς βοήθειαν, ὅθεν αὐτὸς ἔστω κύριος τῆς τιμωρίας,
ὑπὸ τοῦ καιροῦ κατασταθεὶς ἄρχων καὶ δικαστής. μεθ' ἡμέραν μέντοι 9
ἀναπέπταται δικαστήρια καὶ βουλευτήρια, ἐπλήθυνε δὲ τῶν συλληψο-
μένων ἡ πόλις, ὧν οἱ μὲν φύλακες τῶν νόμων κεχειροτόνηνται, οἱ δ'
ἄνευ χειροτονίας μισοπονήρῳ πάθει τὴν ὑπὲρ τῶν ἠδικημένων αὐτοκέ-
λευστοι τάξιν αἱροῦνται· πρὸς οὓς τὸν κλέπτην ἀκτέον· οὕτως γὰρ τὰς
ἐπ' αὐθαδείᾳ καὶ προπετείᾳ φεύγων αἰτίας δημοκρατικώτερον αὐτῷ δόξει
βοηθεῖν. ἐὰν ὑπὲρ γῆν ὄντος ἡλίου τὸν φῶρά τις αὐτοχειρίᾳ κτείνῃ 10
πρὸ δίκης, ἔνοχος ἔστω, θυμὸν λογισμοῦ προτιμήσας καὶ τοὺς νόμους
τῆς ἰδίας ἐπιθυμίας ἐν ὑστέρῳ θείς. μὴ γάρ, ἐπειδὴ νύκτωρ ἠδίκησαι,
φαίην ἄν, ὦ οὗτος, ὑπὸ κλέπτου, διὰ τοῦτο μεθ' ἡμέραν κλοπὴν αὐτὸς
ἀπεργάζου χαλεπωτέραν, οὐ τὴν ἐν χρήμασιν, ἀλλὰ τὴν ἐν τοῖς δικαίοις,
καθ' ἃ συμβαίνει τὴν πολιτείαν διατετάχθαι.
(3.) Τὰ μὲν οὖν ἄλλα φώρια τετίμηται διπλῇ καταθέσει. βοῦν 11
δὲ ἢ πρόβατον εἴ τις ὑφέλοιτο, μείζονος ἠξίωσε δίκης προνομίαν διδοὺς
ζῴοις, ἃ καλλιστεύει τῶν ἐν ταῖς ἡμέροις ἀγέλαις οὐ μόνον εὐμορφίᾳ

1 ἀνισχεῖν (sic) v 2 ἐξεργαζόμενος SM: ἐργαζόμενος v 3 δ' SM: δὲ v διανοούμενος, εἰ διακωλύοι τις lacuna expleta scripsi: διακωλύει τις SM; διαβουλεύων, τοῖς coni. Mang. 4 ὀρυκτῆσιν M σιδήροις M 5 μηκέτ' S 7 οὗτοι scripsi: αὐτοί SM (v) γὰρ addidi 10 μέντοι Mang.: μὲν SM 11 ἀναπέπαται M ἐπλήθυνεν S; πληθύνει coni. Wendl. 12 δ' SM: δὲ v 13. 14 αὐτοκέλευστοι SM: om. v 15 δημοτικώτερον coni. Mang. αὐτῶ SM 16 ἐὰν ⟨δὲ⟩ vel ἐὰν ⟨οὖν⟩ conicio αὐτοχειρία M: αὐτόχειρα S 18 θείς M: θῆς S 20 ἀπεργάζου SM: ἀπειργάζου v ἐν χρήμασιν S: ἐπὶ χρήμασιν M; ἐν τοῖς χρήμασιν v 21 καθὰ S 22 tit. περὶ κλοπῆς προβάτου καὶ βοός add. S mg M φώρια Nicet.: φωρία S (v), φόρια M διπλῇ καταδίκῃ τετίμηται Nicet. 23 δὲ Nicet.: δ' SM 24 ἡμέροις scripsi (sic Nicetae cod. Ven. 494): ἡμέραις SM, ἡμετέραις Nicetae cod. Coisl. 201

22—212,22 Nicetae Catena in Lucam (Vat. 1611 fol. 252[v] Coisl. 201 fol. 486[r] Ven. 494 fol. 47[r]) φίλωνος (περὶ κλοπῆς): ἵνα δὲ τὸν περὶ κλοπῆς νόμον ἐντελέστερον γνῶμεν, τὰ μὲν ἄλλα φώρια — ἐπάγειν τολμῶσι. 23 Exod. 22,1. cf. *Ioseph. Ant. Iud. IV § 272* βόσκημα δὲ ὁ κλέψας τετραπλῆν τὴν ζημίαν ἀποτινέτω πλὴν βοός, πενταπλῆν δ' ὑπὲρ τούτου καταβαλλέτω.

σώματος ἀλλὰ καὶ ταῖς περὶ τὸν ἀνθρώπινον βίον ὠφελείαις. ἧς χάριν
αἰτίας οὐδ' ἐπ' ἀμφοῖν τὴν ποσότητα τῶν ἐπιτιμίων ἴσην ὥρισεν, ἀλλὰ
τὰς χρείας διαριθμησάμενος, ἃς ἑκάτερον παρέχεται τῶν εἰρημένων,
12 ἀνάλογον καὶ τὴν ἔκτισιν ἐνομοθέτησε. κελεύει γὰρ τέτταρα μὲν πρό-
βατα ἀποτίνειν βοῦς δὲ πέντε τὸν κλέπτην ἀνθ' ἑνὸς τοῦ ὑφαιρεθέντος,
ἐπειδὴ πρόβατον μὲν φέρει δασμοὺς τέτταρας, γάλα καὶ τυρὸν καὶ ἔρια
καὶ ἐτησίους ἄρνας, ὁ δὲ βοῦς πέντε, τρεῖς μὲν τοὺς αὐτοὺς ἐν γάλακτι
καὶ τυρῷ καὶ γεννήμασι, δύο δ' ἐξαιρέτους, ἄροτον γῆς καὶ ἀλοητόν, ὧν
ὁ μέν ἐστιν ἀρχὴ σπορᾶς καρπῶν, | ὁ δὲ τέλος εἰς κάθαρσιν τῶν συγ- p. 338
κομισθέντων πρὸς ἑτοιμοτέραν τροφῆς χρῆσιν.

13 (4.) Κλέπτης δέ τίς ἐστι καὶ ὁ ἀνδραποδιστής, ἀλλὰ τοῦ πάντων
ἀρίστου, ὅσα ἐπὶ γῆς εἶναι συμβέβηκεν. τὰ μὲν οὖν ἄψυχα καὶ τῶν
ζῴων ἃ μὴ μεγάλας ὠφελείας παρέχεται τῷ βίῳ διπλᾶ προστέταχεν
ἀποδίδοσθαι παρὰ τῶν ὑφελομένων τοῖς κυρίοις, ὡς ἐλέχθη πρότερον,
καὶ πάλιν τετραπλάσια καὶ πενταπλάσια ἐν ταῖς ἡμερωτάταις ἀγέλαις
14 βοῶν τε καὶ προβάτων. ἄνθρωπος δέ, ὡς ἔοικε, τὸν καλλιστεύοντα
κλῆρον ἔλαχεν ἐν ζῴοις, ἀγχίσπορος ὢν θεοῦ καὶ συγγενὴς κατὰ τὴν
πρὸς λόγον κοινωνίαν, ὃς αὐτὸν καίτοι θνητὸν εἶναι δοκοῦντα ἀπαθανα-
τίζει. διὸ καὶ πᾶς, ὅτῳ ζῆλος ἀρετῆς εἰσέρχεται, τραχύς ἐστι τὴν
ὀργὴν καὶ παντελῶς ἀμείλικτος κατὰ ἀνδραποδιστῶν, οἳ δουλείαν ἕνεκα
κέρδους ἀδικωτάτου τοῖς γένει μὲν ἐλευθέροις φύσεως δὲ μετέχουσι τῆς
15 αὐτῆς ἐπάγειν τολμῶσιν. εἰ γὰρ ἐπαινετὸν πρᾶγμα δεσπόται ποιοῦσιν
οἰκότριβας καὶ ἀργυρωνήτους, πολλάκις οὐκ ἐν μεγάλοις ὀνήσαντας, τῆς

---

1 περὶ SM Nicet.: ἐπὶ v 2 ποσότητα] πρόσταξιν Nicet. 3 εἰρημένων SM Nicet.: διειρημένων v 4 ἀνάλογον καὶ τὴν ἔκτισιν ἐνομοθέτησε Nicet.: om. SM (v) 5 ἀποτίνειν S Nicet.: ἀποτιννύειν M mg S 6 ἐπειδὴ] ἐπεὶ Nicet. δ' SM 7 ἐτησίους ἄρνας SM Nicet.: ἐτήσιον ἄρνα v ε' S, πέντε om. Nicet. αὐτοὺς SM Nicet.: αὐτῆς v 8 γεννήμασιν S: γεννήματι M Nicet. δύο] δύω v δὲ v ἄροτον Mang. (Nicet.): ἄροτρον M, ἄρροτρον S ἀλοητόν S; ἀλόητον v 10 ἐτ[οι]υμοτέραν M; ἑτοιμοτέρας coni. Mang. 11 tit. περὶ ἀνδραποδιστῶν add. S mg M, om. Nicet. δέ τίς Nicet.: om. SM (v) ἀντραποδιστής S[1] 12 ὅσα ἐπὶ γῆς εἶναι συμβέβηκε SM: τῶν ἐπὶ γῆς Nicet. 14 ὑφελομένων SM Nicet.: φερομένων v πρότερον om. Nicet. 16 δὲ Nicet.: δ' SM ὡς ἔοικε om. Nicet. 17 ἔλαχεν ἐν ζῴοις Nicet. (sic iam Mang.): ἔλαχε ζώοις SM ἀγχίσπορος — ἀπαθανατίζει (18. 19)] ὡς κατ' εἰκόνα θεοῦ γενόμενος Nicet. συγγενὴς SM: ἐγγενὴς v (ἀγενὴς Mang.) τὴν om. M 18 ὃς M: ὡς S εἶναι δοκοῦντα SM: ὄντα v 19 ὅτω Nicet.: ᾧτινι SM (v) 19. 20 τραχύς ἐστι τὴν ὀργὴν Nicet.: τραχύς ἐστιν ὀργὴν SM (v) 20 κατ' Nicet. 22 ἐπαίνετον v 23 οἰκοτρίβας v

κατεχούσης δουλείας ἀπαλλάττοντες ἕνεκα φιλανθρωπίας ᾗ κέχρηνται,
πόσης ἄξιοι κατηγορίας τυγχάνειν εἰσὶν οἱ τὸ πάντων ἄριστον κτῆμα,
τὴν ἐλευθερίαν, ἀφαιρούμενοι τοὺς ἔχοντας, ὑπὲρ ἧς ἀποθνῄσκειν καλὸν
τοῖς γεννηθεῖσιν εὖ καὶ τραφεῖσιν; ἤδη τινὲς τὴν σύμφυτον μοχθηρίαν 16
προσαύξοντες καὶ τὸ ἐπίβουλον ἦθος αὐτῶν τρέποντες εἰς τὸ ἄσπονδον
οὐκ [ἐπ'] ἀλλοδαποῖς μόνον καὶ ἀλλογενέσιν ἀνδραποδισμὸν κατεσκεύασαν,
ἀλλὰ καὶ τοῖς ἀπὸ τοῦ αὐτοῦ ἔθνους, ἔστι δ' ὅτε καὶ δημόταις καὶ
φυλέταις, ἀλογήσαντες κοινωνίας νόμων τε καὶ ἐθῶν, οἷς ἐκ πρώτης
ἡλικίας ἐνετράφησαν, ἅπερ βεβαιοτάτην ταῖς ψυχαῖς εὔνοιαν ἐνσφραγίζεται
τῶν μὴ λίαν ἀτιθάσων καὶ μὴ ἐπιτηδευόντων ὠμότητα· οἳ χάριν κέρδους 17
ἐκνομωτάτου πιπράσκουσιν ἀνδραποδοκαπήλοις καὶ οἷς ἂν τύχῃ δουλεύ-
σοντας ἐπὶ ξένης ἀνεπανάκτους, μηδ' ὄναρ τὸ τῆς πατρίδος ἔδαφος ἔτι
προσκυνήσοντας ἢ χρηστῆς ἀπογευσομένους ἐλπίδος. ἧττον γὰρ ἂν
ἠδίκουν ὑπηρετούμενοι πρὸς τῶν ἀνδραποδισθέντων· νυνὶ δὲ διπλάσιον
ἀδίκημα δρῶσιν ἀπεμπολοῦντες, ἀνθ' ἑνὸς δύο δεσπότας καὶ διττὰς
δουλείας ἐπιτειχίζοντες ἐφέδρους. αὐτοὶ μὲν γὰρ ἐπιστάμενοι τὴν παλαιὰν 18
εὐτυχίαν τῶν ὑπηγμένων ἴσως ἂν μετανοήσαιεν ὀψὲ λαβόντες οἶκτον τῶν
339 M. ἐπταικότων, | τὸ τῆς τύχης ἄδηλον καὶ ἀτέκμαρτον καταιδεσθέντες· οἱ
δὲ πριάμενοι δι' ἄγνοιαν τοῦ γένους ὡς ἐκ πατέρων καὶ προπάππων
οἰκετῶν ὀλιγωρήσουσιν, οὐδὲν ἀγωγὸν ἐν ταῖς ψυχαῖς ἔχοντες εἰς
ἡμερότητα καὶ φιλανθρωπίαν, ἣν εἰκὸς ἐπὶ τοῖς ἐλευθέροις σῴζεσθαι
φύσει. δίκη δ' ἔστω κατὰ μὲν τῶν ἑτεροεθνεῖς ἀνδραποδισαμένων, ἣν 19
ἂν τιμήσηται τὸ δικαστήριον, κατὰ δὲ τῶν τοὺς ὁμοφύλους πρὸς τῷ

---

2 κατηγορίας] τιμωρίας vel ὀργῆς coni. Mang. 3 ἀφαιρούμενοι SM: ἀναφαιρούμενοι v 5 προσαύξοντες SM: συναύξοντες v ἦθος αὐτῶν SM (αὐτῶν scripsi): αὐτῶν ἦθος v 6 ἐπ' seclusi (an οὐκέτ' scribendum?) 7 δ' SM: δὲ v 8 ἀλογίσαντες S 9 ἐνετράφησαν v: ἐνεγράφησαν SM ἐνσφραγίζεται SM: ἐνσφραγίζει v 10 ἀττιθάσων S, ἀτιθάσσων M (v) 11 ἀνδραποδοκαπήλοις Nicet. (coni. Mang.): ἀνδράποδα καπήλοις SM 11. 12 δουλεύσοντας M: δουλεύσαντας S, δουλεύοντας Nicet. 12 ἀνεπανάκτους Mang. (cf. vol. I 171,2): ἀνεπάκτους Nicet., ἀνεπάκτου SM ἔδαφος om. M 13 ἀπογευσομένους Nicet. (Mang.): ἀπογευσαμένους S, ἀπογευσομένης M 15 ἀπεμπωλοῦντες S (v) δύω v 17 μετανοήσαιεν SM: μετανοήσειαν v 18 τύχης Mang.: ψυχῆς SM 22 δὲ v ἑτερωεθνεῖς S 23 ὁμοφύλους Mang. (Nicetae cod. Vat. 1611): ἀλλοφύλους SM τῷ] τὸ S

11—13 pergit Nicetas: καὶ πιπράσκουσιν οὐ μόνον τοὺς ἀλλοφύλους ἀλλὰ καὶ τοὺς ἀπὸ τοῦ αὐτοῦ ἔθνους ἀνδραποδοκαπήλοις καὶ οἷς ἂν τύχῃ δουλεύοντας — ἀπογευσομένους ἐλπίδος. 22—214,1 pergit Nicetas: δίκη δ' ἔστω — θάνατος ἀπαραίτητος. ἀλλὰ τοιοῦτος μὲν ὁ περὶ κλοπῆς νόμος. 22 Exod. 21,17. Deut. 24,7. cf. *Ioseph. Ant. Iud. IV* § *271* ἐπ' ἀνθρώπου μὲν κλοπῇ θάνατος ἔστω ζημία.

ἀνδραποδίσασθαι καὶ πεπρακότων θάνατος ἀπαραίτητος· ἤδη γὰρ οὗτοί
γε συγγενεῖς εἰσιν οὐ πόρρω τῶν ἀφ' αἵματος κατὰ μείζονα περιγραφὴν
γειτνιῶντες.

20 (5.) „Καὶ ἐν ἀγρῷ" καθάπερ εἶπέ τις τῶν πάλαι „φύονται δίκαι",
ἐπειδὴ πλεονεξίαι καὶ ὁ τῶν ἀλλοτρίων ἵμερος οὐκ ἐν ἄστει μόνον ἀλλὰ
καὶ ἔξω πόλεώς ἐστιν, ἅτε μὴ τόπων διαφοραῖς ἀλλὰ διανοίαις ἀκο-
21 ρέστων ⟨καὶ⟩ φιλαπεχθημόνων ἀνδρῶν ἐνιδρυμένος. ἀφ' οὗ καὶ τῶν
πόλεων αἱ εὐνομώταται διττοὺς ἐπιμελητὰς καὶ ἄρχοντας αἱροῦνται τῆς
κοινῆς εὐκοσμίας καὶ ἀσφαλείας, τοὺς μὲν ἐντὸς τοῦ τείχους, οὓς ἀστυ-
νόμους προσαγορεύουσι, τοὺς δ' ἐκτός, οἷς ὄνομα οἰκεῖον τίθενται, καλοῦσι
γὰρ αὐτοὺς ἀγρονόμους· ἀγρονόμων δὲ τίς ἂν ἦν χρεία τὸ πᾶν, εἰ μὴ
22 κἀν τοῖς χωρίοις ἦσάν τινες ἐπὶ λύμῃ τῶν πλησίον ζῶντες; ἐὰν οὖν τις
ποιμὴν ἢ αἰπόλος ἢ βουκόλος ἢ συνόλως ἀγελάρχης ἀγρὸν ἑτέρου
βόσκῃ καὶ κατανέμῃ φειδὼ μηδεμίαν ποιούμενος μήτε καρπῶν μήτε
23 δένδρων, ὅμοιον ἀποτινέτω κτῆμα προσόδου τῆς ἴσης. καὶ ἀγαπάτω
τοῦθ' ὑπομένων, ἐπιεικοῦς καὶ σφόδρα συγγνώμονος τυχὼν τοῦ νόμου,
ὃς αὐτὸν τὰ πολεμίων ἀσπόνδων ἐργασάμενον, οἷς τὰς ἀρούρας δῃοῦν
ἔθος καὶ φυτὰ ἥμερα διαφθείρειν, οὐχ ὡς κοινὸν ἐχθρὸν ἐτιμωρήσατο
θάνατον ἢ φυγὴν ἢ τὸ γοῦν τελευταῖον, ἁπάσης στέρησιν τῆς οὐσίας,
ὁρίσας, ἀλλ' αὐτὸ μόνον δικαιώσας ἐπανορθώσασθαι τὸ βλάβος τῷ κυρίῳ.
24 προφάσεις γὰρ ἀεὶ ζητῶν, αἷς ἐπελαφριεῖ τὰ ἀτυχήματα, δι' ὑπερβάλλου-
σαν ἡμερότητα καὶ τὴν ἐκ φύσεως καὶ μελέτης φιλανθρωπίαν, εὗρεν
ἀπολογίαν οὐκ ἀπῳδὸν ὑπὲρ τοῦ νομέως, τὴν φύσιν τῶν θρεμμάτων
25 ἄλογον οὖσαν καὶ ἀπειθῆ, καὶ μάλισθ' ὅταν ὀρέγηται τροφῆς. ἔστω μὲν
οὖν ὑπόδικος, ὅτι τὴν ἀρχὴν ἤλασε τὴν ἀγέλην εἰς ἀνεπιτήδειον χωρίον·
μὴ πάντων δὲ τῶν συμβεβηκότων ἐχέτω τὰς αἰτίας, εἰκὸς γὰρ αὐτὸν

---

2 τῶν ἀφ' αἵματος SM: τῶν om. v κατὰ μείζονα περιγραφὴν Mang.: καὶ τὰ μείζονα περὶ γραφὴν S, καὶ τὰ μείζονα γραφὴν M 4 tit. περὶ βλάβης add. S mg M εἶπεν S 5 ἥμερος S¹, ἵμερος corr. S² 7 καὶ add. Mang., om. SM ἀφ' οὗ SM: ἀφ' ὧν v 8 αἱ εὐνομώτατοι M 9 οὓς om. M 10 προσαγορεύουσιν S τοὺς Mang.: τοῖς SM δὲ v τίθενται SM: ἐπιτίθενται v καλοῦσιν S 11 τὸ πᾶν SM: om. v 12 λοίμη S 14 βόσκη M: βοσκήσῃ S (v) 15 ἀποτεινέτω S (Mang.), ἀποτιννύτω M κτῆμα] τμῆμα conicio προσόδου τῆς ἴσης M, προσόδους τῆς ἴσης S: πρόσοδον τὴν ἴσην v 16 τοῦτ' S¹ 17 ὃς M (Mang.): ὡς S 21 ἐπελαφριοῖ M 23 οὐκ ἀπωδὸν SM: om. v 24 μάλιστ' S

---

12 sqq. Exod. 22,5.

.340 M. μὲν τοῦ κακοῦ | λαβόντα τὴν αἴσθησιν ἐξελαύνειν ἐπιχειρεῖν τάχιστα, τὴν δ' ἅτε χλοηφαγοῦσαν, ἁπαλῶν τε καρπῶν καὶ βλαστῶν ἐμφορουμένην, ἀντιφιλονεικεῖν.

(6.) Βλάπτουσι δ' οὐ μόνον κατανέμοντες βοσκήμασιν ἀλλοτρίας 26
κτήσεις, ἀλλὰ καὶ πῦρ ἀπερισκέπτως καὶ ἀπροοράτως ἀναφλέγοντες. ἡ γὰρ τοῦ πυρὸς δύναμις ὕλης λαβομένη πανταχόσε ᾄττουσα νέμεταί τε καὶ χεῖται, καὶ ἐπειδὰν ἅπαξ κρατήσῃ, σβεστηρίων ὅσα ἂν ἐπιφέρῃ τις ἀλογεῖ καταχρωμένη καὶ τούτοις ἀντὶ τροφῆς εἰς συναύξησιν, ἕως ἂν πάντα ἐξαναλώσασα αὐτὴ δαπανηθῇ πρὸς αὑτῆς. προσήκει δὲ μήτ' ἐν 27
οἰκίαις μήτ' ἐπαύλεσιν ἀφύλακτον πῦρ ἐᾶν, ἐπισταμένους ὅτι σπινθὴρ ἐντυφόμενος εἰς πολλάκις ἀνερριπίσθη καὶ μεγάλας ἐνέπρησε πόλεις, καὶ μάλιστα ἐπιφόρῳ πνεύματι ῥυείσης τῆς φλογός. ἐν γοῦν τοῖς ἀσυμβάτοις 28
πολέμοις ἡ πρώτη καὶ μέση καὶ τελευταία δύναμίς ἐστι διὰ πυρός, ᾗ πιστεύουσι μᾶλλον ἢ ταῖς πεζῶν καὶ ἱππέων καὶ ναυμάχων τάξεσι καὶ ταῖς ὅπλων καὶ μηχανημάτων ἀφθόνοις παρασκευαῖς· πυρφόρον γάρ τις οἰστὸν βαλὼν καιρίως εἰς πολὺν νηῶν στόλον αὐτοῖς ἐπιβάταις κατέφλεξεν ἢ στρατόπεδα πολυάνθρωπα μετὰ τῶν παρασκευῶν, ἐφ' αἷς ἐπεποίηντο τὰς τοῦ νικᾶν ἐλπίδας, ἐξανάλωσεν. ἐὰν οὖν εἰς ἀκανθώδη 29
φορυτὸν πῦρ ἐμβάλῃ τις, ὁ δ' ἀναφλεχθεὶς προσεμπρήσῃ ἅλω πυρῶν ἢ κριθῶν ἢ ὀρόβων ἢ δράγματα ἀσταχύων συγκεκομισμένα ἢ βαθύγειον πεδιάδα χλοηφοροῦσαν, ἀποτινύτω τὸ βλάβος ὁ τὸ πῦρ ἐμβαλών, ἵν' ἐκ τοῦ παθεῖν μάθῃ τὰς πρώτας τῶν πραγμάτων ἐνστάσεις εὖ μάλα φυλάττεσθαι καὶ μὴ δύναμιν ἀήττητον καὶ φύσει φθοροποιὸν ἀνακινῇ καὶ ἀνεγείρῃ δυναμένην ἠρεμεῖν.

---

2 δὲ v   ἁπαλῶν τε scripsi: ἁπαλῶν ἅτε SM   ἐμφορουμένην S[2]M: ἐμφορουμένων S[1] (v)   4 tit. περὶ τοῦ μὴ ἀπερισκέπτως πῦρ ἐξάπτειν ἀκάνθαις add. S mg M   βλάπτουσιν S   6 νέμεταί τε SM: τε om. v   8 ἀλογεῖ SM: om. v   καὶ SM: μὲν v   8.9 ἕως ἂν πάντα scripsi: ἕως ἂν τα S[1], ἕως πάντα S[2]M (v)   9 αὐτῆς M   9.10 μήτε . . . μήτε v   11 ἐνερριπίσθη S   ἐνέπρησε SM: ἀνέπρησε v   12 ῥείσης (sic) M   13 δύναμις ἐστὶ(ν) SM: ἐστὶ om. v   14 πιστεύουσα Mang. (Richt.)   ἱππέων SM: ἵππων v   τάξεσιν S   15 μηχανημάτων Mang.: ναυμαχητῶν SM   16 λαβὼν S[1], βαλὼν corr. S[2]   17 ἢ SM: καὶ v   19 πῦρ ἐμβάλῃ SM: παρεμβάλῃ v   δὲ v   21 ἀποτιννύτω SM (v)   23 φύσει SM: om. v   24 δυναμένην ἠρεμεῖν ἱερώτατον: S (ἱερώτατον cum sequentibus coniungendum esse vidit Mang.)

---

18 Exod. 22,6.

30 (7.) Ἱερώτατον παρακαταθήκη τῶν ἐν κοινωνίᾳ πραγμάτων ἐστίν,
ἐπὶ τῇ τοῦ λαβόντος κειμένη πίστει. δάνεια μὲν γὰρ ἐλέγχεται διὰ
συμβολαίων καὶ γραμμάτων, τὰ δ' ἄνευ δανείων ἐν χρήσει φανερῶς
31 διδόμενα τοὺς θεασαμένους ἔχει μάρτυρας. παρακαταθηκῶν δ' οὐχ
οὗτος ὁ τρόπος, ἀλλὰ μόνος τις αὐτὸς δίδωσι μόνῳ κρύφα, περιβλεπό-
μενος τὸν τόπον, μηδ' ἀνδράποδον ἕνεκα τοῦ διακομίσαι προσπαραλαβών,
εἰ καὶ τύχοι φιλοδέσποτον· εἰς γὰρ τὸ ἀναπόδεικτον ἑκάτερος σπεύδειν
ἔοικεν, ὁ μὲν ἵνα λάθῃ δούς, ὁ δὲ ἵνα ἀγνοῆται λαβών. ἀοράτῳ δὲ
πράγματι | πάντως ἀόρατος μεσιτεύει θεός, ὃν εἰκὸς ὑπ' ἀμφοῖν μάρτυρα p. 341
καλεῖσθαι, τοῦ μὲν ὡς ἀποδώσοντος ὅταν ἀπαιτῆται, τοῦ δ' ἐν καιρῷ
32 κομιουμένου. μέγιστον οὖν ἀδίκημα δρῶν ὁ παρακαταθήκην ἀρνούμενος
μὴ ἀγνοείτω, ψεύσας μὲν ἐλπίδος τὸν ἐπιτρέψαντα, μοχθηρὰ δ' ἤθη
κατασκεπάσας λόγοις ἐπιεικέσιν, ἀπιστίαν δὲ καθυποκρινάμενος νόθην
πίστιν, ἀσυμβάτους ἀποφήνας δεξιὰς καὶ ἀτελεῖς ὅρκους· ὡς ἀνθρωπείων
τε καὶ θείων ὠλιγωρηκέναι καὶ διττὰς ἀρνεῖσθαι παρακαταθήκας, τὴν
μὲν τοῦ τὰ οἰκεῖα ἐπιτρέψαντος, τὴν δὲ τοῦ ἀψευδεστάτου μάρτυρος, ὃς
τὰ πάντων ἐφορᾷ καὶ τὰ πάντων ἐπακούει καὶ προαιρουμένων καὶ μὴ
33 θελόντων. ἐὰν δ' ὁ μὲν λαβὼν ὡς ἱερὸν χρῆμα παρακαταθήκην ἄψαυστον
οἴηται δεῖν φυλάττειν, σέβων ἀλήθειάν τε καὶ πίστιν, οἱ δὲ τῶν ἀλλο-
τρίων ἔφεδροι βαλαντιοτόμοι καὶ τοιχωρύχοι παρεισφθαρέντες ὑφέλωνται,
34 συλληφθέντες ἐκτινέτωσαν ἐπιτίμια διπλᾶ [τὰ κλεπτῶν εὑρεθέντα]. εἰ
δὲ μὴ συλληφθεῖεν οὗτοι, προσίτω γνώμῃ ἑκουσίῳ ὁ λαβὼν εἰς τὸ

---

1 tit. περὶ παρακαταθηκῶν add. S mg M   3 συμβολαίων Mang.: συμβολέων SM   δὲ v   4 διδόμενα SM: γινόμενα v   δὲ v   5 δίδωσιν S   6 μηδὲ v   7 φιλοδέσποτον SM: φιλοδεσποτῶν v   8 λάθη M (coni. Mang.): λάβη S   ὁ δ' S   ἵν' M   ἀγνοεῖται SM   9 μεσιτεύῃ M   ὑπ' ἀμφοῖν scripsi: ἐπ' ἀμφοῖν SM (v)   10 ἀπαιτεῖται S   τοῦ δ' SM: τοῦ δὲ ὡς v   12 ἐπιτρέψοντα S   δὲ v   13 κατασκεπάσας scripsi: κατασκευάσας SM (v); κατασκιάσας coni. Mang.   ἀπιστίαν scripsi (sic fortasse M): ἀπιστία S(M?); ἀπιστίᾳ v   14 ἀνθρωπείων M, ἀνθρωπίων S: ἀνθρωπίνων v   18 δὲ v   ἄψαυστον M (coni. Mang.): ἄψευστον S   19 οἴηται S: οἴεται M (v)   20 τειχωρύχοι (οι superscr.) M   21 ἐκτεινέτωσαν S, ἐκτιννύτωσαν M   τὰ κλεπτῶν εὑρεθέντα seclusit Mang.   22 προσίτω Mang. (cf. LXX): προείτω S, προΐτω M

---

1 cf. *Ioseph. Ant. Iud. IV § 285* παρακαταθήκην δὲ ὥσπερ ἱερόν τι καὶ θεῖον χρῆμα ὁ παραλαβὼν φυλακῆς ἀξιούτω.   16. 17 cf. Hom. Od. λ 109. μ 323.   18 Exod. 22,7.   22 Exod. 22,8. cf. *Ioseph. Ant. Iud. IV § 287* εἰ δὲ μηδὲν ἐπίβουλον δρῶν ὁ πιστευθεὶς ἀπολέσειεν, ἀφικόμενος ἐπὶ τοὺς ἑπτὰ κριτὰς ὀμνύτω τὸν θεόν, ὅτι μηδὲν παρὰ τὴν αὐτοῦ βούλησιν ἀπόλοιτο καὶ κακίαν, οὐδὲ χρησαμένου τινὶ μέρει αὐτῆς, καὶ οὕτως ἀνεπαιτίατος ἀπίτω.

θεῖον δικαστήριον καὶ ἀνατείνας τὰς χεῖρας εἰς οὐρανὸν ὀμνύτω κατ' ἐξωλείας ἑαυτοῦ, μήτε τι μέρος τῆς παρακαταθήκης νοσφίσασθαι μήτε ἑτέρῳ κοινοπραγῆσαι μήτε ὅλως συνεπιψεύσασθαι κλοπὴν οὐ γενομένην· ἄτοπον γὰρ ἢ τὸν μηδὲν ἠδικηκότα ζημιοῦν ἢ τὸν συνδραμόντα εἰς φίλου
πίστιν ὑφ' ἑτέρων ἀδικηθέντα βλάβης αἴτιον ἐκείνῳ γενέσθαι. παρα- 35
καταθῆκαι δ' οὐ μόνον ἐν ἀψύχοις εἰσίν, ἀλλὰ καὶ ζῴοις, ὧν διττὸς ὁ κίνδυνος, ὁ μὲν πρὸς τὰ ἄψυχα κοινὸς διὰ κλοπῆς, ὁ δὲ ἴδιος καὶ ἐξαίρετος διὰ θανάτου. λέλεκται μὲν οὖν περὶ τοῦ προτέρου, χρὴ δὲ καὶ
περὶ τοῦ δευτέρου προσνομοθετεῖν. ἐὰν οὖν ⟨ἐν⟩ παρακαταθήκῃ θρέμ- 36
ματα τελευτήσῃ, μεταπεμψάσθω τὸν ἐπιτρέψαντα ὁ λαβὼν καὶ ἐπιδεικνύτω, φαύλης ὑπονοίας ῥυόμενος ἑαυτόν· εἰ δὲ ἔκδημος ὢν τυγχάνοι, καλεῖν μὲν ἑτέρους οὐχ ἁρμόττον, οὓς λανθάνειν ἐσπούδασεν ἴσως ὁ πιστεύσας, ὀμνύναι δ' ἀναγκαῖον ἐπανήκοντι περὶ τοῦ μὴ ἐπισκιάζειν ἐψευσμένῳ
θανάτῳ νοσφισμὸν ἄδικον. ἐὰν δὲ λάβῃ τις μὴ ὡς παρακαταθήκην ἀλλ' 37
ἕνεκα τοῦ χρήσασθαι δεόμενος σκεῦος ἢ ζῷον, ἔπειτα [εἰ τὰ] ἀμφότερα κλαπῇ ἢ τὸ ζῷον ἀποθάνῃ, συνδιατρίβοντος μὲν τοῦ χρήσαντος ὁ λαβὼν ὑπόδικος οὐκ ἂν γένοιτο, τοῦ μὴ σκήπτεσθαι μάρτυρι χρώμενος ἐκείνῳ,
μὴ συνδιατρίβοντος δὲ ἀποτινύτω. διὰ τί; ὅτι ἐνδέχεται μὴ παρόντος 38
τοῦ κυρίου τὸν χρώμενον ἢ πόνοις ἀποτρῦσαι συνεχέσι τὸ ζῷον, ὡς
342 M. ἀποκτεῖναι, ἢ παραρρῖψαι | τὸ σκεῦος ὀλιγωρήσαντα τοῦ ἀλλοτρίου, ταμιεύειν δέον καὶ μὴ παρέχειν εὐμάρειαν εἰς ὑφαίρεσιν κλέπταις.

Ἀκολουθίαν δ' εἴ καί τις ἄλλος δεινὸς ὢν θεάσασθαι πραγμάτων 39
ἀπαγορεύσεις ἐπαλλήλους ἑξῆς νομοθετεῖ, στοχαζόμενος εἱρμοῦ καὶ συνῳδὰ τοῖς προτέροις τὰ ἑπόμενα συνυφαίνων. τὴν δὲ τῶν λέγεσθαι μελλόντων ἁρμονίαν χρησμῷ θεσπισθῆναί φησιν ἐκ προσώπου τοῦ θεοῦ τὸν τρόπον τοῦτον· „οὐ κλέψετε καὶ οὐ ψεύσεσθε καὶ οὐ συκοφαντήσετε τοὺς

2 ἐξωλείας M (Mang.): ἐξολίας S μήτε τι μέρος SM: μήτε ἰμέρῳ v παραθήκης SM, corr. Mang. 3 κοινοφραγῆσαι (sic) v γενομένην SM: γινομένην v 5 πίστιν SM: τάξιν v ἐκείνου M 6 ἐν ἀψύχοις SM: ἐν τοῖς ἀψύχοις v 9 ἐν παρακαταθήκῃ scripsi (τὰ ἐν π. Mang.): παρακαταθήκη M, παρακαταθήκην S 11 τυγχάνη M 12 ἴσως SM: om. v 13 δὲ v 15 εἰ τὰ seclusi, ἢ τὰ coni. Wendl. 16 κλαπῆ M, κλαπεῖ S: κλαπείη v ἀποθάνη M, ἀποθάνει S: ἀποθάνοι v συντρίβοντος M 17 ἐκεῖνο S 18 ἀποτινύτω S¹: ἀποτιννύτω S²M (v) 19 χρώμενον SM: χρησάμενον v ἀποτρῦσαι συνεχέσι(ν) SM: συνεχέσι ἀποτρῦσαι v 22 εἰ καί τις M, εἰ κέ τις S: εἴ τις v πραγμάτων] προσταγμάτων coni. Mang. 23 προσνομοθετεῖ coni. Mang. 26 καὶ οὐ ψεύσεσθε SM: καὶ om. v

6 Exod. 22,9. 9 Exod. 22,10. 13. 11 Exod. 22,10. 11. 14 Exod. 22,14. 15

πλησίον ὑμῶν· καὶ οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ καὶ τὸ ἐμὸν
ὄνομα οὐ βεβηλώσετε“ (Lev. 19,11. 12)· παγκάλως καὶ σφόδρα παι-
40 δευτικῶς· ὅ τε γὰρ κλέπτης ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος ἀρνεῖται καὶ
ψεύδεται, δεδιὼς τὰς ἐκ τοῦ ὁμολογῆσαι τιμωρίας, ὅ τε ἀρνούμενος ἑτέρῳ
σπουδάζων προσβάλλειν τὸ ἔγκλημα συκοφαντεῖ καὶ τέχνας ἐπινοεῖ, δι'
ὧν εὔλογον εἶναι δόξει τὸ συκοφάντημα, πᾶς τε συκοφάντης εὐθύς ἐστιν
ἐπίορκος, ὀλίγα φροντίζων εὐσεβείας· ἐπειδὴ γὰρ ἐλέγχων ἀπορεῖ δικαίων,
ἐπὶ τὴν ἄτεχνον λεγομένην πίστιν καταφεύγει, τὴν δι' ὅρκων, οἰόμενος
κατακλήσει θεοῦ πίστιν ἐργάζεσθαι τοῖς ἀκούουσιν. ἀνίερος δ' ὁ τοιοῦτος
ὢν καὶ βέβηλος ἴστω, μιαίνων τὸ ἀμίαντον φύσει [ἀγαθὸν καὶ] θεῖον
ὄνομα.

Οὐ ψευδομαρτυρήσεις.

41 (8.) Ἔνατον μέν ἐστι τουτὶ τῶν δέκα κεφαλαίων, τῶν δὲ ἐν τῇ
δευτέρᾳ στήλῃ τὸ τέταρτον ἀριθμῷ, μυρία δὲ τὸν ἀνθρώπινον βίον ὀνῆσαι
42 δυνάμενον, εἰ φυλάττοιτο, ὡς καὶ τοὐναντίον ἀμελούμενον βλάψαι. ψεκτὸς
μὲν γὰρ ὁ συκοφάντης, ὁ δὲ τὰ ψευδῆ μαρτυρῶν μᾶλλον ὑπαίτιος· ὁ
μὲν γὰρ αὑτῷ βοηθῶν, ὁ δ' ἄλλῳ συμπράττων πονηρός ἐστιν, ἐν δὲ
συγκρίσει κακῶν ἀνδρῶν ὁ δι' αὑτὸν ἁμαρτάνων τοῦ δι' ἕτερον ἧττον
43 ἄδικος. καὶ τὸν μὲν κατήγορον ὑποβλέπεται πᾶς δικαστὴς ὡς ὀλίγα
φροντίζοντα τῆς ἀληθείας ἕνεκα τοῦ περιγενέσθαι, διὸ καὶ προοιμίων
ἐδέησεν εἰς προσοχὴν ἀκροατοῦ τῷ λέγοντι· τοῦ δὲ μαρτυροῦντος μηδὲν
ἐπ' αὐτῷ προπεπονθὼς ὕπουλον ἐλευθέρᾳ γνώμῃ καὶ ἀναπεπταμένοις
ὠσὶν ἀνέχεται, πίστιν καὶ ἀλήθειαν ὑποδυομένου, [τὸ] πραγμάτων μὲν
ὠφελιμωτάτων τὰ ὀνόματα, ὀνομάτων δὲ προσαγωγότατα, ⟨οἷς⟩ καθάπερ

---

1 οὐκ ὀμεῖσθε v: οὐ κομιεῖσθαι SM τῶ ὀνόματι S, τὸ ὄνομα M: ἐπὶ τῷ ὀνόματι v 4 δεδειὼς S[1] 5 σπουδάζων M: σπουδάζειν S[1], σπουδάζει S[2] (v) συκοφαντεῖ M: συκοφαντῶν S (v) 7 ἐπειδὴ γὰρ scripsi: ἐπειδήπερ SM (v) 8 πίστιν SM: om. v 9 ἐργάζεσθαι SM: ἐργάσασθαι v δὲ v 10 βέβηλος SM: ἀβέβηλος v ἀγαθὸν καὶ seclusi; ἅγιον vel ἀγαστὸν (pro ἀγαθὸν) coni. Mang. 13 ἔννατον SM (v) δέκα] ι' SM 16 ψευδῆ M: ψεύδη S (v) 17 δὲ v ἐστιν S[2]M: om. S[1] (v) 18 ἀνδρῶν om. Flor. Laur. ἐξαμαρτάνων Flor. Paris. 21 μηδὲν SM: om. v 22 ἐπ' αὐτῶ SM: ἐφ' αὑτῷ v 23 τὸ seclusi et πραγμάτων scripsi: τὸ πρᾶγμα τῶν SM (v) 24 ὠφελημοτάτων S προσαγωγότατα, οἷς scripsi: προσαγωγότατος SM; προσαγωγοτάτοις Mang.

---

8 ἄτεχνον πίστιν: cf. Arist. Rhet. I 15 p. 1375a21. 17—19 Flor. Laur. nr. 13 Flor. Par. 3: Φίλωνος: ἐν συγκρίσει — ἄδικος.

δελέασιν ἐπὶ θήρᾳ χρῆται ὧν ὀρέγεται καὶ ποθεῖ. διὸ πολλαχοῦ παραινεῖ 44
τῆς νομοθεσίας ἀδίκῳ μηδενὶ συναινεῖν, μήτε ἀνθρώπῳ μήτε πράγματι·
προκαλεῖται γὰρ ἡ συναίνεσις ἐφ' ὑγιεῖ μὴ γενομένη τὰ ψευδῆ μαρτυρεῖν,
143 M. ἐπεὶ καὶ πᾶς, | ὅτῳ πρόσαντες καὶ ἐχθρὸν τὸ ἄδικον, ἀληθείᾳ φίλος.
ἑνὶ μὲν οὖν μοχθηρῷ μὴ συναπονοηθῆναι θαυμαστὸν οὐδὲν εἰς τὰ ὅμοια 45
προκαλουμένῳ, πλήθει δὲ ἐπὶ παρανομίαν οἷα κατὰ πρανοῦς ἀθρόᾳ ῥύμῃ
φερομένῳ μὴ συνενεχθῆναι γενναίας ψυχῆς ἐστι καὶ φρονήματος ἀνδρείᾳ
συγκεκροτημένου. ἔνιοι γὰρ τὰ τοῖς πολλοῖς δοκοῦντα, κἂν παρανομώτατα 46
ᾖ, νόμιμα καὶ δίκαια εἶναι νομίζουσι, κρίνοντες οὐκ εὖ· φύσει γὰρ
ἕπεσθαι καλόν, ἀκολουθίᾳ φύσεως δ' ἀντίπαλον ὄχλου φορά. ἐὰν οὖν 47
κατὰ θιάσους καὶ πολυανθρώπους ὁμίλους ἀγειρόμενοί τινες νεωτερίζωσι,
τούτοις οὐ συναινετέον ὡς τὸ ἀρχαῖον καὶ δόκιμον τῆς πολιτείας νόμισμα
παρακόπτουσι·

σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία μεῖζον κακόν.

ἀλλὰ τοσαύτῃ τινὲς ὑπερβολῇ χρῶνται μοχθηρίας, ὥστ' οὐ μόνον 48
ἀνθρώπων ἀγένητα κατηγοροῦσιν, ἀλλ' ἐπιμένοντες τῇ μοχθηρίᾳ διαί-
ρουσι καὶ τείνουσι τὸ ψεῦδος ἄχρι οὐρανοῦ, τῆς μακαρίας καὶ εὐδαίμονος
θεοῦ φύσεως καταμαρτυροῦντες· εἰσὶ δ' οὗτοι τερατοσκόποι καὶ οἰωνο-
σκόποι καὶ θύται καὶ ὅσοι ἄλλοι μαντικὴν ἐκπονοῦσι τὴν σὺν τέχνῃ κακο-
τεχνίαν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐπιτηδεύοντες, παράκομμα τῆς ἐνθέου
κατοκωχῆς καὶ προφητείας. προφήτης μὲν γὰρ οὐδὲν ἴδιον ἀποφαίνεται 49
τὸ παράπαν, ἀλλ' ἔστιν ἑρμηνεὺς ὑποβάλλοντος ἑτέρου πάνθ' ὅσα προ-
φέρεται, καθ' ὃν χρόνον ἐνθουσιᾷ γεγονὼς ἐν ἀγνοίᾳ, μετανισταμένου μὲν

2 πράγματι SM: τῷ πράγματι v   3 ἡ] ᾗ Mang. Richt.   ὑγιῆ M   τὰ ψευδῆ μαρτυρεῖν SM: τῷ ψευδομαρτυρεῖν v   4 πρόσαντες SM: προσαντὲς v   ἀληθεία SM: ἀληθείας v   5 μὴ om. M   6 παρανομίαν Mang.: παρανομία SM   8 ἔνιοι Mang.: ἔνια SM   δοκοῦντα SM: om. v   10 δὲ v   φορά SM: φοράν v   11 ἀγειρόμενοι M, ἀγηρόμενοι S: ἐγηρόμενοι v   νεωτερίζωσι scripsi: νεωτερίζοιεν M, νεωτερίζεσθαι S (v)   12 τούτοις M (Mang.): τούτους S   13 παρακόπτουσιν S   14 χεῖρας SM (v)   17 ἐπιμένοντες SM: ἐπὶ μέν τε (sic) v, quod in ἐπιμανέντες corrigere voluit Mang.   17. 18 διαίροῦσι (sic) M, διαιροῦσι S   18 τείνουσι SM: τέμνουσι v   19 δὲ v   τερασκόποι M   20 θύται S, θῦται M: θυταὶ v   ἐκπονοῦσιν S   20. 21 κακοτεχνίαν SM: ἀτεχνίαν v   21 ἐνθέου Mang.: ἐντέχνου SM   22 κατοκωχῆς scripsi: κατακωχῆς SM (v)   προφήτης μὲν SM: προφήτης τε μὲν v   23. 24 προφέρεται S, προσφέρεται M: προφέρει v   24 καὶ ante καθ' add. Mang., om. SM   ἀγνοίᾳ] ἀνοίᾳ coni. Mang.

1. 2 Exod. 23,1. Deut. 19,16—19.   6 Exod. 23,2.   14. 15 Eurip. frg. 200,3. 4 N^2.

τοῦ λογισμοῦ καὶ παρακεχωρηκότος τὴν τῆς ψυχῆς ἀκρόπολιν, ἐπιπε-
φοιτηκότος δὲ καὶ ἐνῳκηκότος τοῦ θείου πνεύματος καὶ πᾶσαν τῆς φωνῆς
ὀργανοποιΐαν κρούοντός τε καὶ ἐνηχοῦντος εἰς ἐναργῆ δήλωσιν ὧν προ-
50 θεσπίζει. τῶν δὲ τὴν παράσημον καὶ βωμολόχον μαντικὴν ζηλούντων·
ἕκαστος ταῖς εἰκασίαις καὶ στοχασμοῖς ἀνοίκειον τάξιν παρατίθησι τὴν
τῆς ἀληθείας καὶ τοὺς ἀβεβαίους τὸ ἦθος ὑπαγόμενος ῥᾳδίως καθάπερ
ἀνερμάτιστα σκάφη πολὺς ἀντιπνεύσας ⟨ἄνεμος⟩ ἀνωθεῖ καὶ ἀνατρέπει, δια-
κωλύων ὑποδρόμοις ἀσφαλέσι προσσχεῖν εὐσεβείας· τὰ γὰρ τοπασθέντα
προλέγειν οἴεται δεῖν ὡς οὐκ αὐτὸς εὑρών, ἀλλ' ὡς ἀφανῶς αὐτῷ μόνῳ
χρησθέντα θεῖα λόγια, πρὸς βεβαιοτέραν πίστιν ἀπάτης μεγάλων καὶ πολυαν-
51 θρώπων ὁμίλων. τὸν τοιοῦτον εὐθυβόλῳ ὀνόματι ψευδοπροφήτην προσ-
αγορεύει, κιβδηλεύοντα τὴν | ἀληθῆ προφητείαν καὶ τὰ γνήσια νόθοις p. 344
εὑρήμασιν ἐπισκιάζοντα. χρόνῳ δὲ παντάπασιν ὀλίγῳ διακαλύπτεται τὰ
τοιαῦτα στρατηγήματα, τῆς φύσεως οὐκ ἀεὶ κρύπτεσθαι φιλούσης, ἀλλ'
ὁπόταν καιρὸς ᾖ τὸ ἴδιον κάλλος ἀναφαινούσης ἀηττήτοις δυνάμεσιν.
52 ὡς γὰρ ἐν ταῖς ἡλιακαῖς ἐκλείψεσιν αἱ ἀκτῖνες πρὸς βραχύτατον ἀμαυρω-
θεῖσαι μικρὸν ὕστερον ἀναλάμπουσιν ἄσκιον καὶ τηλαυγὲς ἐπιδεικνύμεναι
φέγγος, μηδενὸς ἐπιπροσθοῦντος ἡλίῳ τὸ παράπαν, [ἀλλ' ὡς ἐν αἰθρίᾳ
καθαρᾷ ὁλοστὸν ἀναφαίνοντι], οὕτως κἂν χρησμολογῶσί τινες μαντικὴν
μὲν ἐπεψευσμένην τεχνάζοντες, ὑποδυόμενοι δ' εὐπρεπὲς ὄνομα τὸ προ-
φητείας, ἐνθουσιάσεις καταψευδόμενοι θεοῦ, διελεγχθήσονται ῥᾳδίως· ἥξει
γὰρ πάλιν ἡ ἀλήθεια καὶ ἀναλάμψει φῶς ἀστράπτουσα τηλαυγέστατον,
53 ὡς τό γε ἐπισκιάσαν ψεῦδος ἀφανισθῆναι. πάγκαλον μέντοι κἀκεῖνο
προσδιετάξατο κελεύσας ἑνὸς μαρτυρίαν μὴ προσίεσθαι· πρῶτον μὲν ὅτι
ἐνδέχεται ἕνα καὶ παριδεῖν τι καὶ παρακοῦσαι καὶ παρενθυμηθῆναι καὶ

2 δὲ om. M ἐνοικηκότος S 3 τε SM: om. v 4 παράσιμον S[1] βωμολόχων M 5 εἰκασίαις S[2]: ἱκεσίαις S[1]M παρατίθησιν S 7 ἀνερμάτιστα S[2]: ἐν ἕρματι τὰ S[1]M ἄνεμος add. Mang. 8 προσσχεῖν Richt.: προσχεῖν SM εὐσεβείας SM: τῆς εὐσεβείας v 11 εἰθυβόλω S, ἰθυβόλω M 13 εὑρήμασιν S[2]: εὑρέμασιν S[1]M (v) 15 ᾖ] εἰ M 16 ἡλιακαῖς S: σεληνιακαῖς M αἱ ἀκτῖνες Mang.: καὶ ἀκτῖνες SM 18. 19 ἀλλ' ὡς — ἀναφαίνοντι seclusi 19 ὁλοστὸν SM: ὅλοστον Mang.; ὅλως αὐτὸν coni. Mang. 20 μὲν om. M ἐπεψευσμένην SM: ἐψευσμένην v δὲ v 20. 21 τὸ προφητείας SM: τὸ om. v 21 ἐνθουσιάσεις scripsi: ἐνθουσιώσεις S, ἐνθουσιώσης M 22 ἀστράπτουσα SM: ἀπαστράπτουσα v 23 μέντοι SM: μὲν v 24 προδιετάξατο M κελεύσας SM: κελευσάμενος v 25 καὶ παρακοῦσαι M mg S, καὶ ἀκοῦσαι in textu S: καθ' ἑκούσιον Mang. in textu, κατ' ἀκούσιον in notis

24 Num. 35,30. Deut. 17,6. 19,15.

ἀπατηθῆναι, δόξαι γὰρ αἱ ψευδεῖς μυρίαι καὶ ἀπὸ μυρίων εἰώθασι προσπίπτειν· δεύτερον δὲ ὅτι κατὰ πλειόνων ἢ καὶ καθ' ἑνὸς ἀδικώτατον 54 ⟨ἑνὶ⟩ χρῆσθαι μάρτυρι, τῶν μὲν ὅτι δὴ πρὸς πίστιν ἀξιονικότεροι ἑνός, τοῦ δ' ἐπειδὴ κατ' ἀριθμὸν οὐ προφέρει, τὸ δ' ἴσον πλεονεξίας ἀλλότριον· τί γὰρ μᾶλλον τῷ μάρτυρι καθ' ἑτέρου διεξιόντι ἢ τῷ κατηγορουμένῳ ὑπὲρ αὑτοῦ λέγοντι συναινετέον; ἄριστον δ' ὡς ἔοικεν ἐπέχειν, ἔνθα μηδὲν ἐνδεῖ μηδὲ ὑπερβάλλει.

Τὰ πρὸς δικαστήν.

(1.) Οἴεται δεῖν ὁ νόμος ἅπαντας μὲν τοὺς συμφερομένους τῇ 55 κατὰ Μωυσέα ἱερᾷ πολιτείᾳ παντὸς ἀλόγου πάθους καὶ πάσης κακίας ἀμετόχους εἶναι μᾶλλον ἢ τοὺς τοῖς ἄλλοις νόμοις χρωμένους, διαφερόντως δὲ τοὺς λαχόντας ἢ χειροτονηθέντας δικάζειν. ἄτοπον γὰρ
p. 345 M. ἁμαρτήμασιν ἐνόχους εἶναι | τοὺς τοῖς ἄλλοις τὰ δίκαια βραβεύειν ἀξιοῦντας, οἷς ἀναγκαῖον καθάπερ ἀπ' ἀρχετύπου γραφῆς ἀπομάττεσθαι τὰ φύσεως ἔργα πρὸς μίμησιν. ὡς γὰρ ἡ τοῦ πυρὸς δύναμις ἀλεαίνουσα 56 ὧν ἂν προσάψηται θερμὴ πολὺ πρότερον αὐτὴ καθέστηκεν ἐξ αὑτῆς καὶ κατὰ τοὐναντίον ἡ τῆς χιόνος τῷ κατεψύχθαι καὶ τἆλλα ἐπιψύχει, οὕτως ὀφείλει καὶ δικαστὴς ἀνάπλεως εἶναι δικαιοσύνης ἀκραιφνοῦς, εἴ γε μέλλει τὰ δίκαια τοῖς ἐντευξομένοις ἐπάρδειν, ἵν' ὥσπερ ἀπὸ πηγῆς γλυκείας

---

1 μυρίαι S: μαρτυρίαι M 2 ἀδικώτατον SM: ἀδικωτάτῳ v 3 ἑνὶ addidi τῶν scripsi (coni. etiam Mang.): τὸν S, τὸ M; πρῶτον v 4 δὲ (bis) v 6 αὑτοῦ S: αὐτοῦ M λέγοντι ὑπὲρ αὑτοῦ conicio 7 ἐνδεῖ . . . ὑπερβάλλει S²M: ἐνδῇ . . . ὑπερβάλλῃ S¹ (v) 8 tit. τὰ πρὸς δικαστήν SMG: φίλωνος ἰουδαίου τὰ πρὸς δικαστήν A, τοῦ αὐτοῦ κεφάλαια νόμων τὰ πρὸς τὸν δικαστήν F, τὰ περὶ δικαστοῦ H, φίλωνος τὰ περὶ δικαστοῦ P 9 νόμος] γρ. καὶ νομοθέτης mg M μὲν SM: om. ceteri (v) 10 μωσέα codd.; Μωυσῆν conicio 11 μᾶλλον ἢ τοὺς τοῖς ἄλλοις νόμοις χρωμένους SM: om. ceteri (v) 12 τοὺς λαχόντας SM: τοὺς τοῖς ἄλλοις λαχόντας ceteri (v) 13 ἁμαρτήσασιν F (μα ss. F²), ἁμαρτάνουσιν S 14 ἀπ' om. H (Turn.) ἀπ' ἀρχετύπου] ἀπαρχὰς τύπους S ἐναπομάττεσθαι coni. Mang. 15 τὰ om. D ἀλεαίνουσα in textu S, ἀλεύουσα mg S, λεαίνουσα D 16 ὧν] ὃν D πολὺ om. D αὐτῆς MP, ὑ ex ὐ corr. H 17 χιῶνος S¹ τῷ] τὸ S καπεψύχθαι (sic) S (τ ss.) τἄλλα A: τἀλλ' SF, τἆλλ' ceteri, τὰ ἄλλα D 18 μέλλοι A 19 ἐπάρδειν] ἐπάδειν SD

12—19 D^R fol. 157^v Φίλωνος: ἄτοπον ἁμαρτήμασιν — ἐπάδειν (sic). 12—14 Maximi cod. Cabirinus apud Tischend. Philonea p. 155: ἄτοπον — ἀξιοῦντας. pergit p. 223,8.

57 φέρηται νᾶμα πότιμον τοῖς διψῶσιν εὐνομίας. τουτὶ δὲ συμβήσεται, ἐάν
τις δικάζειν εἰσιὼν ἐν ταὐτῷ νομίσῃ κρίνειν τε καὶ κρίνεσθαι καὶ ἀνα-
λαμβάνῃ ἅμα τῇ ψήφῳ σύνεσιν μὲν εἰς τὸ μὴ ἀπατᾶσθαι, δικαιοσύνην
δὲ εἰς τὴν τῶν κατ' ἀξίαν ἐπιβαλλόντων ἑκάστοις ἀπονομήν, ἀνδρείαν δὲ
εἰς τὸ ἀνένδοτον πρὸς ἱκεσίας καὶ οἴκτους κατὰ τὰς τῶν ἑαλωκότων
58 τιμωρίας. ὁ τούτων ἐπιμελούμενος τῶν ἀρετῶν κοινὸς εὐεργέτης εἰκότως
ἂν νομίζοιτο, κυβερνήτου τρόπον ἀγαθοῦ τοὺς χειμῶνας τῶν πραγμάτων
ἐξευδιάζων ἕνεκα σωτηρίας καὶ ἀσφαλείας τῶν τὰ οἰκεῖα ἐπιτετρο-
φότων αὐτῷ.
59 (2.) Κελεύει δὴ πρῶτον ὁ νόμος τῷ δικαστῇ μὴ παραδέχεσθαι
ἀκοὴν ματαίαν. τί δὲ τοῦτ' ἐστίν; ἔστω, φησίν, ὦ οὗτος, τὰ ὦτά σου
κεκαθαρμένα· καθαρθήσεται δέ, ἐὰν νάμασι σπουδαίων λόγων συνεχῶς
ἐπαντλῆται, τὰς ματαίους καὶ πεπατημένας καὶ χλεύης ἀξίας μυθογράφων
ἢ μιμολόγων ἢ τυφοπλαστῶν τὰ μηδενὸς ἄξια σεμνοποιούντων μακρὰς
60 ῥήσεις μὴ προσιέμενα. δηλοῦται δ' ἐκ τοῦ μὴ παραδέχεσθαι ματαίαν
ἀκοὴν καὶ ἕτερόν τι τῷ προτέρῳ συνᾷδον· τοῖς ἀκοὴν μαρτυροῦσι, φησίν,
ὁ προσέχων ματαίως καὶ οὐχ ὑγιῶς προσέξει· διὰ τί; ὅτι ὀφθαλμοὶ μὲν
αὐτοῖς ἐντυγχάνουσι τοῖς γινομένοις, ἐφαπτόμενοι τρόπον τινὰ τῶν πραγ-
μάτων καὶ ὅλα δι' ὅλων καταλαμβάνοντες, φωτὸς συνεργοῦντος, ᾧ πάντα
αὐγάζεταί τε καὶ διελέγχεται, ὦτα δ', ὡς ἔφη τις οὐκ ἀπὸ σκοποῦ τῶν
προτέρων, ὀφθαλμῶν ἀπιστότερα, πράγμασι μὲν οὐκ ἐντυγχάνοντα, ἑρμη-
νεῦσι δὲ πραγμάτων λόγοις οὐκ ἀεὶ πεφυκόσιν ἀληθεύειν περιελκόμενα.

---

2 νομίσῃ] νομίζειν τε corr. in νομίση H; νομίζῃ v 4 δὲ SM: δ' ceteri ἀνδρείαν SH²: ἀνδρίαν ceteri δὲ] τὲ S (Mang.) 5 εἰς S: καὶ A, πρὸς ceteri (v) καὶ ante κατὰ add. S τῶν om. FA 6 ὁ S: ὁ γὰρ ceteri (v) ἐπιμελόμενος A 8 ἀσφαλείας] ὠφελείας F τῶν om. Turn. τ' οἰκεῖα P 8. 9 ἐπιτετροφότων S¹: ἐπιτετραφότων ceteri (v) 10 tit. εἰς τὸ μὴ παραδέξῃ ἀκοὴν ματαίαν add. S mg M 12 ἐὰν] ἂν S νάμασι SF: νάματι ceteri (v) λόγων om. in textu S, add. mg S 13 ἐπαντλῆται FA, ἐ ex ά corr. H, ἐπαντλεῖται S: ἀπαντλῆται MGP ματαίας SAP χλεύγης S 14 τυφοπλαστῶν SA: τυφλοπαστῶν F, τυφλοπλαστῶν ceteri (v) τὰ] τοῦ F 14. 15 μακρᾶ ῥήσει S 15 προσιέμενος S δὲ M 16 συνάδων S¹, corr. S² ἀκοὴν μαρτυροῦσι scripsi: ἀκοῇ μ. codd. (v) 17 οὐκ S¹, corr. S² προσέξει S: προσέχει ceteri (v) διὰ τί; ὅτι] διότι HP (v) 18 γιγνομένοις M τινὰ τρόπον transp. F 19 δι' ὅλου HP (Turn.) συνεργοῦντος om. S πάντ' A, τὰ πάντα G 20 διελέγχεται] καταλάμπεται S δὲ M 21 πράγμασι μὲν οὐκ ἐντυγχάνοντα om. S 21. 22 ἑρμηνεύσει S 22 περιελκόμενος F

---

10 Exod. 23,1. 20. 21 Herod. I 8. (Heraclit. ap. Polyb. XII 27,1). cf. Leutsch GPG II p. 744. R. v. Scala, Studien des Polyb. I p. 88.

διὸ καὶ τῶν παρ' Ἕλλησιν ἔνιοι νομοθετῶν μεταγράψαντες ἐκ τῶν ἱερω- 61
τάτων Μωυσέως στηλῶν εὖ διατάξασθαι δοκοῦσι, μὴ μαρτυρεῖν ἀκοήν,
ὡς δέον, ἃ μὲν εἶδέ τις, πιστὰ κρίνειν, ἃ δὲ ἤκουσε, μὴ πάντως
βέβαια.

p. 346 M. (3.) | Δεύτερον παράγγελμα κριτῇ δῶρα μὴ λαμβάνειν· τὰ γὰρ 62
δῶρα, φησὶν ὁ νόμος, πηροῖ μὲν ὀφθαλμοὺς βλέποντας, τὰ δὲ δίκαια
λυμαίνεται, τὴν δὲ διάνοιαν οὐκ ἐᾷ διὰ λεωφόρου βαίνειν ἐπ' εὐθείας.
καὶ τὸ μὲν δωροδοκεῖν ἐπ' ἀδίκοις παμπονήρων ἐστὶν ἀνθρώπων ἔργον, 63
τὸ δ' ἐπὶ δικαίοις ἐφ' ἡμισείᾳ πονηρευομένων· εἰσὶ γὰρ εὐπάρυφοί τινες
ἡμιμόχθηροι, δικαιάδικοι, τὴν ὑπὲρ τῶν πεπλημμελημένων τεταγμένοι
τάξιν κατὰ τῶν πλημμελησάντων, προῖκα δ' οὐκ ἀξιοῦντες νικῶντας
γράφειν οὓς νικᾶν ἀναγκαῖον, ἀλλὰ τὴν γνῶσιν ὤνιον καὶ ἔμμισθον
ἀποφαίνοντες. εἶτα ἐπειδάν τις αἰτιᾶται, φασὶ μὴ παρατρέψαι τὸ δίκαιον 64
— ἡττηθῆναι μὲν γὰρ οὓς ἁρμόττον ἦν ἡττᾶσθαι, νενικηκέναι δ' οὓς
ἐχρῆν περιγίνεσθαι —, κακῶς ἀπολογούμενοι· δύο γὰρ δεῖ προσφέρεσθαι
τὸν ἀγαθὸν δικαστήν, νομικωτάτην γνῶσιν καὶ τὸ ἀδέκαστον· ὁ δὲ ἐπὶ
δώροις βραβευτὴς τοῦ δικαίου καλὸν φύσει πρᾶγμα λέληθεν αἰσχύνων.
ἐπεξαμαρτάνει δὲ καὶ δύο ἕτερα, τὸ μὲν ἐθίζων ἑαυτὸν εἶναι φιλοχρή- 65
ματον, ὅπερ ὁρμητήριον τῶν μεγίστων παρανομημάτων ἐστί, τὸ δὲ βλάπ-
των ὃν ἄξιον ἦν ὠφελεῖν τιμὴν τοῦ δικαίου κατατιθέντα. διὸ σφόδρα 66

---

1 ἔνιοι] ἔνι M 2 μωυσέως S: μωσέως ceteri 3 ἃ μὲν] συνεργοῦντος μέν· S εἶδέ τις] εἰ δέ τις S κρίνων P ἃ δὲ ἤκουσε] ἢ ἀκοῦσαι S δ' A
4 βεβαῖαν (sic) S 5 tit. περὶ τοῦ μὴ λαμβάνειν δῶρα τὸν κριτήν add. S mg M δῶρον A 6 τοὺς ὀφθαλμοὺς A τὰ δὲ] ῥήματα δὲ coni. Mang.
7 λοιμαίνεται S (ῠ ss. S²) ἐπ' ante εὐθείας om. S 8 ἔργων S
9 ἡμίσεια M 10 δίκαι ἄδικοι (sic) S ὑπὲρ scripsi: παρὰ F, περὶ ceteri (v) πεπλημμένων P 10. 11 τάξιν τεταγμένοι transp. A 11 νικῶντας om. S
12 γνῶσιν] κρίσιν S 13 εἶτα S: εἶτ' ceteri παρατρέψασθαι H (v)
14 ἡττᾶσθαι] ἡττῆσθαι H (v) 15 περιγίνεσθαι S: περιγενέσθαι ceteri (v)
προσφέρεσθαι A: προφέρεσθαι ceteri (Turn.) 16 νομικωτάτην F, νομιμωτάτην S (μω ss.) γνῶσιν] κρίσιν S δὲ S: δ' ceteri 18 δύο ἕτερα A: δευτέρω S, δύ' ἕτερα ceteri τὸ S¹, τῷ S² 19 μεγίστων S: om. ceteri (Turn.) ἐστίν S
τὸ S¹, τῷ S² 19. 20 βλάπτον S, ων ex ειν corr. H 20 tit. εἰς τὸ δικαίως τὸ δίκαιον διώξεις (διώξει S) add. S mg M

---

2 μὴ μαρτυρεῖν ἀκοήν: cf. Dem. 57,4. [Dem.] 44,55. 46,7. Meier-Schömann-Lipsius, Att. Process p. 878. hinc corrigendum *de confus. ling.* § *141* ἀκοὴν μὴ μαρτυρεῖν.
5 Exod. 23,8. Deut. 16,19. 8. 9 Mel. Barocc. fol. 42ᵛ Φίλωνος: τὸ μὲν δωροδοκεῖν —πονηρευομένων. Maximi cod. Cahir. (v. ad p. 221,12) καὶ τὸ μὲν — πονηρευομένων.

παιδευτικῶς Μωυσῆς δικαίως τὸ δίκαιον προστάττει μεταδιώκειν, αἰνιτ-
τόμενος ὅτι καὶ ἀδίκως ἔνεστι, διὰ τοὺς ἐπὶ δώροις τοῦ δικαίου βρα-
βευτάς, οὐ μόνον ἐν δικαστηρίοις, ἀλλὰ πανταχοῦ κατά τε γῆν καὶ
θάλατταν καὶ ἐν ἅπασιν ὀλίγου δέω φάναι τοῖς τοῦ βίου πράγμασιν.
67 ἤδη γοῦν ὀλιγοχρήματόν τις παρακαταθήκην λαβὼν ἀπέδωκεν, ἐπ' ἐνέδρᾳ
μᾶλλον τοῦ λαμβάνοντος ἢ ὠφελείᾳ, ἵνα τὴν ἐν ὀλίγοις πίστιν δέλεαρ
καθεὶς ἀγκιστρεύσηται τὴν ἐν μείζοσιν πίστιν, ὅπερ οὐδὲν ἦν ἕτερον ἢ
τὸ δίκαιον μὴ δικαίως ἐπιτελεῖν· δίκαιον μὲν γὰρ ἡ τῶν ἀλλοτρίων
68 ἀπόδοσις, οὐ δικαίως δ' ἐγένετο, παρόσον ἐπὶ θήρᾳ πλειόνων. αἴτιον
δὲ τῶν τοιούτων ἁμαρτημάτων ἐστὶν ἐν τοῖς μάλιστα ἡ πρὸς τὸ ψεῦδος
οἰκείωσις, ὅπερ ἐκ πρώτης γενέσεως καὶ σπαργάνων αὐτῶν τίτθαι καὶ
μητέρες καὶ ὁ ἄλλος τῶν κατ' οἰκίαν ἀνδραπόδων καὶ ἐλευθέρων ὅμιλος
ἔργοις καὶ λόγοις ἀεὶ σύντροφον κατασκευάζουσιν, ἁρμοζόμενοι καὶ
ἑνοῦντες αὐτὸ τῇ ψυχῇ ὡς μέρος ἐκ φύσεως ἀναγκαῖον, ὅπερ, εἰ καὶ
τῷ ὄντι φύσει συνεγεγέννητο, ὤφειλεν ἐπιτηδεύσει τῶν καλῶν ἐκτετμῆσθαι.
69 τί δ' οὕτως ἐν βίῳ καλὸν ὡς ἀλήθεια; ἣν ὁ πάνσοφος ἐστηλίτευσεν ἐν
ἱερωτάτῳ χωρίῳ, κατὰ τὴν τοῦ ἀρχιερέως στολήν, | ἔνθα τὸ τῆς ψυχῆς p. 347
ἡγεμονικόν, ἀναθημάτων τῷ καλλίστῳ καὶ διαπρεπεστάτῳ βουληθεὶς
αὐτὸν ἐπικοσμῆσαι, συγγενῆ δὲ δύναμιν ἀληθείᾳ παριδρύσατο, ἣν ἐκάλεσε
δήλωσιν, ἀμφοτέρων τῶν ἐν ἡμῖν λόγων εἰκόνας, ἐνδιαθέτου τε καὶ προ-
φορικοῦ· δεῖται γὰρ ὁ μὲν προφορικὸς δηλώσεως, ᾗ τὰ ἀφανῆ τῶν καθ'
ἕκαστον ἡμῶν ἐνθύμια γνωρίζεται τῷ πέλας, ὁ δ' ἐνδιάθετος ἀληθείας,
εἰς τελειότητα βίου καὶ πράξεων, δι' ὧν ἡ ἐπ' εὐδαιμονίαν ὁδὸς
ἀνευρίσκεται.

---

1 μωυσῆς S: μωσῆς ceteri   καταδιώκειν M   3 οὐ μόνον — θάλατταν (4) om. F   δικαστηρίω A   πανταχοῦ S: καὶ πανταχοῦ ceteri (v)   3. 4 κατά τε γῆν καὶ θάλατταν om. S (fort. recte)   4 πᾶσιν S   6 μᾶλλον τοῦ om. A   τοῦ λαβόντος S   7 πίστιν Mang. (coll. *de plant.* *§ 101*): ἀδικίαν F, ἀπιστίαν ceteri   8 μὴ om. S   alt. δίκαιον] ἥδιον S^1, ἡδίων S^2 9 δικαίως] δίκαιον F   δ' ἐγένετο S: δὲ γέγονε M, δὲ γίγνεται P, δὲ γίνεται ceteri (v)   10 δὲ] δὲ μάλιστα HP (Turn.)   τῶν om. Mang.   τοσούτων A   11 τιτθαὶ SP   καὶ ante μητέρες om. S   12 ὁ om. S   ἄλλως S^1, ἄλλος corr. S^2 κατ' οἰκιῶν S   13 ἀεὶ SM: αἰεὶ ceteri   14 ἐκ om. Turn.   καὶ om. F   15 συνεγεγένητο MF   ἐκτετμεῖσθαι S^1, corr. S^2 16 ἐστηλίτευσεν mg H, ἐπετήδευσεν in textu HP   17 στολήν om. S   18 ἀνάθημα S   καλλιστοτάτω (sic) A   19 ἀληθείας A   20 ἐνδϊσθέτου (sic) M   21 τὰ ἀφανῆ SA: τἀφανῆ ceteri   22 τῷ πέλας γνωρίζεται transp. F   23 ἡ codd.: om. v   24 ἀνευρίσκηται S, εὑρίσκεται A

---

1 Deut. 16,20.   16 sqq. Exod. 28,26 (30).

(4.) Τρίτον παράγγελμα τῷ δικαστῇ τὰ πράγματα πρὸ τῶν κρινο- 70
μένων ἐξετάζειν καὶ πειρᾶσθαι πάντα τρόπον ἀφέλκειν αὐτὸν τῆς τῶν
δικαζομένων φαντασίας, εἰς ἄγνοιαν καὶ λήθην βιαζόμενον ὧν ἐπιστήμην
εἶχε καὶ μνήμην, οἰκείων, φίλων, πολιτῶν, καὶ πάλιν ἀλλοτρίων, ἐχθρῶν,
ξένων, ἵνα μήτε εὔνοια μήτε μῖσος ἐπισκιάσῃ τῶν δικαίων τὴν γνῶσιν·
ἀνάγκη γὰρ οἷα τυφλὸν δίχα βάκτρου προερχόμενον καὶ τοὺς ποδηγετή-
σοντας οὐκ ἔχοντα οἷς βεβαίως ἐπερείσεται πταίειν. ὅθεν προσήκει τὸν 71
ἀγαθὸν δικαστὴν τοὺς μὲν κρινομένους, οἵτινες ἂν ὦσι, παρακαλύπτεσθαι,
τὴν δὲ φύσιν τῶν πραγμάτων ἄπλαστον καὶ γυμνὴν ὁρᾶν, μὴ πρὸς
δόξας ἀλλὰ πρὸς ἀλήθειαν μέλλοντα κρίνειν καὶ τοιαύτην ἔννοιαν λαβόντα,
ὅτι „ἡ μὲν κρίσις τοῦ θεοῦ ἐστιν“ (Deut. 1,17), ὁ δὲ δικαστὴς ἐπί-
τροπος τῆς κρίσεως· ἐπιτρόπῳ δ' οὐκ ἐφεῖται τὰ τοῦ κυρίου χαρίζεσθαι,
παρακαταθήκην εἰληφότι τὴν πάντων τῶν κατὰ τὸν ἀνθρώπινον βίον
ἀρίστην παρὰ τοῦ πάντων ἀρίστου.

(5.) Πρὸς δὲ τοῖς λεχθεῖσιν ἤδη καὶ ἄλλο σοφὸν εἰσηγεῖται· κελεύει 72
⟨γὰρ⟩ πένητα ἐν κρίσει μὴ ἐλεεῖν ὁ πᾶσαν σχεδόν τι τὴν νομοθεσίαν
πεπληρωκὼς τῶν εἰς ἔλεον καὶ φιλανθρωπίαν διαταγμάτων καὶ μεγάλας
μὲν ἀπειλὰς ἐπανατεινόμενος ὑπερόπταις καὶ ἀλαζόσι, μεγάλα δὲ προθεὶς·
ἆθλα τοῖς τὰ ἀτυχήματα τῶν πέλας εἰς ἐπανόρθωσιν ἄγειν ἀξιοῦσι καὶ
τὰς περιουσίας οὐκ ἴδια κτήματα νομίζουσιν ἀλλὰ κοινὰ τῶν ἐν ἐνδείαις.
ὃ γὰρ ἔφη τις οὐκ ἀπὸ σκοποῦ τῶν πρότερον, ἀληθές ἐστιν, ὅτι παρα- 73
πλήσιον οὐδὲν ἄνθρωποι θεῷ δρῶσιν ἢ χαριζόμενοι. τί δ' ἂν εἴη

1 tit. περὶ τοῦ μὴ λαμβάνειν πρόσωπον ἐν (ἐν om. M) κρίσει add. S mg M τρίτον S: τὸ τρίτον ceteri (v) 2 αὐτὸν AG: αὐτὰ H^1 (Turn.), αὑτὸν ceteri 5 μήτε εὔνοια S: μήτ' εὔνοια ceteri τῶν δικαίων τὴν γνῶσιν S: τὴν γνῶσιν τῶν δικαίων ceteri (v) 6 περιερχόμενον M 6. 7 τοὺς ποδηγετήσαντας HP, τοὺς ποδηγήσοντας F, τοῦ ποδηγετήσοντος S 7 ἔχοντασ S^1 ut vid., sed σ(?) eras. ἐπερείσονται S 8 ὦσιν S 10 δόξας codd.: δόξαν v εὔνοιαν in ἔννοιαν corr. F 12 τῆς om. S ἐφεῖται F: ἐφίεται ceteri (v) κυρίου] θεοῦ H (Turn.) 13 τῶν om. S 15 tit. εἰς τὸ οὐκ ἐλεήσεις τὸν (τὸν om. S) πτωχὸν ἐν κρίσει add. S mg M σοφὸν S (prob. Mang.): θαυμάσιον ceteri (v) κελεύει S: κελεύων ceteri (v) 16 γὰρ addidi ἐν κρίσει S: εἰς κρίσιν F, κρίσει (om. ἐν) ceteri (v) σχεδόν τι SFM: τι om. ceteri (v) 18 δὲ om. A 19 τὰ ἀτυχήματα S: τἀτυχήματα ceteri 20 οὐχ S^1, οὐκ corr. S^2 ἐν om. F 21 τὸ F^1, τις corr. F^2 τῶν πρότερον S: τῶν προτέρων ceteri (v) 22 ἂν] αὖ F (Mang.)

1 Deut. 1,17. 16,19. 16 Exod. 23,3. 21 testimonia praebet Vahlen[3] ad librum Περὶ ὕψους p. 2,16. cf. etiam *Cic. pro Ligario 38* . . . homines enim ad deos nulla re propius accedunt quam salutem hominibus dando.

74 κρεῖττον ἀγαθὸν ἢ μιμεῖσθαι θεὸν γενητοῖς τὸν ἀίδιον; μήτ' οὖν ὁ
πλούσιος ἄργυρον καὶ χρυσὸν οἴκοι συναγαγὼν ἄφθονον θησαυροφυλακείτω,
προφερέτω δ' εἰς μέσον, ἵνα τὸ σκληροδίαιτον τῶν ἀπόρων ἱλαραῖς μετα-
δόσεσι λιπαίνῃ, μήτ', εἴ τις ἔνδοξος, ὑψηλὸν αἴρων αὑτὸν αὐχείτω
φρυαττόμενος, ἀλλ' ἰσότητα τιμήσας μεταδιδότω παρρησίας τοῖς ἀδόξοις·
| ὅ τε ῥώμῃ κεχρημένος σώματος ἔρεισμα τῶν ἀσθενεστέρων ἔστω καὶ p. 34
μὴ καθάπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσι καταπαγκρατιαζέτω τοὺς ἐλάττους
ταῖς δυνάμεσιν, ἀλλὰ φιλοτιμείσθω τῆς ἰδίας ἰσχύος μεταδιδόναι τοῖς
75 ἐξ ἑαυτῶν ἀπειρηκόσιν. ὅσοι μὲν γὰρ ἀπὸ πηγῶν ἠρύσαντο τῶν σοφίας,
φθόνον ὑπερόριον τῆς διανοίας ἐληλακότες ἄνευ προτροπῆς αὐτοκέλευστοι
ταῖς τῶν πλησίον ὠφελείαις ἐπαποδύονται, τὰ λόγων νάματα ταῖς ψυχαῖς
ἐκείνων δι' ὤτων ἐπαντλοῦντες εἰς μετουσίαν τῆς ὁμοίας ἐπιστήμης·
καὶ ἐπειδὰν ἴδωσιν ὥσπερ εὔβλαστα καὶ εὐγενῆ μοσχεύματα νέους εὐφυεῖς,
γεγήθασιν οἰόμενοι κληρονόμους ἀνευρηκέναι τοῦ ψυχικοῦ πλούτου, ὃς
μόνος ἀληθείᾳ πλοῦτός ἐστι, καὶ παραλαβόντες γεωργοῦσι τὰς ψυχὰς
δόγμασι καὶ θεωρήμασι, μέχρις ἂν στελεχωθεῖσαι καρπὸν τὸν καλο-
76 κἀγαθίας ἐνέγκωσι. τοιαῦτα τοῖς νόμοις ἀγάλματα συνύφανται καὶ
πεποίκιλται πρὸς εὐπορίαν ἀπόρων, οὓς ἐπὶ μόνης κρίσεως ἐλεεῖν οὐ
θεμιτόν· ἔλεος γὰρ ἐπ' ἀτυχήμασιν, ὁ δ' ἑκουσίῳ γνώμῃ πονηρευόμενος
77 οὐκ ἀτυχής, ἀλλ' ἄδικος. τιμωρίαι δ' ἐπ' ἀδίκοις ὡς ἐπὶ δικαίοις τιμαὶ
βεβαιούσθωσαν· ὥστε μηδεὶς μοχθηρὸς ἄπορος ὑπείλλων καὶ ὑποστέλλων
ἀχρηματίας οἴκτῳ τὸ δίκην δοῦναι παρακρουέσθω, δεδρακὼς οὐκ ἐλέου
— πόθεν; — ἀλλ' ὀργῆς ἄξια. καὶ ὁ δικάζειν εἰσιὼν καθάπερ ἀργυρα-
μοιβὸς ἀγαθὸς διαιρείτω καὶ διακρινέτω τὰς φύσεις τῶν πραγμάτων,
78 ἵνα μὴ φύρηται συγχεόμενα τοῖς παρασήμοις τὰ δόκιμα. πολλὰ μὲν
οὖν ἄλλα πρός τε ψευδομάρτυρας καὶ δικαστὰς ἔνεστι λέγειν· ὑπὲρ δὲ

---

1 γεννητοῖς AHP (v) μὴ γοῦν A 2 οἴκοις MP ἄφθονα F
4 λιπαίνη AG: λιπαίνει S, λιπάνῃ ceteri (Turn.) μήτ' εἴ τις] μήτε τις S
αὑτὸν αἴρων transp. A αὐτὸν MFP 5 μεταδότω A 6 ὅ τε SM:
ὁ δὲ ceteri (v) σώματι F ἔρισμα S¹, corr. S² 7 ἀγῶσιν S
9 ἐξ αὑτῶν S ὑπειρηκόσιν S τῶν σοφίας] τῆς σοφίας S, τὴν σοφίαν H¹P
10 ἀπεληλακότες AGP² (Mang.) ἄνευ τροπῆς F 11 τὰ om. S
12 ἐπαντλοῦντες] πάντα καινοῦντες S (ε ss. S²) 13 εἴδωσιν F 15 ἐστὶν S
16 μέχρι S¹, μέχρις S² στελεχωθῶσαι HP τὸν] τῆς F (Mang.)
17 ἐνέγκωσιν S τοσαῦτα A ἀγάλματα] παραγγέλματα coni. Mang.
συνυφαίνεται S 18 τῆς κρίσεως F 19 ἑκουσία HP (v) 20 τιμωρίαι S²A:
τιμωρία ceteri (v) δὲ MA 21 ὑπείλλων S: ὑπάρχων ceteri (v)
23 ὀργῆς] οἰμωγῆς S δικάζων S 24 διακρϊέτω (sic) A 26 ψευδο-
μάρτυρας S: ψευδομαρτυρίας ceteri (Turn.)

τοῦ μὴ μακρηγορεῖν ἰτέον ἐπὶ τὸ τελευταῖον τῶν δέκα λογίων, ὃ κεφαλαιώδει τύπῳ καθάπερ καὶ τῶν ἄλλων ἕκαστον κεχρησμῴδηται, τοῦτο δ' ἐστίν· „οὐκ ἐπιθυμήσεις.“

Οὐκ ἐπιθυμήσεις.

(1.) Πᾶν μὲν πάθος ἐπίληπτον, ἐπεὶ καὶ πᾶσα ἄμετρος καὶ πλεονάζουσα 79 ὁρμὴ καὶ τῆς ψυχῆς ἡ ἄλογος καὶ παρὰ φύσιν κίνησις ὑπαίτιος· ἑκάτερον γὰρ τούτων ⟨τί⟩ ἐστιν ἕτερον ἢ παλαιὸν πάθος ἐξηπλωμένον; εἴ τις οὖν μὴ μέτρα ταῖς ὁρμαῖς ὁρίζει μηδὲ χαλινὸν ὥσπερ τοῖς ἀφηνιασταῖς ἵπποις ἐντίθησι, πάθει χρῆται δυσιάτῳ, κἄπειτα λήσεται διὰ τὸν ἀφηνιασμὸν ἐξενεχθεὶς οἷα ὑπὸ ἁρμάτων ἡνίοχος εἰς φάραγγας ἢ βάραθρα δυσαναπόρευτα, ἐξ ὧν μόλις ἔστι σῴζεσθαι. τῶν δὲ παθῶν 80 οὕτως οὐδὲν ἀργαλέον ὡς ἐπιθυμία τῶν ἀπόντων ὅσα τῷ δοκεῖν ἀγαθῶν, p. 349 M. πρὸς ἀλήθειαν οὐκ ὄντων, χαλεποὺς καὶ ἀνηνύτους | ἔρωτας ἐντίκτουσα· ἐπιτείνει γὰρ καὶ ἐπελαύνει μέχρι πορρωτάτω τὴν ψυχὴν εἰς τὸ ἄπειρον, φεύγοντος ἔστιν ὅτε τοῦ διωκομένου καταφρονητικῶς οὐκ ἐπὶ νῶτα ἀλλ' ἀντικρύ. ὅταν γὰρ ἐπιτρέχουσαν αἴσθηται μετὰ σπουδῆς τὴν ἐπιθυμίαν, 81 ἠρεμῆσαν ἐπ' ὀλίγον ὑπὲρ τοῦ δελεάσαι καὶ ἐλπίδα συλλήψεως τῆς [καθ'] αὐτοῦ παρασχεῖν, ἐξαναχωρεῖ μακροτέροις διαστήμασι κατακερτομοῦν· ἡ δὲ ἀπολειπομένη καὶ ὑστερίζουσα σφαδᾴζει Ταντάλειον τιμωρίαν ἐπιφέρουσα κακοδαίμονι ψυχῇ· καὶ γὰρ ἐκεῖνον λόγος ἔχει ποτὸν μὲν ἀρύσασθαι βουλόμενον ἀδυνατεῖν, ὑποφεύγοντος ὕδατος, εἰ δὲ καρπὸν ἐθελήσειε δρέψασθαι, πάντας ἀφανίζεσθαι, στειρουμένης τῆς περὶ τὰ δένδρα εὐφορίας. ὡς γὰρ αἱ ἀμείλικτοι καὶ ἀπαρηγόρητοι δέσποιναι τοῦ 82 σώματος, δίψα ⟨καὶ⟩ πεῖνα, κατατείνουσιν αὐτὸ μᾶλλον ἢ οὐχ ἧττον τῶν

---

1 τελευτέον S ι' M ὃ] ὅπερ S 3 δέ ἐστιν A οὐκ ἐπιθυμήσεις om. S 4 tit. οὐκ ἐπιθυμήσεις S mg M 7 ἑκατέρων M τί addidi, οὐκ add. Mang. 8 ὁρίζει M: ὁρίζῃ S (v) 9 ἐντίθησιν S κἄπειτα SM: καὶ ἔπειτα v 11 ἢ SM: καὶ v 12 τῷ ex τὸ corr. S ἀγαθὰ M 13 πρὸς δ' ἀλήθειαν conicio 14 ἐπιτείνειν . . . ἐπελαύνειν Mang. (voluit ἐπιτείνει . . . ἐπελαύνει): ἀποτείνειν . . . ἀπελαύνειν SM ἄπειρον Mang.: ἄπορον SM 15 ἀλλ'] ἄλλα (sic) Mang. 16 ἀντικρύς S[1], corr. S[2] 17 ἠρεμῆσαν Mang.: ἠρεμοῦσαν SM ἐφολίγον S (π ss. S[2]) 17. 18 τῆς καθ' αὐτοῦ SM; καθ' seclusi; τῆς ψυχῆς κατ' αὐτοῦ v (τῇ ψυχῇ coni. Mang.) 18 κατακερτομοῦν Mang.: κατακερτομῶν SM 19 ἀπολειπομένη M: ἀπολιπομένη S ταντάλιον SM (v) 20 ψυχῇ Mang.: τύχη SM πότον S 22 ἐθελήσειεν S πάντας S: πάντα M (v) 23 ὡς SM: ὥσπερ v ἀπαρηγόρητοι SM: ἀπαραγόρητοι v 24 καὶ add. Mang., om. SM

ἐκ βασανιστοῦ τροχιζομένων ἄχρι θανάτου πολλάκις, εἰ μή τις αὐτὰς
ἐξηγριωμένας τιθασεύσει ποτοῖς καὶ σιτίοις, οὕτως ἡ ἐπιθυμία κενὴν
ἀποδείξασα τὴν ψυχὴν λήθῃ μὲν τῶν παρόντων, μνήμῃ δὲ τῶν μακρὰν
ἀφεστηκότων οἶστρον καὶ μανίαν ἀκάθεκτον ἐγκατασκευάσασα, βαρυτέρας
μὲν τῶν πρότερον δεσποινῶν ὁμωνύμους δ' ἐκείναις ἀπειργάσατο, δίψαν
τε καὶ πεῖναν, οὐ τῶν περὶ γαστρὸς ἀπόλαυσιν, ἀλλὰ χρημάτων, δόξης,
ἡγεμονιῶν, εὐμορφίας, ἄλλων ἀμυθήτων ὅσα κατὰ τὸν ἀνθρώπινον βίον
83 ζηλωτὰ καὶ περιμάχητα εἶναι δοκεῖ. καὶ καθάπερ ἡ λεγομένη παρὰ
τοῖς ἰατροῖς ἑρπηνώδης νόσος οὐκ ἐφ' ἑνὸς ἵσταται χωρίου, κινεῖται δὲ
καὶ περιθεῖ καί, ὡς αὐτό που δηλοῖ τοὔνομα, διέρπει πάντῃ σκιδναμένη
καὶ χεομένη, πᾶσαν τὴν κοινωνίαν τῶν τοῦ σώματος μερῶν ἀπὸ κεφαλῆς
ἄκρας ἄχρι ποδῶν συλλαμβάνουσα καὶ συνείρουσα, τὸν αὐτὸν τρόπον καὶ
ἡ ἐπιθυμία δι' ὅλης ᾄττουσα τῆς ψυχῆς οὐδὲν οὐδὲ τὸ βραχύτατον
ἀπαθὲς αὐτῆς ἐᾷ, μιμουμένη τὴν ἐν ἀφθόνῳ ὕλῃ πυρὸς δύναμιν· ἐξάπτει
γὰρ καὶ ἀναφλέγει, μέχρις ἂν διαφαγοῦσα πᾶσαν αὐτὴν ἐξαναλώσῃ.
84 (2.) τοσοῦτον ἄρα καὶ οὕτως κακὸν ὑπερβάλλον ἐστὶν ἐπιθυμία, μᾶλλον
δ', εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἁπάντων πηγὴ τῶν κακῶν· σῦλα γὰρ καὶ
ἁρπαγαὶ καὶ χρεωκοπίαι συκοφαντίαι τε καὶ αἰκίαι καὶ προσέτι φθοραὶ
καὶ μοιχεῖαι καὶ ἀνδροφονίαι καὶ πάνθ' ὅσα ἰδιωτικὰ ἢ δημόσια ἢ ἱερὰ
85 ἢ βέβηλα ἀδικήματα πόθεν ἄλλοθεν ἐρρύη; τὸ γὰρ ἀψευδῶς ἂν λεχθὲν
ἀρχέκακον πάθος ἐστὶν ἐπιθυμία, ἧς ἓν τὸ βραχύτατον ἔγγονον, ἔρως,
οὐχ ἅπαξ ἀλλ' ἤδη πολλάκις ἀμυθήτων κατέπλησε τὴν οἰκουμένην συμ-
φορῶν, ἃς οὐδ' ὁ σύμπας τῆς γῆς κύκλος ἐχώρησεν, | ἀλλὰ διὰ πλῆθος p. 350
ὥσπερ ὑπὸ χειμάρρου φορᾶς εἰς θάλατταν εἰσέπεσον, καὶ πανταχοῦ πάντα
πελάγη πολεμίων κατεπλήσθη νηῶν καὶ ὅσα καινουργοῦσιν οἱ ναυτικοὶ
πόλεμοι συνηνέχθη καὶ ἐπιπεσόντα ἀθρόα πάλιν εἰς νήσους καὶ ἠπείρους
ὑπεσύρη, διαυλοδρομήσαντα καθάπερ ἐν ταῖς παλιρροίαις ἀφ' ὧν ἤρξατο
86 φέρεσθαι. τρανοτέραν δὲ τοῦ πάθους ἐνάργειαν ληψόμεθα τὸν τρόπον
τοῦτον· ὅσων ἂν ἐπιθυμία προσάψηται, μεταβολὴν ἀπεργάζεται τὴν πρὸς

---

1 ἐν S[1], ἐκ corr. S[2] 2 τιθασεύσῃ S, τιθασσεύσει M: τιθασσεύῃ v
4 βαρυτέρας SM: βαρυτέρους v 5 δεσποινῶν SM: δεσποτῶν v δὲ v
6 περὶ γαστρὸς ⟨καὶ τῶν περὶ γαστέρα⟩ coni. Mang. 9 κινεῖται] μηκύνεται coni. Mang. 10 περιθεῖ scripsi (cf. Lob. Phryn. p. 220): περιθέει SM; ἐπιθέει coni. Mang. ὡς] ὡς καὶ M αὐτό που SM: που om. v 12 συνείρουσα] συναιροῦσα coni. Mang. 17 σύλα SM: σῦλαι v 18 χρεοκοπίαι SM 20 ἀψευδὲς M
22 ἀμυθήτων κακῶν καὶ συμφορῶν κατέπλησε τὴν οἰκουμένην M 25 πολεμικῶν coni. Mang. κατεπλήσθη] κατέπλησαν coni. Mang. 27 ὑπεσύρη M (Mang.): ὑπεσύρει S ἤρξατο S (ν ss. S[2]): ἤρξαντο M (v) 28 ἐνάργειαν Mang.: ἐνέργειαν SM

τὸ χεῖρον, οἷα τὰ ἰοβόλα ζῷα καὶ τὰ θανάσιμα τῶν φαρμάκων. τί δ' 87
ἐστὶν ὃ λέγω; εἰ πρὸς χρήματα γένοιτο, κλέπτας ἀποτελεῖ καὶ βαλαντιο-
τόμους καὶ λωποδύτας καὶ τοιχωρύχους χρεωκοπίαις τε καὶ παρακατα-
θηκῶν ἀρνήσεσι καὶ δωροδοκίαις καὶ ἱεροσυλίαις καὶ τοῖς ὁμοιοτρόποις
ἅπασιν ἐνόχους. εἰ δὲ πρὸς δόξαν, ἀλαζόνας, ὑπερόπτας, ἀβεβαίους καὶ 88
ἀνιδρύτους τὸ ἦθος, φωναῖς τὰ ὦτα πεφρακότας, ταπεινουμένους ἐν
ταὐτῷ καὶ πρὸς ὕψος ἐπαιρομένους διὰ τὰς τῶν πληθῶν ἀνωμαλίας
ἐπαινούντων καὶ ψεγόντων ἀκρίτῳ φορᾷ, πρὸς ἔχθραν καὶ φιλίαν ἀνεξε-
τάστους, ὡς ῥᾳδίως ἑκάτερον ἀνθυπαλλάττεσθαι, καὶ τἄλλ' ὅσα τούτοις
ἀδελφὰ καὶ συγγενῆ. πρὸς δὲ ἀρχὴν εἰ γένοιτο ἐπιθυμία, στασιώδεις, 89
ἀνίσους, τυραννικοὺς τὰς φύσεις, ὠμοθύμους, ἐχθροὺς τῶν πατρίδων,
ἀσθενεστέροις δεσπότας ἀμειλίκτους, τὴν ἰσχὺν ἴσοις ἀσυμβάτους πολε-
μίους, δυνατωτέρων κόλακας εἰς τὴν δι' ἀπάτης ἐπίθεσιν. εἰ δὲ πρὸς
σώματος κάλλος, φθορεῖς, μοιχούς, παιδεραστάς, ἀκολασίας καὶ λαγνείας
ζηλωτάς, μεγίστων κακῶν ὡς εὐδαιμονικωτάτων ἀγαθῶν. ἤδη δὲ καὶ 90
ἐπὶ γλῶτταν φθάσασα μυρία ἐνεωτέρισεν· ἔνιοι γὰρ ἐπιθυμοῦσιν ἢ τὰ
λεκτέα σιωπᾶν ἢ τὰ ἡσυχαστέα λέγειν, καὶ ἀναφθεγγομένοις ἕπεται
τιμωρὸς δίκη καὶ ἐχεμυθοῦσι [καὶ] τοὐναντίον. ἁψαμένη δὲ τῶν περὶ 91
γαστέρα παρέχεται γαστριμάργους, ἀκορέστους, ἀσώτους, ὑγροῦ καὶ
διαρρέοντος ζηλωτὰς βίου, χαίροντας οἰνοφλυγίαις, ὀψοφαγίαις, ἀκράτου
καὶ ἰχθύων καὶ ἐδεσμάτων [καὶ] κακοὺς δούλους, περὶ συμπόσια καὶ
τραπέζας ἰλυσπωμένους λίχνων τρόπον κυνιδίων, ἐξ ὧν τὴν ἀθλίαν καὶ
ἐπάρατον συμβαίνει ζωὴν ἀποτελεῖσθαι, παντὸς ἀργαλεωτέραν θανάτου.
ταύτης ἕνεκα τῆς αἰτίας οἱ μὴ χείλεσιν ἄκροις γευσάμενοι φιλοσοφίας, 92
ἀλλὰ τῶν ὀρθῶν δογμάτων αὐτῆς ἐπὶ πλέον ἑστιαθέντες, διερευνησάμενοι
φύσιν ψυχῆς καὶ τριττὸν εἶδος ἐνιδόντες αὐτῇ, τὸ μὲν λόγου, τὸ δὲ
θυμοῦ, τὸ δ' ἐπιθυμίας, λόγῳ μὲν ὡς ἡγεμόνι τὴν ἄκραν ἀπένειμαν

1 οἷαν coni. Wendl. alt. τὰ om. Richt. 1. 2 δ' ἐστὶν SM: δέ ἐστιν v 3 χρεοκοπίαις S 6 ἀϊδρύτους SM, corr. Mang. 7 ἀνωμαλίας SM: ἀνομαλίας v 8 pr. καὶ S: ἢ M alt. καὶ SM: ἢ v 9 τἄλλ' SM: τἄλλα Mang. 11 τὰς φύσεις τυραννικοὺς transp. M 12 ἀσθενεστέροις scripsi: ἀσθενεστέρους SM; ἀσθενεστέρων Mang. 15 ἤδη SM: ἦδε v 17 ἀναφθεγγομένοις scripsi: ἀναφαινομένοις SM (v) 18 τίμωρος v ἐχεμυθοῦσιν S καὶ seclusi 19. 20 ὑγροῦ καὶ διαρρέοντος Mang.: ὑγροὺς διαρρέοντας SM 21 αἰδεσμάτων S (ἐ ss. S²) καὶ seclusit Mang., καινῶν coni. Wendl. 24 ἕνεκεν S 25 ὀρθῶν] τροφίμων coni. Mang. 26 τριττὸν Wendl. (Benzelius): τρίτον SM αὐτῇ Mang.: αὐτῆς SM

26 cf. Plat. Phaedr. 246 a, 253 c. Rep. IV 438 d. Tim. 69 c, al.

οἰκειότατον ἐνδιαίτημα κεφαλήν, ἔνθα καὶ | τῶν αἰσθήσεων αἱ τοῦ νοῦ p. 351
93 καθάπερ βασιλέως δορυφόροι τάξεις παρίδρυνται, θυμῷ δὲ τὰ στέρνα, τῇ
μὲν ἵνα στρατιώτου τρόπον θώρακα ἀμπεχόμενος, εἰ καὶ μὴ ἀπαθὴς
ἐν πᾶσιν, ἀλλά τοι δυσάλωτος ᾖ, τῇ δ' ἵνα καὶ πλησίον τοῦ νοῦ παρῳ-
κισμένος ὑπὸ τοῦ γείτονος ὠφελῆται, κατεπᾴδοντος αὐτὸν φρονήσει καὶ
πραϋπαθῆ κατασκευάζοντος, ἐπιθυμίᾳ δὲ τὸν περὶ τὸν ὀμφαλὸν καὶ τὸ
94 καλούμενον διάφραγμα χῶρον· ἔδει γὰρ αὐτὴν ἥκιστα μετέχουσαν λογισ-
μοῦ πορρωτάτω τῶν βασιλείων αὐτοῦ διῳκίσθαι, μόνον οὐκ ἐπ' ἐσχατιαῖς,
καὶ πάντων ἀπληστότατον καὶ ἀκολαστότατον οὖσαν θρεμμάτων ἐμ-
95 βόσκεσθαι τόποις, ἐν οἷς τροφαί τε καὶ ὀχεῖαι. (3.) πρὸς ἅ μοι δοκεῖ
πάντα ἀπιδὼν ὁ ἱερώτατος Μωυσῆς ἐκδύσασθαι τὸ πάθος καὶ μυσα-
ξάμενος ὡς αἴσχιστον καὶ τῶν αἰσχίστων αἴτιον ἀπεῖπεν ἐν τοῖς
μάλιστα τὴν ἐπιθυμίαν ὥς τινα τῆς ψυχῆς ἑλέπολιν, ἧς ἀναιρεθείσης
ἢ πειθαρχούσης κυβερνήτῃ λογισμῷ πάντα διὰ πάντων εἰρήνης, εὐνο-
μίας, ἀγαθῶν τελείων, ἀναπεπλήσεται πρὸς εὐδαίμονος βίου παντέλειαν.
96 φιλοσύντομος δ' ὢν καὶ εἰωθὼς ἐπιτέμνειν τὰ ἀπερίγραφα τῷ πλήθει
παραδειγματικῇ διδασκαλίᾳ μίαν τὴν περὶ γαστέρα πραγματευομένην
ἐπιθυμίαν ἄρχεται νουθετεῖν τε καὶ παιδεύειν, ὑπολαμβάνων καὶ τὰς
ἄλλας οὐκέθ' ὁμοίως ἀφηνιάσειν, ἀλλὰ σταλήσεσθαι τῷ τὴν πρεσβυ-
τάτην καὶ ὡς ἡγεμονίδα μεμαθηκέναι τοῖς σωφροσύνης νόμοις πειθαρχεῖν.
97 τίς οὖν ἡ διδασκαλία τῆς ἀρχῆς; συνεκτικώτατα δύο ἐστίν, ἐδωδὴ καὶ
πόσις. ἑκάτερον αὐτῶν οὐκ ἀνῆκεν, ἀλλ' ἐπεστόμισε διατάγμασι καὶ
πρὸς ἐγκράτειαν καὶ πρὸς φιλανθρωπίαν καὶ — τὸ μέγιστον — πρὸς
εὐσέβειαν ἀγωγοτάτοις.
98 Ἀπάρχεσθαι γὰρ ἀπό τε σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ θρεμμάτων

---

1 αἱ τοῦ νοῦ Mang.: ἀεὶ τοῦ νόμου SM 2. 3 τῇ μὲν Mang.: τί μὲν M, τὴν μὲν S 3 εἰ καὶ μὴ Mang.: εἰ μὴ καὶ SM 4 ἀλλά τοι SM: ἀλλὰ καὶ v τῇ δ' S: τί δ' M ἵνα καὶ SM: καὶ om. v νοῦ Mang.: νόμου SM 5 ὠφελῆται Mang.: ὠφελεῖται SM αὐτὸν Mang.: αὐτῷ SM 6 πραϋπαθῆ scripsi: πραοπαθῆ SM, πράα πάθη v τὸν περὶ M (coni. Mang.): τῇ περὶ S 8 διωκεῖσθαι SM, corr. Mang. 9 ἀπλειστότατον S^1, corr. S^2 10 τόποις Mang.: τροποῖς (sic) SM τροφαί τε SM: τε om. v ὀχίαι S 11 ἀφιδὼν S (π ss. S^2) ἐκδύσασθαι] ἐκμισῆσαι coni. Mang. vel ἐπαποδύσασθαι τῷ πάθει; ἐκλύσασθαι conieceram 13 ἀναιρηθείσης (sic) Mang. Richt. 15 εὐδαίμονος βίου παντέλειαν SM: εὐδαιμονίαν παντελείαν v 19 ἀφηνιάσειν M (Mang.): ἀφηνιᾶσιν S 20 ὡς om. M (fort. recte) πιθαρχεῖν S^1, corr. S^2 21 οὖν om. M δύω v 22 ἑκάτερον ⟨οὖν⟩ conicio διατάγμασιν S 25 tit. περὶ ἀπαρχῶν add. S mg M

---

25 Exod. 22,29. 30. 34,26. Num. 18,12. 13. Deut. 15,19. 20. 18,4.

καὶ τῶν ἄλλων κελεύει καὶ τὰς ἀπαρχὰς διανέμειν εἴς τε θυσίας καὶ
τοὺς ἱερωμένους, τὰς μὲν ἕνεκα εὐχαριστίας τῆς πρὸς θεὸν ὑπὲρ εὐγονίας
καὶ εὐφορίας ἁπάντων, τοὺς δ' ἕνεκα τῆς περὶ τὸ ἱερὸν ἁγιστείας,
μισθὸν ληψομένους τῶν περὶ τὰς ἱερουργίας ὑπηρεσιῶν. ἐφίεται δὲ τὸ 99
παράπαν οὐδενὶ γεύσασθαί τινος ἢ μεταλαβεῖν, πρὶν διακρῖναι τὰς ἀπαρ-
χάς, ἅμα καὶ πρὸς ἄσκησιν τῆς βιωφελεστάτης ἐγκρατείας· ὁ γὰρ ταῖς
περιουσίαις, αἷς ἤνεγκαν αἱ τοῦ ἔτους ὧραι, μαθὼν μὴ ἐντρέχειν, ἀλλ'
ἀναμένων, ἄχρις ἂν αἱ ἀπαρχαὶ καθοσιωθῶσι, τὸν ἀφηνιασμὸν τῶν
ὁρμῶν ἔοικεν ἀναχαιτίζειν ἐξευμαρίζων τὸ πάθος.

p. 352 M. (4.) | Οὐ μὴν οὐδὲ τὴν τῶν ἄλλων μετουσίαν ἐφῆκε καὶ χρῆσιν 100
ἀδεᾶ τοῖς κοινωνοῦσι τῆς ἱερᾶς πολιτείας, ἀλλ' ὅσα τῶν χερσαίων ἢ
ἐνύδρων ἢ πτηνῶν ἐστιν εὐσαρκότατα καὶ πιότατα, γαργαλίζοντα καὶ
ἐρεθίζοντα τὴν ἐπίβουλον ἡδονήν, πάντα ἀνὰ κράτος ἀπεῖπεν, εἰδὼς ὅτι
τὴν ἀνδραποδωδεστάτην τῶν αἰσθήσεων δελεάσαντα γεῦσιν ἀπληστίαν
ἐργάσεται, δυσίατον κακὸν ψυχαῖς τε καὶ σώμασιν· ἀπληστία γὰρ τίκτει
δυσπεψίαν, ἥτις ἐστὶ νοσημάτων καὶ ἀρρωστημάτων ἀρχή τε καὶ πηγή.
χερσαίων μὲν οὖν τὸ συῶν γένος ἥδιστον ἀνωμολόγηται παρὰ τοῖς χρω- 101
μένοις, ἐνύδρων δὲ τὰ γένη τῶν ἀλεπίδων. * * * πρὸς γὰρ ἐγκράτειαν,
εἰ καί τις ἄλλος, ἱκανὸς ὢν ἀλεῖψαι τοὺς εὐφυῶς ἔχοντας πρὸς ἄσκησιν
ἀρετῆς δι' ὀλιγοδεΐας καὶ εὐκολίας γυμνάζει καὶ συγκροτεῖ, πειρώμενος
ἀφελεῖν πολυτέλειαν· οὔτε σκληραγωγίαν, ὡς ὁ Λακεδαιμόνιος νομοθέτης, 102
ἀποδεξάμενος οὔτε τὸ ἁβροδίαιτον, ὡς ὁ τοῖς Ἴωσι καὶ Συβαρίταις τὰ

---

3 τοὺς δ' Mang.: τῆς δ' S, τὰς δ' M ἁγιαστίας S (alt. α delevit S²), ἁγιστίας M, corr. Mang. 4 ἐφίεται] ἐφεῖται conicio 5 μεταβαλεῖν Richt. Tauchn. 6 βιωφιλεστάτης Mang. Richt. 7 αἷς S: ἃς M ἐντρέχειν scripsi: συντρέχειν SM, ἐπιτρέχειν v 8 ἀναμένων SM: ἐπιμένων v καθοσιωθῶσιν S 10 tit. περὶ ζώων add. S τὴν M: om. S (v) ἐφῆκε scripsi: ἀφῆκε(ν) SM 14 ἀνδραποδωδεστάτην SM: ἀνδραπωδεστάτην v 15 ἐργάσηται SM, corr. Mang. 17 συῶν SM: ὑῶν v 18 ἀλεπίδων] ἀλεπιδώτων conicio ante πρὸς γὰρ κτλ. pauca intercidisse arbitror, velut τούτων δὴ χρήσεως ἀνέχειν κελεύει 19 εἰ καί M, εἰ κέ S (αι ss. S²): εἴ κέ v 20 ὀλιγοδεΐας M: ὀλιγοδεείας S; ὀλιγοδείας v

---

3 Num. 18,31. 17. 18 Lev. 11,7. 10. Deut. 14,8. 10. 18 cf. *Clem. Alex. Strom. II 20 p. 484 P.* πάσης τοίνυν ἀρετῆς μεμνημένος ὁ θεῖος νόμος ἀλείφει μάλιστα τὸν ἄνθρωπον ἐπὶ τὴν ἐγκράτειαν, θεμέλιον ἀρετῶν κατατιθέμενος ταύτην, καὶ δὴ προπαιδεύει ἡμᾶς εἰς τὴν περιποίησιν τῆς ἐγκρατείας ἀπὸ τῆς τῶν ζώων χρήσεως ἀπαγορεύων μεταλαμβάνειν τῶν ὅσα φύσει πίονα, καθάπερ τὸ τῶν συῶν γένος εὐσαρκότατον τυγχάνον· τρυφητιῶσι γὰρ ἡ τοιαύτη χρῆσις χορηγεῖται. ...τῶν τε ἰχθύων ὁμοίως ἀπηγόρευσε μεταλαμβάνειν, στέλλων ἡμῶν τὰς ἐπιθυμίας ἐκείνων, οἷς μήτε πτερύγια μήτε λεπίδες εἰσίν· εὐσαρκίᾳ γὰρ καὶ πιότητι τῶν ἄλλων ἰχθύων οὗτοι διαφέρουσιν.

περὶ θρύψιν καὶ χλιδὴν εἰσηγησάμενος, ἀλλὰ μέσην ἀτραπὸν ἀμφοῖν
ἀνατεμὼν τὸ μὲν σφοδρὸν ἐχάλασε, τὸ δ' ἀνειμένον ἐπέτεινε, τὰς
ἐφ' ἑκατέρων τῶν ἄκρων ὑπερβολὰς ὡς ἐν ὀργάνῳ μουσικῷ κερασάμενος
τῇ μέσῃ, πρὸς ἁρμονίαν βίου καὶ συμφωνίαν ἀνεπίληπτον· ὅθεν οὐχ
ἀμελῶς ἀλλὰ καὶ πάνυ πεφροντισμένως οἷς χρηστέον ἢ τοὐναντίον διε-
103 τάξατο. θηρία ὅσα σαρκῶν ἀνθρωπίνων ἅπτεται τάχα μὲν ἄν τις
ὑπολάβοι δίκαιον εἶναι τὰ αὐτὰ πρὸς ἀνθρώπων πάσχειν οἷς διατίθησι·
Μωυσῇ δὲ τῆς τούτων ἀπολαύσεως ἀνέχειν δοκεῖ, ⟨εἰ⟩ καὶ προσηνεσ-
τάτην καὶ ἡδίστην εὐωχίαν παρασκευάζει, λογιζόμενος τὸ πρέπον
ἡμέρῳ ψυχῇ· καὶ γὰρ εἰ τοῖς διατιθεῖσιν ἁρμόττει τὰ παραπλήσια
παθεῖν, ἀλλ' οὐχὶ τοῖς παθοῦσιν ἀντιδιατιθέναι, μὴ λάθωσιν ὑπ' ὀργῆς,
104 ἀγρίου πάθους, θηριωθέντες. καὶ τοσαύτῃ χρῆται προφυλακῇ τοῦ
πράγματος, ὥστε μακρόθεν ἀνεῖρξαι βουλόμενος τὴν ἐπὶ τὰ λεχθέντα
ὁρμὴν ἀπαγορεῦσαι καὶ τῆς τῶν ἄλλων σαρκοβόρων ἀνὰ κράτος χρήσεως,
τὰ ποηφάγα διακρίνας εἰς ἡμέρους ἀγέλας, ἐπεὶ καὶ τὴν φύσιν ἐστὶ
τιθασά, τροφαῖς ἡμέροις αἷς ἀναδίδωσι γῆ χρώμενα καὶ μηδὲν εἰς ἐπι-
105 βουλὴν πραγματευόμενα. (5.) | δέκα δ' ἐστὶν ἀριθμῷ· μόσχος, ἀμνός, p. 353
χίμαρος, ἔλαφος, δορκάς, βούβαλος, τραγέλαφος, πύγαργος, ὄρυξ, καμηλο-
πάρδαλις. ἀεὶ γὰρ τῆς ἀριθμητικῆς θεωρίας περιεχόμενος, ἣν ἀκριβῶς
κατανενόηκεν ὅτι πλεῖστον ἐν τοῖς οὖσι δύναται, οὐδὲν οὐ μικρὸν οὐ μέγα

---

1 θρύψιν S: ὄρεξιν M 2 ἐπέτεινε SM: ἀπέτεινε Richt. 4 τῇ μέσῃ S: τὴν μέσην M ἀνεπίληπτον SM: ἐπίληπτον v 7 τὰ αὐτὰ SM: ταὐτὰ Richt. 8 μωσῆ M εἰ addidi; κἂν ... παρασκευάζῃ coni. Mang. 9 λογιζομένῳ coni. Mang. 11 λαθῶσιν v 14 ἀπαγορεῦσαι] ἀπηγόρευσε conicio τῆς ... χρήσεως] τὴν ... χρῆσιν conicio 16 τιθασά SM Vind.: τιθασσά v τροφὰς ἡμέρους M
οις
ἡμέραις S[1], ἡμέραῖς (i. e. ἡμέροις αἷς) corr. S[2]; ἡμέροις ἃς coni. Mang. 17 tit. τετραπόδων ὅσα καθαρά add. S mg M 18 πύγαργος Vind.: πύγαρτος SM (v) 19 ἣν SM: ἢν v 20 κατανενόηκεν M: κατανενοηκὼς S (v) οὖσιν S δύνασθαι M

15—233,8 Vind. hist. gr. 67 fol. 58r περὶ τῶν ἐδωδίμων χερσαίων καὶ πρὸς βρῶσιν ἐπιτηδείων: Μωυσῆς γὰρ ὁ θεόπτης ἐκ τῶν τετραπόδων χερσαίων τὰ ποηφάγα καὶ χλοηφάγα ὑπέδειξεν ἡμῖν καθαρὰ εἶναι καὶ πρὸς βρῶσιν ἐδώδιμα, ἐπεὶ καὶ τὴν φύσιν εἰσὶ τιθασά, τροφαῖς ἡμέροις σιτούμενα καὶ μηδὲν εἰς ἐπιβουλὴν πραγματευόμενα. ἃ καὶ δέκα τὸν ἀριθμὸν ἐγνώρισεν εἶναι· μόσχος, ἀμνός, χίμαρος, ἔλαφος, δορκάς, βούβαλος, τραγέλαφος, πύγαργος, ὄρυξ, καμηλοπάρδαλις. διττὰ δὲ σημεῖα ὑπογράφει τούτοις κεκτεῖσθαι (sic), τό τε διχηλεῖν καὶ τὸ μυρικᾶσθαι· οἷς γὰρ μὴ πρόσεστι ταῦτα τὰ σημεῖα, ἀκάθαρτα καὶ ἄβρωτά εἰσι παντελῶς. 17 Deut. 14,4. 5.

νομοθετεῖ μὴ προσπαραλαβὼν καὶ ὥσπερ ἐφαρμόσας τὸν οἰκεῖον τοῖς νομο-
θετουμένοις ⟨ἀριθμόν⟩. ἀριθμῶν δὲ τῶν ἀπὸ μονάδος τελειότατος ἡ δεκὰς
καί, ὥς φησι Μωυσῆς, ἱερώτατός τε καὶ ἅγιος, ᾧ τὰ γένη τῶν καθαρῶν
ζῴων ἐπισφραγίζεται, βουληθεὶς τὴν τούτων χρῆσιν ἀπονεῖμαι τοῖς
μετέχουσι τῆς κατ' αὐτὸν πολιτείας. βάσανον δὲ καὶ δοκιμασίαν τῶν 106
δέκα ζῴων ὑπογράφεται κοινῇ κατὰ διττὰ σημεῖα, τό τε διχηλεῖν καὶ
τὸ μηρυκᾶσθαι· οἷς γὰρ ἢ μηδέτερον ἢ θάτερον αὐτὸ μόνον πρόσεστιν,
ἀκάθαρτα. ταυτὶ δὲ τὰ σημεῖα ἀμφότερα σύμβολα διδασκαλίας καὶ
μαθήσεως ἐπιστημονικωτάτης ἐστίν, ᾗ πρὸς τὸ ἀσύγχυτον τὰ βελτίω
τῶν ἐναντίων διακρίνεται. καθάπερ γὰρ τὸ μηρυκώμενον ζῷον, ὅταν 107
διατεμὸν τὴν τροφὴν ἐναπερείσηται τῇ φάρυγγι, πάλιν ἐκ τοῦ κατ' ὀλίγον
ἀνιμᾶται καὶ ἐπιλεαίνει καὶ μετὰ ταῦτ' εἰς κοιλίαν διαπέμπεται, τὸν
αὐτὸν τρόπον καὶ ὁ παιδευόμενος, δεξάμενος δι' ὤτων τὰ σοφίας δόγματα
καὶ θεωρήματα παρὰ τοῦ διδάσκοντος, ἐπὶ πλέον ἔχει τὴν μάθησιν
οὐχ οἷός τε ὢν εὐθὺς συλλαβέσθαι καὶ περιδράξασθαι κραταιότερον,
ἄχρις ἂν ἕκαστον ὧν ἤκουσεν ἀναπολῶν μνήμῃ συνεχέσι μελέταις —
αἱ δ' εἰσὶ κόλλα νοημάτων — ἐνσφραγίσηται τῇ ψυχῇ βεβαίως τὸν
τύπον. ἀλλ' οὐδὲν ὡς ἔοικεν ὄφελος ἡ τῶν νοημάτων βεβαία κατάληψις, 108
εἰ μὴ προσγένοιτο διαστολὴ τούτων καὶ διαίρεσις εἴς τε αἵρεσιν ὧν χρὴ
καὶ φυγὴν τῶν ἐναντίων, ἧς τὸ διχηλοῦν σύμβολον· ἐπεὶ τοῦ βίου διττὴ
ὁδός, ἡ μὲν ἐπὶ κακίαν, ἡ δ' ἐπ' ἀρετὴν ἄγουσα, καὶ δεῖ τὴν μὲν
ἀποστρέφεσθαι, τῆς δὲ μηδέποτε ἀπολείπεσθαι. (6.) διὰ τοῦθ' ὅσα 109
ἢ μονώνυχα ἢ πολύχηλα τὰ μὲν ἀκάθαρτα, ὅτι αἰνίττεται μίαν καὶ τὴν

---

2 ἀριθμόν add. Mang. τελειώτατος S 3 ἅγιος] ἁγιώτατος coni. Mang. 5 μετέχουσιν S δοχημασίαν S 6 διχειλεῖν S^1, corr. S^2 7 μαρυκᾶσθαι S, μαρυκᾶσθαι (η ss.) M, μυρικᾶσθαι Vind. pr. ἢ] ἡ S αὐτὸ S^1: αὐτῷ S^2, αὐτῶν M 8 ταυτὶ SM: ταῦτα v σύμβολα om. M 10 μαρυκώμενον S, μαρυκώμενον (η ss.) M ὅταν scripsi: ὅτε SM (v) 11 διατεμὸν SM: διατέμνον v 12 ἀνιμᾶται S^2M, ἀνειμᾶται S^1: ἀναμάττει v 16 μνήμη SM: μνήμην v 17 δ' εἰσὶ SM: δέ εἰσι v κόλλα (ω ss.) (sic) M 18 ὤφελος S^1, corr. S^2 20 διχειλοῦν S^1, corr. S^2 ἐπεὶ] ἡ ἐπὶ M 21 τὴν μὲν SM: τῆς μὲν v 22 ἀπολείπεσθαι S^2M, ἀπολίπεσθαι S^1: ἀπολιπέσθαι v tit. τετραπόδων τὰ μὴ καθαρά add. S, τετράποδα ὅσα μὴ καθαρά mg M τοῦτ' S^1, corr. S^2 23 μονυχα S (όν ss. S^2), μονόνυχα M, corr. Mang. πολύχειλα S^1, corr. S^2 ἀκάθαρτα ὅτι scripsi: ὅτι ἀκάθαρτα SM; ἀκάθαρτα τὰ μὲν ὅτι coni. Mang.

5sq. Lev. 11,3. Deut. 14,6. cf. *Aristeae epist.* *§ 150 sqq.*

αὐτὴν φύσιν ἀγαθοῦ τε καὶ κακοῦ, καθάπερ κοίλου καὶ περιφεροῦς καὶ
ἀνάντους ὁδοῦ καὶ κατάντους, τὰ δ' ὅτι πολλὰς ὁδοὺς μᾶλλον δ' ἀνοδίας
ἐμφαίνει τῷ | βίῳ πρὸς ἀπάτην· οὐ γὰρ ῥᾴδιον ἐν πλήθει τὴν ἀνυσι- p. 354
μωτάτην καὶ ἀρίστην ἀτραπὸν καταλαβεῖν.
110 (7.) Τούτους ἐπὶ τῶν χερσαίων τοὺς ὅρους θεὶς ἄρχεται καὶ τῶν
ἐνύδρων τὰ πρὸς ἐδωδὴν καθαρὰ διαγράφειν, σημειωσάμενος καὶ ταῦτα
διττοῖς χαρακτῆρσι, πτέρυξι καὶ λεπίσι· τὰ γὰρ ἢ μηδέτερον ἢ θάτερον
ἔχοντα παραπέμπει καὶ παραιτεῖται. τὸ δ' αἴτιον οὐκ ἀπὸ σκοποῦ
111 λεκτέον. ὅσα μὲν ἢ ἀμφοῖν ἀμέτοχα ἢ τοῦ ἑτέρου, κατασύρεται πρὸς
τοῦ ῥοώδους ἀντέχειν ἀδυνατοῦντα τῇ βίᾳ τῆς φορᾶς· οἷς δ' ἑκάτερον
πρόσεστιν, ἀποστρέφει ⟨καὶ⟩ μετωπηδὸν ἀνθίσταται καὶ φιλονεικοῦντα
πρὸς τὸν ἀντίπαλον προθυμίαις καὶ τόλμαις ἀηττήτοις γυμνάζεται, ὡς
ὠθούμενά τε ἀντωθεῖν καὶ διωκόμενα ἀντεπιτρέχειν, ὁδοὺς ἐν δυσοδίαις
112 ἀναστέλλοντα εὐρείας πρὸς διεξόδους εὐμαρεῖς. σύμβολα δὲ καὶ ταῦτ'
ἐστί, τὰ μὲν πρότερα φιληδόνου ψυχῆς, τὰ δ' ὕστερα καρτερίαν καὶ
ἐγκράτειαν ποθούσης· ἡ μὲν γὰρ ἐφ' ἡδονὴν ἄγουσα κατάντης ἐστὶ καὶ
ῥᾴστη, συρμὸν ἀπεργαζομένη μᾶλλον ἢ περίπατον, ἀνάντης δὲ ἡ πρὸς
ἐγκράτειαν, ἐπίπονος μέν, ἐν δὲ τοῖς μάλιστα ὠφέλιμος· καὶ ἡ μὲν
ὑποφέρει καὶ ὑπονοστεῖν ἀναγκάζει τῷ πρανεῖ κατάγουσα, μέχρις ἂν εἰς
τὰ τῆς ἐσχατιᾶς ἀποβράσῃ, ἡ δ' εἰς οὐρανὸν ἄγει τοὺς μὴ προκαμόντας
ἀθανατίζουσα, τὸ τραχὺ καὶ δυσαναπόρευτον αὐτῆς ἰσχύσαντας ὑπομεῖναι.
113 (8.) Τῆς δ' αὐτῆς ἰδέας ἐχόμενος τῶν ἑρπετῶν ὅσα ἢ ἄποδα ἢ
συρμῷ τῆς γαστρὸς ἰλυσπώμενα ἢ τετρασκελῆ καὶ πολύποδα φησὶν εἶναι
πρὸς ἐδωδὴν οὐ καθαρά, πάλιν αἰνιττόμενος διὰ μὲν ἑρπετῶν τοὺς ἐπὶ
κοιλίαις τὸν αἰθυίης τρόπον ἐμφορουμένους καὶ γαστρὶ τῇ ταλαίνῃ δασ-
μοὺς ἀπαύστως εἰσφέροντας ἀκράτου, πεμμάτων, ἰχθύων, συνόλως ὅσα
σιτοπόνων καὶ ὀψαρτυτῶν τετεχνιτευμέναι περιεργίαι μετὰ παντοίων

1 καὶ ante περιφεροῦς om. Richt. Tauchn. 4 καταλαβεῖν SM: ἀκαταλαβεῖν Mang. Richt. 5 tit. περὶ ἐνύδρων καθαρῶν add. S mg M ἄρχεται Mang. (in append.): παράρχεται SM, παρέρχεται v 7 πτέρυξι M: om. S; πτερυγίοις add. Mang. 11 καὶ add. Mang. 13 δυσοδίαις S[1], o in ω corr. S[2] 14 ἀνατέλλοντα S[1], corr. S[2] 15 ἐστὶν S 16 ἐπ' S[1], ἐφ' corr. S[2] κατάντην S 19 ὑποφέρειν M 22 tit. περὶ ἑρπετῶν add. S mg M εἰδέας S[1] 23 τετράσκελα SM, corr. Mang. 24. 25 τῶν ἐπὶ κοιλίαις ⟨πορευομένων τοὺς⟩ conicio 25 αἰθυίης SM: αἰθύης v ἐμφορουμένους M 27 τεχνιτευμέναι SM, corr. Mang.

6 Lev. 11,9. 10. Deut. 14,9. 10. 22 Lev. 11,20. 23. 41. 42.

ἐδεσμάτων δημιουργοῦσιν ἀναρριπίζουσαι καὶ προσαναφλέγουσαι τὰς ἀπλήστους καὶ ἀκορέστους ἐπιθυμίας, διὰ δὲ τῶν τετρασκελῶν καὶ πολυπόδων τοὺς μὴ ἑνὸς πάθους, ἐπιθυμίας, ἀλλὰ συμπάντων κακοὺς δούλους, ἃ γένει μέν ἐστιν ἀριθμῷ τέτταρα, μυρία δὲ τοῖς εἴδεσιν. χαλεπὴ μὲν οὖν καὶ ἡ ἑνὸς δεσποτεία, βαρυτάτη δὲ καὶ ἀφόρητος, ὡς εἰκός, ἡ πλειόνων. οἷς δὲ τῶν ἑρπετῶν ὑπεράνω σκέλη τῶν ποδῶν ἐστιν, ὥστε 114
355 M. πηδᾶν ἀπὸ τῆς γῆς δύνασθαι, ταῦτ᾽ ἐν | καθαροῖς ἀναγράφει, καθάπερ τὰ τῶν ἀκρίδων γένη καὶ τὸν ὀφιομάχην καλούμενον, πάλιν διὰ συμβόλων ἤθη καὶ τρόπους λογικῆς ψυχῆς διερευνώμενος· ἡ μὲν γὰρ τοῦ σώματος ὁλκὴ φύσει βρίθουσα τοὺς ὀλιγόφρονας συνεφέλκεται τῷ πλήθει τῶν σαρκῶν αὐχενίζουσα καὶ πιέζουσα· μακάριοι δ᾽ οἷς ἐξεγένετο κρα- 115
ταιοτέρᾳ δυνάμει πρὸς τὴν ῥοπὴν τῆς ὁλκῆς ἀντιβιάσασθαι παιδείας κανόσιν ὀρθῆς, ἄνω πηδᾶν δεδιδαγμένοις ἀπὸ γῆς καὶ τῶν χαμαιζήλων εἰς αἰθέρα καὶ τὰς οὐρανοῦ περιόδους, ὧν ἡ θέα ζηλωτὴ καὶ περιμάχητος τοῖς ἑκουσίως ἀλλὰ μὴ παρέργως ἥκουσιν.

(9.) Ἐπεληλυθὼς οὖν τῷ λόγῳ τάς τε τῶν χερσαίων καὶ τὰς 116
τῶν ἐνύδρων ζῴων ἰδέας καὶ νόμοις αὐτὰς ὡς ἐνῆν ἄριστα διακρίνας ἄρχεται καὶ τὴν λοιπὴν φύσιν τῶν ἐν ἀέρι προσεξετάζειν, μυρία γένη τῶν πτηνῶν ἀποδοκιμάσας ὅσα ἢ κατ᾽ ἄλλων ἢ κατ᾽ ἀνθρώπων φονᾷ, σαρκοβόρα καὶ ἰοβόλα καὶ συνόλως ἐπιβούλοις κεχρημένα ταῖς δυνάμεσι. φάττας δὲ καὶ περιστερὰς καὶ τρυγόνας καὶ τὰς γεράνων καὶ χηνῶν καὶ 117
ὁμοιοτρόπων ἀγέλας ἐν τῇ τιθασῷ καὶ ἡμέρῳ τάξει καταριθμεῖ παρέχων τοῖς βουλομένοις τὴν τούτων χρῆσιν ἀδεᾶ. οὕτως ἐφ᾽ ἑκάστου τῶν τοῦ 118
κόσμου μερῶν, γῆς ὕδατος ἀέρος, γένη παντοίων ζῴων, χερσαῖα καὶ ἔνυδρα καὶ πτηνά, τῆς ἡμετέρας χρήσεως ὑφαιρῶν, καθάπερ ὕλην πυρός, σβέσιν τῆς ἐπιθυμίας ἀπεργάζεται.

---

1 αἰδεσμάτων S ἀναρυπίζουσαι S¹, corr. S² 2 τετρασκέλων S 3 μὴ ἑνὸς M (coni. Mang.): μηδενὸς S 4 ἃ γένει scripsi: ἃ γένη SM, ὧν γένη v ἀριθμῷ δ′ SM: δ′ ἀριθμῷ Mang. ἀριθμῷ secludendum videtur 5 εἰκὼς S¹, corr. S² 6 tit. περὶ καθαρῶν ἑρπετῶν add. S mg M ὥστε] ὡς conicio 8 ὀφιομάχην SM: ὀφιομάχον v 10 ὁλκὴ Mang.: ἀλκὴ SM 11 αὐχενίζουσα] ἄγχουσα coni. Mang. πιαίζουσα S 12 ὁλκῆς SM: ἀλκῆς v (sed ὁλκῆς scribendum esse vidit Mang.) 16 tit. περὶ πτηνῶν add. S mg M ἐπεξεληλυθὼς coni. Mang. 17 εἰδέας S¹ 19 post πτηνῶν falso interpung. v ἀποδοκημάσας S¹, corr. S² ἄλλων] ἀλλήλων coni. Mang., ἀλόγων ipse conicio 22 τιθάσω (sic) καὶ ἡμέρω τάξει SM: τιθασσῶν καὶ ἡμέρων τάξει v

---

6 Lev. 11,21. 22. 19 Lev. 11,13—19. Deut. 14,12—17. cf. *Aristeae epist.* § *145. 146.* 21 Deut. 14,11. 19.

119 (10.) Κελεύει μέντοι μήτε θνησιμαῖον μήτε θηριάλωτον προσίεσθαι,
τὸ μὲν ὡς οὐ δέον κοινωνεῖν τραπέζης ἄνθρωπον ἀτιθάσοις θηρίοις,
μόνον οὐ συνευωχούμενον ταῖς σαρκοφαγίαις, τὸ δ' ὡς τάχα μὲν βλαβερὸν
καὶ νοσῶδες, ἐναποτεθνηκότος τοῦ ἰχῶρος μετὰ τοῦ αἵματος, τάχα δ'
ἐπεὶ καὶ τελευτῇ προκατεσχημένον ἁρμόττον ἦν ἄψαυστον διαφυλάττειν,
120 αἰδουμένους τὰς φύσεως ἀνάγκας αἷς προκατελήφθη. τοὺς περὶ τὰ
κυνηγέσια δεινοὺς καὶ βάλλειν θῆρας εὐσκόπως ἐπισταμένους, ἥκιστα
διαμαρτάνοντας, καὶ ἐπ' εὐθήροις ἄγραις ὑψαυχενοῦντας καὶ μάλισθ'
ὅταν σὺν τοῖς κυνηγοῖς ἀνδράσιν ὁμοῦ καὶ σκύλαξι διανέμωσι τὰ μέρη
τῶν ἑαλωκότων, ἐπαινοῦσι μὲν οἱ πολλοὶ τῶν παρ' Ἕλλησι καὶ βαρ-
βάροις νομοθετῶν ὡς οὐκ ἀνδρείους μόνον ἀλλὰ καὶ κοινωνικοὺς τὸ
ἦθος, | μέμψαιτο δ' ἂν [τις] εἰκότως ὁ τῆς ἱερᾶς εἰσηγητὴς πολιτείας, p. 356
ἄντικρυς ἀπειρηκὼς θνησιμαίων καὶ θηριαλώτων ἀπόλαυσιν διὰ τὰς
121 εἰρημένας αἰτίας. εἰ δέ τις τῶν ἀσκητῶν φιλογυμναστὴς γένοιτο καὶ
φιλόθηρος, μελέτας καὶ προάγωνας ὑπολαμβάνων εἶναι πολέμων καὶ κιν-
δύνων τῶν πρὸς ἐχθρούς, ὁπότε χρήσαιτο εὐτυχίᾳ τῇ περὶ ἄγραν, [καὶ]
τοὺς ἑαλωκότας θῆρας προτιθέτω κυσὶν εὐωχίαν, μισθὸν ἢ γέρας εὐτολ-
μίας καὶ ἀνυπαιτίου συμμαχίας, αὐτὸς δὲ μὴ ψαυέτω προδιδασκόμενος
ἐν ἀλόγοις ζῴοις, ἃ χρὴ καὶ περὶ ἐχθρῶν φρονεῖν, οἷς πολεμητέον οὐ
διὰ κέρδος ἄδικον λωποδυτούντων πράξεις ⟨μιμουμένους⟩, ἀλλ' ἤτοι διὰ
πεῖραν κακῶν ὧν προπεπόνθασιν ἀμυνομένους ἢ δι' ἃ προσδοκῶσι
122 πείσεσθαι. ἔνιοι δὲ Σαρδανάπαλλοι τὴν ἀκρασίαν τὴν ἄγαν ἁβροδίαιτον
αὐτῶν χανδὸν πρὸς τὸ ἀόριστον καὶ ἀτελεύτητον ἀποτείνοντες, καινὰς

1 tit. περὶ θνησιμαίων καὶ θηριαλώτων add. S mg M 2 τραπέζης SM: τραπέζας v ἄνθρωπον scripsi: ἀνθρώπων SM (v) ἀτιθάσσοις M (v) 3 συνευοχούμενον S 5 προκατισχημένον M 7 καὶ βάλλειν θῆρας εὐσκόπως ἐπισταμένους M mg S: om. in textu S (om. v) 8 καὶ ἐπ' εὐθήροις ἄγραις ὑψαυχενοῦντας om. M μάλιστ' S^1, corr. S^2 9 σκύλαξιν S 11 ἀνδρίους S 12 τις seclusi; ἐμέμψατο δ' αὖθις coni. Mang. 13 ἄντικρυς SM: ἀντικρὺς Mang. 15 προαγῶνας M (coni. Mang.): πρῶνας S 16 καὶ seclusit Mang. 20 πράξεις SM: τὰς πράξεις v μιμουμένους addidi; π. ⟨ἐπιτηδεύοντας⟩ coni. Mang. 21 πεῖραν M: om. S (v) ἀμυνομένους scripsi: ἀμυνομένοις SM (v) 22 πήσεσθαι S^1, πείσεσθαι corr. S^2 σαρδανάπαλοι M τὴν ἀκρασίαν Wendl.: τῆς ἀκρασίας SM (v) τὴν ἄγαν scripsi: τὴν ἀρὰν SM; τὸ ἄγαν v ἀβροδιαίτων S 23 αὐτῶν SM (v) χανδὸν] σχεδὸν coni. Mang. ἀόριστον S^2: ἄριστον S^1M ἀποτείνοντες M: ἀποτείνονται S (v) καινὰς Mang.: κενὰς SM; ⟨καὶ⟩ καινὰς conicio

1 Lev. 5,2. 11,24—28. Deut. 14,20. 12 Lev. 17, 13—16. 17 Exod. 22,31.

ἐπινοοῦντες ἡδονάς, ἄθυτα παρασκευάζουσιν, ἄγχοντες καὶ ἀποπνίγοντες
καὶ τὴν οὐσίαν τῆς ψυχῆς, ἣν ἐλεύθερον καὶ ἄφετον ἐχρῆν ἐᾶν, τυμ-
βεύοντες τῷ σώματι τὸ αἷμα· σαρκῶν γὰρ αὐτὸ μόνον ἀπολαύειν
αὔταρκες ἦν, μηδενὸς ἐφαπτομένους τῶν συγγένειαν πρὸς ψυχὴν ἐχόντων.
ὅθεν ἐν ἑτέροις τίθησι νόμον περὶ αἵματος, μήθ' αἷμα μήτε στέαρ 123
προσφέρεσθαι· τὸ μὲν αἷμα δι' ἣν εἶπον αἰτίαν ὅτι οὐσία ψυχῆς ἐστίν
— οὐχὶ τῆς νοερᾶς καὶ λογικῆς ἀλλὰ τῆς αἰσθητικῆς, καθ' ἣν ἡμῖν τε
καὶ τοῖς ἀλόγοις κοινὸν τὸ ζῆν συμβέβηκεν· (11.) ἐκείνης γὰρ οὐσία
πνεῦμα θεῖον καὶ μάλιστα κατὰ Μωυσῆν, ὃς ἐν τῇ κοσμοποιίᾳ φησὶν
ἀνθρώπῳ τῷ πρώτῳ καὶ ἀρχηγέτῃ τοῦ γένους ἡμῶν ἐμφυσῆσαι πνοὴν
ζωῆς τὸν θεὸν εἰς τὸ τοῦ σώματος ἡγεμονικώτατον, τὸ πρόσωπον, ἔνθα
αἱ δορυφόροι τοῦ νοῦ καθάπερ μεγάλου βασιλέως αἰσθήσεις παρίδρυνται·
τὸ δ' ἐμφυσώμενον δῆλον ὡς αἰθέριον ἦν πνεῦμα καὶ εἰ δή τι αἰθερίου
πνεύματος κρεῖσσον, ἅτε τῆς μακαρίας καὶ τρισμακαρίας φύσεως ἀπαύ-
γασμα —, τὸ δὲ στέαρ, διότι πιότατον, πάλιν εἰς διδασκαλίαν ἐγκρατείας 124
καὶ ζῆλον αὐστηροῦ βίου, τὰ μὲν ῥᾷστα καὶ κατὰ χειρὸς μεθιεμένου,
φροντίδας δὲ καὶ πόνους ἐθελοντὶ ἕνεκα κτήσεως ἀρετῆς ὑπομένοντος.
ἧς χάριν αἰτίας ἀπὸ παντὸς ἱερείου δύο ταῦτα ἐξαίρετα ὁλοκαυτοῦται, 125
357 M. ὥσπερ τινὲς ἀπαρχαί, στέαρ τε καὶ αἷμα, τὸ | μὲν ὡς σπονδὴ τῷ βωμῷ
προσχεόμενον, τὸ δ' ὡς ὕλη φλογὸς ἐπιφερόμενον ἀντ' ἐλαίου διὰ τὴν
πιότητα τῷ καθωσιωμένῳ καὶ ἱερῷ πυρί.

Μέμφεταί τινας τῶν καθ' αὐτὸν γεγονότων ὡς γαστριμάργους καὶ 126
τὸ καθηδυπαθεῖν ὡς εὐδαιμονικὸν ἐν τοῖς μάλιστα εἶναι ὑπολαμβάνοντας,
οἷς οὐκ ἀπέχρη κατὰ πόλεις αὐτὸ μόνον τρυφᾶν, ἐν αἷς αἱ χορηγίαι καὶ
παρασκευαὶ τῶν ἐπιτηδείων ἄφθονοι, ἀλλὰ καὶ ⟨ἐν⟩ ἐρημίαις ἀβάτοις καὶ
ἀτριβέσιν, ἀξιοῦντες ἐν ταύταις ἀγορὰς ἔχειν ἰχθύων καὶ κρεῶν καὶ τῶν

2 pr. καὶ SM: om. v 2. 3 τυμβεύοντες SM: ἐντυμβεύοντες v 3 αὐτῷ (sed ω corr. ex ο) S, αὐτῶν M 4 αὐταρκὲς v 7 pr. τῆς om. M post λογικῆς add. ὅτι δύο ψυχὰς ἔχομεν mg S et in textu M 8 post συμβέβηκεν tit. περὶ ψυχῆς ἀνθρώπου add. S mg M 14 κρεῖσσον SM: κρεῖττον v 16 μεθιεμένου M: μεθίεμεν, οὐ S (v) 17 ὑπομένοντος M: ὑπομένοντες S (v) 18 ὁλοκαυτοῦται scripsi: ὁλόκαυται S[1], ὁλοκαύτω (τα· supra) (sic) S[2], ὡλοκαύτωται M; ὁλόκαυτα v 20 ἀντ' ἐλαίου om. M 21 καθωσιωμένω M: καθοσιωμένω S (v) 22 μέμφεται ⟨καί⟩ τινας conicio, μέμφεται ⟨οὖν⟩ coni. Mang. 23 κατηδυπαθεῖν S[1], corr. S[2] 24 ἀπέχρη S: ἀπόχρη M 25 ἐν add. Wendl. 26 χρειῶν Richt.

5 Lev. 3,17. 6 Lev. 17,11. 14. Deut. 12,23. 9 Gen. 2,7. 18 Lev. 4,7. 8 al. 22 sqq. Num. 11,4 sqq.

127 ἐν εὐετηρίᾳ πάντων. εἶτ' ἐπειδὴ σπάνις ἦν, συνιστάμενοι κατεβόων καὶ
κατηγόρουν καὶ ἐδυσώπουν ἀναισχύντῳ θράσει τὸν ἄρχοντα καὶ οὐ
πρότερον ἐπαύσαντο νεωτερίζοντες ἢ τυχεῖν μὲν ὧν ὠρέγοντο, τυχεῖν
δὲ ἐπ' ὀλέθρῳ, δυοῖν ἕνεκα· τοῦ τ' ἐπιδείξασθαι, ὅτι πάντα θεῷ δυνατὰ
πόρον ἐξ ἀμηχάνων καὶ ἀπόρων ἀνευρίσκοντι, καὶ τοῦ τιμωρήσασθαι
128 τοὺς γαστρὸς ἀκράτορας καὶ ἀφηνιαστὰς ὁσιότητος. ἀπὸ γὰρ τῆς θαλάτ-
της ἀρθὲν ὀρτυγομήτρας νέφος ἐκχεῖται περὶ τὴν ἕω καὶ τὸ μὲν στρα-
τόπεδον καὶ τὰ πέριξ ἐφ' ἡμερήσιον ἀνδρὸς εὐζώνου πανταχόθεν ἐν
κύκλῳ συνεσκίαστο, τὸ δὲ ὕψος τῆς τῶν ζῴων πτήσεως ὡσεὶ διπήχει
συναριθμουμένῳ διαστήματι τῆς γῆς ἀφειστήκει πρὸς εὐμαρῆ σύλληψιν.
129 εἰκὸς μὲν οὖν τὸ τεράστιον τοῦ μεγαλουργηθέντος καταπλαγέντας ἀρκε-
σθῆναι τῇ θέᾳ καὶ γεμισθέντας εὐσεβείας κἀν ταύτῃ τραφέντας ἀπο-
σχέσθαι κρεωφαγίας· οἱ δὲ μᾶλλον ἢ πρότερον ἐπιθυμίαν ἐγείραντες ὡς
ἐπὶ μέγιστον ἀγαθὸν ἵεντο καὶ τὰ ζῷα ταῖς ἀμφοτέραις χερσὶν ἐφελ-
κόμενοι τοὺς κόλπους ἐπλήρουν, εἶτ' ἐναποτιθέμενοι ταῖς σκηναῖς ἐφ'
ἑτέρων σύλληψιν ἐξῄεσαν — αἱ γὰρ ἄγαν πλεονεξίαι μέτρον οὐκ ἔχουσι
— καὶ σκευάζοντες πᾶσαν ἰδέαν ἀπλήστως ἐνεφοροῦντο, μέλλοντες οἱ
130 κενοὶ φρενῶν ὑπὸ τῆς πλησμονῆς ἀπόλλυσθαι. καὶ δῆτα οὐκ εἰς μακρὰν
καθάρσεσι χολῆς ἐφθάρησαν, ὡς καὶ τὸ χωρίον ἀπὸ τοῦ περὶ αὐτοὺς
πάθους τὴν ἐπωνυμίαν λαβεῖν· ἐκλήθη γὰρ „Μνήματα τῆς ἐπιθυμίας"
(Num. 11, 34), ἧς οὐκ ἔστιν ἐν ψυχῇ, καθάπερ ἐδίδαξεν ὁ λόγος,
131 μεῖζον κακόν. διὸ παγκάλως ἐν ταῖς παραινέσεσι Μωυσῆς φησιν·
„οὐ ποιήσει ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ" (Deut. 12, 8), τὸ δ'
ἐστὶν ἴσον τῷ „μηδεὶς τῇ ἐπιθυμίᾳ τῇ αὑτοῦ χαριζέσθω"· εὐαρεστείτω
γάρ τις θεῷ, κόσμῳ, φύσει, νόμοις, σοφοῖς ἀνδράσι, φιλαυτίαν παραι-
τούμενος, εἰ μέλλει καλὸς κἀγαθὸς γενήσεσθαι.
132 (12.) Τοσαῦτα καὶ ⟨περὶ⟩ τῶν εἰς ἐπιθυμίαν ἀναφερομένων ἀποχρών-
τως κατὰ τὴν δύναμιν εἴρηται πρὸς συμπλήρωσιν τῶν δέκα λογίων καὶ τῶν
τούτοις ὑποστελλόντων· | εἰ γὰρ δεῖ τὰ μὲν φωνῇ θείᾳ χρησμῳδηθέντα p. 358

2 ἐκατηγόρουν S (sed ἐ expunxit S^2); κακηγόρουν coni. Mang. 3 νεωτερίζονται S^1, corr. S^2 4 δὲ S: δ' M 7 ἐκχεῖται SM: ἐγχεῖται v περὶ Mang.: παρὰ SM 8 ἐφημερήσιον SM 9 συνεσκίαστο SM: ὑπεσκίαστο v ὡσεὶ διπήχει Mang. (cf. LXX Num. 11,31): εἰ δίπηχυ S^1 ut vid., εἰς διπήχει (sic) S^2, εἴδει πήχεως M; εἰ διπήχει v 12 κἀν scripsi: καὶ SM (v); καὶ ταύτῃ ἐντραφέντας coni. Mang. 13 κρεοφαγίας S ἐγείραντες SM: ἐγείροντες v 14 ἴεντο M 16 ἐξῄεσαν scripsi: ἐξίεσαν SM (v) ἔχουσιν S 17 εἰδέαν S 22 παραινέσεσιν S 23 αὐτοῦ SM 24 τῶ M: τὸ S pr. τὴν S^1, τῇ corr. S^2 αὐτοῦ SM εὐαριστείτω Richt. Tauchn. 27 περὶ addidi 27. 28 ἀποχρῶντος S 28 ι' M 29 εἰ γὰρ δεῖ] ἔδει γὰρ coni. Mang.

κεφάλαια γένη νόμων ἀποδεῖξαι, τοὺς δὲ κατὰ μέρος πάντας οὓς διηρμήνευσε Μωυσῆς ὑποστέλλων τὰ εἴδη, πρὸς τὸ ἀσύγχυτον τῆς ἀκριβοῦς καταλήψεως φιλοτεχνίας ἐδέησεν, ᾗ χρησάμενος ἑκάστῳ τῶν γενῶν ἐξ ἁπάσης τῆς νομοθεσίας τὰ οἰκεῖα προσένειμα καὶ προσέφυσα.
τούτων μὲν δὴ ἅλις. οὐ δεῖ δ' ἀγνοεῖν, ὅτι ὥσπερ ἰδίᾳ ἑκάστῳ τῶν 133
δέκα συγγενῆ τινα τῶν ἐπὶ μέρους ἐστίν, ἃ πρὸς ἕτερον γένος οὐδεμίαν ἔχει κοινωνίαν, οὕτως ἔνια κοινὰ πάντων συμβέβηκεν, οὐχ ἑνὶ ἢ δυσίν,
ὡς ἔπος εἰπεῖν, τοῖς ⟨δὲ⟩ δέκα λογίοις ἐφαρμόττοντα. ταῦτα δ' εἰσὶν 134
αἱ κοινωφελεῖς ἀρεταί· καὶ γὰρ ἕκαστος ἰδίᾳ τῶν δέκα χρησμῶν καὶ κοινῇ πάντες ἐπὶ φρόνησιν καὶ δικαιοσύνην καὶ θεοσέβειαν καὶ τὸν ἄλλον χορὸν τῶν ἀρετῶν ἀλείφουσι καὶ προτρέπουσι, βουλαῖς μὲν ἀγαθαῖς ὑγιαίνοντας λόγους, λόγοις δὲ σπουδαίας πράξεις συνείροντες, ἵνα τὸ ψυχῆς ὄργανον εὐαρμόστως ὅλον δι' ὅλων συνηχῇ πρὸς ἐμμέλειαν βίου
καὶ συμφωνίαν ἀνεπίληπτον. περὶ μὲν οὖν τῆς ἡγεμονίδος τῶν ἀρετῶν, 135
εὐσεβείας καὶ ὁσιότητος, ἔτι δὲ καὶ φρονήσεως καὶ σωφροσύνης εἴρηται πρότερον, νυνὶ δὲ περὶ τῆς ἐπιτηδευούσης ἀδελφὰ καὶ συγγενῆ ταύταις δικαιοσύνης λεκτέον.

Περὶ δικαιοσύνης.

(1.) Ἓν τὸ δικαιοσύνης οὐ βραχὺ μέρος ἦν τὸ πρὸς δικαστήρια 136
καὶ δικαστάς, οὗ πρότερον ἐποιησάμην ὑπόμνησιν, ἡνίκα τὰ τῶν μαρτυρίων ἐπὶ πλέον ἀπομηκύνων διεξῄειν ἕνεκα τοῦ μηδὲν παραλειφθῆναι τῶν ἐμφερομένων. οὐκ εἰωθὼς δὲ παλιλλογεῖν, εἰ μή πού τις ἀνάγκη γένοιτο βιαζομένων τῶν καιρῶν, ἐκεῖνο μὲν ἐάσω, πρὸς δὲ τὰ ἄλλα
μέρη τρέψομαι τοσοῦτον προειπών. τὰ δίκαια, φησὶν ὁ νόμος, ἐντιθέναι 137
δεῖ τῇ καρδίᾳ καὶ ἐξάπτειν εἰς σημεῖον ἐπὶ τῆς χειρὸς καὶ εἶναι σειόμενα πρὸ ὀφθαλμῶν, αἰνιττόμενος διὰ τοῦ προτέρου, ὅτι χρὴ μὴ ὠσὶν ἀπίστοις παρακατατίθεσθαι τὰ δίκαια — πίστις γὰρ ἀκοαῖς οὐκ ἔνεστιν —,

2 διηρμήνευσε M: διερμήνευσε S (v)   πρός τὸ M: πρὸς δὲ τὸ S (v)   ἀσύγχυτον Mang.: ἀσύγκριτον SM   3 ἢ S   5 δὴ SM: δὲ v   ἴδια M   6 ι' M   ἐστίν SM: om. v   8 δὲ add. Mang.   ι' M   9 ι' M   11 ἀλείφουσιν S   13 διόλου M   συνηχῇ M (coni. Mang.): συνεχῇ S; συνέχῃ v   15 alt. καὶ om. M   18 tit. περὶ δικαιοσύνης S mg M   19 ἓν τὸ Mang.: ἐν τῷ SM (sed ω corr. ex ο S)   ἦν SM: ἢ v   20 δικαστάς S: δικαστήν M (v)   ἐποιησάμην SM: ἐποίησα μὲν v   21 διεξίειν M   παραλειφθῆναι M (coni. Mang.): παραληφθῆναι S   26 ὅτι v: τί SM

24 Deut. 6,6. 8. 11,18.

ἀλλὰ τῷ ἡγεμονικωτάτῳ ⟨τὰ⟩ πάντων ἄριστα | μαθημάτων ἐντυποῦν p. 359
138 καὶ ταῦτα χαράττοντα σφραγῖσι δοκίμοις· διὰ δὲ τοῦ δευτέρου
τὸ μὴ μόνον ἐννοίας λαμβάνειν τῶν καλῶν, ἀλλὰ καὶ τὰ δόξαντα
πράττειν ἀνυπερθέτως — ἡ γὰρ χεὶρ πράξεως σύμβολον, ἧς ἐξάπτειν
καὶ ἐξαρτᾶν τὰ δίκαια προστάττει, σημεῖον ἔσεσθαι τοῦτο φάσκων, καὶ
τίνος ἄντικρυς οὐ διείρηκε, διὰ τὸ μὴ ἑνός, ὥς γέ μοι δοκεῖ, πολλῶν
139 δὲ γενέσθαι καὶ σχεδὸν ἁπάντων ἐν οἷς ὁ ἀνθρώπινος βίος —· διὰ δὲ
τοῦ τρίτου τὸ ἀεὶ καὶ πανταχοῦ φαντασιοῦσθαι τὰ δίκαια καθάπερ ἐγγὺς
ὄντα ὀφθαλμῶν· σάλον δ' ἐχέτω ταῦτα κινούμενα, φησίν, οὐχ ἵν'
ἀβέβαια καὶ ἀνίδρυτα ⟨ᾖ⟩, ἀλλ' ἵνα τῇ κινήσει τὴν ὄψιν ἐκκαλῇ πρὸς
ἀρίδηλον θέαν· ὁράσεως γὰρ ἐπαγωγὸν κίνησις ἐξερεθίζουσα καὶ ἀνε-
γείρουσα μᾶλλον δ' ἀκοιμήτους καὶ ἐγρηγορότας κατασκευάζουσα ὀφθαλ-
140 μούς. ὅτῳ δ' ἐξεγένετο τυπώσασθαι ἐν τῷ τῆς ψυχῆς ὄμματι μὴ
ἡσυχάζοντα ἀλλὰ κινούμενα καὶ ταῖς κατὰ φύσιν ἐνεργείαις χρώμενα,
τέλειος ἀνὴρ ἀναγεγράφθω, μηκέτι ἐν τοῖς γνωρίμοις καὶ μαθηταῖς
ἐξεταζόμενος, ἀλλ' ἐν διδασκάλοις καὶ ὑφηγηταῖς, καὶ παρεχέτω τοῖς
ἐθέλουσιν ἀρύεσθαι τῶν νέων ὥσπερ ἀπὸ πηγῆς τῶν λόγων καὶ δογ-
μάτων ἄφθονον νᾶμα· κἂν τῶν ἀτολμοτέρων τις ὑπ' αἰδοῦς μέλλῃ καὶ
βραδύνῃ προσέρχεσθαι μαθησόμενος, αὐτὸς ἰὼν ἐπαντλείτω καὶ ἐπο-
χετευέτω ταῖς ἀκοαῖς ἀθρόας ὑφηγήσεις, ἄχρις ἂν αἱ δεξαμεναὶ τῆς
141 ψυχῆς γεμισθῶσι. προδιδασκέτω δὴ τὰ δίκαια συγγενεῖς καὶ φίλους καὶ
πάντας νέους οἴκοι καὶ ἐν ὁδῷ καὶ πρὸς κοίτην ἰόντας καὶ ἀνισταμένους,
ἵν' ἐν πάσαις μὲν σχέσεσι καὶ κινήσεσιν, ἐν πᾶσι δὲ χωρίοις ἰδίοις τε
καὶ δημοσίοις, μὴ μόνον ἐγηγορότες ἀλλὰ καὶ κοιμώνενοι, φαντασίαις
τῶν δικαίων ἐνευφραίνωνται· τέρψις γὰρ οὐκ ἔστιν ἡδίων ἢ τὴν ψυχὴν

1 τὰ addidi ἄριστα SM: ἀρίστῳ v μαθημάτων scripsi: ἀναθημάτων SM (v) ἐντυποῦν Mang.: τυποῦν SM 2 καὶ ταῦτα χαράττοντα scripsi: ταῦτα καὶ χαράττοντα S (v), ταῦτα χαράττοντα M διὰ δὲ τοῦ SM: διὰ τοῦ δὲ v 3 ἐννοίαις S 5. 6 καὶ τίνος M: καί τινος S (v) 6 μὴ ἑνός Mang.: μηδ' ἑνὸς M, μηδενός S 7 βίος ⟨ὁρμεῖ⟩ coni. Mang. 8 τοῦ γ' SM 9 σάλον S: αλον (sic) M δὲ v κινούμενα Wendl. (κινούμενον v): κινον (sic) S, om. in lac. (spat. 4—5 litt.) M 9. 10 ἵν' ἀβέβαια καὶ ἀνίδρυτα ⟨ᾖ⟩ scripsi: ἵν' ἀβέβαιον καὶ ἀΐδρυτον S (ἀνίδρυτον Mang.), ἵνα βέβαιον καὶ ἀΐδρυτον M 11 κίνησις SM: ἡ κίνησις v 12 δὲ v 13 δὲ v ἐν scripsi: μὲν SM (v); ἐντυπώσασθαι coni. Mang. 18 κἂν M (coni. Mang.): καὶ S 18. 19 μέλλῃ καὶ βραδύνῃ M: μέλλει καὶ βραδύνει S (v) 19. 20 ἐποχετευέτω Mang.: ἐποχευέτω SM 21 γεμισθῶσιν S προσδιδασκέτω δὲ coni. Mang. 23 χωρίον (sic) M ἰδίοις] ἰδιωτικοῖς coni. Mang. 25 ἐνευφραίνωνται M, ἐνευφραίνονται S: ἀνευφραίνωνται v

21 Deut. 6,7. 11,19.

ὅλην δι' ὅλων πεπληρῶσθαι δικαιοσύνης, ἐμμελετῶσαν αὐτῆς τοῖς αἰδίοις δόγμασι καὶ θεωρήμασιν, οὐκ ἔχουσαν ἔρημον τόπον, εἰς ὃν ἀδικία παρελεύσεται. κελεύει δὲ καὶ γράψαντας αὐτὰ πρόσθεν τῶν φλιῶν 142 οἰκίας ἑκάστης προτιθέναι καὶ πυλῶν τῶν ἐν τοῖς τείχεσιν, ἵν' οἱ μὲν ἐκδημοῦντες καὶ ἐνδημοῦντες, ἀστοὶ καὶ ξένοι, τοῖς πρὸ τῶν πυλῶν γράμμασιν ἐστηλιτευμένοις ἐντυγχάνοντες ἄληκτον ἔχωσι τὴν τῶν λεκτέων καὶ πρακτέων μνήμην, ἑκατέρου φροντίζοντες τοῦ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, εἰς δὲ τὰς οἰκίας εἰσιόντες καὶ πάλιν ἐξιόντες, ἄνδρες ὁμοῦ
360 M. καὶ γυναῖκες καὶ τέκνα καὶ θεραπεία, | τὰ ἁρμόττοντα καὶ ἐπιβάλλοντα δρῶσιν ὑπέρ τε ἄλλων καὶ ὑπὲρ ἑαυτῶν.

(2.) Θαυμασιώτατον δὲ κἀκεῖνο διαγορεύει τὸ μηδὲν προστιθέναι 143 καὶ ἀφαιρεῖν, ἀλλ' ἐν ἴσῳ καὶ ὁμοίῳ διαφυλάττειν ἀκίνητα τὰ ἐξ ἀρχῆς ὁρισθέντα νόμιμα· συμβαίνει γάρ, ὡς ἔοικε, τὴν μὲν πρόσθεσιν τῶν ἀδίκων, ⟨τὴν δ' ἀφαίρεσιν γίνεσθαι τῶν δικαίων⟩· οὐδὲν γάρ ἐστιν ὃ παραλέλειπται τῷ σοφῷ νομοθέτῃ πρὸς ὁλοκλήρου καὶ παντελοῦς μετουσίαν δικαιοσύνης. αἰνίττεται μέντοι καὶ ταῖς ἄλλαις ἀρεταῖς ἀκρότητας· ἑκάστη γὰρ αὐτῶν 144 ἀνελλιπής ἐστι καὶ πλήρης, τὸ ἐντελὲς ἔχουσα ἐξ αὑτῆς, ὡς, εἰ γένοιτο προσθήκη τις καὶ ἀφαίρεσις, ὅλην δι' ὅλων τρέπεσθαι καὶ μεταβάλλεσθαι πρὸς τὴν ἐναντίαν ἕξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι· τὴν ἀνδρείαν, ἀρετὴν 145 περὶ τὰ δεινὰ πραγματευομένην, ἴσασιν οἱ μὴ παντελῶς ἄμουσοι καὶ ἀχόρευτοι, κἂν ἐπὶ βραχὺ παιδείας προσάψωνται, τῶν ὑπομενετέων οὖσαν ἐπιστήμην. ἀλλ' ἐάν τις εἴξας ἀμαθίᾳ τῇ δι' ἀλαζονείαν, ὡς δὴ 146 περιττὸς καὶ ἱκανὸς ἐπανορθοῦσθαι τὰ ἀνεπιδεᾶ, προστιθέναι ἢ ἀφαιρεῖν

---

1 αὐτῆς] αὐτοῖς M ἀιδίοις] ἀοιδίμοις coni. Mang. 3 πρόσθεν τῶν M (coni. Mang.), προσθέντων S: προσθέντας v φλιῶν Mang.: φιλῶν SM
5 καὶ ἐνδημοῦντες om. M 6 ἄληκτον] ἄληστον coni. Mang. 7 ἑκατέρου Mang.: ἑκάτεροι SM 9 θεραπεία SM (θεράπαιναι mg S): θεραπεῖαι v
10 δρῶσιν] ὁρῶσιν coni. Mang. ἄλλων M (coni. Mang.): ἀλλήλων S
11 tit. ὅτι οὐ δεῖ προστιθέναι καὶ ἀφαιρεῖν add. S mg M 12 καὶ ἀφαιρεῖν SM: ἢ ἀφαιρεῖν v καὶ ὁμοίῳ om. M 13 νόμημα S[1], corr. S[2] 14 τὴν δ' ἀφαίρεσιν γίνεσθαι τῶν δικαίων supplevi παραλέλιπται S[1], corr. S[2]
16 τῆς ἄλλης ἀρετῆς coni. Mang.; scribendum fortasse κἀν ταῖς ἄλλαις ἀρεταῖς
17 αὐτῆς M ὡς SM: ὥστ' (ὥστε) v 18 δι' ὅλων scripsi: δι' ὅλου SM (v)
19 ἐστιν S 20 εἴσασιν S 21 ὑπομενετέων SM: ὑπομενητέων v

---

3 Deut. 6,9. 11,20. 11 Deut. 4,2. 12,32. 19sqq. cf. *Leg. alleg. I § 68. Cic. Tusc. IV 53* . . . quo modo igitur Chrysippus? fortitudo est, inquit, scientia rerum perferendarum vel adfectio animi in patiendo ac perferendo summae legi parens sine timore.

τι τολμᾷ, σύμπασαν ἀλλάσσει τὴν εἰκόνα μετατυπώσας αἰσχρὸν ἀντὶ καλοῦ χαρακτῆρος· ἀπεργάσεται γὰρ τῇ μὲν προσθέσει θρασύτητα, τῇ δ' ἀφαιρέσει δειλίαν, μηδ' ὄνομα τῆς βιωφελεστάτης ἀνδρείας καταλιπών.
147 τὸν αὐτὸν μὲν τρόπον κἂν τῇ βασιλίδι τῶν ἀρετῶν, εὐσεβείᾳ, προσθῇ τις ὁτιοῦν μικρὸν ἢ μέγα ἢ τοὐναντίον ἀφέλῃ, καθ' ἑκάτερον ἐπαλλάξει καὶ μεταμορφώσει τὸ εἶδος· γεννήσει γὰρ ἡ μὲν πρόσθεσις δεισιδαιμονίαν, ἡ δ' ἀφαίρεσις ἀσέβειαν, ἀφανισθείσης αὖ τῆς εὐσεβείας, ἣν ἀνίσχειν καὶ ἐπιλάμπειν εὐκταῖον ἀγαθόν, ἐπειδὴ τοῦ μεγίστου τῶν ἀγαθῶν αἰτία καθέστηκεν, ἐπιστήμην ἐμποιοῦσα θεραπείας θεοῦ, ἣν πάσης ἀρχῆς καὶ ἡγεμονίας ἀρχικωτέραν καὶ βασιλικωτέραν εἶναι νομιστέον.
148 παραπλήσια δὲ τοῖς εἰρημένοις καὶ περὶ τῶν ἄλλων ἀρετῶν ἑκάστης ἔστι λέγειν· ἀλλὰ ἐπιτέμνειν εἰωθὼς τὰ μήκη τῶν λόγων ἀρκεσθήσομαι τοῖς εἰρημένοις, ἃ καὶ τῶν ἡσυχαζομένων ἱκανὰ μηνύματα γένοιτ' ἄν.
149 (3.) Ἔτι καὶ τοῦτο προσδιατέτακται κοινωφελὲς παράγγελμα, „μὴ μετακινεῖν ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πρότεροί σου" (Deut. 19,14). τοῦτο δ', ὡς ἔοικεν, οὐ περὶ κλήρων αὐτὸ μόνον καὶ γῆς ὅρων νομοθετεῖται πρὸς πλεονεξίας ἀποκοπήν, ἀλλὰ καὶ πρὸς | φυλακὴν τῶν ἀρχαίων ἐθῶν· ἔθη γὰρ ἄγραφοι νόμοι, δόγματα παλαιῶν ἀνδρῶν οὐ στήλαις ἐγκεχαραγμένα καὶ χαρτιδίοις ὑπὸ σητῶν ἀναλισκομένοις, ἀλλὰ
150 ψυχαῖς τῶν μετειληφότων τῆς αὐτῆς πολιτείας. ὀφείλουσι γὰρ παῖδες παρὰ γονέων ⟨δίχα⟩ τῶν οὐσιῶν κληρονομεῖν ἔθη πάτρια, οἷς ἐνετράφησαν καὶ ἐξ αὐτῶν σπαργάνων συνεβίωσαν, καὶ μὴ καταφρονεῖν, παρόσον ἄγραφος αὐτῶν ἡ παράδοσις· ὁ μὲν γὰρ τοῖς ἀναγραφεῖσι νόμοις πειθαρχῶν οὐκ ἂν δεόντως ἐπαινοῖτο, νουθετούμενος ἀνάγκῃ καὶ φόβῳ κολάσεως, ὁ δὲ τοῖς ἀγράφοις ἐμμένων, ἑκούσιον ἐπιδεικνύμενος τὴν ἀρετήν, ἐγκωμίων ἄξιος.

---

1 τι v. τε S, om. M 3 δὲ v ἀφαιρέσει scripsi: ἀφαιρήσει SM (v) 5 ἑκάτερον M: ἕτερον S ἐπαλλάξει M: ἀπαλλάξῃ S; ἀπαλλάξει v 7 δὲ v αὖ τῆς] αὐτῆς M ἣν M (coni. Mang.): ἧς S ἀνέχειν (ισ) M (ἀνίσχειν scripsi): ἀνέχειν S (v) 8 ἐπιλάμπειν M: ἀναλάμπειν S εὐκταῖον M: εὐκτέον S (v) 10 καὶ βασιλικωτέραν om. M 12 ἀλλ' Mang. 13 γένοιτ' ἂν SM: γένοιντ' ἂν v 14 tit. περὶ τοῦ μὴ παρακινεῖν ὅρια add. S mg M καὶ SM: δὲ v 16 δὲ v κλῆρον (ων) (sic) M: κλῆρον S ὅρον (ων) M: ὅρον S; ὅρου v 17 τῶν SM: om. v 20 τῶν SM: om. v 21 δίχα addidi; πρὸ add. Mang. 24 πιθαρχῶν S 25 ἑκούσιον SM: ἑκουσίαν v

Κατάστασις ἀρχόντων.

(1.) Ἔνιοι τὰς κληρωτὰς εἰσηγήσαντο ἀρχάς, ἀλυσιτελῶς τοῖς 151
πλήθεσιν· εὐτυχίαν γὰρ ἀλλ' οὐκ ἀρετὴν ὁ κλῆρος ἐμφαίνει. πολλοὶ
γοῦν πολλάκις τῶν ἀναξίων ἔλαχον, οὓς ἀνὴρ ἀγαθὸς λαβόμενος ἡγεμο-
νίας ἀποδοκιμάσαι ἂν καὶ ἐν ὑπηκόοις ἐξετάζεσθαι. καὶ γὰρ οἱ μικροὶ 152
λεγόμενοι παρά τισιν ἄρχοντες, οὓς δεσπότας ὀνομάζουσιν, οὐ πάντας
ὅσους ἂν οἷοί τε ὦσιν οἰκότριβας ἢ ἀργυρωνήτους ὑπάγονται, μόνους
δὲ τοὺς καταπειθεῖς γινομένους, ἀγεληδὸν ἔστιν ὅτε πιπράσκοντες τοὺς
ἀνιάτως ἔχοντας τὸ ἦθος ὡς καὶ δουλεύειν ἀγαθοῖς ἀνδράσιν ἀναξίους
ὄντας. ἔτι τοίνυν προσήκει δεσπότας καὶ ἡγεμόνας ὅλων πόλεων καὶ 153
ἐθνῶν ἀποφαίνειν τοὺς κλήρῳ λαχόντας, ὀλίσθῳ τινὶ τύχης, ἀβεβαίου
καὶ ἀνιδρύτου πράγματος; ἀλλ' εἰς μὲν τὴν τῶν καμνόντων ἐπιμέλειαν
κλῆρος τὸ μηδέν· ἰατροὶ γὰρ οὐ κλήρῳ λαγχάνουσιν, ἀλλ' ἐν πείρᾳ δοκι-
μάζονται. καὶ πρὸς εὔπλοιαν καὶ σωτηρίαν τῶν θαλαττευόντων οὐχ ὁ 154
λαχὼν κυβερνᾶν εὐθὺς ἐπὶ πρύμναν παραπέμπεται, δι' ἀνεπιστημοσύνης
ἐργασόμενος ἐν εὐδίᾳ καὶ γαλήνῃ χειροποίητα ναυάγια, ἀλλ' ὅστις ἂν
ἐκ πρώτης ἡλικίας τὴν κυβερνητικὴν τέχνην ἐπιμελῶς φαίνηται δεδιδαγ-
μένο[illegible] μὲν πεπλευκώς, τὰ δὲ σύμπαντα ἢ

1 tit. κατάστασις ἀρχόντων S: περὶ καταστάσεως ἀρχόντων mg M, τοῦ αὐτοῦ περὶ καταστάσεως ἀρχόντων F, Φίλωνος περὶ καταστάσεως ἀρχόντων G, Φίλωνος ἰουδαίου περὶ καταστάσεως ἀρχόντων A, περὶ καταστάσεως ἄρχοντος HP 2 ἀλυσιτελεῖς corr. in -ῶς M 4 γ' οὖν S, γὰρ FG Esc. ἐλλαβόμενος coni. Mang. 4.5 λαβόμενος ἡγεμονίας om. M 5 ἀποδοκιμάσῃ ἂν S, ἀποδοκιμάσῃ (αι ss.) ἂν M, ἀποδοκιμάσειεν ἂν A, ἀποδοκιμάσαιεν ἂν P 7 ἀπάγονται (ἀ ex ὑ corr.) H, ἀπάγονται G (v) 8 καταπιθεῖς S[1], corr. S[2] γενομένους S ἀγελιδὸν S[1], corr. S[2] 9 τοῦ ἤθους G ἀναξίους SMA: οὐκ ἀξίους ceteri (v) 10 ἔτι τοίνυν scripsi: ἔτι νῦν SM, οὐ τοίνυν ceteri (v) 11 τοὺς] τὰ F[1] τύχη A 12 ἀνιδρύτου MAFG: ἀϊδρύτου SHP (v) 13 ἀλλ' ἐν πείρα SM Esc.: ἀλλὰ πείρα ceteri (v) 13.14 δοκιμάζοντες A 14 τῶν ἐνθαλαττευόντων M Esc. 14.15 οὐχ ὁ λαχὼν] οὐ χωλάζων S 15 κυβερνᾶν] κυβερνήτης M Esc. ἀνεπιστημοσύνην M Esc. 16 ἐργαζόμενος AHP, ἐργασάμενος Esc. ἀλλ' ὅστις] ἄλλος τις S, ἀλλ' ὥς τις A; ἀλλ' ὃς Turn. 18 οὗτος — περαιωσάμενος (244,1) om. FG οὗτος δ' ἐστὶν SM: [illegible] ceteri (Turn.) σύμπαντα ἢ πλεῖστα (244,1)] πλεῖστα καὶ σύμπαντα SM, ἢ om. A[1]H[1]P, ss. A[2]H[2]

3—5 Escur. gr. X—I—12 fol. 228[r] ἐκ τοῦ λόγου τοῦ περὶ καταστάσεως ἀρχόντων: εὐτυχίαν οὐκ ἀρετὴν ὁ κλῆρος ἐμφαίνει· πολλοὶ γὰρ πολλάκις — ἐξετάζεσθαι.
13—17 Escur. ibid.: ἰατροὶ οὐ κλήρῳ λαγχάνουσι — φαίνηται δεδιδαγμένος.

πλεῖστα πελάγη περαιωσάμενος, ἐμπόρια δὲ καὶ λιμένας καὶ ὑφόρμους
καὶ ὑποδρόμους τούς ἔν τε νήσοις καὶ ἠπείροις | ἐπιμελῶς ἐξητακὼς p. 362
καὶ μᾶλλον ἢ οὐχ ἧττον τῶν κατὰ γῆν ὁδῶν τὰς κατὰ θάλατταν ἀτρα-
155 ποὺς ἐπιστάμενος ἐκ τῆς ἀκριβοῦς θέας τῶν οὐρανίων· παρατηρήσας
γὰρ τὰς χορείας τῶν ἀστέρων καὶ ἐπακολουθήσας αὐτῶν ταῖς τεταγ-
μέναις κινήσεσιν ἐν ἀνοδίαις ἴσχυσεν ἀπλανεῖς καὶ λεωφόρους ὁδοὺς
ἀνατεμεῖν, ἵνα — τὸ πάντων ἀπιστότατον πραγμάτων — ἡ χερσαία
156 φύσις διὰ πλωτῆς οἵα τε ᾖ περαιοῦσθαι. πόλεις δέ τις μεγάλας καὶ
πολυανθρώπους, μεστὰς οἰκητόρων, καὶ πολιτείας ἐγχειρίζεσθαι μέλλων
καὶ πραγμάτων ἰδιωτικῶν τε καὶ δημοσίων καὶ ἱερῶν ἐπιμέλειαν, ἣν
οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τέχνην τεχνῶν εἶναι καὶ ἐπιστήμην ἐπιστημῶν,
πρὸς ἄστατον κλήρου φορὰν ταλαντεύσει τὴν ἀκριβῆ βάσανον τῆς ἀληθείας
157 φυγών; ἀληθείας δὲ βάσανος αἱ σὺν λόγῳ πίστεις. (2.) ταῦτ' οὖν τῇ
ψυχῇ θεασάμενος ὁ πάνσοφος Μωυσῆς κληρωτῆς μὲν ἀρχῆς οὐδὲ
μέμνηται, τὰς δὲ χειροτονητὰς εἰσηγεῖσθαι διενοήθη. φησὶ γοῦν·
καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα οὐκ ἀλλότριον, ἀλλ' ἐκ τῶν σῶν
ἀδελφῶν, δηλῶν ἐθελούσιον αἵρεσιν καὶ δοκιμασίαν ἀνεπίληπτον ἄρχοντος,
ἣν σύμπασα ἡ πληθὺς ὁμογνωμονοῦσα ποιήσει. προσεπιψηφιεῖται δὲ τὴν
αἵρεσιν ἐπισφραγιζόμενος καὶ ὁ τῶν κοινωφελῶν ἁπάντων βεβαιωτὴς
θεός, ἐκλογήν τινα τοῦ γένους ὑπολαβὼν εἶναι τὸν ἄνθρωπον ὡς ὄψιν
158 ἐν σώματι. (3.) τὰς δ' αἰτίας τοῦ μὴ δεῖν ἀλλότριον αἱρεῖσθαι πρὸς

---

1 περεωσάμενος S ἐμπορίας (sed ίας in ras.) S δὲ S: τε ceteri (v) 2 τούς τε GHP (Turn.) ἔν τε νήσοις SMFA: ἐν ταῖς νήσοις GHP (Turn.) 3 κατὰ γῆν ὁδῶν] κατὰ τὴν ὁδὸν M, διὰ τὴν ὁδὸν S κατὰ θάλατταν SM: διὰ τῆς θαλάττης F, διὰ θαλάττης AG, διὰ θαλάσσης HP 5 παρακολουθήσας M 5. 6 τὰς τεταγμένας κινήσεις F[2] 6 ἀπλανεῖς] ἀφανεῖς S 8 οἵα τε MA περαιοῦσθαι M, περεοῦσθαι S: διαπεραιοῦσθαι ceteri (v) 10 τε SM: om. ceteri (v) 11 ἁμάρτη A τεχνῶν εἶναι SM: εἶναι post ἐπιστημῶν transp. ceteri (v) 12 κλήρου Christophorson Mang. (*ex unico Codice Trin.*): καιροῦ codd. ταλαντεύσει Mang.: ταλαντεύειν S, ταλαντεύει ceteri 13 ταῦτ' SMF: ταῦτα ceteri 14 ὁ πάνσοφος μωυσῆς τῇ ψυχῇ θεασάμενος transp. HP (v) 15 εἰσηγεῖσθαι διενοήθη SM: διενοήθη εἰσηγεῖσθαι ceteri (v) φησὶ γοῦν M, φησὶ γ' οὖν S: φησὶν οὖν ceteri (v) 16 σεαυτῷ (sic) A (ἐπὶ … όν superscr.) 17 δοκημασίαν S 18 ἣν MFHP, ἡ S: ὃν AG (Mang.) ἡ om. S ποιήσει M, ποιήσειεν S: ποιήσεται ceteri (v) 19 κοινωφελῶν] κοινῶν SA 20 τὸν ἄνθρωπον] τῶν ἀνθρώπων coni. Christophorson, τὸν ἄρχοντα coni. Mang., τὸν αἱρεθέντα conicio 21 tit. περὶ ἄρχοντος add. S mg M

---

16 Deut. 17,15.

ἀρχὴν διττὰς ὑπογράφει, τὴν μὲν ἵνα μὴ πλῆθος ἀργυρίου καὶ χρυσίου καὶ θρεμμάτων συναγάγῃ πολὺν πλοῦτον καὶ πάντα ἄδικον ἐκ τῆς πενίας τῶν ὑπηκόων θησαυρισάμενος, τὴν δ' ἵνα μὴ τὸ ἔθνος ἐκ τῆς οἰκείας χώρας ἀναστήσας ἕνεκα τῶν ἰδίων πλεονεξιῶν ἀναγκάζῃ μετανίστασθαι ⟨κατὰ⟩ · πλάνον ἀνήνυτον ὧδε κἀκεῖσε φορούμενον, ὑποβαλὼν ἀτελεῖς ἐλπίδας μειζόνων ἀγαθῶν κτήσεως, εἰς ἀφαίρεσιν ὧν ἤδη βεβαίως ἐκαρποῦτο. προϋπέλαβε γάρ, ὡς εἰκός, τὸν ὁμόφυλον καὶ συγγενῆ 159
μετέχοντα τῆς πρὸς τὴν ἀνωτάτω συγγένειαν οἰκειότητος — ἡ δ' ἀνωτάτω συγγένειά ἐστι πολιτεία μία καὶ νόμος ὁ αὐτὸς καὶ εἷς θεός, ᾧ πάντες οἱ ἀπὸ τοῦ ἔθνους προσκεκλήρωνται, — μηδέποτε τὰ παραπλήσια τοῖς προλεχθεῖσι διαμαρτεῖν, ἀλλ' ἔμπαλιν ἀντὶ μὲν τοῦ μεθορμίζειν τοὺς οἰκήτορας καὶ τοῖς ἐν τῇ ξένῃ σποράσιν ἀσφαλῆ κάθοδον παρέξειν, ἀντὶ δὲ τοῦ τὰ τῶν ἄλλων ἀφαιρεῖσθαι χρήματα προσεπιδώσειν τοῖς δεομένοις τὴν ἰδίαν οὐσίαν ἀποφήναντα κοινήν.

363 M. (4.) | Ἀφ' ἧς δ' ἂν ἡμέρας παρέλθῃ τις ἐπὶ τὴν ἀρχήν, κελεύει 160
τὴν Ἐπινομίδα αὐτοχειρίᾳ γράψαι κεφαλαιώδη τύπον περιέχουσαν ἁπάντων τῶν νόμων, βουλόμενος ἔγκολλα τῇ ψυχῇ τὰ διατεταγμένα γενέσθαι· τοῦ μὲν γὰρ ἀναγινώσκοντος ὑπορρεῖ τὰ νοήματα τῇ φορᾷ παρασυρόμενα, τῷ δὲ γράφοντι κατὰ σχολὴν ἐνσφραγίζεται καὶ ἐνιδρύεται, τῆς διανοίας ἐνευκαιρούσης ἑκάστῳ καὶ ἐπερειδούσης ἑαυτὴν καὶ μὴ μετιούσης ἐφ' ἕτερον, πρὶν ἢ περιδράξασθαι τοῦ προτέρου βεβαίως.

---

1 διττὰς] διττῶς (corr. ex διττὰς) ἔχειν F   ὑπογράφει SM: ἐπιγράφει ceteri (v)   πλήθους M   2 πάντα ἄδικον] παντα[illegible]δικον H; παντάδικον v   3 θησαυριζόμενος A   δὲ A   5 κατὰ ante πλάνον addidi   φορούμενον in φερόμενον corr. H, φερόμενον L (Turn.)   ὑπολαβὼν S, ὑπολαβὼν (sic) A
6 ἀγαθῶν] ἄγαν Turn.   βεβαίων S   7 ἐκαρποῦντο SM   προυπέλαβε F (Mang.): ὑπέλαβε G, προὔλαβε HP[1] (Turn.), προύβαλεν S, προὔβαλε MAP[2]   8 συγγενείας SH[1]P, -αν ex -ας corr. FH[2]   οἰκειότητας SH[1]P, -ος ex -ας corr. FH[2]
9 ἐστὶν S   εἷς ὁ θεὸς S   9. 10 ᾧ πάντες] ὥπερ HP (Turn.)   10 ἔθνους] γένους M   11 προλεχθεῖσι(ν) SM: λεχθεῖσι ceteri (v)   διαμαρτήσειν conicio
11. 12 μεθορίζειν SM, καθορμίζειν A   12 σποράσιν in σποράδην corr. H[2]
13 τοῦ SM: καὶ τοῦ A, τοῦ καὶ ceteri (Turn.)   τὰ om. A   13. 14 προσεπιδόσιν S, πρὸς ἐπίδοσιν M   14 ἀπεφήναντο H[1]P   15 παρέλθοι SA (sic Mang.)
16 αὐτοχειρία γράψαι SM: γράψαι αὐτοχειρία ceteri (v)   κεφαλαίων δὴ τύπον S
19 ἐνσφραγίζονται καὶ ἐνιδρύονται A   20 ἑαυτῇ SM   20. 21 μὴ μετιούσης] μηκέτι ἰούσης A   21 ἕτερον corr. ex ἑτέρων F   πρηνὴ S[1], πρὶν ἢ corr. S[2], πρὶν om. HP   παραδράξασθαι A, περι- ex παρα- corr. F, περιδράξεται G

---

1 Deut. 17,16. 17.   16 Deut. 17,18.   18—20 Escur. gr. X — I — 13 fol. 228r: τοῦ μὲν ἀναγινώσκοντος — ἐπερειδούσης ἑαυτήν.

161 ὅταν μέντοι γράψῃ, πειράσθω καθ' ἑκάστην ἡμέραν ἐντυγχάνειν καὶ ἀναγινώσκειν, ὑπέρ τε συνεχοῦς καὶ ἀδιαστάτου μνήμης καλῶν καὶ συμφερόντων ἅπασι διαταγμάτων καὶ ὑπὲρ τοῦ βέβαιον ἔρωτα καὶ πόθον αὐτῶν ἐγγενέσθαι, τῆς ψυχῆς ἀεὶ διδασκομένης καὶ ἐξεθιζομένης ἐνομιλεῖν νόμοις ἱεροῖς· αἱ γὰρ μακροχρόνιοι συνήθειαι φιλίαν ἄδολον καὶ καθαρὰν οὐ πρὸς ἀνθρώπους μόνον ἀλλὰ καὶ πρὸς ἰδέας ἀξιεράστους γραμμάτων
162 ἀποτελοῦσι. τουτὶ δὲ συμβήσεται, ἐὰν μὴ ἑτέρου γράμμασι καὶ ὑπομνήμασιν ὁ ἄρχων ἀλλ' οἷς αὐτὸς ἔγραψεν ἐντυγχάνῃ· τὰ γὰρ ἴδιά πως
163 ἑκάστοις γνωριμώτερα καὶ πρὸς ἀναλήψεις ἑτοιμότερα. καὶ ἄλλως ἀναγινώσκων ἅμα λογισμὸν ἕξει τοιοῦτον· „ἐγὼ ταῦτ' ἔγραψα ὁ τοιοῦτος ἄρχων, μὴ ἑτέρῳ προσχρησάμενος ὑπηρετῶν μυρίων ὄντων· ἆρ' ὅπως βιβλίον ἀποπληρώσω, καθάπερ οἱ μισθοῦ γράφοντες ἢ οἱ γυμνάζοντες ὀφθαλμούς τε καὶ χεῖρας, τοὺς μὲν εἰς ὀξυωπίαν, τὰς δ' ἵνα ὦσιν ὀξυγράφοι; — πόθεν; οὐκ ἔστιν — ἀλλ' ὅπως αὐτὰ ἐν βιβλίῳ γράφων εὐθὺς εἰς τὴν ψυχὴν μεταγράφω καὶ ἐναπομάττωμαι τῇ δια-
164 νοίᾳ θειοτέρους καὶ ἀνεκπλύτους χαρακτῆρας. οἱ μὲν οὖν ἄλλοι βασιλεῖς βακτηρίας ἔχοντες σκηπτροφοροῦσιν, ἐμοὶ δὲ τὸ σκῆπτρόν ἐστιν ἡ βίβλος τῆς Ἐπινομίδος, καύχημα καὶ κλέος ἀνανταγώνιστον, παράσημον ἡγεμονίας ἀνεπιλήπτου πρὸς ἀρχέτυπον τὴν τοῦ θεοῦ βασιλείαν ἀπεικονισθείσης.
165 ἀεὶ δ' ἐπερειδόμενος καὶ σκηριπτόμενος τοῖς ἱεροῖς νόμοις κτήσομαι δύο τὰ πάντων ἄριστα· ἓν μὲν ἰσότητα, ἧς μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν· ἀλαζονεία γὰρ καὶ τὸ ὑπέραυχον ὀλιγόφρονος ψυχῆς τὸ μέλλον οὐ προ-

---

2 τε] τῆς S   συνεχοῦς] ἀδιεχοῦς G   3. 4 αὐτῶν ἐγγενέσθαι SMAF¹P: αὐτῶ ἐγγενέσθαι H, αὐτῶν ἐγγενέσθαι αὐτῶ F²G; αὐτὸν αὐτῷ ἐγγ. Turn., αὐτῶν αὐτῷ ἐγγ. Mang.   4 ἐθιζομένης HP (Turn.)   ὁμιλεῖν H (Turn.)   5 ἱερεῖς (sic) A   μακροχρόνιαι HP (Turn.)   6 εἰδέας S   ἀξιεργάστους P   7 ἀποτελοῦσιν S   γράμμασιν S   8 ἐντυγχάνει HP   ἰδία A   9 καὶ πρὸς ἀναλήψεις ἑτοιμότερα om. M   ἀντιλήψεις coni. Mang.   ἄλλος S   10 ἅμα λογισμὸν SM: ἀναλογισμὸν ceteri (v)   10. 11 τοιοῦτος S (Mang.): τοσοῦτος ceteri   11 ἑτέρῳ προσχρησάμενος ὑπηρετῶν scripsi: ἑτέρω προσχρησάμενος ὑπηρέτη M, προσχρησάμενος ὑπηρέτω (sic) ἑτέρω S, προσχρησάμενος ὑπηρέτη ἑτέρω ceteri (v)   ἆρ' SM: ἄρα ceteri   12 βιβλίον SM: βίβλον ceteri (v)   13 τὰς] τοὺς MP   13. 14 ἵν' εἰδῶσιν ὀξυγραφεῖν M   14 post πόθεν add. ἀλλ' F   βιβλίω SM: βίβλω ceteri (v)   15 ἐναπομάττομαι H¹P (Turn.)   16 ἀνεκπλύτους codd.: ἀνεκπλύντους v   17 ἐστὶν ἡ βίβλος S: ἡ βίβλος ἐστὶ A, ἡ βίβλος ἔσται ceteri (v)   18 παράσημον SM: ἐπίσημον ceteri (v)   19 ἀρχέτυπον] ἀρχὴν τύπον A   τοῦ om. AHP (v)   20 ἀεὶ SM: αἰεὶ ceteri   21 ἄριστα] μέγιστα F   ἐν μὲν ἰσότητι H¹P   22 ὀλιγόφρονος] νοσερόφρονος S

---

1 Deut. 17,19.

ορωμένης. ἰσότης μὲν οὖν τὴν ἐκ τῶν ὑπηκόων εὔνοιαν καὶ ἀσφάλειαν 166
ἀμοιβὰς δικαίας ἀντεκτινόντων ἀπεργάσεται, τὸ δ' ἄνισον κινδύνους
σφαλερωτάτους. τούτους μὲν ἀποδράσομαι μισήσας τὴν χορηγὸν σκότους
καὶ πολέμων ἀνισότητα, βίον δ' ἀνεπιβούλευτον ἔξω τὴν ἀστασίαστον
ἰσότητα τιμήσας, ἣ γεννᾷ φῶς καὶ εὐστάθειαν. ἕτερον δὲ περιποιήσομαι 167
364 M. τὸ | μὴ ἐπὶ θάτερα καθάπερ ἐπὶ τρυτάνης ἀντιρρέπειν ἐκτρέπων καὶ
πλαγιάζων τὰ διατεταγμένα· πειράσομαι δ' ἄγειν αὐτὰ διὰ λεωφόρου
τῆς μέσης ὀρθαῖς καὶ ἀρτίαις βάσεσι χρησάμενος πρὸς μετουσίαν ἀπταί-
στου βίου." βασιλικὴν δ' εἴωθε Μωυσῆς ὀνομάζειν ὁδὸν τὴν μέσην, 168
ὑπερβολῆς καὶ ἐλλείψεως οὖσαν μεθόριον, καὶ ἄλλως ἐπειδὴ τὸ μέσον
ἐν τριάδι τὴν ἡγεμονίδα τάξιν εἴληχεν, ἁρμοζόμενον τὰ παρ' ἑκάτερα
εἰς ἕνωσιν ἀδιαλύτῳ δεσμῷ, ὑφ' ὧν καὶ δορυφορεῖται τρόπον βασιλέως.
νομίμου δ' ἄρχοντος ἰσότητα τιμῶντος, ἀδεκάστου, τὰ δίκαια κρίνοντος 169
δικαίως (Deut. 16,20), ἐμμελετῶντος ἀεὶ τοῖς νόμοις, ἆθλον εἶναί φησι
τὴν μακροχρόνιον ἡγεμονίαν, οὐχ ἵνα πολυετῆ ζωὴν αὐτῷ χαρίσηται
μετὰ τοῦ τὰ κοινὰ πρυτανεύειν, ἀλλ' ἵνα ἀναδιδάξῃ τοὺς ἀγνοοῦντας,
ὅτι ὁ νόμιμος ἄρχων, κἂν τελευτήσῃ, βίον ζῇ μακραίωνα διὰ τῶν
πράξεων, ἃς ἀθανάτους ἀπολέλοιπε μνημεῖα καλοκἀγαθίας ἀκαθαίρετα.
(5.) Προσήκει δὲ τῷ τῆς ἀνωτάτω καὶ μεγίστης ἀρχῆς ἀξιωθέντι 170
αἱρεῖσθαι διαδόχους, οἳ συνάρξουσι καὶ συνδικάσουσι καὶ τἄλλα ὅσα

---

1 ἀσφάλειαν] φιλίαν M 2 ἀντεκτεινόντων SH, ἀντεκτιννόντων M, ἀντεκτιννύντων AP² ἀπεργάσαιτο A 3 τούτους] τοὺς M μὲν] μὲν οὖν MA (Mang.) ἀποδράσωμεν μισήσαντες A 4 ἔξω S; ἄξω coni. Mang. ἀναστασίαστον S 5 φιλήσας M (τμ superscr.) ποιήσομαι A 6 μὴ] μηδ' S θατέρω FG 8 ἀρτίαις SM: ἀρτίοις ceteri (v) χρησάμενος AH²: χρησόμενος S, χρησάμενα ceteri 9 ἣν βασιλικὴν ὡς ἔοικε μωυσῆς ὀνομάζειν εἴωθε M ὀνομάζειν μωσῆς transp. HP (v) 10 οὔσης (sed ης in ras.) S 11 εἴληχεν codd.: εἴληφεν Mang. ἁρμοζόμενα HP 12 διαλύτω S ὑφ' ὧν] ἐφῶ M δωροφορεῖται A, δορυφορεῖται om. SM 13 δ'] τ' SM ἄρχων S ἀδεκάστου codd.: ἀδεκάστ(ως) H²; ἀδεκάστως Turn., ἀδέκαστον Mang. 14 δικαίως] δικαίων S νόμοις] νομίμοις Turn. 15 μακροχρονίαν HP (Turn.), μακρογόνιον A ἡγεμονίαν SMF² (coni. Mang.): ἡγεμονίδα ceteri πολυετῆ αὐτῷ ζωὴν M (β α superscr.), πολλὴν αὐτῷ τὴν ζωὴν S 16 τὰ om. MA ἵν' A 17 ὁ νόμιμος SM Esc.: ὁ om. ceteri (v) κἂν τελευτήσῃ post μακραίωνα transp. M 18 πράξεων αὐτοῦ Esc. ἀπολέλοιπε] ἐπιλέλοιπε A, καταλέλοιπε HP (v) 19 τῷ] αὐτῷ F; αὖ τῷ coni. Mang. 20 συνδικάσουσιν SM καὶ τἄλλα — συνδιοικήσουσιν (248,1) om. SM τἄλλ' A

---

9 Num. 20,17. 21,22. 15 Deut. 17,20. 17. 18 Escur. ibid.: ὁ νόμιμος ἄρχων — ἀπολέλοιπεν.

κοινωφελῆ συνδιοικήσουσιν. εἷς γὰρ οὐκ ἂν ἐξαρκέσαι, κἂν προθυμότατος
ᾖ καὶ πάντων ἐρρωμενέστατος ἑκάτερον, σῶμα καὶ ψυχήν, πρὸς τὰ με-
γέθη καὶ πλήθη τῶν πραγμάτων, ἀπειρηκὼς τῇ φορᾷ τῶν ἐπιχεομένων
καθ' ἑκάστην ἡμέραν ἀλλαχόθεν ἄλλων, εἰ μὴ τοὺς συλληψομένους ἔχοι,
πάντας ἀριστίνδην ἐπιλελεγμένους φρονήσει, δυνάμει, δικαιοσύνῃ, θεο-
σεβείᾳ, τῷ μὴ ἐκτρέπεσθαι μόνον ἀλλὰ καὶ μισεῖν ὡς ἐχθρὸν καὶ
171 μέγιστον κακὸν ἀλαζονείαν. βοηθοὶ γὰρ οὗτοι καὶ παραστάται γένοιντ'
ἂν ἀνδρὶ καλῷ κἀγαθῷ τὰ κοινὰ ἐπηχθισμένῳ συνεπικουφίζειν καὶ
ἐπελαφρίζειν ἐπιτηδειότατοι. καὶ ἄλλως, ἐπειδὴ τῶν ὑποθέσεων αἱ μέν
εἰσι μείζους, αἱ δὲ βραχύτεραι, τὰς μὲν ἐλάττους, ἵνα μὴ περὶ μικρὰ
τρίβηται, τοῖς ὑπάρχοις ἐνδίκως ἂν ἐπιτρέψαι, τῶν δὲ μειζόνων ἀναγ-
172 καίως αὐτὸς ἂν γένοιτο ἐξεταστὴς ἀκριβέστατος. μεγάλας δ' ὑποληπτέον
ὑποθέσεις οὐχ ἃς οἴονταί τινες, ὅταν ἔνδοξοι πρὸς ἐνδόξους διαφέρωνται
καὶ πλούσιοι πρὸς πλουσίους καὶ ἡγεμόνες πρὸς ἡγεμόνας, ἀλλ' ἔμπαλιν
ὅταν ἰδιῶται καὶ ἄποροι καὶ ἄδοξοι πρὸς δυνατωτέρους, οἷς πρὸς τὸ
173 μηδὲν ἀνήκεστον παθεῖν μία ἐλπὶς ὁ δικαστής. ἑκατέρου δὲ τῶν εἰρη-
μένων σαφῆ παραδείγματα εὑρεῖν ἔστιν ἐν τοῖς ἱεροῖς νόμοις, ἃ μιμεῖσθαι
καλόν. ἦν γάρ ποτε χρόνος, ἐν ᾧ μόνος αὐτὸς ἐβράβευε τὰ περὶ δίκας
Μωυσῆς ἕωθεν εἰς νύκτα πονούμενος· ἀλλ' | αὖθις ἀφικόμενος ὁ πεν- p. 365
θερὸς καὶ συνιδὼν ὅσῳ βάρει πιέζεται πραγμάτων, ἐπισυρρεόντων ἀεὶ
τῶν τὰς ἀμφισβητήσεις ἐχόντων, ἄριστα συνεβούλευσεν ἑλέσθαι διαδόχους,
ἵν' οἱ μὲν τὰ βραχύτερα κρίνωσιν, αὐτὸς δ' ἐφεδρεύῃ τοῖς μείζοσι καιροὺς

1 οὐκ ἂν om. M ἐξαρκέσαι (η sup.) M, ἐξαρκέσοι A, ἐπαρκέσῃ S 3 ἀπειρηκὼς SM: om. ceteri (Turn.) τῇ φορᾷ SM: ἐπὶ τῇ φορᾷ ceteri (v) ἐπιχεομένων SM: ἐπεισχεομένων ceteri (v) 4 ἔχοιεν F 5 ἐπειλεγμένους A δυνάμει] ἀνδρείᾳ conicio 6 τῷ] τοῦ SM ἐκτρέπεσθαι μόνον SM: μόνον ἐκτρέπεσθαι ceteri (v) ἀλλὰ om. A 7 οὗτοι om. S 8 καλῷ κἀγαθῷ M, καλοκαγάθῳ S: καλῷ καὶ ἀγαθῷ ceteri (v) τὰ κοινὰ om. F ἐπειχθισμένῳ (sed ει in ras.) S 10 δὲ] δ' ὡς A μακρὰ S 11. 12 ἀναγκαίως αὐτὸς ἂν γένοιτο S: ἀναγκαίως ἂν αὐτὸς γένοιτο M, αὐτὸς ἂν ἀναγκαίως γένοιτο AG, αὐτὸς ἀναγκαίως ἂν γένοιτο F, αὐτὸς ἂν γένοιτο ἀναγκαίως HP (Turn.); αὐτὸς αὖ γ. ἀ. Mang. 12 ὁ ἐξεταστὴς A 13 διαφέρονται H[1]P, περιφέρωνται S 15 οἷς SM: ὅτε ceteri (Turn.) alt. πρὸς om. SM 18 ποτε] ὅτε M ἐν ᾧ] ὅτε HP (Turn.) ἐβράβευεν S δίκης G 19 μωσῆς A ποιούμενος A 20 συνειδὼν S πιαίζεται S 21 τὰς om. H (Turn.) συνεβούλευεν HP (v) 22 ἵν' SM: ἵνα ceteri ἐφεδρεύει SMF μείζοσιν S

18sqq. Exod. 18,13sqq.

εἰς ἀνάπαυλαν αὑτῷ διδούς. πεισθεὶς δὲ τοῖς λεγομένοις — καὶ γὰρ 174
ἦν συμφέροντα — τοὺς δοκιμωτάτους ἐξ ἅπαντος τοῦ πλήθους ἑλόμενος
ὑπάρχους ἅμα καὶ δικαστὰς καθίστησι, κελεύσας τὰς μείζους κρίσεις
ἐπ᾽ αὐτὸν ἀνάγειν. ταύτην τὴν πρόσταξιν ἀνάγραπτον αἱ ἱεραὶ βίβλοι 175
περιέχουσιν εἰς τὴν τῶν καθ᾽ ἑκάστην γενεὰν ἀρχόντων διδασκαλίαν,
ἵνα πρῶτον μὲν μὴ ἀποδοκιμάζωσι συμβούλους ὡς ἱκανοὶ πάντα περιαθρεῖν, Μωυσέως οὐκ ἀποδοκιμάσαντος τοῦ πανσόφου καὶ θεοφιλοῦς,
ἔπειτα δὲ ἵνα δευτέρους καὶ τρίτους ἡγεμόνας αἱρῶνται, φροντίζοντες
τοῦ μὴ περὶ μικρὰ τριβόμενοι τῶν ἀναγκαιοτέρων ἀμελεῖν· ἀμήχανον
γὰρ ἐφ᾽ ἅπαντα φθάνειν φύσιν ἀνθρωπίνην. (6.) Ἓν μὲν δὴ τῶν παρα- 176
δειγμάτων μεμήνυται· τοῦ δὲ δευτέρου τὴν πίστιν ἐφαρμοστέον. μεγάλας
ἔφην εἶναι δίκας τὰς τῶν ταπεινοτέρων· ἀσθενὲς δὲ καὶ ταπεινὸν χήρα
καὶ ὀρφανὸς καὶ ἐπήλυτος· τούτοις χρὴ δικάζειν τὸν ἀνωτάτω βασιλέα
καὶ τὴν ἐφ᾽ ἅπασιν ἀναψάμενον ἀρχήν, ἐπεὶ κατὰ Μωυσέα καὶ ὁ τῶν
ὅλων ἡγεμὼν θεὸς οὐκ ἐσκοράκισεν αὐτοὺς τῆς ἀφ᾽ αὑτοῦ δικαιονομίας.
ὑμνήσας γὰρ τὰς τοῦ ὄντος ἀρετὰς ὁ ἱεροφάντης τὸν τρόπον τοῦτον· 177
„ὁ θεὸς ὁ μέγας καὶ κραταιός, ὅστις οὐ θαυμάζει πρόσωπον οὐδὲ μὴ
λάβῃ δῶρον ποιῶν κρίσιν“ (Deut. 10, 17. 18), ἐπιλέγει — τίσιν ἡ
κρίσις; οὐ σατράπαις καὶ τυράννοις καὶ γῆς καὶ θαλάττης ἀναψαμένοις
τὸ κράτος, ἀλλ᾽ „ἐπηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ“· τῷ μὲν ὅτι τοὺς 178
συγγενεῖς, οὓς μόνους εἰκὸς ἔχειν συναγωνιστάς, ἐχθροὺς ἀσυμβάτους
εἰργάσατο ἑαυτῷ μεταναστὰς εἰς ἀλήθειαν καὶ τὴν τοῦ ἑνὸς τιμίου τιμὴν

---

1 αὑτῷ M: αὐτῷ ceteri πεισθεὶς] προσθεὶς A τοῖς εἰρημένοις A
4 πρόσταξιν scripsi: κρίσιν S, πρᾶξιν M, τάξιν ceteri (v) αἱ] καὶ P, αἱ ss. P[2]
6 μὴ om. H[1]P[1], ss. H[2]P[2] ἀποδοκιμάζωσιν S 7 μωυσέως S: μωσέως ceteri
8 δ᾽ SM 9 μὴ om. H[1], ss. H[2] 10 ἀνθρωπίνην φύσιν transp. M
tit. τί ἐστι ποιῶν κρίσιν προσηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ add. S mg M 11 ἐφαρμοττέον (sic) S μεγάλους M (ας ss.) 12 ἔφη SM δίκαστὰς M (ας τὰς ss.)
τὸ ταπεινὸν S, ταπεινὸν om. L (Turn.) 13 ἐπηλύτης M 14 ἐφ] ἐν AF
ἀναψάμενον Mang.: ἐφαψάμενον A, ἐναψαμένην F, ἐναψάμενον ceteri (v) κατὰ
Μωυσέα] καὶ μωυσέως S μωσέα codd. 14. 15 τῶν ἄλλων ἡγεμόνων (sic) S
15 ἀπεσκοράκισεν H (v) ἀφ᾽ ἑαυτοῦ M, ἀφ᾽ αὐτοῦ F, ἀπ᾽ αὐτοῦ A 17 καὶ
κραταιός S: ὁ δυνατὸς ὁ κραταιός M, ὁ κραταιός ceteri (v) ὅστις] ὃς M
οὐ θαυμάζει πρόσωπον om. M θαυμάζει] λαμβάνει HP (Turn.) οὐδὲ] οὐδ᾽
οὐ HP (v) 17. 18 μὴ λάβῃ] λαμβάνει M 19 καὶ γῆς S, γῆς M: καὶ τῆς
γῆς ceteri (v) ἢ θαλάττης M θαλάσσης S ἀναψαμένοις] ἁψαμένοις AH;
ἐναψαμένοις v 20 τὸ om. SM ἐπηλύτῳ SA: ἐπηλύτῃ MFGH (Turn.),
ἐπιλύτῃ P τῷ] τὸ P 21 εἰκὸς SHP: εἰκὸς ἦν ceteri (Mang.)
22 ἑαυτῷ om. A τοῦ ἑνὸς SM: τοῦ om. ceteri (v) τιμίου om. M

[illegible]

139 [illegible]

p. 366 M [illegible]

140 [illegible]

141 [illegible]

142 [illegible] νομίσας τις [illegible] πράξειν, [illegible] ὅτι μείζονος ὀργῆς ἄξιος τυγχάνει ἐστὶν ὁ γεννηθεὶς μὲν ἐκ τῶν ἀρίστων, αἰσχύνην δ' ἐπιφέρων τοῖς γεννήσασι διὰ τὴν τῶν

1 [illegible] S 2 οἱ [illegible] M. οἱ om. FG καλὴν om. S μετοικίαν HP (Turn.) 3 [illegible] S ἐπειδὴ SM: ἐπεὶ ceteri (v) 5 ἀναγκαίως FAHP [illegible] S τῇ δ'] τὴν δ' GHP τῶν γονέων M: τῶν om. ceteri (v) 6 ἀφαιρεῖται S [illegible] S. [illegible] (sic) A 7 ὥσπερ scripsi: ὅπερ codd. 8 πανταχοῦ M, ἁπανταχῇ HP (Turn.) μὴ om. G

9 καταλείπτομεν S τὰς] τὴν F τοῖς ἐν transp. A ἐπιμιξίαν F 10 κοινοπραγούντων Christophorson Mang.: κοινοπραγοῦντα codd. τις SMH[2]: π ceteri 11 ἐξαιρέτοις ⟨καὶ σεμνοῖς⟩ coni. Mang. 12 τὸ σεμνὸν δὲ F δ' ὁ] δὲ ὁ G, δὲ F[1]HP (Turn.) 13 ἀνθρώπων SM: τῶν ἀνθρώπων ceteri (v) ἀποστρέφεται τῶν ἀνθρώπων transp. A τὴν τῆς ἡδονῆς A ἀποχὴν FG ἀλλ' ὅμως] ἀλλὰ Turn. 14 αἰεὶ FGHP 15 προσκεκλήρωνται H (Turn.) 17 ἔθνους] γένους A 18 καὶ ⟨ἄλλαι⟩ ἀρεταὶ conicio αἳ M ss. H[2]: om. ceteri 18. 19 καρποῖς φέρουσι F 19 σωτήριον] σῶον F ὠφέλημον S 20 τὸ γῶσιν ἁμαρτάνοντες F ἴασημα S 21 νομίσας τις] νομίσαντες F 22 ὀργῆς] ὀργῆς SM τυγχάνων A 23 $\overset{\text{σα}}{\text{γεννήμασι}}$ A διὰ SM: om. ceteri (Turn.) τῶν om. S

τρόπων κακίαν· ἔχων γὰρ οἰκεῖα παραδείγματα καλοκἀγαθίας ἃ μιμήσεται
καὶ μηδὲν ἀποματτόμενος εἰς ὑγιαίνοντος βίου κατόρθωσιν ἐπίληπτος.
(7.) Ἀπαγορεύει δ' ὁ νόμος τῷ τὴν προστασίαν καὶ ἐπιμέλειαν 183
τῶν κοινῶν ἀνειληφότι δικαιοτάτην ἀπαγόρευσιν, μὴ πορεύεσθαι δόλῳ
ἐν τῷ ἔθνει· ψυχῆς γὰρ ἀνελευθέρου καὶ σφόδρα δουλοπρεποῦς ἐπίβουλα
ἤθη συσκιαζούσης ὑποκρίσει τὸ ἔργον. τὸν γὰρ ἄρχοντα οὕτως χρὴ 184
προεστάναι τῶν ὑπηκόων ὡς πατέρα παίδων, ἵνα καὶ αὐτὸς ὡς ὑπὸ
γνησίων υἱῶν ἀντιτιμᾶται· διὸ κοινοὶ πόλεων καὶ ἐθνῶν γονεῖς, εἰ δεῖ
τἀληθὲς εἰπεῖν, ἄρχοντές εἰσιν οἱ ἀγαθοί, τὴν ἴσην, ἔστι δ' ὅτε καὶ
περιττοτέραν εὔνοιαν ἐπιδεικνύμενοι· τοὺς δ' ἐπὶ λύμῃ καὶ ζημίᾳ τῶν
ὑπηκόων μεγάλας περιβαλλομένους δυναστείας οὐκ ἄρχοντας ἀλλ' ἐχθροὺς
προσαγορευτέον, τὰ πολεμίων ἀσυμβάτων δρῶντας. οὐ μὴν ἀλλὰ καὶ 185
οἱ δολερῶς ἀδικοῦντες πονηρότεροι τῶν φανερῶς ἐναντιουμένων εἰσίν,
εἴ γε τοὺς μὲν ἔνεστι ῥᾳδίως ἀμύνασθαι γυμνὴν ἀπαμπίσχοντας τὴν
δυσμένειαν, τῶν δ' ἐστὶ δύσληπτος καὶ δυσθήρατος ἡ μοχθηρία καθάπερ
ἐν θεάτρῳ σκευὴν ἀλλοτρίαν ἀναλαμβανόντων εἰς ἀπόκρυψιν ἀληθοῦς
ὄψεως. φθάνει δὲ τὸ τῆς ἀρχῆς εἶδος καὶ διαδέδυκεν, ὀλίγου δέω 186
φάναι, πρὸς ἅπαντα τὰ τοῦ βίου μέρη, διαφέρον αὐτὸ μόνον μεγέθει
καὶ τῷ ποσῷ. ὅπερ γὰρ πόλεως βασιλεύς, τοῦτο καὶ κώμης ὁ πρῶτος
367 M. καὶ οἰκίας δεσπότης καὶ νοσούντων ἰατρός, καὶ | στρατοπέδου μὲν στρα-
τηγός, ναύαρχος δ' ἐπιβατικοῦ καὶ πληρωμάτων, καὶ πάλιν φορτίδων
μὲν καὶ ὁλκάδων ναύκληρος, κυβερνήτης δὲ πλωτήρων· οἳ πάντες
δύνανται μὲν ἄμφω τό τε εὖ καὶ τὸ χεῖρον, βούλεσθαι δ' ὀφείλουσι τὸ

4 τῶν κοινῶν om. S ἀνειληφότι M: εἰληφότι SF, ἀπειληφότι ceteri (v) 5 ἀνελευθέρας SMA σφόδρα S: πάνυ MAFG (Mang.), om. HP (Turn.) 6 οὕτως SM: οὕτω ceteri 8 διὸ scripsi: διότι codd. (v) δεῖ] δὲ S 9 οἱ om. S Esc. ἴσην] φύσιν M Esc. ἔστι om. F 10 διάνοιαν καὶ εὔνοιαν F λοίμῃ S 12 ἀσυμβάντων P, ἀσύμβατα A δρῶντες P οὐ μὴν δ' ἀλλὰ A 13 οἱ om. S 14 ἔνεστι] ἔστι MFH Esc. (Turn.) ἀπαμφίσκοντας S 15 δὲ M ἐστὶ] ἔτι F 16 λαμβανόντων G ἀληθοῦς SM: τῆς ἀληθοῦς ceteri (v) 17 τὸ] τι coni. Mang. διαδέδοικεν S, διαδέδωκεν M ὀλίγον A 18 τὰ om. SA μέρη om. A αὐτῷ MA 20 ὁ δεσπότης HP (v) στρατοπέδων S μὲν om. S 21 ναύαρχοι S πάλιν φορτίδων] παμφορτίδων S φορτίων F 23 μὲν om. FG (Mang.) ἄμφω om. HP (Turn.) τε om. S βουλεύεσθαι MA

4 Lev. 19,16. 8—17 Escur. X—I—13 fol. 228r: κοινοὶ πόλεων καὶ ἐθνῶν γονεῖς ἄρχοντές εἰσιν ἀγαθοὶ τὴν φύσιν· τοὺς δ' ἐπὶ λύμῃ καὶ ζημίᾳ — προσαγορευτέον (12). οὐ μὴν ἀλλὰ καὶ οἱ δολερῶς ἀδικοῦντες — εἰς ἀπόκρυψιν τῆς ἀληθοῦς ὄψεως.

ἄμεινον· τὸ ἄμεινον δ' ἐστὶν ὠφελεῖν ἀλλὰ μὴ βλάπτειν ὅσους ἂν οἷόν
187 τε ᾖ. τὸ γὰρ ἕπεσθαι θεῷ τοῦτ' ἐστίν, ἐπεὶ κἀκείνῳ δύναμις μέν ἐστι
δρᾶν ἑκάτερα, βούλεται δὲ μόνα τἀγαθά. μηνύει δὲ ἡ τοῦ κόσμου
γένεσίς τε καὶ διοίκησις· τὰ γὰρ μὴ ὄντα ἐκάλεσεν εἰς τὸ εἶναι τάξιν
ἐξ ἀταξίας καὶ ἐξ ἀποίων ποιότητας καὶ ἐξ ἀνομοίων ὁμοιότητας καὶ
ἐξ ἑτεροιοτήτων ταυτότητας καὶ ἐξ ἀκοινωνήτων καὶ ἀναρμόστων
κοινωνίας καὶ ἁρμονίας καὶ ἐκ μὲν ἀνισότητος ἰσότητα ἐκ δὲ σκότους
φῶς ἐργασάμενος· ἀεὶ γάρ ἐστιν ἐπιμελὲς αὐτῷ καὶ ταῖς εὐεργέτισιν
αὐτοῦ δυνάμεσι τὸ πλημμελὲς τῆς χείρονος οὐσίας μεταποιεῖν καὶ μεθαρ-
188 μόζεσθαι πρὸς τὴν ἀμείνω. (8.) ταῦτα μιμεῖσθαι προσήκει τοὺς
ἀγαθοὺς ἄρχοντας, εἴ γέ τις αὐτοῖς φροντίς ἐστιν ἐξομοιώσεως τῆς πρὸς
θεόν. ἐπεὶ δὲ ὑπορρεῖ μυρία καὶ λανθάνει τὸν ἀνθρώπινον νοῦν, ἅτ'
ἐνδεδεμένον αἰσθήσεων ὄχλῳ τοσούτῳ παραγαγεῖν καὶ ἀπατῆσαι ψευδέσι
δόξαις ἱκανωτάτῳ, μᾶλλον δ' ἐντετυμβευμένον θνητῷ σώματι, ὃ κυρίως
ἂν τις σῆμα καλέσειε, μηδεὶς αἰδείσθω δικαστὴς ὁμολογῶν ἀγνοεῖν ὅπερ
189 ἀγνοεῖ. πρῶτον μὲν γὰρ ὁ ψευδόμενος αὐτὸς αὑτοῦ γενήσεται χείρων,
ἀλήθειαν ὑπερόριον τῆς ψυχῆς πεφυγαδευκώς· ἔπειτα δὲ μυρία βλάψει
τοὺς κρινομένους, τυφλὴν γνῶσιν ἀποφαινόμενος τῷ μὴ βλέπειν τὰ
190 δίκαια. ὅταν οὖν ἀμαυρὰν ποιῆται τὴν ἀντίληψιν τῶν πραγμάτων
ἀσάφειαν καὶ πολὺ σκότος ἀπεργαζομένων, παραιτείσθω τὰς κρίσεις καὶ

---

1 alt. τὸ ἄμεινον om. et ἔστι δ' transp. S   τὸ δ' ἄμεινόν ἐστιν M   ὠφελεῖν — ἐστίν (2) om. F   2 κἀκεῖνο S   μέν ἐστιν δύναμις transp. S   3 δὲ μόνα] μὲν M   alt. δὲ SM: δ' ceteri   6 ἑτεροιοτήτων SM: ἑτεροτήτων ceteri (v)   8 ἀεὶ SM: αἰεὶ ceteri   εὐεργέτησιν S   9 δυνάμεσιν SF   10 ἀμείνω] ἀμείνω τάξιν M   ταῦτα] ταῦτ' οὖν A (Mang.)   προσήκει om. F   11 αὐτοῖς om. M   ἐστιν om. H (Turn.)   12 δὲ SM: δ' ceteri   μυρία post θεόν transp. S   ἅτε M, ἅτ' HP   13 ἐνδεδεμένῳ F   14 δόξεσιν G   ἐντετυμβευμένῳ F   κύριον F   15 σῶμα (ῆ) F   καλέσειεν S   αἰδείσθω] αἰσθητῷ S   16 μὲν γὰρ SM: μὲν om. ceteri (v)   ὁ om. A   αὑτοῦ MA, ὑ in ὑ corr. H: αὐτοῦ ceteri   17 δὲ om. M   βλάπτει M   18 τῷ] τοῦ S   19 ὅταν] ὅτε A   ἀμυδρὰν M   ποιεῖται SMA   ποιῆται suspectum; οἴηται (vel ἡγῆται) conicio   20 ἀσάφεια coni. et καὶ secl. Christophorson

---

15 σῆμα: Plat. Cratyl. 400b.   20 Deut. 17,9. 21,5. cf. *Ioseph. Ant. Iud. IV § 218* ἂν δ' οἱ δικασταὶ μὴ νοῶσι περὶ τῶν ἐπ' αὐτοὺς παρατεταγμένων ἀποφήνασθαι, συμβαίνει δὲ πολλὰ τοιαῦτα τοῖς ἀνθρώποις, ἀναπεμπέτωσαν τὴν δίκην εἰς τὴν ἱερὰν πόλιν, καὶ συνελθόντες ὅ τε ἀρχιερεὺς καὶ ὁ προφήτης καὶ ἡ γερουσία τὸ δοκοῦν ἀποφαινέσθωσαν· *c. Ap. II § 187* καὶ γὰρ ἐπόπται πάντων καὶ δικασταὶ τῶν ἀμφισβητουμένων καὶ κολασταὶ τῶν κατεγνωσμένων οἱ ἱερεῖς ἐτάχθησαν.

ἀναπεμπέτω πρὸς ἀκριβεστέρους δικαστάς· οὗτοι δὲ τίνες ἂν εἶεν ἢ
ἱερεῖς καὶ ὁ τῶν ἱερέων ἔξαρχος καὶ ἡγεμών; οἱ γὰρ λειτουργοὶ θεοῦ 191
γνήσιοι τὴν διάνοιαν ἐπιμελῶς ἠκόνηνται, τὸ παρὰ μικρὸν οὐ μικρὸν
σφάλμα ἡγούμενοι, διὰ τὰς ἐν ἅπασιν ὑπερβολὰς τοῦ θεραπευομένου
βασιλέως — διὸ καὶ προστέτακται πᾶσι τοῖς ἱερωμένοις νηφαλίους θύειν,
ἵνα μηδὲν τοῦ παραπαίειν καὶ παραληρεῖν φάρμακον ὑπεισελθὸν τοὺς τῆς
διανοίας ὀφθαλμοὺς ἀμαυρώσῃ —, τάχα δ' ἐπειδὴ καὶ ὁ πρὸς ἀλήθειαν 192
ἱερεὺς εὐθύς ἐστι προφήτης, οὐ γένει μᾶλλον ἢ ἀρετῇ παρεληλυθὼς
p. 368 M. ἐπὶ | τὴν τοῦ ὄντως ὄντος θεραπείαν, προφήτῃ δ' οὐδὲν ἄγνωστον, ἔχοντι
νοητὸν ἥλιον ἐν αὑτῷ καὶ ἀσκίους αὐγάς, εἰς ἐναργεστάτην κατάληψιν
τῶν αἰσθήσει μὲν ἀοράτων διανοίᾳ δὲ καταληπτῶν.

(9.) Πάλιν οἱ σταθμία καὶ ζυγὰ καὶ μέτρα διαχειρίζοντες ἔμποροι 193
καὶ κάπηλοι καὶ ἀγοραῖοι καὶ ὅσοι ἄλλοι τὰ πρὸς τὸ ζῆν ὤνια πιπράσκουσι ξηρά τε καὶ ὑγρὰ τάττονται μὲν ὑπ' ἀγορανόμοις, ὀφείλουσι δ' αὐτοὶ ἑαυτῶν, ἐὰν σωφρονῶσιν, ἄρχοντες εἶναι, μὴ φόβῳ τὰ δίκαια δρῶντες ἀλλ' ἑκουσίῳ γνώμῃ· τοῦ γὰρ μετ' ἀνάγκης τὸ αὐτοκέλευστον
κατόρθωμα τιμιώτερον πανταχοῦ. διὸ προστάττει τοῖς καπήλοις καὶ 194
ἐμπόροις καὶ εἴ τινες ἄλλοι τὴν τοιαύτην προαίρεσιν ἐπανῄρηνται τοῦ βίου ζυγὰ δίκαια καὶ σταθμία καὶ μέτρα παρασκευάζεσθαι, μηδὲν ἐπὶ

1. 2 ἢ ἱερεῖς om. M 2 ἱερέων] ἱερῶν P alt. καὶ om. HP (Turn.) 3 γνήσιοι SM Esc.: οἱ γνήσιοι ceteri (v) 4 ἡγούμενοι] οἰόμενοι A 5 προτέτακται AF¹H¹P, σ ss. F²H² πᾶσι om. M νηφαλίους scripsi: νηφαλίου S, νηφάλια ceteri (v) 6 ὑπεισελθὸν SM: ἐπεισελθὸν ceteri (v) τοῦ F (ς ss.) τῆς om. A 7 ἀμαυρώσει F καὶ ὁ M: ὁ om. S, καὶ om. ceteri (v) 8 εὐθής A 9 ὄντος ὄντως GH¹P (Turn.), ὄντως om. Esc. 9. 10 ἐν ἑαυτῷ ἔχοντι τὸν νοητὸν ἥλιον transp. M 10 αὐτῷ SH²: ἑαυτῷ MAG Esc., αὐτῷ FH¹P ἐνεργεστάτην S 12 tit. περὶ σταθμίων καὶ ζυγῶν καὶ μέτρων add. S mg M πάλιν δὲ AP² μέτρα καὶ στάθμια καὶ ζυγὰ transp. HP (v) στάθμια codd. ζύγια S διαχειρίζοντες M: διαχωρίζοντες S, διαχειροῦντες A, διαχειριοῦντες GHP (v), διακρινοῦντες καὶ διαχειριοῦντες F 13 ἀγοραῖοι] ἀγορηγοὶ SM ἄλλοις L (Turn.) ὄνια S 13. 14 πιπράσκουσιν S 15 ἐάν σώφρονές εἰσιν (σωφρονῶσιν scripsi), ἄρχοντες εἶναι SM: ἄρχοντες εἶναι, ἐὰν σωφρονῶσι ceteri (v) 16 ἑκουσίᾳ AF 18 εἴ τινες] οἵτινες H (v) ἐπαναίρηνται S 19 ζύγια S στάθμια καὶ μέτρα SM: μέτρα καὶ στάθμια ceteri (v) παρασκευάζεσθαι S (παρα ss.), κατασκευάζεσθαι M: κατασκευάζεσθαι FGHP (v), κατασκευάσαι A

2—5 Escur. X—I—13 fol. 228r: οἱ λειτουργοὶ θεοῦ γνήσιοι — τοῦ θεραπευομένου βασιλέως. 5 Lev. 10,9. 7—11 Escur. ibid.: ὁ πρὸς ἀλήθειαν ἱερεὺς — διανοίᾳ δὲ καταληπτῶν. 17 sqq. Lev. 19,35. 36. Deut. 25,13—15.

βλάβῃ τῶν ὠνουμένων κακοτεχνοῦντας, ἀλλ' ἀπ' ἐλευθέρας καὶ ἀδόλου ψυχῆς ἕκαστα καὶ λέγειν καὶ πράττειν ἐκεῖνο λογιζομένους, ὅτι τὰ μὲν ἄδικα κέρδη βλαβερώτατα, ὁ δὲ μετὰ δικαιοσύνης πλοῦτος ἀναφαίρετος.

195 Ἐπεὶ δὲ φιλεργίας ἆθλα μισθοὶ πρόκεινται τοῖς δημιουργοῖς, δημιουργοῦσι δὲ οἱ ἐν ἐνδείαις, ἀλλ' οὐχ οἷς ἄφθονοι περιουσίαι, κελεύει μὴ ὑπερτίθεσθαι τὰς δόσεις, ἀλλ' αὐτῇ παρέχειν ἡμέρᾳ τὸν διομολογηθέντα μισθόν. ἄτοπον γὰρ τὰ μὲν ἐκ τῆς τῶν πενήτων ὑπηρεσίας ἀπειληφέναι τοὺς εὐπόρους, τὰς δ' ἀντὶ τούτων ἀμοιβὰς μὴ ἀντιπαρασχεῖν
196 ἀπόροις εὐθὺς περιουσίᾳ ζῶντας. ἆρ' οὐκ ἐναργῆ δείγματα ταῦτ' ἐστὶ προφυλακῆς μειζόνων ἀδικημάτων; ὁ γὰρ μηδὲ μισθὸν τὸν πάντως ἀποδοθησόμενον ἐῶν ἐκπρόθεσμον γενέσθαι, προθεσμίαν ὁρίσας ἑσπέραν, ἐν ᾗ δεήσει τὸν δημιουργὸν ἀπαλλαττόμενον οἴκαδε κομίσασθαι τὴν ἀμοιβήν, οὗτος οὐ πολὺ πρότερον ἁρπαγὴν ἀπαγορεύει καὶ κλοπὴν καὶ χρεωκοπίαν καὶ ὅσα τούτοις ὁμοιότροπα, διαπλάττων καὶ διαμορφῶν τὴν ψυχὴν πρὸς δόκιμον εἶδος τὸ καλοκἀγαθίας αὐτῆς;

197 (10.) Εὖ μέντοι κἀκεῖνο διείρηται, ὅπως μηδεὶς μηδένα βλασφημῇ καὶ κακηγορῇ, καὶ μάλιστα κωφὸν οὔτε αἴσθησιν ὧν ἀδικεῖται δυνάμενον λαβεῖν οὔτε ἐν τοῖς ἴσοις αὐτὸ τοῦτο ἀμύνασθαι. μάχη γὰρ πασῶν ἐκνομωτάτη, καθ' ἣν τὸ μὲν ἕτερον μέρος ἐν τῷ δρᾶν ἐξετάζεται, τὸ δ'
198 ἕτερον ἐν τῷ μόνον πάσχειν. τοῖς δὲ κακηγοροῦσι τοὺς ἀναύδους καὶ τὰ ὦτα βεβλαμμένους ὅμοιον ἀδίκημα δρῶσιν οἱ τυφλοῖς ὀλίσθους ἐμ-

1 κακοτεχνοῦντες S ἐλευθέρας SMAF: ἐλευθέρου GHP (v); καθαροῦ (-ᾶς?) coni. Mang. 2 λέγειν καὶ πράττειν] exspectaveris λέγοντας καὶ πράττοντας 4 πρόκεινται μισθοὶ transp. A 5 δὲ SM: δ' ceteri ἐν ss. MF[2] ἐνδοίαις A οὐχ om. M ἄφθονοι περιουσίαι SM: ἄφθονος περιουσία ceteri (v) (ante κελεύει) tit. περὶ ἀποδόσεως μισθοῦ add. S mg M 6 τὰς om. S ἀλλ' αὐτῇ] ἀλλὰ τῇ αὐτῇ conicio διομολογηθέντα] δημιουργηθέντα HP (-ος Turn.) 7 ὑπηρεσίας SMG: περιουσίας ceteri (Turn.) 8 ἀντιπάσχειν S[1], corr. S[2] 9 ἀπόρους SM περιουσιάζοντας MF ἐστὶν S 10 μηδὲ om. A τὸν πάντως] τῶν πάντων S 11 ἐμπρόθεσμον A προθεσμίαν] πρόθεσμα A 12 δεήσῃ F 13 χρεοκοπίαν SF 15 δόκιμον εἶδος τὸ M: δόκιμα εἴδη τὰ FGHP (Turn.), δοκίμια ἤδη τὰ A, δοκιμασίαν S (Mang.). 16 tit. περὶ κωφῶν καὶ τυφλῶν add. S mg M διήρηται SF[1], δὴ εἴρηται M μηδεὶς μὴ δύνηται βλασφημεῖν καὶ κακηγορεῖν A 17. 18 οὔτε . . . οὔτε SM: οὐδὲ . . . οὐδ' ceteri (v) 18 ἐν om. M (fort. recte) αὐτὸ τοῦτο SM: παρ' αὐτὸ τοῦτο ceteri (v) 19 μέρος om. A 20 κατηγοροῦσι SM, κακουργοῦσι A τοὺς] τούς τε M, πρὸς F ἀναύλους S 21 τὰ om. A ὅμοιον ἀδίκημα SM: ὁμοίως ἀδικ[illegible] ceteri

2. 3 Escur. ibid.: τὰ μὲν ἄδικα κέρδη βλαβερώτατα, ὁ δὲ μετὰ δικαιοσύνης πλοῦτος ἀναφαίρετος. 6 Lev. 19,13. Deut. 24,14. 15. 16. 20 Lev. 19,14. 18—20 Escur. ibid.: μάχη πασῶν ἐκνομωτάτη — ἐν τῷ μόνον πάσχειν.

ποιοῦντες καὶ ἕτερ' ἄττα ἐν ποσὶ τιθέντες· ἀνάγκη γάρ, οὐχ οἵους τε ὄντας ὑπερβαίνειν δι' ἄγνοιαν, περιπταίοντας ἀμφότερα καὶ τῆς ὁδοῦ διαμαρτάνειν καὶ τὰς βάσεις βλάπτεσθαι. τοῖς δὲ τῶν τοιούτων ἐργάταις 199
369 M. τε καὶ ζηλωταῖς ἐπανατείνεται θεοῦ φόβον ὁ νόμος, εἰκότως καὶ | προσηκόντως, ἐπειδὴ μόνος οὗτος τὴν χεῖρα ὑπερέχει καὶ προασπίζει τῶν αὐτοῖς βοηθεῖν ἀδυνατούντων· καὶ μόνον οὐκ ἄντικρύς φησι τοῖς ἀδικοπραγοῦσι τοὺς μὲν πεπλημμελημένους· „ὦ κενοὶ φρενῶν, λήσεσθαι 200
νομίζετε γέλωτα ἡγούμενοι τὰς ἐκείνων συμφορὰς καὶ εἰς ταῦτα ἐξαμαρτάνοντες, περὶ ἃ συμβέβηκεν ἀτυχεῖν αὐτοῖς, ὦτα μὲν διὰ κακηγοριῶν, ὀφθαλμοὺς δὲ διὰ τῶν ἐν ποσὶν ὀλίσθων; τὸν δὲ πάντων ἔφορον καὶ δίοπον θεὸν οὐδέποτε λήσεσθε κακοπραγίαις ἀθλίων ἀνθρώπων ἐπεμβαίνοντες, ὡς τὰς ὁμοίας κῆρας οὐκ ἐνδεξόμενοι, σῶμα μὲν πάσαις ἁλωτὸν νόσοις περιφέροντες, αἰσθήσεις δ' ἐπικήρως ἐχούσας, αἳ μικρᾶς ἕνεκα καὶ τῆς τυχούσης προφάσεως οὐκ ἀμαυροῦνται μόνον, ἀλλὰ καὶ ἀνιάτους ὑπομένουσι πηρώσεις.“ τοὺς οὖν ἐπιλελησμένους μὲν ἑαυτῶν, 201
ἐπικυδεστέρους δ' οἰομένους εἶναι τῆς φυσικῆς ἀνθρώπων ἀσθενείας, ἐκπεφευγέναι δὲ τὰς ἀδήλους καὶ ἀτεκμάρτους τῆς τύχης ἐπιβουλάς, ἣ πολλάκις αἰφνιδίους σκηπτοὺς ἐπέρριψε καὶ εὐπλοίᾳ βίου χρωμένους μόνον οὐκ ἐν αὐτοῖς λιμέσιν εὐδαιμονίας κατέκλυσε, τί δεῖ μεγαλαυχεῖν καὶ ἐπεμβαίνειν συμφοραῖς ἑτέρων, μηδὲ τὴν πάρεδρον δίκην τοῦ πάντων

1 ἕτερ' ἄττα HP, ἑτεράττα AFG: ἔνεδρα SM (prob. Mang.) 2 περιπταίοντες S, παραπταίοντας F (Mang.) 3 τῶν om. A ἐργάταις τε SM: εὑρεταῖς ceteri (v) 4 θεοῦ SM: τὸν ἐκ θεοῦ A, τὸν ἐκ τοῦ θεοῦ ceteri (v) 5 οὗτος om. P χεῖρ' AF τῶν] τὸν S, τοῖς H¹P 6 αὐτοῖς H²: αὑτοῖς ceteri 7 μὲν codd.: om. v πλημμελουμένους SM τοὺς μὲν πεπλημμελημένους corruptum; τοὺς μέρος τι πεπηρωμένους conicio φρενῶν] φρεσί S 8 ἡγούμενοι] ποιούμενοι M (fort. recte) ταῦτα codd.: ταῦτ' v 9 αὐτούς M κατηγοριῶν SMA 11 δίοπον P: δίοπτον FGH, δίκαιον A, δικαιοποιὸν M, ἐπόπτην S λήσεσθαι SH¹P 12 οὐκ om. S ἐνδεξάμενοι S, ἐκδεξόμενοι AF 13 περιφέροντες SM: ἐπιφέροντες ceteri (Turn.) ἐπικήρους ἔχοντες M αἳ] ἃς Turn. 14 ἀμαυροῦνται] ἀνιῶνται SM 15 ἀνιάτους] ἀοράτους SM ὑποφέρουσι M, ὑποβάλλουσι A τοῖς οὖν ἐπιλελησμένοις G αὐτῶν S 16 δ' om. S 17 ἀτεκμάρτους] ἀτεκνούσας HP; ἀτεκμάρτους οὔσας v (Turn.) ἣ] αἳ A 18 ἐπέρριψεν S, ἐπέρριψαν A καὶ om. A χρωμένους SMF², χρωμένου F¹: χρωμένοις ceteri (v) 19 μονονοὺ καὶ F ἐν] ἂν (sic) A κατέκλυσε Mang.: κατέλυσεν S, κατέλυσαν A, κατέλυσε ceteri post μεγαλαυχεῖν add. φησί G 20 δίκης A τὴν πάντων P, τοῦ πάντων om. H (Turn.)

4 Lev. 19,14. 19—256,1 Escur. ibid.: τί δεῖ μεγαλαυχεῖν — αἰδουμένους.

ἡγεμόνος αἰδουμένους, ᾗ θέμις ἀκοιμήτοις καὶ ὀξυωπεστάτοις ὄμμασι
202 καὶ τὰ ἐν μυχοῖς ὡς ἐν ἡλίῳ καθαρῷ περιαθρεῖν; οὗτοί μοι δοκοῦσι
μηδ' ἂν τετελευτηκότων ἀποσχέσθαι δι' ὑπερβολὴν ὠμότητος, ἀλλὰ
(τὸ λεγόμενον δὴ τοῦτο παρὰ τοῖς πολλοῖς) μὴ ἂν ὀκνῆσαι νεκροὺς
ἐπισφάττειν, ἐπεὶ καὶ μέρεσι τοῖς τρόπον τινὰ προτεθνηκόσιν ἐναλύειν
καὶ ἐνυβρίζειν ἀξιοῦσιν — ὀφθαλμοί τε γὰρ μὴ βλέποντες νεκροὶ καὶ
ὦτα μὴ ἀκούοντα —, ὥστ' εἰ καὶ οὗ μέρη ταῦτ' ἐστὶν ἐξ ἀνθρώπων
ἀφανισθείη, τὸ ἀνηλεὲς καὶ ἀσύμβατον ἐπιδείξονται, μηδὲν ἀνθρώπινον
καὶ συμπαθὲς δράσαντες, ἃ τετελευτηκόσι καὶ πρὸς ἐχθρῶν ἐν ἀκηρύκτοις
πολέμοις σῴζεται. ταῦτα μὲν ἐπὶ τοσοῦτον.
203 (11.) Ἁρμονίαν δέ τινα στοιχηδὸν ἑξῆς τίθησιν ὁμοιοτρόπων
παραγγελμάτων, φάσκων τὰ κτήνη μὴ ὀχεύειν ἑτεροζύγοις, τὸν ἀμπελῶνα
μὴ κατασπείρειν δίφορον, ἱμάτιον ἐκ δυοῖν ὑφασμένον, κίβδηλον ἔργον,
μὴ ἀμπέχεσθαι. λέλεκται δὲ τὸ μὲν πρῶτον ἐν τοῖς κατὰ μοιχῶν, πρὸς p. 370 I
ἔμφασιν τρανοτέραν τοῦ μὴ δεῖν ἀλλοτρίοις γάμοις | ἐφεδρεύειν, φθείροντας
μὲν ἤθη γυναικῶν, φθείροντας δὲ καὶ τὰς ἐπὶ τέκνων σπορᾷ γνησίων
χρηστὰς ἐλπίδας· ὁ γὰρ τὰς ἐν ἀλόγοις ζῴοις ἑτερογενῶν ὀχείας ἀπη-
204 γορευκὼς ἔοικε πόρρωθεν ἀνακοπὴν μοιχῶν ἐργάζεσθαι. λεκτέον δὲ
καὶ νῦν ἐν τοῖς περὶ δικαιοσύνης· τὸ γὰρ αὐτὸ πλείοσιν ἐφαρμόττειν,
εἰ δύναιτό πως, οὐ παρετέον. ἔστιν οὖν δίκαιον εἰς ταὐτὸν ἄγειν τὰ

1 ἡγεμόνα HP (Turn.) ᾗ] ἡ H¹P, ἣν H² (Turn.), ἡ S ὄμμασιν S 2 δοκοῦσιν S 3 μηδ' ἂν SM: μηδὲ FGHP, μὴ A ἀπέχεσθαι S 4 τοῖς om. HP (v) 5 τεθνηκόσιν G ἐναλύειν] ἐνάλλεσθαι coni. Christophorson Mang. (*Mss. Coll. Novi et Trin.*) 7 ὥστε MAF εἰ om. MA οὗ] οὐ MF, εἰ οὐ S ἐστὶν] ἐστὶ κἂν A 9 ἀσυμπαθὲς SM δράσαντες om. SM; eius loco διὰ μόσχον καὶ ὄν κωλύει ἀροτριᾶν M (cf. ad 257,3) ἃ καὶ M ἐν om. MF 10 σῴζονται AF 11 tit. περὶ τοῦ μὴ δεῖν κοινωνεῖν τῶν κτηνῶν τὰ ἑτερογενῆ add. S mg M στοιχηδὸν SM: om. ceteri (v) ὁμοιοτρόπων codd.: ὁμοιότροπον v 12 ἑτεροζύγῳ F 13 κατασπέρειν S δίφορον] διάφορον SMF ἱμάτιον . . . ὑφασμένον SM: ἱμάτια . . . ὑφασμένα ceteri (v) δυεῖν G ὑφασμένον] ὑφασμάτων A 15 τρανωτέραν SH ἐφεδρεύειν] τρανοτέραν (sic) S φθείροντας] φθείραντας A (v) 16 φθείροντας] φθείραντας A (v), φύροντες S σπορᾷ SMA: σπορᾶς FG, σπορὰς HP; σποραῖς v 17 χρηστὰς om. A 18 ἐργάζεσθαι SM: ἀπεργάζεσθαι (σα) A, ἀπεργάσασθαι ceteri (v) 19 ἐν τοῖς om. A verba ἐν τοῖς περὶ δικαιοσύνης spuria videntur πλείοσιν] τοῖς πλησίον A 20 εἰ δύναιτό πως] ἠδύνατο, πῶς S παρετέον M: παριτέον S¹, παραιτέον S², παραιτητέον FGHP (v), παρατηρητέον A

12 Lev. 19,19. Deut. 22,9. 11. cf. *Ioseph. Ant. Iud. IV* § 228. 229.

δυνάμενα κοινωνεῖν· τὰ δ' ὁμογενῆ πέφυκεν εἰς κοινωνίαν, ἐπεὶ καὶ ὅσα
ἑτερογενῆ κατὰ τοὐναντίον ἄμικτα καὶ ἀκοινώνητα, οἷς ὁ μηχανώμενος
ἐκθέσμους ὁμιλίας ἄδικος, νόμον φύσεως ἀναιρῶν. ὁ δ' ὄντως ἱερὸς 205
νόμος τοσαύτῃ προμηθείᾳ κέχρηται τοῦ δικαίου, ὥστ' οὐδ' ἄροτον γῆς
ἐπιτρέπει ποιεῖσθαι διὰ τῶν τὴν ἰσχὺν ἀνίσων, ἀλλ' ἐν ταὐτῷ καταζεύ-
ξαντας ὄνον τε καὶ μόσχον ἀροτριᾶν ἐκώλυσεν, ἵνα μὴ περιττῇ δυνάμει
τοῦ μᾶλλον ἐρρωμένου τὸ ἀσθενέστερον ἁμιλλᾶσθαι βιασθὲν ἀπείπῃ καὶ
προκάμῃ. καίτοι τὸ μὲν ἐρρωμενέστερον, ὁ ταῦρος, ἐν τῇ τάξει τῶν 206
καθαρῶν ζῴων ἀναγράφεται, τὸ δ' ἀσθενέστερον, ὁ ὄνος, ἐν τῇ τῶν
μὴ καθαρῶν. ἀλλ' ὅμως καὶ τοῖς χείροσιν εἶναι δοκοῦσιν οὐκ ἐφθόνησεν
ὠφελείας τῆς ἀπὸ τοῦ δικαίου, πρὸς ἀναγκαιοτάτην μάθησιν, ὥς γ'
οἶμαι, δικαστῶν, ἵνα μηδὲν ἐν ταῖς κρίσεσιν ἐλαττῶσι τοὺς δυσγενεῖς ἐν
οἷς οὐ γένους ἀλλ' ἀρετῆς ἢ κακίας ἐστὶν ἐξέτασις. ἐμφερὲς ἐστι τούτοις 207
διάταγμα καὶ τὸ τελευταῖον τῶν ἐν τῇ συζυγίᾳ, τὸ μὴ συνυφαίνειν τὰς
ἑτεροειδεῖς οὐσίας, ἔρια καὶ λίνα· καὶ γὰρ ἐπὶ τούτων οὐ μόνον ἡ δια-
φορότης ἀκοινώνητον, ἀλλὰ καὶ ἡ ἐπικράτεια θατέρου ῥῆξιν ἀπεργαζομένη
μᾶλλον ἢ ἕνωσιν, ὅταν δέῃ χρῆσθαι. (12.) μέσον ἦν τῆς ἐν συζυγίᾳ 208
τριάδος τὸ μὴ κατασπείρειν ἀμπελῶνα δίφορον. πρῶτον μέν, ἵνα μὴ
φύρηται συγχεόμενα τὰ γένους ὄντα ἑτέρου· σπαρτὰ γὰρ δένδροις καὶ
δένδρα σπαρτοῖς ἀνοίκεια. παρὸ καὶ ἡ φύσις οὐ τὴν αὐτὴν προθεσμίαν

2 ὁ ss. H²P² 3 ἐκθέσμους] εἰς θεσμοὺς A tit. διὰ τί μόσχον καὶ ὄνον κωλύει ἀροτριᾶν add. S mg M 4 ἄροτρον SMAP² 5 ἐπιτρέπειν M 5. 6 καταζεύξαντες S 7 ἐρρωμένου μᾶλλον transp. HP (Turn.) 8 ἐν om. M τάξει om. S 9 ἀναγράφεται — καθαρῶν (10) om. S ὁ ὄνος AF: ὁ om. ceteri (v) 11 ἀναγκαιοτάτην] ἀσφαλεστάτην S ὥς γε M, ὥστ' S, ὥστε δεῖν A 12 ἐλαττώσῃ FHP; βλάπτωσι coni. Mang. 13 οὐ] οὔτε S γένος A, γένη F ἐστὶν] ἔξεστιν S tit. περὶ τοῦ μὴ συνυφαίνειν ἔρια λινοῖς add. S mg M ἐμφερὲς] εὐχερὲς A ἐστι τούτοις SM: τούτοις ἐστὶ FGHP (v), τοῦτο ἔστι A 14 μὴ om. GHP¹ 14. 15 τὰ ἑτεροειδοῦς A 15 λῖνὰ (sic) M, λινὰ HP, λῖνον A 15. 16 ἡ διαφορότης] ἀδιαφορήτοις A διαφορότης] διάφορον (sp. 3 litt.) S, διαφορά ἐστιν M 16 ἀπεργασομένη Mang. (ἀπεργαζομένη scripsi): ἀπεργαζομένου SM, ἀπεργασομένου GH (v), ἀπεργασαμένου AFP 17 tit. περὶ τοῦ μὴ κατασπείρειν ἀμπελῶνα add. S mg M ἐν τῇ συζυγία AHP (v) 18 διάφορον (sed ια in ras.) F, δίφορον om. SM 19 φύρηται] φέρηται (ε in ras.) A φθει συγχεόμενα M (coni. Mang.): συνεχόμενα S, συμφυόμενα ceteri (v) δένδροις] δένδρα H¹ 20 οὐ SM: οὐχὶ ceteri (v)

6 Deut. 22,10. 18 cf. *Ioseph. Ant. Iud. IV* § *228* . . . εἶναι δὲ καθαρὰ τὰ σπέρματα καὶ ἀνεπίμικτα καὶ μὴ σύνδυο καὶ τρία σπείρειν· οὐ γὰρ τῇ τῶν ἀνομοίων κοινωνίᾳ χαίρειν τὴν φύσιν.

ἀμφοτέροις ὥρισεν εἰς τὴν τῶν ἐτησίων καρπῶν γένεσιν, ἀλλὰ τοῖς μὲν
εἰς ἄμητον ὥραν ἀπένειμε τὸ ἔαρ, τοῖς δ' εἰς συγκομιδὴν ἀκροδρύων
209 λῆγον θέρος. συμβαίνει γοῦν κατὰ τὸν αὐτὸν χρόνον τὰ μὲν ἀφαυαίνεσθαι
προανθήσαντα, τὰ δὲ βλαστάνειν προαφαυανθέντα· χειμῶνι μὲν γὰρ
φυλλορροούντων δένδρων τὰ σπαρτὰ ἀνθεῖ, ἔαρι δὲ κατὰ τοὐναντίον
αὐαινομένων ὅσα σπαρτὰ βλαστάνουσιν αἱ δένδρων ἡμέρων τε καὶ ἀγρίων
ὗλαι· καὶ σχεδὸν ὁ αὐτὸς ὅρος ἐστίν, ἐν ᾧ οἱ μὲν τῶν σπαρτῶν καρποὶ
210 τελειοῦνται, οἱ δὲ τῶν δένδρων ἀρχὴν γενέσεως λαμβάνουσιν. εἰκότως
οὖν τὰ τοσοῦτον ἀλλήλων | διηρτημένα καὶ ταῖς φύσεσι καὶ ταῖς ἀνθήσεσι p. 371
καὶ τοῖς εἰς τὸ γεννᾶν τὰ οἰκεῖα καιροῖς διέζευξε καὶ διῴκισε τάξιν ἐξ
ἀταξίας εἰσηγούμενος· τάξει μὲν γὰρ συγγενὲς κόσμος, ἀταξίᾳ δὲ τὸ
211 ἄκοσμον. δεύτερον δέ, ἵνα μὴ ἑκάτερα τὰ εἴδη βλάπτηταί τε καὶ ἀντι-
βλάπτῃ, τὴν τροφὴν τὰ ἕτερα τῶν ἑτέρων παρασπώμενα, ἧς κατακερ-
ματιζομένης, οἷα ἐν λιμῷ καὶ σπάνει, ἀναγκαίως τὰ φυτὰ πάντα διὰ
πάντων ἐξασθενήσει καὶ ἢ στείρωσιν ἐνδέξεται πρὸς τὸ παντελὲς ἀφορή-
σαντα ἢ εὐγενεῖς καρποὺς οὐδέποτε οἴσει προεξασθενήσαντα ταῖς ἐνδείαις.
212 τρίτον δέ, ὅπως ἀρετῶσα γῆ μὴ πιέζηται βαρυτάτοις ἄχθεσι, τοῦτο μὲν
ὑπὸ τῆς τῶν σπειρομένων ἐν ταὐτῷ καὶ φυομένων συνεχοῦς καὶ ἐπαλ-
λήλου πυκνότητος, τοῦτο δ' ὑπὸ τῆς τῶν καρπῶν διπλασιαζομένης φορᾶς.
ἀπόχρη γὰρ ἐξ ἑνὸς χωρίου λαμβάνειν ἕνα δασμὸν ἐτήσιον τῷ κεκτημένῳ,

---

2 ἀπένειμεν S, ἀπέδωκε A 3 ἀφαυαίνεσθαι] ἀναφαίνεσθαι H¹P 4 προαυανθέντα AF 5 φυλλοροούντων SMAG, φυλορροούντων FHP (v) ἀνθεῖ] ἄνθη S 6 ἀφαυαινομένων M βλαστάνουσι σπαρτὰ transp. A τότε ante βλαστάνουσι add. M αἱ] ἡ S, καὶ M 7 ὗλαι om. M οἱ ss. H οἱ μὲν τῶν] οἵ τε M 8 οἱ δὲ] οἵ τε M γεννήσεως GH (Turn.) 9 τοσούτων MH (Turn.) διηρτημένα S: διηρημένα M, ἐπηρτημένα H, ἀπηρτημένα ceteri (v) φύσεσι] ἐκφύσεσι coni. Mang. 10 διώκησε HP, διοίκησε S 11 διηγούμενος S τάξις M γὰρ om. F τὸ συγγενὲς H (v) post συγγενὲς add. γυναικὸς F κόσμου M ἀταξίας SM 12 τε om. M 12. 13 ἀντιβλάπτει M 13 τὰ ἕτερα τῶν ἑτέρων τὴν τροφὴν transp. HP (v) 14 ἐν om. A ἀναγκαίως SM: ἀναγκαίων ceteri (v) τὰ] τά τε S 15 στείρωσις A ἐκδέξεται A, ἐκδέξηται SM πρὸς τὸ om. M παντελῆ M, παντελῶς H¹P 15. 16 ἀφορίσαντα A, ἀπορήσαντα SM 16 οὐδέποτε SM: οὐδέποτ' ceteri προεξασθενοῦντα SM 17 δὲ A: δ' ceteri ἡ γῆ M 18 τῆς om. FH¹P ἐν αὐτῷ S φυομένων SMA: φυτευομένων ceteri (v) 20 ἐξ om. M, ἐξ ἑνὸς om. H (Turn.)

---

17 cf. *Ioseph. Ant. Iud. IV* § 228 τὴν ἀμπέλοις κατάφυτον γῆν μὴ σπείρειν· ἀρκεῖ γὰρ αὐτὴν τρέφειν τοῦτο τὸ φυτὸν καὶ τῶν ἐξ ἀρότρου πόνων ἀπηλλάχθαι.

καθάπερ ἐκ πόλεως βασιλεῖ· τὸ δὲ φόρους ἐπιχειρεῖν πλείους ἐκλέγειν
φιλοχρηματίας ὑπερβαλλούσης ἔργον ἐστίν, ᾗ καὶ τὰ φύσεως ἀνατρέπεται
νόμιμα. διὸ φαίη ἂν ὁ νόμος τοῖς ἐγνωκόσι τοὺς ἀμπελῶνας ἕνεκα 213
πλεονεξίας κατασπείρειν· „μὴ χείρους γίνεσθε τῶν ὅπλοις καὶ στρατείαις
πόλεις καὶ χώρας ὑπηγμένων βασιλέων, οἳ προνοίᾳ τοῦ μέλλοντος καὶ
ἅμα φειδοῖ τῶν ὑπηκόων ἕνα δασμὸν ἐτήσιον ἐκλέγειν ἀξιοῦσι, στοχαζό-
μενοι τοῦ μὴ βραχεῖ καιρῷ κατὰ τὸ παντελὲς εἰς ἐσχάτην ἀπορίαν
αὐτοὺς ἀγαγεῖν. ὑμεῖς δ' ἐὰν ἐκ τοῦ αὐτοῦ ἐδάφους ἔαρι μὲν τοὺς 214
κριθῶν καὶ πυρῶν φόρους ἀναπράττητε, θέρει δὲ τοὺς τῶν ἀκροδρύων,
διπλασίοις αὐτὸ δασμοῖς ἐκτραχηλιεῖτε· ἀπαγορεύσει γὰρ κατὰ τὸ εἰκὸς
ἀθλητοῦ τρόπον οὐκ ἐωμένου διαπνεῖν καὶ συλλέγεσθαι δύναμιν εἰς ἑτέρας
ἀγωνίας ἀρχήν. ἀλλ' ἐοίκατε ῥᾳδίως ὧν διεταξάμην κοινωφελῶν ἐκλαν- 215
θάνεσθαι· εἰ γοῦν ἐμέμνησθε τῆς περὶ τοῦ ἑβδόμου ἔτους εἰσηγήσεως,
καθ' ἣν ἐδικαίωσα τὴν ἱερὰν χώραν ἐξανίεσθαι μηδενὶ τῶν κατὰ γεωργίαν
ἔργων ἀποτρυχομένην ἕνεκα τῶν ἐν ἑξαετίᾳ πόνων, οὓς ὑπέστη καρπο-
φοροῦσα ταῖς ἐτησίοις ὥραις κατὰ τοὺς τῆς φύσεως θεσμούς, οὐκ ἂν
ἐπινεανιευόμενοι καὶ ἐπιχειρονομοῦντες ταῖς πλεονεξίαις καινοὺς σπόρους
ἐπενοεῖτε τὴν δενδρῖτιδα γῆν καὶ μάλιστα τὴν ἀμπελόφυτον κατασπεί-
ροντες, ἵνα διτταῖς προσόδοις καθ' ἕκαστον ἐνιαυτὸν ἀμφοτέραις ἀδίκοις
αὔξητε τὰς οὐσίας ὑπὸ φιλοχρηματίας, ἐκνόμου ἐπιθυμίας, ἀργυρολογοῦντες.
οὐ γὰρ ἂν ὑπομεῖναι ὁ αὐτὸς ἔτει τε ἑβδόμῳ τὰ οἰκεῖα χωρία ἀνιέναι 216

---

2 ἔργον ἐστίν SM: ἐστὶν ἔργον ceteri (v) 3 διὸ] διὰ τοῦτο SM; διὸ τοῦτο (vel ταῦτα) conicio φαίην S τὸν ἀμπελῶνα HP (Turn.) ἕνεκεν A 4 γίνεσθαι AP, γενέσθαι SM 6 φειδῶ S ἕνα] ἐν ὧ F ἀξιοῦσιν S 7 τοῦ] τῶ S 8 ἀναγαγεῖν S, ἄγειν A ὑμεῖς (ἡ) A δὲ MH[1]P ἐὰν] ἐνὸν A, om. H[1]P τοὺς] τῶν HP (Turn.) 9 ἀναπράττεσθαι A θέρους P 10 αὐτὰ M 11 ἀθλητοῦ τρόπον om. A ἐώμενον A ἑτέρας MA: ἑτέραν ceteri (v) 12 ἀγονίας S[1], εὐγονίας A 14 ἐξανύεσθαι S, ἀνεῖσθαι M κατὰ τὴν γεωργίαν M 15 ἀποτρυχωμένην M, ἀποτρυομένην S ἕνεκεν A ἐν ἑξαετίᾳ] τῆς ἑξαετίας A 16 ἐτησίαις SM τῆς φύσεως SM: τῆς om. ceteri (v) 17 κοινοὺς F, κενοὺς HP, ἀκαίρους M πόρους MF, πόνους A; φόρους coni. Mang. 19 δισσαῖς F 20 αὔξεῖτε S ἐκνόμου ἐπιθυμίας Mang.: ἐκνόμοις ἐπιθυμίαις codd. 21 ἂν om. S ὑπομεῖναι AF, ὑπέμεινεν HP (Turn.) ἔτει τε ἑβδόμω SF, ἔτει τ' ἑβδόμω HP: ἔτει τῷ ἑβδόμω G, τῷ ἑβδόμω ἔτει M, τῷ ἑβδόμω A; ἔτει γ' ἑβδόμῳ v

---

13 Exod. 23,11. Lev. 25,4.

μὴ προσοδευόμενος, ὑπὲρ τοῦ τὴν γῆν ἀνακτήσασθαι πονηθεῖσαν, καὶ
217 βαρύνειν αὐτὴν καὶ πιέζειν διττοῖς ἄχθεσιν. ἀναγκαίως οὖν ἀπεφήνατο
τῶν τοιούτων κτημάτων ἀνίερον εἶναι καὶ ἄναγνον | τό τε τῆς ὀπώρας p. 372
γέννημα καὶ τὸν τοῦ σπόρου καρπόν, διότι αὐχενίζεται τρόπον τινὰ καὶ
ἄγχεται πνεῦμα ζῳοφυτοῦν ἐν ἀρετώσῃ γῇ καὶ ὅτι ταῖς τοῦ θεοῦ δωρεαῖς
ὁ κεκτημένος ἐναλύει καὶ ἐνσπαθᾷ προσαναρρηγνὺς τὰς ἀδίκους ἐπι-
218 θυμίας αὐτοῦ, μέτροις αὐτὰς μὴ περιορίζων.“ ἆρ᾽ οὐκ ἄξιον ἐρα-
σθῆναι τῶν τοιούτων ὑφηγήσεων, αἳ μακρόθεν τῶν ἐπ᾽ ἀνθρώποις
πλεονεξιῶν τὴν λύσσαν ἀνείργουσι καὶ ἀνακόπτουσιν; ὁ γὰρ ἀπομαθὼν
ἐν φυτοῖς ἰδιώτης κέρδος ἄδικον, εἰ λαβόμενος μειζόνων πραγμάτων
γένοιτο βασιλεύς, χρήσεται τῷ ἔθει πρὸς ἄνδρας ὁμοῦ καὶ γυναῖκας
οὐ διττοὺς φόρους ἀναπράττων οὐδὲ ⟨διττοῖς⟩ δασμοῖς τοὺς ὑπηκόους
ἐκτραχηλίζων· ἱκανὸν γὰρ τὸ σύντροφον ἔθος μαλάξαι σκληρὰ ἤθη καὶ
τρόπον τινὰ παιδαγωγῆσαι καὶ διαπλάσαι πρὸς βελτίονας τύπους· τύποι
δ᾽ ἀμείνους εἰσίν, οὓς ἐνσφραγίζεται ψυχῇ δικαιοσύνη.
219 (13.) Ταῦτα μὲν ἑνὶ ἑκάστῳ νομοθετεῖ. καθολικώτεραι δὲ προσ-
τάξεις εἰσὶν ἕτεραι, ἃς ἅπαντι τῷ ἔθνει κοινῇ διαγορεύει, παραινῶν
ὡς προσενεκτέον οὐ φίλοις καὶ συμμάχοις αὐτὸ μόνον ἀλλὰ καὶ τοῖς τῆς
220 συμμαχίας ἀφισταμένοις. ἐὰν γάρ, φησίν, εἴσω τειχῶν κατακλείσαντες
αὐτοὺς ἀπαυχενίζωσιν, ἡ ὑμετέρα νεότης εὐοπλοῦσα μετὰ τῶν εἰς πόλεμον
παρασκευῶν ἐπίτω καὶ στρατόπεδον ἐν κύκλῳ βαλλομένη χαραδοκείτω

---

1 μὴ om. A παιδευόμενος A 1. 2 καὶ μὴ βαρύνειν G 2 αὐτὴν om. F ἀναγκαῖον F ἀπεφήνατο M 3 τῶν τοσούτων S, τὸ τοιοῦτον F 4 γένημα H 5 ζωφυτοῦν A, ζωόφυτον M τοῦ om. AF 6 ἀναλύει F, ἐναλύει om. A ἐνσπαθεῖ A, ἐνσπαταλᾷ M, ἐντρυφᾷ S προσαναρρηγνύων (sed ων in ras.) F, καὶ προσαναρρήγνυσι M 7 αὐτοῦ codd. 8 τῶν τοιούτων SM: τῶν om. ceteri (v) ὑπ᾽ ἀνθρώποις (sic) F 9 πλεονεξιῶν τὴν λύσσαν scripsi: τὴν λύσσαν (om. πλεονεξιῶν) G, πλεονεξιῶν (om. τὴν λύσσαν) ceteri (v) 10 εἰ λαβόμενος] λαμενος (sic) S πραγμάτων] χρημάτων coni. Mang. 11 τῷ ἔθει post γυναῖκας transp. HP (Turn.) 12 διττοὺς SM: δισσοὺς ceteri (v) διττοῖς addidi 13 ἔθος] ἦθος A 15 οὓς] οἷς M 16 ἑνὶ SM: καὶ ἑνὶ ceteri (v) καθολικώτερον F 16. 17 προστάξεις] πράξεις A 17 κοινῇ] κοινωνεῖ καὶ A 18 ὡς] οὐ S προσεκτέον A οὐ om. A αὐτῷ MA 19 γάρ om. S τειχῶν SM: τειχέων ceteri (v) 20 αὐτοὺς codd. ἀπαυχενίζουσιν F, ἀπαυχενίζειν μέλλωσιν G ἡ ἡμετέρα M, ἡμετέρα (om. ἡ) S εὐοπλοῦσα om. M 21 παρασκευὴν G ἐπίτω καὶ v (Turn.): ἐπὶ τῷ καὶ FHP, ἐπιέτω καὶ M, ἐπεὶ καὶ S, ἐπὶ το κϊ sp. 3—4 litt. A, sp. 5 litt. τὸ G βαλομένη FGP

---

3 Deut. 22,9. 12 Escur. ibid.: δασμοῖς τοὺς ὑπηκόους ἐκτραχηλίζει.
19 Deut. 20,10 sqq.

μηδὲν ὀργῇ πρὸ λογισμοῦ χαριζομένῃ, βεβαιότερον ὅπως καὶ σταθερώτερον ἐγχειρῇ τοῖς πρακτέοις. εὐθὺς οὖν πεμπέτω κήρυκας τοὺς προκα- 221
λεσομένους εἰς συμβάσεις καὶ ἅμα τὸ ἀξιόμαχον τῆς παριδρυμένης δυνάμεως δηλώσοντας· καὶ ἐὰν μὲν ἐφ' οἷς ἐνεωτέρισαν μετανοήσαντες ὑπείκωσι πρὸς τὸ εἰρηναῖον τραπόμενοι, δεχέσθωσαν ἄσμενοι τὰς σπονδάς· εἰρήνη γάρ, κἂν ᾖ σφόδρα ἐπιζήμιος, λυσιτελεστέρα πολέμου. ἐὰν δὲ 222
πρὸς ἀπόνοιαν ἀποτείνωνται θρασυνόμενοι, ῥωσθέντες ταῖς προθυμίαις, ἔχοντες καὶ τὴν τοῦ δικαίου συμμαχίαν ἀήττητον, ἐφορμάτωσαν τὰς ἑλεπόλεις τοῖς τείχεσιν ἐφιστάντες, εἶτα μέρη τούτων παραρρήξαντες ἐπεισχείσθωσαν ἀθρόοι καὶ βάλλοντες μὲν τοῖς δορατίοις εὐστόχως ἐπιστροφάδην δὲ τοῖς ξίφεσιν ἀναιροῦντες ἀφειδῶς ἀμυνέσθωσαν, ἃ παθεῖν ἐμέλλησαν διατιθέντες, ἄχρις ἂν τὸν ἀντιτεταγμένον ἅπαντα στρατὸν ἡβηδὸν καταστορέσωσιν. ἄργυρον δὲ καὶ χρυσὸν καὶ τὴν ἄλλην λείαν 223
λαβόντες [καὶ] τὴν πόλιν ἐμπρησάτωσαν πῦρ προσαγαγόντες, ἕνεκα τοῦ μηδ' αὖθίς ποτε δυνηθῆναι τὴν αὐτὴν πόλιν διαπνεύσασαν ἐγερθῆναι καὶ
373 M. στασιάσαι καὶ ὑπὲρ τοῦ νουθετῆσαι φόβῳ τοὺς ὁμόρους, | ἐπειδὴ τοῖς

---

1 ὅπως] ὅπερ F 1. 2 σταθερώτερον AF: σταδεώτερον (sic) S, σταθηρότερον GHP (v), σπουδαιότερον M 2 ἐγχειρεῖ (εῖ corr. ex ῇ) H 2. 3 προκαλεσομένους G: προκαταλεγομένους F, προσκαλεσομένους ceteri (Turn.) 3 σύμβασιν M ἅμα καὶ transp. G παριδρυμένης codd.: περιιδρυμένης Turn. 3. 4 δυνάμεως] στρατείας SM, γρ. δυνάμεως mg M 4 δηλώσαντας FGHP καὶ ἐὰν] κἂν M, ἐὰν (om. καὶ) S 5 ὑπείκωσι] ἐπιδῶσι M, ἐπιδόσει S; ἐνδῶσι conicio post εἰρηναῖον add. ὁπωσοῦν G, ὁποιοῦν AFHP (v), omisi cum SM 6 tit. περὶ εἰρήνης add. mg M κἂν ᾖ] καὶ ἡ S ἐπιζήμιον M Esc., ἐπιζύμιος A λυσιτελέστερον Esc., post λυσιτελεστέρα add. ἐστὶ D[V] 7 ἀποτείνονται M, ο in ω corr. H ταῖς προθυμίαις SM: εὐτολμίᾳ AGH[2] (v), εὐτολμίας FH[1]P 8 ξυμμαχίαν M ἐφορμάσθωσαν S, ἐφαρμοτέτωσαν (sic) M 9 τοῖς τείχεσιν ἑλεπόλεις (om. τὰς) transp. S ἐφιστάντες (π supra) M εἶτα] ἢ τὰ S τούτου A 10 ἐπικείσθωσαν M, ἐπισχυοίτωσαν (sic) S ἀθρόως S μὲν] μὴ S εὐστόχως SM: εὐσκόπως ceteri (v) 10. 11 ἀποστροφάδην M 12 ἐμέλησαν MAF ταῦτα διατιθέντες ἐκείνοις M ἄχρι S τομαντειτεταγμένον (sic) S 13 δὲ καὶ A: δὲ om. ceteri (v) λείαν] ὕλην S 14 λαβόντες — πῦρ om. SM καὶ seclusi 15 διαπνεύσασαν SM: om. ceteri (Turn.) ἐγερθῆναι] ἀντιστῆναι A 16 νουθετῆσαι SM: νομοθετῆσαι ceteri

---

1 Escur. ibid.: ὀργῇ πρὸ λογισμοῦ χαρίζεται. 6 Escur. ibid.: εἰρήνη, κἂν σφόδρα ἐπιζήμιον ᾖ, λυσιτελέστερον πολέμου. D[P] fol. 104[r] D[H] fol. 186[r] D[M] fol. 70[v] D[V] p. 356 Φίλωνος D[R] fol. 71[r] Φίλωνος ἐκ τοῦ περὶ καταστάσεως D[R] fol. 111[r] Φίλωνος ἐκ τοῦ περὶ ἀρχόντων: εἰρήνη — πολέμου. 16—262,1 Escur. ibid.: τοῖς ἑτέρων πάθεσιν ἄνθρωποι διδάσκονται σωφρονεῖν.

ἑτέρων πάθεσιν ἄνθρωποι διδάσκονται σωφρονεῖν· παρθένους δὲ καὶ
γυναῖκας μεθέσθωσαν, μηδὲν τῶν ὅσα νεωτερίζει πόλεμος ἐξ αὐτῶν
πείσεσθαι προσδοκῶντες ἕνεκα φυσικῆς ἀσθενείας τετιμημένων ἀστρατείᾳ.
224 ἐξ οὗ δῆλον ὅτι τὸ Ἰουδαίων ἔθνος ἔνσπονδον μὲν καὶ φίλον πᾶσι τοῖς
ὁμογνώμοσι καὶ τὴν προαίρεσιν εἰρηνικοῖς ἐστιν, οὐ μὴν εὐκαταφρόνητον,
ὡς τοῖς ἄρχουσι χειρῶν ἀδίκων ὑπ' ἀνανδρίας ἐνδιδόναι, διακρίνει δ',
225 ὁπότε πρὸς ἄμυναν ἴοι, τοὺς ἐπιβούλως ζῶντας καὶ τοὐναντίον· τὸ γὰρ
κατὰ πάντων καὶ τῶν ἐλάχιστα ἢ μηδὲν ἡμαρτηκότων φονᾶν εἴποιμ'
ἂν ἀνημέρου καὶ ἀτιθάσου ψυχῆς καὶ τὸ προσθήκην ἀνδρῶν πόλεμον
κατασκευασάντων ποιεῖσθαι γυναῖκας, ὧν ὁ βίος εἰρηνικὸς φύσει καὶ
226 κατοικίδιος. τοσοῦτον δ' ἔρωτα δικαιοσύνης ἐνεργάζεται τοῖς κατ' αὐτὸν
πολιτευομένοις, ὥστ' οὐδὲ πόλεως ἐχθρᾶς τὴν ἀρετῶσαν γῆν ἐφίησι
227 λυμαίνεσθαι δῃοῦντας ἢ δενδροτομοῦντας ἐπὶ φθορᾷ καρπῶν. „τί" γάρ
φησι „τοῖς ἀψύχοις μὲν τὴν δὲ φύσιν ἡμέροις καὶ ἡμέρους καρποὺς
ἀπογεννῶσι μνησικακεῖς; μὴ γάρ, ὦ οὗτος, ἀνθρώπου πολεμίου δυσ-
μένειαν ἐπιδείκνυται δένδρον, ὡς ἀνθ' ὧν διατίθησιν ἢ διατιθέναι παρ-
228 εσκεύασται ῥίζαις αὐταῖς ἀνασπᾶσθαι; τοὐναντίον δὲ ὠφελεῖ παρέχον τοῖς
νενικηκόσιν ἀφθονίαν τῶν ἀναγκαίων καὶ τῶν πρὸς ἁβροδίαιτον βίον·

---

1 ἑτέροις (ων supra) F   παρθένους . . . γυναῖκας (2) SMA: παρθένοι . . . γυναῖκες ceteri (Turn.)   post δὲ add. αὐτοῖς G   2 μεθέσθωσαν Mang.: μεθιστωσαν S[1] ut vid., μεθιστῶσιν S[2], ἀφέσθωσαν G, μεθείσθωσαν ceteri (Turn.)   3 πήσεσθαι (sed η in ras.) S   προσδοκῶντας M, προσδοκῶσιν G   ἀστρατεία codd. (praeter S): ἀστρατείας Turn., στρατιωτῶν (sic) S   4 δηλονότι AFP   τὸ ἰουδαίων codd.: τῶν Ἰουδαίων Turn., τὸ τῶν Ἰουδαίων Mang.   6 καὶ ὑπ' F   ἀνανδρίας] ἀνδρείας S   ἐνδιδόναι] ἐνδυαζόμενον S   διακρίνειν SM   δ'] δὲ καὶ SM   7 ἴη A, οιει (sic) S, δοίη M   ἐπιβούλους ζῶντας F, ἐπιβουλεύσαντας M   8 ἡμαρτηκότων (ηδικη supra) A   8. 9 εἴποιμ' ἂν S: om. ceteri (Turn.)   9 ἀτιθάσσου MAH[2], ἀττιθάσσου S   τὸ] τὸ μὴ A   προσθήκης F   10 ποιεῖ τὰς γυναῖκας F   11 δὲ M, δ' om. A   ἐργάζεται (ἐν supra) M, ἐργάζεται S   12 ὥστ' M: ὡς ceteri (v)   ἐφίησιν S   13 δῃοῦντας] δεῖ οὖν τὰς S, τὰς in τοὺς corr. S[2]   ἢ om. SM   14 τὴν φύσιν δὲ transp. M   ἡμέροις καρποῖς P   15 μνησικακεῖν F   15. 16 δυσγένειαν AHP   16 ὡς] ἵνα A   17 ἀνασπασθῇ A   δὲ SM: δ' ceteri   ὠφέλειαν παρέχων S   18 alt. τῶν] τὸν M   βίον om. S

7—11 Escur. ibid.: τὸ κατὰ πάντων καὶ τῶν ἐλάχιστα ἢ μηδὲν ἡμαρτηκότων φονᾶν ἀνημέρου καὶ ἀτιθάσου ψυχῆς καὶ τὸ προσθήκην ἀνδρῶν ποιεῖσθαι γυναῖκας πόλεμον κατασκευασάντων, ὧν ὁ βίος εἰρηνικὸς φύσει καὶ κατοικίδιος.   12 Deut. 20,19.

οὐ γὰρ ἄνθρωποι μόνον δασμοὺς φέρουσι τοῖς κυρίοις, ἀλλὰ καὶ φυτὰ
τοὺς ὠφελιμωτέρους κατὰ τὰς ἐτησίους ὥρας, ὧν ἄνευ ζῆν οὐκ ἔστιν.“
ἀγόνων δὲ καὶ ἐστειρωμένων καὶ τῶν ὅσα τῆς ἀγρίας ὕλης ἔστω 229
μηδεμία φειδὼ τοῖς ἐθέλουσι τέμνειν εἰς χαρακώματα καὶ σταυροὺς καὶ
σκόλοπας τάφροις καί, ὁπότε δέοι, κλιμάκων καὶ πύργων ξυλίνων κατα-
σκευάς· εἰς γὰρ ταῦτα καὶ τὰ τούτοις ὅμοια γένοιτ' ἂν αὐτῶν χρεία
προσήκουσα.

(14.) Τὰ μὲν οὖν εἰς δικαιοσύνην ἀναφερόμενα εἴρηται. δικαιο- 230
σύνην δ' αὐτὴν τίς ἂν ἀξίως ποιητὴς ἢ λογογράφος ὑμνῆσαι δύναιτο
παντὸς ἐπαίνου καὶ παντὸς ἐγκωμίου κρείττονα καθεστῶσαν; ἓν γοῦν τὸ
πρεσβύτατον ἀγαθὸν αὐτῆς, ἡ εὐγένεια, κἂν τἄλλα τις παραλιπὼν ἡσυ-
χάζῃ, γένοιτ' ἂν αὐταρκέστατος ἔπαινος. ἔστι γὰρ ἰσότης, ὡς οἱ τὰ 231
φύσεως ἀκριβοῦντες ἡμῖν παρέδοσαν, μήτηρ δικαιοσύνης. ἰσότης δὲ φῶς
ἄσκιον, ἥλιος, εἰ δεῖ τἀληθὲς εἰπεῖν, νοητός, ἐπειδὴ καὶ τοὐναντίον
ἀνισότης, ἐν ᾗ τό τε ὑπερέχον καὶ τὸ ὑπερεχόμενον, σκότους ἀρχή τε
καὶ πηγή. πάντα ἰσότης τά τε κατ' οὐρανὸν καὶ τὰ ἐπὶ γῆς εὖ διετάξατο 232
374 M. νόμοις καὶ θεσμοῖς ἀκινήτοις. τίς γὰρ ἀγνοεῖ τοῦθ', ὅτι | ἡλίῳ μεμέ-
τρηνται πρὸς νύκτας ἡμέραι καὶ πρὸς ἡμέρας νύκτες ἰσότητι διαστη-
μάτων ἀναλογούντων; τὰς μὲν καθ' ἕκαστον ἐνιαυτὸν ἀπὸ τοῦ συμβε- 233
βηκότος προσαγορευομένας ἰσημερίας, ἐαρινήν τε καὶ μετοπωρινήν, οὕτως
ἡ φύσις ἐτράνωσεν, ὡς καὶ τοὺς ἀμουσοτάτους αἰσθάνεσθαι τῆς ἐν τοῖς
μεγέθεσιν ἡμερῶν πρὸς νύκτας ἰσότητος. τί δέ, σελήνης περίοδοι διαυ- 234
λοδρομούσης ἀπὸ συνόδου μέχρι πλησιφαοῦς καὶ ἀπὸ τελείας ἐπὶ σύνοδον

---

1 μόνοι S δασμοὺς SMA: δασμὸν ceteri (v) τὰ φυτὰ G 3 τῶν ὅσα scripsi: τῷ (om. ὅσα) S, ὅσα (om. τῶν) H (v), ὅσα τῶν ceteri ἀχρίας F[1], ἀχρείας F[2] ἔστω] ἐστὶν S, ἐστὶ M 4 θέλουσι τεμεῖν S 5 τάφροις] καὶ τάφρους HP (v) 6 ταῦτα] τὰ τοιαῦτα M αὐτῶν SM: αὐτοῖς ceteri (v) 8 ἀναφαιρόμενα F 9 ἀξίως SM: om. ceteri (v) 11 ἡ εὐγένεια codd.: ἡ εὐμένεια v (Turn.); δ καὶ μόνον coni. Mang. τἄλλα A, τὰ ἄλλα MG 11. 12 ἡσυχάζῃ S: ἡσυχάζει FP, ἡσυχάζοι ceteri 14 νοητός SM: ποιητός FGH (Turn.), ποιητής AP 15 ἀνισότης] ἰσότης S ἐν ᾗ Mang.: ἐν ᾧ codd. 16 alt. τὰ om. M 17 τοῦτ' S[1], corr. S[2] 18 αἱ ἡμέραι A ἰσότητα F 18. 19 τῶν διαστημάτων FG (Mang.) 19 τὰς μὲν οὖν A (Mang.); τὰς μέντοι vel τάς γε μὴν conicio 20 ἰσημερίαν HP, ἰσομερίαν F μεθοπωρινήν S[1] 22 ἡμερῶν codd.: τῶν ἡμερῶν Mang. ἰσότητος πρὸς νύκτας transp. A τί δέ SM: τί δὲ αἱ F, τί δ' αἱ ceteri (v) 22. 23 καὶ διαυλοδρομούσης S 23 ἀπὸ συνόδου SMG: καὶ ἀπὸ συνόδου ceteri (v) τελείας] πανσελήνου F[2]

---

3 Deut. 20,20.

ἆρ᾽ οὐ διαστημάτων ἰσότητι μεμέτρηνται; καθ᾽ ὅσα γὰρ καὶ ἡλίκα αἱ συναυξήσεις, κατὰ τοσαῦτα καὶ τηλικαῦτα αἱ μειώσεις ἐπ᾽ ἀμφοτέραις
235 ἰδέαις τοῦ ποσοῦ, τῇ τε κατὰ πλῆθος καὶ τῇ κατὰ μέγεθος. ὥς γε μὴν ἐν τῷ καθαρωτάτῳ τῆς οὐσίας, οὐρανῷ, διαφερόντως ἰσότης τετίμηται, οὕτως καὶ ἐν τῷ γείτονι ἀέρι· τετραχῇ γὰρ τοῦ ἐνιαυτοῦ διαιρεθέντος εἰς τὰς καλουμένας ἐτησίους ὥρας, τρέπεσθαι καὶ μεταβάλλειν ὁ ἀὴρ πέφυκεν ἐν ταῖς τροπαῖς καὶ μεταβολαῖς ἄλεκτον ἐπιδεικνύμενος ἐν ἀταξίᾳ τάξιν· ἰσαρίθμοις γὰρ μησὶ διακρινόμενος εἴς τε χειμῶνα καὶ ἔαρ θέρος τε καὶ μετόπωρον, τρισὶν εἰς ἑκάστην ὥραν, ἐκπληροῖ τὸν ἐνιαυτόν, ὅς, καθάπερ αὐτὸ μηνύει τοὔνομα, αὐτὸς ἐν ἑαυτῷ πάντα περιέχει συμπεραιούμενος, ἑτέρως οὐκ ἂν τοῦτ᾽ ἐργάσασθαι δυνηθείς,
236 εἰ μὴ ταῖς ἐτησίοις ὥραις αὐτὸν ἐπέχρησεν. ἰσότης ⟨δ᾽⟩ ἀπὸ τῶν οὐρανίων καὶ μεταρσίων καὶ πρὸς τἀπίγεια τέταται, τὴν μὲν ἀκραιφνῆ φύσιν ἑαυτῆς αἰθέρος οὖσαν ἀγχίσπορον ἄνω μετέωρον διαίρουσα, τὴν δ᾽ ὥσπερ αὐγὴν ἡλίου τρόπον ⟨ἐπὶ γῆν⟩ ἀποστέλλουσα, δεύτερον
237 φέγγος. ὅσα γὰρ πλημμελεῖ μὲν τῶν παρ᾽ ἡμῖν, ἀνισότης, ὅσα δὲ τάξιν ἔχει τὴν προσήκουσαν, ἰσότης ἀπειργάσατο, ἥτις ἐν μὲν τῇ τοῦ παντὸς οὐσίᾳ, κυριώτατα φάναι, κόσμος ἐστίν, ἐν δὲ ἄστεσιν ἡ εὐνομωτάτη καὶ πολιτειῶν ἀρίστη δημοκρατία, ἔν τε αὖ σώμασιν ὑγεία καὶ ἐν ψυχαῖς καλοκἀγαθία· καὶ γὰρ τὸ ἄνισον ἔμπαλιν νόσων

---

1 μεμέτρηται SMHP καὶ ἡλίκα αἱ] καὶ ἡλικίαι S, αἱ ἡλιακαὶ M 2 κατὰ] καὶ S καὶ τηλικαῦτα M: om. ceteri (v) ἡ μείωσις M 3 ταῖς εἰδέαις S τὸ πλῆθος A τὸ μέγεθος A ὥς γε] ὥστε MF 5 οὕτως SM: οὕτω ceteri (v) γείτονι] μετεκεῖνα S διαιρεθέντος S: διανεμηθέντος ceteri (v) 6 καλουμένας SM: ἐπικαλουμένας ceteri (v) μεταβάλλειν (ειν supra ~~εσθαι~~) (sic) H 7 ἄλεκτον] εκτον S[1], ἕκτην S[2] 9 μεθόπωρον S τρισὶν] τρισσὴν S[2] εἰς om. S πληροῖ A, ἐπληροι (sic) S[1], ἐπλήρου S[2] 10 ὅς, καθάπερ scripsi: ὡς καθάπερ codd.; καθάπερ v αὐτὸς] αὐτὸς γὰρ GH[2] (v) ἑαυτῶ codd.: αὑτῷ v 10. 11 πάντα περιέχει S: περιέχει τὰ πάντα M, περιέχει πάντα ceteri (v) 12 ἐτησίαις SA αὐτὸν SFP, ὑ in ῠ corr. H, ἑαυτὸν M δ᾽ addidi 13 τἀπίγεια MH, τἀπίγεια corr. ex τἀπήγεια S: τ᾽ ἐπίγεια FP, τὰ ἐπίγεια AG τέταται Christophorson Mang.: τέτακται codd. 14 τὴν αἰθέρος M διαίροῦσα (sic) M 15 ἐπὶ γῆν addidi 16 πλημμελεῖ] πλημμελειῶν F μὲν M mg S: om. ceteri (v) ἀνισότης SM: ἀνισότητος ceteri 18 οὐσίᾳ] ἁρμονίᾳ A δὲ SM: δ᾽ ceteri 19 δημοκρατεία (ει corr. ex ι) S τε S: δὲ M, δ᾽ ceteri σώματι F 20 ἔμπαλιν] πάλιν S

---

10 cf. Plat. Cratyl. 410[d].

καὶ κακιῶν αἴτιον. ἐπιλείψει καὶ τὸν μακροβιώτατον ὁ χρόνος, εἰ 238
πάντας ἐθελήσειε τοὺς ἐπαίνους ἰσότητος καὶ δικαιοσύνης ἣν ἐγέννησε διεξιέναι· παρό μοι δοκεῖ βέλτιον εἶναι τοῖς λεχθεῖσιν ἀρκεσθέντα, τοῦ διακινῆσαι χάριν τὴν τῶν φιλεπιστημόνων μνήμην, τὰ λοιπὰ ἐν ταῖς ἐκείνων ἀνάγραπτα ψυχαῖς καταλιπεῖν, ἱερωτάτῳ χωρίῳ θεῖα ἀγάλματα.

1 κακῶν HP (Turn.)   ὁ χρόνος M: ὁ om. ceteri (v)   2 πάντως A
5 ἀνάγραπτα] ἀναγεγράφθαι S, ἀναγράψαι A   καὶ καταλιπεῖν A, παραλιπεῖν H (v)
ἱερώτατα χωρία S

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΑΡΕΤΩΝ ΑΣ ΣΥΝ ΑΛΛΑΙΣ ΑΝΕΓΡΑΨΕ ΜΩΥΣΗΣ ΗΤΟΙ ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ ΚΑΙ ΕΥΣΕΒΕΙΑΣ ΚΑΙ ΦΙΛΑΝΘΡΩΠΙΑΣ ΚΑΙ ΜΕΤΑΝΟΙΑΣ

Περὶ ἀνδρείας.

1 (1). Περὶ δικαιοσύνης καὶ τῶν κατ' αὐτὴν ὅσα καίρια πρότερον II p.37
εἰπὼν μέτειμι τῶν ἑξῆς ἐπ' ἀνδρείαν, οὐχ ἣν οἱ πολλοὶ νομίζουσι τὴν ἀρειμάνιον λύτταν ὀργῇ συμβούλῳ χρωμένην, ἀλλὰ τὴν ἐπιστήμην.
2 θράσει μὲν γὰρ ἐπαιρόμενοί τινες, συμπραττούσης σωματικῆς ἰσχύος, ταχθέντες κατὰ πόλεμον ἐν ταῖς πανευχίαις ἡβηδὸν μυρίους ὅσους τῶν ἀντιπάλων κατέβαλον, ἀνοίκειον μὲν εὔφημον δ' ἀριστείας ὄνομα καρπωσάμενοι, διαφερόντως ὑπὸ τῶν τὰ τοιαῦτα | κρινόντων εὐκλεεῖς p.376
νίκῃ νομισθέντες, ἄγριοι καὶ θηριώδεις ἐκ φύσεως καὶ μελέτης γεγονότες,

---

1 φιλωνος περὶ γ' ἀρετῶν ἃς σὺν ἄλλαις ἀνέγραψε μωυσῆς περὶ ἀνδρείας καὶ φιλανθρωπίας καὶ μετανοίας S, περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας: — περὶ ἀνδρείας BEK, τοῦ αὐτοῦ φιλωνος τοῦ ἑβραίου περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας: περὶ ἀνδρείας M, φιλωνος περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας VO, τοῦ αὐτοῦ περὶ ἀρετῶν, ἀνδρείας καὶ εὐσεβείας καὶ μετανοίας καὶ φιλανθρωπίας F, περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας HP, τοῦ αὐτοῦ φιλωνος περὶ ἀνδρίας A, περὶ ἀνδρείας G
ὁ λόγος οὗτος ἀνακεφαλαίωσιν περιέχει τῶν ὄπισθεν εἰρημένων περὶ μωσέως ἤγουν βίου αὐτοῦ καὶ ἀρετῆς καὶ τῶν ἐκ θεοῦ πορισθέντων αὐτῷ χαρισμάτων mg V²OK
6. 7 πρότερον εἰπὼν] προειπὼν BEK¹M 7 εἰπὼν] εἶπον· S τῶν] τὸ H² (v), τῶν eras. VK, om. FO ἀνδρίαν AEFGO 8 ἀρειμάνειον (ι suprascr.) K, ἀρειμανίαν G, ἀριμανίαν S (ἀρειμάνειον v) ὀργὴν B¹E συμβόλω VO τὴν om. A ἐπιστήμη BEK¹MAPV¹ 10 ὅσους μυρίους transp. EKM 11 τῶν ἀντιπάλων κατέβαλον A: ἀνελόντες τῶν ἀντιπάλων ceteri (Turn.) μὲν] οὐ γὰρ V²OF δὲ G, δ' om. SVOF 12 ἐκαρπώσαντο V²OKF τὰ om. A ἐπικρινόντων coni. Mang. ἀκλεεῖς (εὐ suprascr.) K 13 νίκῃ VOKF: νίκην ceteri (v); νικηταὶ coni. Mang. κομισθέντες A

αἵματος ἀνθρωπείου δεδιψηκότες. εἰσὶ δ' οἳ καὶ ἐν οἰκίᾳ διατρίβοντες, 3
τῶν σωμάτων αὐτοῖς ἢ μακραῖς νόσοις ἢ ἐπιπόνῳ γήρᾳ κατεσκελετευ-
μένων, ὑγιαίνοντες καὶ νεάζοντες τῷ κρείττονι μέρει τῆς ψυχῆς μεστοί
τε φρονήματος καὶ θαρραλεωτάτης γέμοντες εὐτολμίας, ἀμυντηρίων
ὅπλων μηδ' ὄναρ ψαύοντες, βουλευμάτων ἀγαθῶν κοινωφελεστάταις
εἰσηγήσεσι τά τε ἴδια ἑκάστων καὶ τὰ κοινὰ τῶν πατρίδων πεσόντα
πολλάκις ἀνώρθωσαν, ἀνενδότοις καὶ ἀκαμπέσι χρησάμενοι τοῖς περὶ
τοῦ συμφέροντος λογισμοῖς. οὗτοι μὲν οὖν τὴν ἀληθῆ διαπονοῦσιν 4
ἀνδρείαν ἀσκηταὶ σοφίας ὄντες, ἐκεῖνοι δὲ τὴν ψευδώνυμον ἀμαθίᾳ,
νόσῳ δυσθεραπεύτῳ, βιοῦντες, ἣν θρασύτητα κυρίως ἄν τις προσαγο-
ρεύσειεν, ὥσπερ φασὶν ἐν τοῖς νομίσμασι τὸ παράσημον ἐμφέρειαν τῆς
ἀληθοῦς εἰκόνος.

(2.) Οὐκ ὀλίγα μέντοι καὶ ἄλλα δυσυπομόνητα τῶν κατὰ τὸν 5
ἀνθρώπινον βίον ὡμολόγηται, πενία καὶ ἀδοξία καὶ πήρωσις καὶ νόσων
ἰδέαι πολύτροποι, πρὸς ἃς οἱ μὲν ὀλιγόφρονες μαλακίζονται, μηδ' ὅσον
ὑπ' ἀτολμίας ἐγερθῆναι δυνάμενοι, ὅσοι δὲ φρονήσεως ὑπόπλεῳ καὶ
γενναιότητος ἐπαποδύονται καρτερῶς καὶ σφόδρα ἐρρωμένως ἀντιφιλονει-
κοῦντες, τὰς ἀπειλὰς καὶ ἐπανατάσεις αὐτῶν πολὺν γέλωτα καὶ χλεύην
τιθέμενοι, πενίᾳ μὲν πλοῦτον ἀντιτάττοντες, οὐ τὸν τυφλὸν ἀλλὰ τὸν ὀξὺ
καθορῶντα, οὗ τὰ ἀγάλματα καὶ κειμήλια ψυχὴ πέφυκε ταμιεύειν.
μυρίους γὰρ πενία κατεπάλαισεν, οἳ τρόπον ἀθλητῶν ἀπειρηκότων ὑπ' 6
ἀνανδρίας κατέπεσον μαλακισθέντες· ἐνδεὴς δὲ παρ' ἀληθείᾳ δικαζούσῃ
τὸ παράπαν οὐδὲ εἷς ἐστι χορηγὸν ἔχων τὸν τῆς φύσεως ἀκαθαίρετον

---

1 δὲ K   καὶ eras. V, om. OF   2 αὐτῶν VOF, αὐτοῖς om. A   μακροῖς HK (v)   2. 3 κατεσκλετευμένων M, κατεσκλητευμένων H², κατεσκηλιτευμένων VO   4 θαρραλεωτάτης V²OFH: θαρραλεότητος ceteri   5 μηδ'] οὐδ' F   κοινωφελεστάταις om. A   6 δ' ante εἰσηγήσεσι add. K   τά τε ἴδια ἑκάστων om. A   τε] δὲ SG   7 χρησάμενοι SVOF: χρώμενοι ceteri (v)   9 ἀνδρίαν AEFGO   ἀμαθίᾳ v: ἀμαθίαν codd.   10 νόσον δυσθεράπευτον K   βιοῦντες] νοσοῦντες BEKM; συμβιοῦντες coni. Mang.   11 post παράσημον ss. παραβάλλεσθαι K², add. προβάλλεσθαι V²OF   ἐμφέρειν BEKM   13 οὐχ S¹, corr. S²   δυσπόνητα A   τῶν] τὸν G   14 ὁμολογεῖται S   καὶ πήρωσις om. OF   15 εἰδέαι S   16 ὑπόπλεῳ V²OKF: om. A, ὑπόπλεοι ceteri (v)   17 γενναιότατοι H (Turn.)   17. 18 ἀντιφιλονικοῦντες S   18 ἐπανατάσεις AH: ἐπαναστάσεις ceteri   χλεύγην S¹, corr. S²   20 οὗ] οὐ AG   ἃ ante ψυχὴ add. AP²   ψυχὴ VOFH²: ψυχὴν ceteri   21 κατεπάλεσεν S (αι ss. S²), κατεπάλεσεν P   21. 22 ὑπ' ἀνανδρίας EVO: ὑπ' ἀνδρίας A, δι' ἀνανδρίαν F, ἐπ' ἀνανδρείας M, ὑπ' ἀνανδρείας ceteri   22 δικάζουσι L (Turn.)   23 ἐστὶν S   ἔχον M, ἔχων om. HP¹   ἀκαθαίρετον] ἀναφαίρετον coni. Mang.

[illegible]

[illegible]

16 cf. Clem. Alex. Paed. III 1 p. 250 P. ἀνενδεὴς δὲ μόνος ὁ θεός. Strom. II 18 p. 471 P. ἀνενδεὴς μὲν γὰρ τὸ θεῖον καὶ ἀπαθές. 17—19 DK fol. 82r DM fol. 39r DL fol. [illegible] [illegible] fol. 24r et 87r Φίλωνος ἐκ τοῦ περὶ ἀρετῶν DB fol. 46r DV p. 378 Mel. [illegible] fol. 71r Φίλωνος: ὁ φαῦλος ἀεὶ πολυδεὴς — ἐπὶ πάντα μικρά τε αὖ καὶ μεγάλα [illegible]

ὁ δὲ σπουδαῖος ὀλιγοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος, τὸ
μὲν ἐπιδεὲς ἔχων διὰ σῶμα θνητόν, τὸ δὲ μὴ πολυδεὲς διὰ ψυχὴν
ἐφιεμένην ἀθανασίας. οὕτως μὲν πενίᾳ πλοῦτον ἀντιτάττουσιν· ἀδοξίᾳ 10
δὲ εὔκλειαν· ὁ γὰρ ἔπαινος ὁρμητήριον ἔχων καλοκἀγαθίαν καὶ ὥσπερ
ἀπὸ ἀενάου πηγῆς ἐκεῖθεν ῥέων ἀνεξετάστων ἀνθρώπων οὐκ ἐνομιλεῖ
πλήθεσι τὰς τῆς ψυχῆς ἀνωμαλίας ἀβεβαίοις φωναῖς ἀπογυμνοῦν εἰωθότων,
ἃς ἔστιν ὅτε λημμάτων αἰσχρῶν ἐπευωνίζοντες οὐκ ἐρυθριῶσιν κατὰ τῶν
ἀριστίνδην ἐπιλεγομένων. ὀλίγος δὲ τούτων ἀριθμός ἐστιν· ἀρετὴ γὰρ
οὐ πολύχουν ἐν θνητῷ γένει. πηρώσει γε μὴν αἰσθήσεων, ᾗ συζῶντες 11
ἔτι μυρίοι προαπέθανον τῷ μηδὲν ἀλεξίκακον εὑρεῖν δύνασθαι φάρμακον,
ἀντικάθηται φρόνησις, τὸ κρατιστεῦον τῶν ἐν ἡμῖν, ἐνομματοῦσα διάνοιαν,
ἣ πρὸς ὀξυωπίαν τῶν σώματος ὀφθαλμῶν ὅλῳ, φασί, καὶ τῷ παντὶ
διενήνοχεν. οἱ μὲν γὰρ τὰς ἐπιφανείας τῶν ὁρατῶν καταθεῶνται, ἅμα 12
δεόμενοι φωτὸς ἔξωθεν, ἡ δὲ καὶ διὰ βάθους χωρεῖ τῶν σωμάτων, ὅλα
δι' ὅλων καθ' ἕκαστα τῶν μερῶν ἀκριβοῦσα καὶ περιαθροῦσα καὶ τὰς
τῶν ἀσωμάτων φύσεις, ἃς ἐπισκοπεῖν αἴσθησις ἀδυνατεῖ· σχεδὸν γὰρ
πᾶσαν ὀξυωπίαν ὀφθαλμοῦ καταλαμβάνει, μὴ προσδεομένη νόθου φωτός,
ἀστὴρ οὖσα αὐτὴ καὶ σχεδόν τι τῶν ἐπουρανίων ἀπεικόνισμα καὶ μίμημα.
νόσοι γε μὴν σωμάτων ὑγιαινούσης ψυχῆς ἥκιστα βλάπτουσιν· ὑγεία δὲ 13

---

1 ὁ ὀλιγοδεής H^1P, καὶ ὀλιγοδεής AD^L Georg. μεθόριον VOK^2FD^L Georg. 2 τὸ σῶμα $BEKMD^M$ τὸ θνητὸν V^2OKF μὴ om. M πολυδεὲς D: πολυδεελὲς Georg., πολυτελὲς codd. 3 οὕτως SG: οὕτω ceteri 4 δὲ SVOFG: δ' ceteri καλοκαγαθίας (αν) K 5 ἀπὸ SVOF: ἀπ' ceteri ἀενάου BEK^2: ἐνναίου ceteri (v) 6 πλήθεσι S: πλῆθος G, πλήθει ceteri (v) 7.8 κατὰ τῶν ἀριστίνδην ἐπιλεγομένων S: om. ceteri (Turn.) 9 θνητῶν SK^1 πληρώσει SG ᾗ συζῶντες V^2OF: αἷς ζῶντες ceteri (v) 10 μύριοι VOF προσαπέθανον V^2OF μηδὲ H (Turn.) 11 τῶν om. BEKMA διάνοια SV^1GHP, τὴν διάνοιαν V^2OK^2F 12 τῶν τοῦ σώματος BEKM (Mang.) ὅλῳ—παντί] παντάπασιν ἐγκρινομένη V^2OF φασί] φησί G, φωτὶ K παντὶ] πάντων SBEKMG 13 οἱ corr. in ἡ A καταθεᾶται (ᾶ corr. ex ῶν) A 14 δεομένη (η corr. ex οι) A 17 πᾶσαν SVOF: ἅπασαν ceteri (v) 18 ἀστὴρ οὖσα SVOF: ἃς τηροῦσα ceteri αὐτὴ SVOF: αὔτως (sic) K, αὕτη ceteri (v)

1—3 D^K fol. 212v τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τριῶν ἀρετῶν D^M fol. 80v D^L fol. 170v D^P fol. 78r et 238r Φίλωνος D^V p. 365 Εὐαγρίου Max. Ecl. cap. 13 Io. Georgides Laur. VII 15 fol. 71r Φίλωνος: ὁ σπουδαῖος ὀλιγοδεής—διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας.

1. 2 *Clem. Alex. Strom. II 18 p. 471 P.* ὁ γὰρ σπουδαῖος ὀλιγοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος, τὸ μὲν ἐνδεὲς διά τε τὸ σῶμα διά τε τὴν γένεσιν αὐτὴν ἔχων, ὀλίγων δὲ διὰ τὴν λογικὴν ἐγκράτειαν δεῖσθαι δεδιδαγμένος.

ψυχῆς εὐκρασία δυνάμεών ἐστι τῆς τε κατὰ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν καὶ τὸν λόγον, ἐπικρατούσης τῆς λογικῆς καὶ ὥσπερ ἀφηνιαστὰς ἵππους 14 ἡνιοχούσης ἑκατέρας. ὄνομα ταύτης ἴδιον τῆς ὑγείας ἐστὶ σωφροσύνη, σωτηρίαν τοῦ | φρονοῦντος τῶν ἐν ἡμῖν ἀπεργαζομένη· κινδυνεῦον γὰρ p. 378 αὐτὸ πολλάκις ὑπὸ τῆς τῶν παθῶν φορᾶς κατακλύζεσθαι ὑποβρύχιον οὐκ ἐᾷ χωρεῖν, ἀλλὰ ἀνέλκει καὶ μετέωρον ἐξαίρει ψυχοῦσα καὶ ζωογο-

15 νοῦσα καὶ τρόπον τινὰ ἀπαθανατίζουσα. πάντα δὲ τὰ εἰρημένα ὑφηγήσεις εἰσὶ καὶ διδασκαλίαι πολλαχοῦ τῆς νομοθεσίας ἐστηλιτευμέναι, τοὺς μὲν εὐπειθεῖς μαλακώτερον ἀναπείθουσαι τοὺς δὲ ἀπειθεστέρους ἐμβριθέστερον καταφρονεῖν τῶν περὶ σῶμα καὶ ἐκτός, ἓν μὲν τέλος ἡγουμένους τὸ κατ' ἀρετὴν βιοῦν, ζηλοῦντας δὲ καὶ τἄλλα ὅσα ἀγωγὰ πρὸς

16 τοῦτο. καὶ εἴ γε μὴ διὰ τῶν προτέρων ἐτύγχανον ἕκαστα διεξεληλυθὼς τῶν εἰς ἀτυφίαν, ἐπειρώμην ἂν ἀπομηκύνειν ἐν τῷ παρόντι συνυφαίνων καὶ συνείρων τὰ δοκοῦντα σποράδην κεῖσθαι ἐν τόποις διαφέρουσιν·

17 εἰρηκὼς δ' ὅσα καιρὸς παλιλλογεῖν οὐ δικαιῶ. τοὺς μέντοι μὴ ἀποκνοῦντας ἀλλὰ διὰ σπουδῆς τιθεμένους ἐντυγχάνειν ταῖς πρὸ τούτων βίβλοις δεῖ νοῆσαι, ὅτι πάντα τὰ περὶ ἀτυφίας λεχθέντα σχεδόν ἐστι περὶ ἀνδρείας, ἐπειδήπερ εὐτόνου καὶ γενναίας καὶ σφόδρα νενευρωμένης ψυχῆς ἐστι καταφρονῆσαι πάντων ὅσα τῦφος εἴωθε σεμνοποιεῖν ἐπὶ διαφθορᾷ τοῦ πρὸς ἀλήθειαν βίου.

---

1 ἐστιν S ἐπιθυμίαν] ἐπιμυθίαν L (Turn.) 3 ἐστὶ τῆς ὑγείας transp. A, τῆς ὑγείας om. M ὑγίας E, ὑγιείας F εὐφροσύνη A 4 σωτηρία G 5 φορᾶς VOKFH²: φθορᾶς ceteri ὑποβρύχιον VOF: βρύχιον ceteri (v) 6 ἀλλὰ SAG: ἀλλ' ceteri ψυχοῦσα B²MGH: ψύχουσα ceteri 7 ἀθανατίζουσα BEKM πάντα VOF: πᾶν SB¹EGH¹P, πάντων B²KMAH² τὰ εἰρημένα V²OF: τούτων A, τῶν εἰρημένων ceteri 7. 8 ὑφυγήσεις εἰσὶν S 9 εὐπαθεῖς S δὲ SMFG: δ' ceteri εὐπειθεστέρους M 10 τὸ σῶμα VOKHP (v), τῶν σῶμα F τῶν ἐκτός VOF ἓν μὲν οὖν τέλειον A 10. 11 ἡγουμένους B²KMV²OF (coni. Mang.): ἡγούμενοι SB¹EV¹H¹P, ἡγούμεναι H² (v), ἡγούμενον G, ἡγούμεθα A 11 τὸ . . . βιοῦν codd.: τὸν . . . βίον v τἆλλα FG ἀγωγά] ἀγαθὰ A 12 τοῦτο K (conieceram): τούτοις VOFA, τούτους ceteri (τοῦτον v) καὶ SGH: κἂν ceteri μὴ post προτέρων transp. A πρότερον GHP (v) 13 εἰς SA: ἐς ceteri (v) ἐπιρώμην S¹, ἐπὶ ῥώμην G¹ 14 ἐν τόποις om. M 15 εἰρηκὼς] εἰρηνικῶς M δὲ F ὅσα καιρὸς SV¹G: ὅσα ὁ καιρὸς ἀπῄτει V²OF, ὅσα δίδωσιν ὁ καιρὸς ceteri (v) δικαιῶν S (δικαιῶ corr. Mang.): δίκαιον ceteri μὴ om. F 16 τιθεμένοις A, τιθεμένων S τούτου A; ταύτης conicio 17 δεῖ νοῆσαι v: νοῆσαι δεῖ G, ἔστι νοῆσαι AP², νοῆσαι (om. δεῖ) ceteri ἀνδρίας AEFG 18 ἐπειδὴ M 19 ἐπὶ διαφορᾷ AK, ἐπειδὴ ἄφθορα G

---

4 Plat. Cratyl. 411e σωφροσύνη δὲ σωτηρία οὗ νῦν δὴ ἐσκέμμεθα, φρονήσεως.

(4.) Τοσαύτη δέ τίς ἐστι τῷ νόμῳ σπουδὴ καὶ φιλοτιμία περὶ τοῦ 18
γυμνάσαι καὶ συγκροτῆσαι ψυχὴν πρὸς ἀνδρείαν, ὥστε καὶ περὶ ἐσθημάτων
ὁποῖα ἐχρῆν ἀμπέχεσθαι διετάξατο ἀπειπὼν ἀνὰ κράτος ἀνδρὶ γυναικὸς
ἀμπεχόνην ἀναλαμβάνειν, ἕνεκα τοῦ μηδὲν ἴχνος ἢ σκιὰν αὐτὸ μόνον
τοῦ θήλεος ἐπὶ λύμῃ τῆς ἄρσενος γενεᾶς προσάψασθαι· βούλεται γὰρ
ἑπόμενος ἀεὶ τῇ φύσει τὰ οἰκεῖα καὶ συνῳδὰ ἀλλήλοις ἄχρι τῶν ἐσχάτων
καὶ δι' εὐτέλειαν ἀφανεστέρων εἶναι δοκούντων νομοθετεῖν. ἐπειδὴ γὰρ 19
τύπους σωμάτων ἑώρα καθάπερ ἐπὶ πλάτους χαραχθέντας ἀνομοίους
ἀνδρός τε αὖ καὶ γυναικὸς καὶ βίον ἑκατέρῳ τῶν εἰδῶν οὐ τὸν αὐτὸν
ἀπονεμηθέντα — τῷ μὲν γὰρ ὁ κατοικίδιος, τῷ δ' ὁ πολιτικὸς προσκε-
κλήρωται —, κἂν τοῖς ἄλλοις ὅσα μὴ φύσεως μὲν ἔργα ἦν, φύσει δὲ
ἀκόλουθα γνώμης ἀγαθῆς εὑρήματα, συμφέρον ἔκρινε διατάξασθαι· ταῦτα
δ' ἦν τὰ περὶ δίαιταν καὶ ἀμπεχόνην καὶ εἴ τι ὁμοιότροπον. ἠρρενῶσθαι 20
γὰρ τόν γε πρὸς ἀλήθειαν ἄνδρα κἂν τούτοις ἠξίωσε καὶ μάλιστα ἐν
ἐσθήμασιν, ἃ ἐπιφερόμενος ἀεὶ μεθ' ἡμέραν τε καὶ νύκτωρ ὀφείλει
μηδὲν ἔχειν ἀνανδρίας ὑπόμνημα. κατὰ τὰ αὐτὰ μέντοι καὶ τὴν γυναῖκα 21
379 M. ἀσκήσας τοῖς ἁρμόττουσι κόσμοις | ἐκώλυσεν ἀναλαμβάνειν ἀνδρὸς ἐσθῆτα,
πόρρωθεν ὡς ἀνδρογύνους οὕτως καὶ γυνάνδρους φυλαξάμενος· ἑνὸς γάρ,

---

1 δέ codd.: δή Mang. 2 ἀνδρίαν AEFG 4 ἀμπεχομένη S[1], ἀμπεχόνην corr. S[2] ἀναλαμβάνειν] ἀλλὰ λαμβάνειν S μηδὲ VOF, μηδ' A αὐτῷ K 5 θήλεως G λοίμῃ SG προάψασθαι A 6 ἀεὶ ἑπόμενος transp. A (Mang.) 7 εὐτέλειαν om. G εἶναι] αὐτῶν G ἐπειδήπερ (om. γὰρ) M 8 ἑώρα σωμάτων transp. O ἐπὶ πλάστους M (ἐπιπλάστους Mang.), ἐπὶ σανίδος F ἀνομοίως F 9 βίου K 10 κατοίκιος M 11 κἂν Mang.: καὶ codd. ἔργα μὲν transp. VOF, μὲν om. A δὲ SVOFG: δ' ceteri 12 εὑρήματα scripsi: εὑρέματα codd. (v) 14 γε] τε F τούτῳ A ἠξίωσεν S μάλιστ' BEMAHP 15 ἐσθήμασιν A: αἰσθήσεσιν KG[1]H[1], ἐσθήσεσιν ceteri (v) ἃ codd.: ἃς H[2] (v) περιφερόμενος coni. Mang. ἀεὶ SO, αἰεὶ VF: om. ceteri (v) μεθ' om. A νύκτα A ὀφείλειν G 16 ἀνανδρείας SBMP κατὰ] καὶ M τὰ αὐτὰ SVOFG: ταὐτὰ HP, ταῦτα BEKMA 18 ἀνδρογύμνους G οὕτως S: οὕτω ceteri

---

3 Deut. 22,5. cf. *Ioseph. Ant. Iud. IV § 301* φυλάσσειν δὲ μάλιστα ἐν ταῖς μάχαις, ὡς μήτε γυναῖκα ἀνδρικῇ σκευῇ χρῆσθαι μήτ' ἄνδρα στολῇ γυναικείᾳ. 3sqq. *Clem. Alex.* l. l. ἐπεὶ τίνα λόγον ἔχει τὸ ἀπειπεῖν τὸν νόμον ἀνδρὶ γυναικὸς ἀμπεχόνην ἀναλαμβάνειν; ἢ οὐχὶ ἀνδρίζεσθαι ἡμᾶς βούλεται μήτε κατὰ τὸ σῶμα καὶ τὰ ἔργα μήτε κατὰ τὴν διάνοιαν καὶ τὸν λόγον ἐκθηλυνομένους; ἠρρενῶσθαι γὰρ τὸν ἀληθείᾳ σχολάζοντα ἔν τε ὑπομοναῖς ἔν τε καρτερίαις κἂν τῷ βίῳ κἂν τῷ τρόπῳ κἂν τῷ λόγῳ κἂν τῇ ἀσκήσει νύκτωρ τε καὶ μεθ' ἡμέραν καὶ εἴ που μαρτυρίου δι' αἵματος χωροῦντος ἐπικαταλάβοι χρεία βούλεται.

καθάπερ ἐν ταῖς οἰκοδομίαις, ὑφαιρεθέντος ᾗδει καὶ τἆλλα μενοῦντα οὐκ ἐν ὁμοίῳ.

22 (5.) Ἔτι τοίνυν τῶν ἀνθρωπείων πραγμάτων δυσὶ καιροῖς ἐμφερομένων, εἰρήνῃ τε καὶ πολέμῳ, τὰς ἀρετὰς ἔστιν ἰδεῖν ἐν ἀμφοτέροις ἐξεταζομένας. περὶ μὲν οὖν τῶν ἄλλων λέλεκται πρότερον καὶ αὖθις, εἰ γένοιτό τις χρεία, λεχθήσεται· τὰ δὲ νῦν ἀνδρείαν οὐ παρέργως ἐξεταστέον, ἧς τὰ μὲν κατ' εἰρήνην ἔργα πολλαχοῦ τῆς νομοθεσίας ὕμνησεν ἀεὶ τῶν καιρῶν στοχαζόμενος, περὶ ὧν ἐν τοῖς οἰκείοις τόποις ὑπεμνήσαμεν, τῶν δὲ κατὰ πόλεμον ἐνθένδε ποιησόμεθα τὴν ἀρχήν, ἐκεῖνο
23 προειπόντες. ὅταν ποιῆται τὸν στρατιωτικὸν κατάλογον, οὐχ ἅπασαν τὴν νεότητα καλεῖν οἴεται δεῖν, ἀλλ' ἔστιν οὓς παραιτεῖται προστιθεὶς αἰτίας εὐλόγους τῆς ἀστρατείας· αὐτίκα τοὺς κατεπτηχότας καὶ δειλούς, μελλήσοντας ὑπὸ τῆς ἐμφύτου μαλακίας ἁλίσκεσθαι καὶ δέος τοῖς ἄλλοις
24 συμμάχοις ἐμποιεῖν. τὸ γὰρ ἑτέρου κακὸν εὖ πως ὁ πλησίον ἀναμάττεσθαι φιλεῖ, καὶ μάλιστ' ἐν πολέμῳ, τοῦ λογισμοῦ διὰ τὴν ἀγωνίαν συγκεχυμένου καὶ τὰς τῶν πραγμάτων ἀντιλήψεις ἀκριβοῦν ἀδυνατοῦντος· τότε γὰρ εὐλάβειαν μὲν τὴν δειλίαν, τὸ δὲ φοβεῖσθαι προμηθές, ἀσφάλειαν δὲ τὴν ἀνανδρίαν εἰώθασι καλεῖν, αἴσχιστα ἔργα εὐπρεπέσι καὶ σεμναῖς
25 κλήσεσιν ἐπαμπίσχοντες. ὅπως οὖν μὴ τὰ μὲν οἰκεῖα βλάπτηται διὰ τῆς τῶν εἰς τὸν πόλεμον ἰόντων ἀνανδρίας, ἐπικυδέστερα δὲ γίνηται τὰ τῶν ἐχθρῶν αἱρούντων καταφρονητικῶς τοὺς ἀγεννεῖς, ὄχλον ἀργὸν εἰδὼς

---

1 ἤδη S τἆλλα KFG μενοῦντας S, μενοῦντος F, μὲν οὖν τὰ HP
3 ἀνθρωπίων S^1, corr. S^2 4 ἰδεῖν ἐστιν transp. F 5 καὶ περὶ μὲν (om. οὖν) A 6 γένηται A ἀνδρείαν οὐ παρέργως ἐξεταστέον SVOFG: ἀνδρείαν post ἐξεταστέον transp. ceteri (v) ἀνδρίαν AEFGO οὐ] μὴ A
7 κατὰ A ὕμνησα A 8 ἀεὶ SK: αἰεὶ ceteri 9 ἐνθένδ' ἐποιησάμεθα SG^1 τὴν ἀρχὴν ποιησόμεθα transp. A 10 ποιεῖτε S^1, ποιῆτε S^2G (fort. recte) τῶν στρατιωτικῶν K 12 ἀστρατείας G: στρατείας ceteri (Turn.) κατεπτηχότας S^1, corr. S^2 12. 13 μελήσοντας OHP 14 συμμάχειν (sic) F εὖ πως] οὐκ οἶδ' ὅπως coni. Mang. πλησίων K ἀνατάττεσθαι (μ supra) K
15 φιλεῖ] ὀφλεῖ G^1, ὀφείλει BEK^1MA μάλιστα FHP τῶ πολέμω M
17 προμηθεὺς (sic) F 18 ἀνανδρείαν SB, ἀνδρείαν VOK^2, δειλίαν F εὐτρεπέσι G 19 ἐπαμπίσχοντος A, ἐπαμφίσχοντες SG^1 οὖν $SVOGH^2$: ἂν F, οὖν om. ceteri 20 τῆς SVOFG: τὴν ceteri (v) τῶν om. G τὸν om. F ἀνανδρίας V^2OFG, ἀνανδρείας S, ἀνδρείας V^1: ἀνανδρίαν AEKHP (v), ἀνανδρείαν BM δὲ γίνηται] λέγειν εἴτε S γένηται A 21 αἱρόντων M; ἀναιρούντων coni. Mang. οὖν post τοὺς add. A, post ὄχλον add. B^2M ἀγενεῖς SKFMH

---

12 Deut. 20,8.

οὐκ ὠφέλιμον ἀλλ' ἐμπόδιον εἰς κατόρθωμα, ἀνεῖρξε τοὺς ἀτόλμους καὶ
ἀναπίπτοντας δειλίᾳ, καθάπερ, οἶμαι, καὶ τοῖς τὰ σώματα νοσοῦσι στρατηγὸς
οὐδεὶς ἀνάγκην ἐπιτίθησι πολεμεῖν, ὑποπαραιτουμένης ἀσθενείας. νόσος 26
δέ τις καὶ ἡ δειλία, βαρυτέρα τῶν κατὰ τὸ σῶμα, τὰς ψυχῆς δυνάμεις
καθαιροῦσα· τῶν μὲν γὰρ βραχὺν εἶναι συμβαίνει τὸν χρόνον τῆς ἀκμῆς,
ἡ δ' ἐστὶ κακὸν σύντροφον, μᾶλλον ἢ οὐχ ἧττον τῶν ἡνωμένων μερῶν
προσπεφυκὸς ἐκ πρώτης ἡλικίας ἄχρι πανυστάτου γήρως, εἰ μὴ τύχοι
θεὸς ἰώμενος· πάντα γὰρ θεῷ δυνατά. καὶ μὴν οὐδ' ἅπαντας τοὺς 27
εὐτολμοτάτους καλεῖ, κἂν σφόδρα ἐρρωμένοι καθ' ἑκάτερον σῶμα καὶ
ψυχὴν προαγωνίζεσθαι καὶ προκινδυνεύειν ἐθέλωσιν· ἀλλὰ τῆς γνώμης
αὐτοὺς ἐπαινέσας, ὅτι κοινωνικὸν καὶ πρόθυμον καὶ ἀκατάπληκτον ἦθος
ἐπιδείκνυνται, διερευνᾷ μή τισιν ἀναγκαίαις αἰτίαις ἐνδέδενται, ὧν ὁλκὸς
180 M. ἡ δύναμις. εἰ γάρ τις, φησί, νεωστὶ δειμάμενος | οἰκίαν οὐκ ἔφθη 28
εἰσοικίσασθαι ἢ ἀμπελῶνα φυτεύσας νεόφυτον, αὐτὸς εἰς γῆν τὰ κλήματα
καθείς, μήπω τῆς ἐπικαρπίας καιρὸν ἔσχεν ἢ παρθένον ἐγγυησάμενος

---

1 ὠφέλημον S ἀνεῖρξαι S ἀτόλμους] ἀποτόμους A 2 τοῖς . . . νοσοῦσι V^{2}OFGK^{2}H^{2}: τοὺς . . . νοσοῦντας ceteri στρατηγὸς Mang.: στρατηγοῖς V^{2}OFGK^{2}H^{2}, στρατηγοὺς ceteri 3 ὑποπαραιτουμένης Mang. (-νοις Turn): παραιτουμένης F, ὑπὲρ παραιτουμένης VOK^{2}, ὑπὸ παραιτουμένης ceteri 4 βαρύτερον Turn. τὰς ψυχῆς] ψυχικὰς A 5 τῶν] τὸν S χρόνον συμβαίνει (om. τὸν) transp. A 6 ἡ] ἢ B, ἧ H^{1}P δέ VOF κακῶν A ἢ om. O 7 προσπεφυκὼς SF τύχη A 9 εὐτόλμους A (fort. recte) ἑκάτερον] ἕτερον SG 10 ἐθέλουσιν G, ὀφείλωσιν BEK, ὀφείλουσιν M 11 ἀκατάληπτον S, ἀκατάλακτον G 12 ἀναγκαίως (sic) αἰτίαις G, ἀναγκαίαις (om. αἰτίαις) L; ἀνάγκαις v ἐνδέδονται L (Turn.) 13 εἰ] ὁ mg F δημάμενος S^{1}, corr. S^{2} οἰκίας F ἔφθη] ἔφθασεν conicio 14 οἰκίαν ante εἰσοικίσασθαι repet. HP (Turn.) εἰσοικίσασθαι AFKHP: εἰσοικήσασθαι ceteri κλίματα H 15 καθείς] καταθεὶς A ἐπικαρπίας AK: καρπίας SVOFG (Mang.), καρπείας BEMHP (Turn.) παρθενείαν H

---

13 Deut. 20,5—7. cf. *Ioseph. Ant. Iud. IV* § *298.* 13 sqq. *Clem. Alex. l. l.* πάλιν εἴ τις, φησί, νεωστὶ δειμάμενος οἰκίαν οὐκ ἔφθη εἰσοικίσασθαι ἢ ἀμπελῶνα νεόφυτον ἐργασάμενος μηδέπω τοῦ καρποῦ μετείληφεν ἢ παρθένον ἐγγυησάμενος οὐδέπω ἔγημεν, τούτους ἀφεῖσθαι τῆς στρατείας ὁ φιλάνθρωπος κελεύει νόμος, στρατηγικῶς μὲν ὡς μὴ περισπώμενοι πρὸς τὰς ἐπιθυμίας ἀπρόθυμοι τῷ πολέμῳ ἐξυπηρετῶμεν (-ῶσιν?), ἐλεύθεροι γὰρ τὰς ὁρμὰς οἱ ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδυόμενοι, φιλανθρώπως δὲ ἐπειδὴ τὰ κατὰ τοὺς πολέμους ἄδηλα, ἄδικον εἶναι λογισάμενος τὸν μὲν μὴ ὄνασθαι τῶν αὐτοῦ πόνων, ἕτερον δὲ τὰ τῶν καμόντων ἀταλαιπώρως λαβεῖν. ἔοικεν δὲ ὁ νόμος καὶ τὴν τῆς ψυχῆς ἐμφαίνειν ἀνδρείαν δεῖν νομοθετῶν τὸν φυτεύσαντα καρποῦσθαι καὶ τὸν οἰκοδομησάμενον οἰκεῖν καὶ τὸν μνώμενον γαμεῖν, οὐ γὰρ ἀτελεῖς τὰς ἐλπίδας τοῖς ἀσκήσασι κατὰ τὸν λόγον τὸν γνωστικὸν κατασκευάζει· τελευτήσαντος γὰρ καὶ ζῶντος ἀνδρὸς ἀγαθοῦ οὐκ ἀπόλλυται ἐλπίς.

οὐκ ἔγημεν, ἀφείσθω πάσης στρατείας, φιλανθρώπως ὁμοῦ ⟨καὶ στρατηγι-
29 κῶς⟩ τὴν ἄδειαν εὑρισκόμενος, ἕνεκα δυοῖν· ἑνὸς μὲν ἵνα, ἐπειδὴ τὰ κατὰ
πολέμους ἄδηλα, μὴ τὰ τῶν πονησάντων ἀταλαιπώρως ἄλλοι λαμβάνωσι·
χαλεπὸν γὰρ ἔδοξεν εἶναι, τῶν ἰδίων τινὰ μὴ ἀπόνασθαι δυνηθῆναι, ἀλλ'
οἰκοδομεῖν μὲν ἕτερον, ἐνοικεῖν δὲ ἄλλον, καὶ φυτεύειν μέν τινα, τὸν δὲ
μὴ φυτεύσαντα καρποῦσθαι, καὶ μνᾶσθαι μὲν ἄλλον, γαμεῖν δὲ τὸν μὴ
μνώμενον, ὡς οὐ δεῖν ἀτελεῖς τὰς ἐλπίδας κατασκευάζειν τοῖς χρηστὰ
30 τὰ κατὰ τὸν βίον προσδοκήσασιν· ἑτέρου δὲ ἵνα μὴ σώματι στρατευόμενοι
ταῖς ψυχαῖς ὑστερίζωσιν· ἀνάγκη γὰρ αὐτῶν τὴν διάνοιαν ἐκεῖ τετάσθαι
πόθῳ τῆς ἀπολαύσεως ὧν ἀφειλκύσθησαν· ὡς γὰρ οἱ πεινῶντες ἢ διψῶντες,
ὅταν σιτίον ἢ ποτόν που παραφανῇ, διώκουσι καὶ ἐπιτρέχουσιν ἀμετα-
στρεπτὶ γλιχόμενοι μεταλαβεῖν, οὕτως οἱ περὶ νομίμου γυναικὸς ἢ οἰκίας
ἢ χωρίου κτήσεως πονηθέντες καὶ ὅσον οὔπω τῇ ἐλπίδι νομίζοντες εἰς
τὸν ἑκάστου τῆς χρήσεως ἀφῖχθαι καιρόν, ὅταν ἀφαιρεθῶσι τὴν ἀπό-
λαυσιν, σφαδᾴζουσιν, ὡς παρόντας μὴ παρεῖναι τῷ κρείττονι μέρει, ψυχῇ,
31 δι' οὗ συμβαίνει κατορθοῦν ἢ τοὐναντίον. (6.) τούτους οὖν καὶ τοὺς
ὁμοίους οὐκ οἴεται δεῖν εἰς τὸν στρατιωτικὸν ἄγειν κατάλογον, ἀλλ' οἷς
οὐδὲν προενεληλυθὸς ὑποικουρεῖ πάθος, ὅπως ἐλευθέροις καὶ ἀφέτοις
ὁρμαῖς ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδύωνται. καθάπερ γὰρ παντευχίας
οὐδὲν ὄφελος ἀσθενεῖ σώματι ἢ λελωβημένῳ, ἣν ἀδυνατοῦν ἀπορρίψει,
τὸν αὐτὸν τρόπον ἐρρωμένον σῶμα φθερεῖ τι χηραινούσης πάθος ψυχῆς
32 μὴ συνᾷδον τοῖς παροῦσιν. εἰς ἅπερ ἀπιδὼν οὐ μόνον λοχαγοὺς καὶ
στρατηγοὺς καὶ τοὺς ἄλλους τῆς στρατιᾶς ἡγεμόνας ἀλλὰ καὶ τῶν
στρατιωτῶν ἕκαστον ἐπικρίνει, δοκιμάζων πῶς ἔχει πρός τε σώματος

---

1 ἀφείσθω codd.: ἀφιέσθω Mang. πάσας M φιλανθρώπως A (cf. Clem. Al.): φιλανθρωπίαν ceteri; φιλανθρωπίας v 1. 2 καὶ στρατηγικῶς e Clem. Al. supplevit Wendl. 2 εὑρισκόμενος Wendl.: ἀνευρισκόμενος codd. ἵνα SA: ἵν' ceteri τὰ om. L (Turn.) 3 πονησάντων VOFA: πονεσάντων ceteri λαμβάνωσιν SBOHP, λαμβάνουσι G 5 οἰκονομεῖν L (Turn.) pr. δὲ SVOFG: δ' ceteri 6. 7 τὸν δὲ μὴ μνώμενον γαμεῖν transp. F 7 οὐ δεῖν] οὐδεὶς A; οὐ δέον coni. Mang. 8 τὰ A: τῶν ceteri (v) τὸν om. A 9 τὰς ψυχὰς BEKM ἐκεῖ] ἐκεῖσε coni. Wendl., οἴκοι coni. Mang. 11 διώκωσι M 12 περὶ] παρὰ F 13 τῇ ἐλπίδι A: τῆς ἐλπίδος ceteri (Turn.) 14 ἕκαστον H^1 15 ψυχῇ V^2OF: ψυχῆς ceteri (v) 17 στρατικὸν M 18 προενεληλυθὸς S: προεληλυθὸς ceteri (v); προεσεληλυθὸς coni. Wendl. ὑποικουρεῖ Mang.: οἰκουρεῖ codd. ὅπως om. F 19 ἐναποδύωνται A 20 οὐδενὸς F ἣν] ἦν VO, ᾗ F ἀπορρίψῃ VOF 21 φθερεῖ Wendl. (φθείρει ipse conieci): εἰ φέρει V^2O, εἰ φέροι F, φέρειν GH^2, φέρει ceteri; φύρει coni. Mang. τι] τῇ SGH^2 (v) (τῆς) χηραινούσης . . . ψυχῆς Mang.: χηραινούσῃ . . . ψυχῇ codd. 22 ἀφιδὼν S^1, corr. S^2 23 στρατιᾶς VOFG: στρατείας ceteri (v)

εὐεξίαν καὶ πρὸς εὐστάθειαν λογισμοῦ, σῶμα μὲν ἐξετάζων, εἰ ὁλόκληρον, εἰ ὑγιαῖνον ὅλον δι' ὅλων, εἰ τοῖς μέρεσι καὶ μέλεσι πᾶσιν εὖ ἡρμοσμένον πρὸς τὰς ἐπιβαλλούσας ἑκάστῳ σχέσεις τε καὶ κινήσεις, ψυχὴν δέ, εἰ θαρραλεότητος καὶ εὐτολμίας ἀνάπλεως, εἰ ἀκατάπληκτος καὶ μεστὴ
M. φρονήσεως | εὐγενοῦς, εἰ φιλότιμος καὶ ζωῆς ἀδόξου τὸν σὺν εὐκλείᾳ θάνατον προκρίνουσα. τούτων γὰρ ἕκαστον ἰδίᾳ καθ' αὑτό, εἰ δεῖ 33
τἀληθὲς εἰπεῖν, δύναμίς ἐστιν· ἀθρόα δ' εἰ συνέλθοιεν, ῥώμην ἄμαχόν τινα καὶ ἀνανταγώνιστον ἐκ πολλοῦ τοῦ περιόντος ἐπιδείξονται, κρατοῦντες ἀναιμωτὶ τῶν πολεμίων.

(7.) Τῶν δὲ λεχθέντων σαφεστάτην πίστιν αἱ ἱεραὶ βίβλοι περι- 34
έχουσιν. ἔθνος πολυανθρωπότατόν ἐστιν Ἄραβες, οἷς ὄνομα παλαιὸν ἦν Μαδιηναῖοι. οὗτοι πρὸς Ἑβραίους φιλαπεχθημόνως ἔχοντες, οὐδενὸς ἕνεκα ἑτέρου μᾶλλον ἢ ὅτι τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον σέβουσι καὶ τιμῶσι τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων προσκεκληρωμένοι, καὶ πάσας μὲν μηχανὰς τεχνάζοντες, πάσας δὲ πείρας καθιέντες, ἵνα ἀπὸ τῆς τοῦ ἑνὸς καὶ ὄντως ὄντος τιμῆς αὐτοὺς ἀποστήσωσι καὶ μεθαρμόσωνται πρὸς ἀσέβειαν ἐξ ὁσιότητος — οὕτως γὰρ περιέσεσθαι ῥᾳδίως

1 εὐστάθειαν HP: ἀπάθειαν F, εὐπάθειαν ceteri εἰ] εἰς A 2 pr. εἰ om. A ὑγιαίνων G δι' ὅλου VOF μέλεσι καὶ μέρεσι F πᾶσιν om. O 4 θαρραλεότητος] θαρραλεωτάτη H (v) 5 φρονήσεως] φρονήματος coni. Mang. εἰ] ὁ F 6 ἕκαστα SVOFG 7 ἀθρόοι SVOF εἰ συνέλθοιεν] εἰσέλθοιε M 8 ἐπιδείξωνται S, ἐπιδείξαντες V²OF κρατοῦσιν V²OF 10. 11 παρένουσιν conicio 11 tit. περὶ εὐσεβείας hoc loco add. G ἄρραβες VOAH³ 12 Μαδιηναῖοι] τοὺς μαδιηνέους σαρακηνοὺς λέγει adnot. S, τοὺς σαρακηνοὺς λέγει mg G οὗτοι] οὕτως S οὐδενὸς] μηδενὸς P 13 ἑτέρου ἕνεκα A (ἕνεκα ἑτέρου Mang.): ἕνεκα om. ceteri (Turn.) ἀνωτάτω Mang. (cf. Clem. Al.): ἀνώτατον codd. (Turn.) αἴτιον om. S 13. 14 σέβουσι καὶ om. K 14 tert. καὶ eras. V², om. OF 15 μηχανὰς μὲν transp. A τεχνάσαντες V²OF καθέντες P ἵνα S: ἵν' ceteri 16 ὄντως om. Turn. ἀποστήσουσι H¹P 16. 17 μεθαρμώσονται S 17 ἐξ] δι' A οὕτως SG: οὕτω ceteri ῥᾳδίως περιέσεσθαι transp. BKM

11 sqq. Num. cap. 25. 12 sqq. *Clem. Alex. Strom. II 18 p. 472 P.* τί δέ; οὐχὶ αἱ Μαδιηναίων γυναῖκες τῷ κάλλει τῷ σφῶν πολεμοῦντας τοὺς Ἑβραίους ἐκ σωφροσύνης δι' ἀκρασίαν εἰς ἀθεότητα ὑπηγάγοντο; προσεταιρισάμεναι γὰρ αὐτοὺς ἐκ τῆς σεμνῆς ἀσκήσεως εἰς ἡδονὰς ἑταιρικὰς τῷ κάλλει δελεάσασαι ἐπί τε τὰς τῶν εἰδώλων θυσίας ἐπί τε τὰς ἀλλοδαπὰς ἐξέμηναν γυναῖκας, γυναικῶν δὲ ἅμα καὶ ἡδονῆς ἡττηθέντες ἀπέστησαν μὲν τοῦ θεοῦ, ἀπέστησαν δὲ καὶ τοῦ νόμου, καὶ μικροῦ δεῖν ὁ πᾶς λεὼς ὑποχείριος τοῖς πολεμίοις γυναικείῳ στρατηγήματι ἐγεγόνει, ἕως αὐτοὺς κινδυνεύοντας ἀνεχαίτισε νουθετήσας φόβος. 13. 14 *Clem. Alex. Strom. II 18 p. 469 P.* ἀλλ' ἡ μὲν εὐσέβεια παντί που δήλη τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον σέβειν καὶ τιμᾶν διδάσκουσα. καὶ δικαιοσύνην δὲ αὐτὸς ὁ νόμος παρίστησι παιδεύων τήν τε φρόνησιν διὰ τῆς τῶν αἰσθητῶν εἰδώλων ἀποχῆς καὶ τῆς πρὸς τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων προσκληρώσεως.

ὑπελάμβανον —, ἐπειδὴ μυρία καὶ λέγοντες καὶ δρῶντες ἀπειρήκεσαν,
ὥσπερ οἱ θανατῶντες ἐφ' ὧν ἀπογνῶσι σωτηρίας, καί τι τοιοῦτον ἐπι-
35 νοοῦσι στρατήγημα. γυναικῶν τὰς περικαλλεστάτας μεταπεμψάμενοί
φασιν αὐταῖς· „ὁρᾶτε, ὡς ἀπερίληπτός ἐστιν ἡ τῶν Ἑβραίων πληθύς.
τῆς δὲ πληθύος ἐστὶν ἀργαλεώτερον ἐπιτείχισμα ἡ ὁμόνοια καὶ συμφωνία
τούτων· αἴτιον δὲ τῆς ὁμονοίας τὸ ἀνωτάτω καὶ μέγιστον ἡ περὶ τοῦ
ἑνὸς θεοῦ δόξα, ἀφ' ἧς οἷα πηγῆς ἑνωτικῇ καὶ ἀδιαλύτῳ φιλίᾳ κέχρηνται
36 πρὸς ἀλλήλους. ἡδονῇ δ' ἁλωτὸν ἄνθρωπος, καὶ μάλιστα συνουσίᾳ τῇ
πρὸς γυναῖκα. διαπρεπέσταται δ' ἐστέ· καὶ φύσει μὲν ἀγωγὸν τὸ κάλλος,
37 ἡ δὲ νεότης εἰς ἀκρασίαν εὐόλισθον. ἑταιρήσεως ἢ μοιχείας ὀνόματα
μὴ δείσητε ὡς αἰσχύνην ἐποίσοντα, τὰς ἐκ τοῦ πράγματος ὠφελείας
ἀντιτιθεῖσαι, δι' ἃς τὰς ἐφ' ἡμέραν ἀδοξίας μεθαρμόσεσθε εἰς ἀγήρω καὶ
ἀτελεύτητον εὔκλειαν, τὰ μὲν σώματα ὅσα τῷ δοκεῖν προέμεναι, σόφισμα
κατ' ἐχθρῶν καὶ στρατήγημα, παρθένους δὲ τὰς ψυχὰς διαφυλάττουσαι,
38 αἷς καὶ τὴν πρὸς τὸ μέλλον ἁγνείαν ἐπισφραγιεῖσθε. καὶ καινότατον ὁ
πόλεμος οὗτος ἕξει κλέος διὰ γυναικῶν ἀλλ' οὐ δι' ἀνδρῶν κατορθωθείς·
τὸ μὲν γὰρ ἡμέτερον, ὁμολογοῦμεν, γένος οὗ γενήσεται ἧττα, διὰ τὸ
πᾶσι τοῖς εἰς μάχην τοὺς ἀντιπάλους ἐπικυδεστέρους εἶναι, τὸ δ' ὑμέτερον
παντελῶς τὴν νίκην οἴσει καί, τὸ μέγιστον ἀγαθόν, τὰς δίχα κινδύνων
ἀριστείας· ἀναιμωτὶ γάρ, μᾶλλον δὲ καὶ ἀκονιτί, κατὰ τὴν πρώτην

---

1 ὑπέλαβον A ἐπειδὴ] ἐπεὶ δὲ B^{1}EKAHP (v) καὶ μυρία transp. A καὶ λέγοντες] καταλέγοντες S 2 ἐφ' ὧν] ἐπειδὰν V^{2}OK^{2}F; ὅταν conicio ἀπογνῶσι codd.: ἀπογνώσει (om. ἐφ' ὧν) v; ἐν ἀπογνώσει (secl. ἐφ' ὧν) coni. Wendl. τι] τοι M post τοιοῦτον add. γυναικῶν A 3 περιφανεστάτας A 5 ἐστὶν ἀργαλεώτερον SVOF: ἀργαλεώτερόν ἐστιν ceteri (v) ἀργαλεώ^{ερ}τατον K ἐπιτείχισμα om. A 6 ὁμονοίας] ὁμοίας M ἀνώτατον VOFH (Turn.) 8 ἡδονὴ SF ἁλωτὸς V^{2}OF ὁ ἄνθρωπος F, ἀνθρώποις S, sed ι add. S^{2} 9 γυναῖκας F, τὴν γυναῖκα K 10 ἑταιρίσεως V^{2}O 11 μὴ δείσητε ὡς] μηδεισ ἡ τέωσ S (sed accent. et spir. add. S^{2}) ἐποίσοντα] ἐ^{μ}ποιήσοντα G 12 ἐφ' ἡμέραν] ἐφήμερον SVOF, ἐφημέρων H^{1}P, σήμερον G μεθαρμόσασθαι S^{2} 13 μὲν] τε A ὅσα — ψυχὰς (14) om. A τῷ] τὸ S; τῷ om. L (Turn.) 14 φυλάττουσαι A 15 ἐπισφραγιεῖσθαι SF καὶ om. SG, καινότατον καὶ transp. VOF 17 τῶ μὲν γὰρ ἡμετέρω ὁμολογουμένως γένει V^{2}OF; τοῦ μὲν γὰρ ἡμετέρου, ὁμολογοῦμεν, γένους γενήσεται ἧττα coni. Wendl. οὗ] οὐ SVOF τὸ om. H^{1}P 18 τοὺς ἀντιπάλους om. A ἡμέτερον S^{1}G^{1} 19 παντελῶς VOKF: παντελὲς ceteri (v) οἴσει dubitanter scripsi: περιοῦσαι SG(V^{1}?), περαιώσει V^{2}OF, om. ceteri (v); περιοῦσαι ἕξετε coni. Mang., περιποιήσει Wendl. 20 καὶ om. O ἀκονητὶ SV^{1}B^{1}EAH

φαντασίαν αὐτὸ μόνον ὀφθεῖσαι περιέσεσθε.“ ταῦτ᾽ ἀκούσασαι, καθαροῦ 39
βίου μηδ᾽ ὄναρ ᾐσθημέναι, παιδείας ὀρθῆς ἄγευστοι, συναινοῦσιν, ἅτε
ii.382 M. πεπλασμένον ἦθος σωφροσύνης | τὸν ἄλλον χρόνον καθυποκρινάμεναι,
καὶ πολυτελέσιν ἐσθῆσι καὶ ὅρμοις καὶ οἷς ἄλλοις εἴωθε διακοσμεῖσθαι
γυνὴ πᾶσιν ἀσκηθεῖσαι καὶ τὸ ἐκ φύσεως κάλλος εὐμορφότερον ταῖς
ἐπιμελείαις ἀπεργασάμεναι — τὸ γὰρ ἀγώνισμα οὐ μικρὸν ἦν, θήρα νέων
ἀθηράτων — εἰς τοὐμφανὲς προέρχονται. καὶ πλησίον γενόμεναι βλέμ- 40
μασιν ἑταιρικοῖς καὶ στωμυλίᾳ λόγων καὶ σχέσεσι καὶ κινήσεσιν ἀκολάστοις
δελεάζουσι τῆς νεότητος τὴν ὀλιγόφρονα μοῖραν, ἀνερμάτιστα καὶ ἀνίδρυτα
ἤθη· καὶ διὰ τῆς τῶν σωμάτων αἰσχύνης ἀγκιστρευσάμεναι τὰς ψυχὰς
τῶν συνελθόντων, ἐπὶ θυσίας ἀθύτους καὶ σπονδὰς ἀσυμβάτους καλέ-
σασαι τῶν χειροκμήτων, ἀλλοτριοῦσι τῆς τοῦ ἑνὸς καὶ ὄντως ὄντος
θεραπείας θεοῦ. τοῦτο διαπραξάμεναι τοῖς ἀνδράσιν εὐαγγελίζονται· καὶ 41
ἔμελλον ἂν καὶ ἄλλους ἐπισπᾶσθαι τῶν μὴ σφόδρα βεβαίων, εἰ μὴ τοῦ
πάθους λαβὼν οἶκτον ὁ εὐεργέτης καὶ ἵλεως θεὸς ἀνυπερθέτῳ κολάσει
τῶν ἀπονοηθέντων — ἦσαν δὲ τέσσαρες πρὸς ταῖς εἴκοσι χιλιάδες —
ὥσπερ ὑπὸ χειμάρρου κατακλυσθῆναι κινδυνεύσαντας ἀνεχαίτισε φόβῳ
νουθετήσας. ὁ δὲ τοῦ ἔθνους ἡγεμὼν ἐπαντλῶν τοῖς ὠσὶ τὰ ὑπὲρ 42
εὐσεβείας δόγματα καὶ τὰς ψυχὰς τῶν ὑπηκόων τούτοις ἐπάγων ἐκ φυλῆς
ἑκάστης χιλίους ἄνδρας ἀριστίνδην ἐπιλέξας καταλέγει, δίκας ἀναπράξων
τῆς ἐνέδρας, ἣν ἐμηχανήσαντο διὰ τῶν γυναικῶν, ἐλπίσαντες μὲν ἅπασαν
τὴν πληθὺν ἄνωθεν ἐξ ἄκρας ὁσιότητος καταβαλόντες διαφθεῖραι, μόνους

1 αὐτῷ K περιέσεσθαι SG ταῦτα BKAG 3 καθυποκρινάμεναι S: καθυποκρινόμεναι ceteri (v) 4 ἐσθῆσι v: αἰσθήσεσι A¹P, ἐσθήσεσι ceteri εἴωθε] ἔσωθε S διακομεῖσθαι E 5 πᾶσαι P εὐμορφώτερον HP 6 ἐργασάμεναι VOF γὰρ om. M 7 ἀθηράτων codd.: εὐθηράτων H² (v) τὸ ἐμφανὲς A γινόμεναι H 7. 8 βλέμμα H¹P 8 σχέσεσι S: ὀρχήσεσι ceteri (v) 9 ⟨ἧς⟩ ἀνερμάτιστα coni. Mang. ἀίδρυτα S 10 καὶ om. K 12 χειροτμήτων S, γηροκομήτων (sic) G post ἀλλοτριοῦσι add. δὲ H¹P, δὴ H² (v) 13 εὐαγγελίζονται om. A 13. 14 καὶ ἔμελλον ἂν καὶ ἄλλους scripsi: καὶ ἐμέλλοσαν spat. 5 fere litt. καὶ ἄλλους S, ἔμελλον ἀρὰν A mg P², καὶ — ἄλλους om. ceteri (in lacuna BEKM); καὶ ἐμέλλοσαν τοὺς ἄλλους Mang. 14 ἐπισπάσασθαι A τοὺς μὴ σφόδρα βεβαίους V²K², τοὺς σφόδρα βεβαίους OF pr. μὴ om. AH² (v) 16 ἀπονοηθέντων SVOFH²: ἐπινοηθέντων ceteri 17 ἀναχαιτίσαι BEKMHP 18 ἐπαντλῶν S: om. ceteri (Turn.) 19 ταῖς ψυχαῖς B²MV²OFH² (Turn.) τούτοις eras. V², om. O ἐπάγων scripsi: ἐπᾴδων codd.; ἐπαίρων coni. Wendl. 20 ἐπιλέξας ἀριστίνδην transp. A ἀναπράξων SGV¹: ἀντεισπράξων V²OF, ἀναπρᾶξαι ceteri (v); ἀναπράξοντας coni. Mang. 21 ἐμηχανήσατο M τῶν om. VOF 22 ἄνωθεν om. A

43 δὲ τοὺς λεχθέντας δυνηθέντες. (8.) οἱ δὲ πρὸς πολλὰς μυριάδας ὀλίγος
ἀριθμὸς ἀντιταχθέντες, ἐμπειρίαις ἅμα καὶ εὐτολμίαις χρώμενοι, καθάπερ
αὐτός τις ἕκαστος ὅμιλος ὤν, καταφρονητικῶς πυκναῖς ἐπιτρέχοντες ταῖς
φάλαγξι καὶ τοὺς ἐν ποσὶν ἀναιροῦντες ἠρήμουν τὰ βύζην συνεστηκότα
στίφη καὶ ὅσα ἐφήδρευε πρὸς ἀναπλήρωσιν τῶν κενουμένων τάξεων,
ὡς αὐτοβοεὶ πολλὰς μυριάδας καταστορέσαι καὶ μηδένα τῆς ἀντιταχθείσης
νεότητος ἀπολιπέσθαι· κτείνουσι δὲ καὶ γυναῖκας τὰς συνεπιγραψαμένας
ἀνδρῶν γνώμαις ἀνοσίοις, ζωγρήσαντες παρθένους, ἄκακον ἡλικίαν οἰκτισά-
44 μενοι. καὶ τοσοῦτον πόλεμον κατορθώσαντες οὐδένα τῶν ἰδίων ἀπέβαλον,
ἀλλ᾽ ὁπόσοι καὶ ὁποῖοι προῆλθον εἰς τὴν μάχην ἐπανῄεσαν ἄτρωτοι καὶ
ὁλόκληροι, μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, μετὰ διπλασίονος ῥώμης·
ἡ γὰρ ἐκ τοῦ νικῆσαι χαρὰ τῆς προτέρας οὐκ ἐλάττονα τὴν ἰσχὺν
45 ἀπειργάσατο. αἴτιον δὲ οὐδὲν ἦν τούτων ἕτερον ἢ | τὸ σπουδάσαι φιλο- p. 383
κινδύνως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἄρασθαι, ἐν ᾧ καὶ προαγωνίζεται
θεός, ἀήττητος ἐπικουρία, βουλὰς μὲν ἀγαθὰς ταῖς διανοίαις ὑφηγούμενος,
46 ἀλκὴν δὲ τοῖς σώμασι κραταιοτάτην ἐντιθείς. πίστις δὲ τῆς ἐκ θεοῦ
συμμαχίας τό τε ὑπ᾽ ὀλίγων πολλὰς μυριάδας ἁλῶναι καὶ τὸ μηδένα
μὲν τῶν ἐχθρῶν διαφυγεῖν, μηδένα δὲ τῶν φίλων ἀναιρεθῆναι μήτε

1 δυνηθέντες] δυνηθῆναι BEMHP^{1} (Turn.), μὴ δυνηθῆναι AP^{2}, διασωθῆναι K πολλοὺς F 3 ὅμιλος ἕκαστος transp. A, ἕκαστος om. BKM καταφορικῶς V^{2}OF πυκναῖς SGH^{2}: πυκνῶς VO, πικρῶς F, om. ceteri ἐπιτρέχων V^{2}OK^{2}F 3. 4 ταῖς φάλαγξι — ἀναιροῦντες SGH^{2}: om. ceteri 4 ἠρήμουν A (coni. Mang.): οὐκ ἠρέμουν V^{2}OK^{2}F, ἠρέμουν ceteri βύζην] χύδην A mg P^{2}, κύκλω V^{2}OK^{2}F συνεστηκότα SAG: οὖν ἑστηκότα ceteri (Turn.) 5 ἐφέδρευε Turn. καινουμένων G post τάξεων add. ἄρδην διώλεσεν V^{2}OK^{2}F 6 post ὡς add. καὶ v, om. codd. αὐτοβοῖ in textu S, αὐτοβοεὶ mg S 7 ἀπολείπεσθαι VOFG καὶ τὰς γυναῖκας BEKM ἐπιγραψαμένας V^{1}, ἐπιδραξαμένας V^{2}OF 8 ἀνοσίοις SGV^{2}OFH^{2}: ἀνοσίαις ceteri παρθένους om. A καὶ ἄκακον V^{2}OK^{2}F 8. 9 οἰκτησάμενοι (sic) A 9 ἀπέβαλλον H (Turn.), ἀπέλαβον S (βαλον ss. S^{2}), προσαπέβαλον P 10 προῆλθον VOFA: συνῆλθον K, προσῆλθον ceteri (Turn.) ἐπανίεσαν SHP, ἀνήεσαν K 11 δ᾽ BEKMHP εἰπεῖν εἰ χρὴ τἀληθές transp. M ῥώμης] σώματος P 12 προτέρας] πρότερον H (v) 13 ἀπειργάσατο SVOK^{2}FG: ἐχαρίσατο ceteri (v) τούτων ἦν transp. HP (v) 14 ἐν ᾧ Mang.: ἐν ᾗ codd. 15 ἀηττήτω V^{2}OK^{2}F ἀφηγούμενος O 16 pr. δὲ om. H τῷ σώματι VOF ἐπιθείς S πίστιν VOF 16. 17 τὴν . . . συμμαχίαν VOF 17 συμμαχείας G ὑπὸ SF ὀλίγων ἐχθρῶν M πολλάς: hic desinit K alt. τὸ] τῷ G 18 μήτε SVOFG: μήτ᾽ ceteri

13. 14 *Clem. Alex. Strom. II 18 p. 472 P.* αὐτίκα οἱ περιλειφθέντες φιλοκινδύνως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἀράμενοι κύριοι κατέστησαν τῶν πολεμίων.

ἀριθμὸν μήτε σώματος δύναμιν ἐλαττωθέντων. ὅθεν ἐν τοῖς προτρεπτι- 47
κοῖς φησιν· ἐὰν δικαιοσύνην καὶ ὁσιότητα καὶ τὰς ἄλλας ἀρετὰς ἐπι-
τηδεύῃς, βίον ἀπόλεμον βιώσῃ καὶ εἰς ἅπαν εἰρηνικόν, ἢ ἐνστάντος πολέ-
μου ῥᾳδίως τῶν ἐχθρῶν περικρατήσεις, θεοῦ στραταρχοῦντος ἀοράτως,
ᾧ δι' ἐπιμελείας ἐστὶ τοὺς ἀγαθοὺς σῴζειν ἀνὰ κράτος. μήτ' οὖν ἐὰν 48
πολλαῖς μυριάσιν ἐπιτρέχωσιν ὁ πεζὸς ὁμοῦ καὶ ἱππότης στρατὸς εὐο-
πλοῦντες μήτε ἐὰν ἐρυμνὰ καὶ ἐπίμαχα προκαταλαβόμενοι χωρία τοπο-
κρατῶσι μήτε ἐὰν ἀφθόνοις παρασκευαῖς χορηγῶνται, καταπλαγεὶς δείσῃς,
κἂν ἁπάντων ἀπορῇς ὧν ἄγουσι περιουσίαν ἐκεῖνοι, συμμάχων, ὅπλων,
τόπων εὐκαιρίας, παρασκευῶν· ἐκεῖνα γὰρ ὥσπερ ὁλκάδα πεπληρωμένην 49
παντοίων ἀγαθῶν πολλάκις ἐπιπεσὼν ἄνεμος ἐξαίφνης ἀνέτρεψε καὶ κατέ-
λυσε, τοῖς δ' εὐτελέσι καὶ λυπροῖς ὥσπερ ἀστάχυσιν ἤδη μεμυκόσιν ἐξ
αὐχμοῦ καὶ ἀνομβρίας ἐπιψεκάζων καὶ ἐπινίφων ὁ θεὸς τὰς σωτηρίους
δυνάμεις ἐμπαρέσχεν ἀνεγερθῆναί τε καὶ τελειογονῆσαι. ἐξ οὗ δῆλον, 50
ὅτι δεῖ τοῦ δικαίου καὶ ὁσίου περιέχεσθαι· οἷς μὲν γὰρ τὸ θεῖον ἔνσπονδον,
ἄκρως εὐδαίμονες, οἷς δὲ ἐχθρόν, ἐσχάτως κακοδαίμονες. τοσαῦτα καὶ
περὶ ἀνδρείας εἰς τὸ παρὸν ἀποχρώντως λελέχθω.

* * *

Περὶ φιλανθρωπίας.

(1.) Τὴν δ' εὐσεβείας συγγενεστάτην καὶ ἀδελφὴν καὶ δίδυμον 51
ὄντως ἑξῆς ἐπισκεπτέον φιλανθρωπίαν, ἧς ἐρασθεὶς ὡς οὐκ οἶδ' εἴ τις

1 ἐλαττωθέντων scripsi: ἐλαττωθέντες S, ἐλαττωθέντος G, ἐλαττωθῆναι VOF (v), ἐλαττωθεῖσαν ceteri ἐν om. VOF 1. 2 προτρεπτικοῖς] τροπικοῖς A 2 καὶ ὁσιότητα om. Turn. 2. 3 ἐπιτηδεύεις G 4 διακρατήσεις BEM 5 δι'] μετ' SVOF 7 μήτε SVOFA: μήτ' ceteri ἐρυμνὰ om. F ἀπόμαχα V^{2}OF προκαταλαβόμενοι S: προκαταλαμβανόμενοι ceteri (v) 8 μήτε SVOFA: μήτ' ceteri χορηγῶνται] χρῶνται P 9 ἁπάντων S: om. ceteri (v) ἄγωσι F 10 τόπων om. A εὐκαιρίας] εὐχερείας Turn. 11 ἀνέστρεψε A 11. 12 κατέδυσε coni. Mang. 12 εὐτελέσι] ἀτελέσι H (v) μεμυκόσιν VOFGH^{2}: μεμεθυκόσιν ceteri ἐξ αὐχμοῦ— δυνάμεις (14) om. A 13 ἐπινείφων BEMHP τὰς om. VOF 15 δεῖ ... περιέχεσθαι scripsi: ἀεὶ (αἰεὶ VOFGH^{2}) ... περιέχεται codd. (v) ἔνσπονδον om. F 16 δὲ SG: δ' ceteri 17 ἀνδρίας AEFG ἀποχρῶντος G, ἀποχρώντως om. P περὶ ἀνδρείας καὶ εὐσεβείας subscr. G, φίλωνος περὶ ἀνδρείας subscr. H periit sectio περὶ εὐσεβείας 18 περὶ φιλανθρωπίας SCG^{2}: τοῦ αὐτοῦ λόγος περὶ εὐσεβείας F, περὶ εὐσεβείας καὶ φιλανθρωπίας HP, tit. om. AG^{1} 19 δ' SCG^{2}: om. ceteri εὐσεβείας SCG^{2}: εὐσεβεία ceteri συγγενέτην S, συγγενέτιν CG^{2} (Turn.) 20 ὡς om. S

2 sqq. Deut. 28,1. 2. 7.

ἕτερος ὁ προφήτης τῶν νόμων — ὁδὸν γὰρ οἷα λεωφόρον ἄγουσαν ἐφ'
ὁσιότητα ταύτην ἠπίστατο — τοὺς ὑπ' αὐτὸν ἅπαντας ἤλειφε καὶ
συνεκρότει πρὸς κοινωνίαν, παράδειγμα καλὸν ὥσπερ γραφὴν ἀρχέτυπον
52 στηλιτεύσας τὸν ἴδιον βίον. τὰ μὲν οὖν ἐκ πρώτης ἡλικίας ἄχρι γήρως
εἰς ἐπιμέλειαν καὶ κηδεμονίαν ἑνὸς ἑκάστου καὶ πάντων ἀνθρώπων
πεπραγμένα αὐτῷ δεδήλωται πρότερον ἐν δυσὶ | συντάξεσιν, ἃς ἀνέγραψα p. 384
περὶ τοῦ βίου Μωυσέως. ἑνὸς δὲ ἢ δυοῖν ὧν ἐπὶ τελευτῇ κατώρθωσεν
ἄξιόν ἐστιν ἐπιμνησθῆναι· δείγματα γάρ ἐστι τῆς συνεχοῦς καὶ ἀδιαστάτου
καλοκἀγαθίας, ἣν ἀσύγχυτον ἐνεσφραγίσατο τῇ ψυχῇ χαρακτῆρι θείῳ
53 τυπωθείσῃ. ἐπειδὴ γὰρ ἡ προθεσμία τῆς θνητῆς ζωῆς ἔμελλεν αὐτῷ
περατοῦσθαι καὶ λογίοις ἀριδήλοις ἔγνω τὴν ἐνθένδε μετανάστασιν, οὐδένα
τῶν ἄλλων ἢ βασιλέων ἢ ἰδιωτῶν ἐμιμήσατο, οἷς μία σπουδή τε καὶ
εὐχὴ κληρονόμους παῖδας καταλιπεῖν, ἀλλὰ καίτοι πατὴρ γεγονὼς δυοῖν
υἱοῖν οὐδετέρῳ τὴν ἀρχὴν ἀπέλιπεν ἡττηθεὶς εὐνοίας συγγενικῆς καὶ
πάθους φιλοικείου· καίτοι, εἰ καὶ τὰ τῶν τέκνων δι' ὑποψιῶν ἦν, ἀλλ'
ἀδελφιδῶν γοῦν οὐκ ἠπόρει καλῶν κἀγαθῶν, οἳ γέρας ἀρετῆς ἔσχον
54 τὴν ἀνωτάτω ἱερωσύνην. ἀλλ' ἴσως ἢ μεθέλκειν αὐτοὺς ἀπὸ τῆς θείας
λειτουργίας οὐκ ἐδοκίμασεν ἢ καὶ ὅπερ εἰκὸς ἐνενόησεν, ὅτι ἀμήχανον
τοὺς αὐτοὺς δύνασθαι καλῶς ἀμφοῖν ἐπιτροπεύειν, ἱερωσύνης τε καὶ
βασιλείας, ὧν ἡ μὲν ἐπαγγέλλεται θεοῦ θεραπείαν, ἡ δ' ἀνθρώπων ἐπι-
μέλειαν. ἴσως δὲ καὶ κριτὴν αὐτὸν οὐκ ἠξίωσε γενέσθαι πράγματος

---

1 προφήτης S: πατὴρ ceteri (v)   ἐπ' S   2 ταύτην] αὐτὴν S   ὑπ' αὐτὸν SAH^2: ὑφ' αὐτὸν ceteri (v)   εἴληφε SH^{1}P   ἤλειφεν (εἴληφεν G^2) ἅπαντας transp. CG^2 4 ἐκ τῆς πρώτης F   5 κηδαιμονίαν SC   6 δεδήλωται] λέλεκται S   δυσὶ] τρισὶ CG^2 (Mang.)   τάξεσιν F   7 τοῦ om. S   μωϋσέως SCG^2: μωϋσέος ceteri   δὲ SA: δ' ceteri   δυεῖν G^1, δευτέρου S   8 ἄξιον ἐστὶν S: ἀναγκαῖον ceteri (v)   alt. ἐστὶ S: εἰσι ceteri (v)   συνεχούσης FG^{2}H^1 ἀδιστάκτου H^{1}P   9 ἀσύγκριτον S   ἐνεσφραγίσατο S: ἐπεσφραγίσατο ceteri (v)   11 περατοῦσθαι scripsi: περαιοῦσθαι codd. (περεοῦσθαι S)   λόγοις P   ἀριδήλοις SCG^2: ἀριδήλως ceteri   ἔγνω S: προέγνω ceteri (Turn.)   μετανάστασιν SAG^1: μετάστασιν ceteri (Turn.)   12 pr. ἢ om. S   13 ἀπολιπεῖν S   δυεῖν G^1 14 υἱοῖν om. S   οὐδετέρω SG^{1}H^2: θατέρω C^{1}G^2, οὐθετέρω ceteri   ἀπέλειπεν SHP   εὐνοίας συγγενικῆς Mang.: εὐνοίας συγγενείας S, εὔνοια (ἀγάπη A) συγγενικῇ ceteri (Turn.)   καὶ] ἐκ G^1 15 πάθει φιλοικείω A (Turn.)   καὶ εἰ transp. CG^2, καὶ om. FG^1 ἀλλ' S: om. ceteri (v)   16 κἀγαθῶν S: καὶ ἀγαθῶν ceteri (v)   οἳ καὶ γέρας S   17 καὶ τὴν S   ἄνω S   18 ἐδοκήμασεν S: ἐδοκίμαζεν ceteri (v)   καὶ om. S   εἰκὸς] εἰκὸς ἦν FHP (v)   ἐνενόησεν] οὐκ ἐνόησεν S   ἀμήχανον τοῦτο CG^2 19 καλῶς S: om. ceteri (v)   ἀμφοῖν S: ἄμφω ceteri (v)   21 αὐτὸν CA: αὑτὸν ceteri

μεγάλου· μέγιστον δ' ἐστὶ τὸν εὖ πεφυκότα πρὸς ἀρχὴν δοκιμάσαι καὶ
σχεδὸν θείας δυνάμεως, ᾗ μόνῃ καθορᾶν ἦθος ἀνθρώπου ῥᾴδιον.
(2.) πίστις δὲ σαφεστάτη τοῦ δηλουμένου γένοιτ' ἂν ἥδε. φίλος ἦν 55
αὐτῷ καὶ γνώριμος σχεδὸν ἐκ πρώτης ἡλικίας γενόμενος, Ἰησοῦς ὄνομα,
οὗ τὴν φιλίαν προὐξένησεν οὐδὲν τῶν παρὰ τοῖς ἄλλοις εἰωθότων, ἀλλ'
ἔρως ὁ οὐράνιος καὶ ἀκήρατος καὶ θεῖος ὄντως, ἐξ οὗ πᾶσαν ἀρετὴν
φύεσθαι συμβέβηκεν· οὗτος ὁμωρόφιος καὶ ὁμοδίαιτος ἦν αὐτῷ, πλὴν
ὁπότε ἐπιθειάσαντι καὶ χρησμῳδουμένῳ προσταχθείη μόνωσις· ὑπηρέτει
μέντοι καὶ τὰς ἄλλας ὑπηρεσίας ἀεὶ διαφερόντως τῷ πλήθει, μόνον οὐχ
ὕπαρχος ὢν καὶ τὰ τῆς ἡγεμονίας συνδιοικῶν. ἀλλὰ καίτοι βάσανον 56
ἀκριβῆ λαβὼν ἐκ μακρῶν χρόνων τῆς ἔν τε λόγοις καὶ ἔργοις καλοκἀγαθίας αὐτοῦ καὶ — τὸ ἀναγκαιότατον — εὐνοίας τῆς πρὸς τὸ ἔθνος, οὐδὲ
τοῦτον ᾠήθη χρῆναι καταλιπεῖν διάδοχον, δεδιὼς μή ποτε ψευδοδοξῇ
νομίζων ἀγαθὸν τὸν οὐκ ὄντα πρὸς ἀλήθειαν, ἐπειδὴ τὰ κριτήρια τῆς
ἀνθρωπίνης γνώμης ἀμυδρὰ καὶ ἀβέβαιά πως εἶναι πέφυκεν. ὅθεν οὐ 57
προπιστεύων ἑαυτῷ ποτνιᾶται καὶ καθικετεύει τὸν ἀοράτου ψυχῆς ἔφορον
p. 385 M. θεόν, ᾧ μόνῳ διάνοιαν ἔξεστιν ἀκριβῶς θεωρεῖν, | ἀριστίνδην ἑλέσθαι τὸν
ἐπιτηδειότατον εἰς ἡγεμονίαν, ὃς οἷα πατὴρ ἐπιμελήσεται τῶν ὑπηκόων·
καὶ τὰς καθαρὰς καὶ ὡς ἂν εἴποι τις τροπικώτερον παρθένους χεῖρας
ἀνατείνας εἰς οὐρανόν φησιν· „ἐπισκεψάσθω κύριος ὁ θεὸς τῶν πνευμάτων 58

1 δ' ἐστὶν S: δ' ὅτι AF, δὲ ὅτι ceteri (v) 1. 2 καὶ σχεδὸν SG^2: καὶ om. ceteri (v) 2 καθορᾶ C ἀνθρώπου S: ἀνθρώπων ceteri (v) 3 ἀδηλουμένου F, προκειμένου G^1, γενομένου A γένοιτο (om. ἂν) CG^2 4 σχεδὸν ἐκ πρώτης S: ἐκ πρώτης σχεδὸν ceteri (v) τοὔνομα S 5 τὴν πρώτην φιλίαν S οὐδὲν] οὐδεὶς S παρὰ] περὶ F τοῖς om. A 6 ἔρως] ὅρος A ὁ οὐράνιος S: ὁ om. ceteri (v) καὶ θεῖος ὄντως S: om. ceteri (v) 7 ὁμωρόφιος S^{1}AFG^1: ὁμορόφιος ceteri (Turn.) 8 μόνωσις] μόνος εἰσίῃ S 9 τὰς S: om. ceteri (v) ἀεὶ διαφερόντως τῷ πλήθει S: αἳ τῷ πλήθει διέφερον G^1, ἃς τῷ πλήθει διέφερε ceteri (v) μονονουχὶ A, μόνον οὐκ S^1, μονονοὺκ G^{1}G^2 10 ἡγεμονείας HP, οἰκονομίας A συνδιοικῶν S: διοικῶν ceteri (Turn.) 11 τῶν χρόνων A ἐν ἔργοις S 11. 12 καλοκἀγαθίας αὐτοῦ S: αὐτοῦ καλοκαγαθίας CG^2, αὐτοῦ post λόγοις (11) transp. ceteri (v) 12 τὸ ἀναγκαιότατον SCG^2: τοῦ ἀναγκαιοτάτου A (coni. Mang.), τῶν ἀναγκαιοτάτων FG^{1}HP 13 διάδοχον SF: om. ceteri (Turn.) δεδειὼς S μή ποτε S: ποτε om. ceteri (v) ψευδοδοξῇ SA: ψευδοδοξεῖ■ F, ψευδοδοξεῖν CG^{2}HP, ψευδοδοξοίη G^1 16 προπιστεύων SC^{1}G^2: προσπιστεύων ceteri (v) ἀόρατον A 17 θεόν, ᾧ μόνῳ διάνοιαν ἔξεστιν ἀκριβῶς θεωρεῖν S: θεὸν μόνον (μόνον θεὸν F) ᾧ διάνοιαν ἀκριβῶς θεωρεῖν ceteri; θεὸν μόνον, ὃς διάνοιαν ἀκριβῶς θεωρεῖ v 19 ὡς εἶπέ τις S 20 ἀνατείνας εἰς οὐρανοὺς S (οὐρανόν scripsi): εἰς οὐρανὸν ἀνατείνας ceteri (v) φησίν· ἐπισκεψάσθω S: φησίν· ἐπισκεψάσθω δὴ CG^{2}AG^1, φησίν· ἐπισκεψάτω δὴ F, φησίν· ἐπισκεψάσθω δή, φησίν HP

20 Num. 27,16. 17.

[illegible] ἐπὶ τῆς πληθύος, εἰς ἐπιμέλειαν καὶ προ-[illegible] ἵνα μὴ γένηται σαθρὸν τὸ

59 ἔθνος [illegible] οὐκ ἔχουσα." καίτοι τίς οὐκ ἂν [illegible] εἰπών „ὦ δέσποτα; [illegible] ἀδελφιδοῖ; μάλιστα μὲν τοὺς υἱούς — κληρονόμοι γὰρ [illegible] πρῶτοι — κατάλιπε τὴν

60 ἀρχήν, [illegible] ἀδελφιδοῖς. εἰ δὲ καὶ τούτους [illegible] τῶν συγγενεστάτων καὶ οἰκειοτάτων, ἀλλ' [illegible] ἀρετῆς τελείας [illegible] καλοκἀγαθίας

61 ἡ [illegible] „πάντων μὲν [illegible] δὲ τῶν μεγάλων. ἐν οἷς

[illegible]

Mosis [illegible]

[illegible]

τὸ εὖ γε ἢ χεῖρον μυρίους ὅσους εἰς εὐδαιμονίαν ἤγαγεν ἢ τοὐναντίον εἰς κακοδαιμονίαν. μεῖζον δ' οὐδὲν ἀρχῆς, ᾗ τὰ πόλεων καὶ χωρῶν ὅσα κατὰ πόλεμον ἢ κατ' εἰρήνην ἐπιτέτραπται· ὡς γὰρ πρὸς εὔπλοιαν ἀγαθοῦ καὶ τὴν γνώμην καὶ τὴν ἐπιστήμην δεῖ κυβερνήτου, τὸν αὐτὸν τρόπον καὶ πρὸς εὐνομίαν ὑπηκόων τῶν ἑκασταχοῦ χρεία πανσόφου τινὸς
ἡγεμόνος. σοφίαν δὲ πρεσβυτέραν οὐ μόνον τῆς ἐμῆς γενέσεως ἀλλὰ 62
καὶ τῆς τοῦ κόσμου παντὸς οὖσαν οὔτε θέμις οὔτε δυνατὸν ἄλλῳ τῳ κρίνειν ἀλλ' ἢ τῷ θεῷ καὶ τοῖς ἀδόλως καὶ καθαρῶς καὶ γνησίως αὐτῆς
ἐρῶσιν. ἐδιδάχθην δ' ἀπ' ἐμαυτοῦ μηδ' ἄλλον τινὰ τῶν ἐπιτηδείων εἶναι 63
δοκούντων εἰς ἀρχὴν δοκιμάσαι. τὴν γοῦν ἐπιμέλειαν καὶ προστασίαν τῶν κοινῶν οὔτ' αὐτὸς ἐθελοντὴς εἱλόμην οὔθ' ὑπ' ἄλλου τινὸς ἀνθρώπων χειροτονηθεὶς ἔλαβον, ἀλλὰ καὶ τοῦ θεοῦ χρησμοῖς ἐναργέσι καὶ λογίοις ἀριδήλοις ἐμφανῶς θεσπίζοντος καὶ προστάττοντος ἄρχειν ἀνεδυόμην ἱκετεύων καὶ ποτνιώμενος, εἰς τὸ μέγεθος ἀφορῶν τοῦ πράγματος, ἕως,
ἐπειδὴ πολλάκις ἐκέλευε, δείσας ἐπειθάρχησα. πῶς οὖν οὐκ ἄτοπόν 64
ἐστι μὴ τοῖς αὐτοῖς ἴχνεσιν ἐπακολουθῆσαι καὶ χρησάμενον ὅτ' ἔμελλον ἄρχειν δοκιμαστῇ θεῷ πάλιν ἐπ' αὐτῷ μόνῳ θέσθαι τὴν χειροτονίαν
p. 386 M. τοῦ διαδόχου, μὴ | συνεφαψαμένης ἀνθρωπίνης γνώμης, ᾗ τὸ εἰκὸς συγγενέστερόν ἐστι τοῦ ἀληθοῦς, ἄλλως τε καὶ τῆς προστασίας οὐκ ἐπὶ

1 τὸ εὖ τε καὶ τὸ χεῖρον S γε] τε F, om. A ἢ om. G^2, ἢ χεῖρον om. C ἤγαγεν codd.: ἀνήγαγεν v 1. 2 ἢ τοὐναντίον εἰς κακοδαιμονίαν om. in textu S, ἢ τοὐναντίον κακοδαιμονίαν add. mg S (ante ἤγαγεν) 2 εἰς om. (S)C καὶ χωρῶν S: om. ceteri (v) 4 καὶ τὴν γνώμην om. FH^1P, ss. H^2 4. 5 τὸν αὐτὸν τρόπον καὶ om. S 5 πρὸς δ' εὐνομίαν S ὑπηκόων τῶν ἑκασταχοῦ S: τῶν ἑκασταχοῦ ὑπηκόων A, τῶν ἑκασταχοῦ om. G^1, ὑπηκόων τῶν ἑκάστου ceteri (Turn.) χρεία G^1: om. ceteri (v) 6 γενέσεως] γνώσεως S 7 τῳ om. S 8 ἀλλ' ἢ S: ἀλλ' om. ceteri (v) τῷ θεῷ S: τῷ om. ceteri (v) τοῖς] τοὺς S 9 ἐρῶσιν] ἐρῶντας S δ' om. S ἀφ' ἐμαυτοῦ S^1, ἀπεμοῦ αὐτοῦ C; ὑπ' ἐμαυτοῦ conicio 11 ἐθελοντὴς] ἑκοντὴς S οὔτ' S^1, οὔθ' corr. S^2 ὑπ' ἄλλου τινὸς S: ὑπό τινος ceteri (v) ἀνθρώπου AHP (v) 12 καὶ τοῦ θεοῦ S: om. ceteri (v) εὐαγέσι A λογισμοῖς A 13 θεοῦ ante ἐμφανῶς add. H^2 (v), post ἐμφανῶς add. θεοῦ F, τοῦ θεοῦ G^1 προστάττοντος SCG^2: προστάσσοντος ceteri 14 τῶν πραγμάτων A 15 ἐκέλευε S: ἐκέλευσε ceteri (v) ἐπιθάρχησα S 16 ἐστὶν S: ἦν ceteri (v) ὅτ'] ὅτι S 18 συνεφαπτομένης A 18. 19 ᾗ τὸ εἰκὸς συγγενέστερόν ἐστιν S: ἣν εἰκὸς συγγενέστερόν ἐστι FG^2, ἣν εἰκὸς συγγενέστερον εἶναι CAH^1P, ἣν εἰκὸς συγγενεστέραν εἶναι H^2 (v), om. G^1 19 τοῦ ἀληθοῦς SG^2, τοῦ ἀ[illegible]ηθους C: τοῦ ἤθους A, τοῦ ἀήθους FH^1P, γρ. τοῦ εὐήθους mg H^2 (v), om. G^1

6 cf. Prov. Sal. 8,22 sqq.

τῷ τυχόντι ἔθνει γενησομένης, ἀλλὰ πολυανθρωποτάτῳ μὲν τῶν ἁπανταχοῦ
πάντων, ἐπάγγελμα δὲ ἐπαγγελλομένῳ μέγιστον, ἱκεσίαν τοῦ ὄντως ὄντος,
65 ὅς ἐστι ποιητὴς τῶν ὅλων καὶ πατήρ; ὅπερ γὰρ ἐκ φιλοσοφίας τῆς δοκι-
μωτάτης περιγίνεται τοῖς ὁμιληταῖς αὐτῆς, τοῦτο διὰ νόμων καὶ ἐθῶν
Ἰουδαίοις, ἐπιστήμη τοῦ ἀνωτάτω καὶ πρεσβυτάτου πάντων αἰτίου, τὸν
ἐπὶ τοῖς γενητοῖς θεοῖς πλάνον ἀπωσαμένοις· γενητὸς γὰρ οὐδεὶς ἀληθείᾳ
θεός, ἀλλὰ δόξῃ μόνον, τὸ ἀναγκαιότατον ἀφῃρημένος, ἀιδιότητα."
66 (3.) Τοῦτο μὲν δὴ πρῶτον ἐναργέστατον δεῖγμα τῆς πρὸς ἅπαν τὸ
ὁμόφυλον αὐτοῦ φιλανθρωπίας καὶ πίστεως· ἕτερον δὲ τοῦ λεχθέντος
οὐκ ἀποδέον. ἐπειδὴ γὰρ ἀριστίνδην ὁ φοιτητὴς αὐτοῦ καὶ μιμητὴς
τῶν ἀξιεράστων ἠθῶν Ἰησοῦς ἄρχων ἐδοκιμάσθη κριτηρίοις θείοις, οὐχ
ὥσπερ ἂν ἕτερος ἐπὶ τῷ μὴ τοὺς υἱοὺς ἢ τοὺς ἀδελφιδοῦς αἱρεθῆναι
67 κατήφησεν, ἀλλὰ ὑποπλησθεὶς ἀλέκτου χαρᾶς, ὅτι μελλήσοι τὸ ἔθνος
ἐπιτρόπῳ χρῆσθαι τὰ πάντα ἀρίστῳ — καλὸν γὰρ κἀγαθὸν ἐξ ἀνάγκης
ᾔδει τὸν εὐάρεστον θεῷ —, λαβόμενος τῆς τούτου δεξιᾶς καὶ παραγαγὼν
αὐτὸν εἰς ἠθροισμένον τὸ πλῆθος, μηδὲν περὶ τῆς αὑτοῦ τελευτῆς εὐλα-
βηθείς, ἀλλὰ ταῖς ἀρχαίαις εὐφροσύναις νέας ἑτέρας προσειληφὼς οὐ
μόνον διὰ μνήμην τῶν πρότερον εὐπαθειῶν, αἷς κατακόρως διὰ παντὸς
εἴδους ἀρετῆς ἐνετρύφησεν, ἀλλὰ καὶ διὰ τὴν ἐλπίδα τοῦ μέλλειν ἀθανα-
τίζεσθαι μεταβαλὼν ἐκ φθαρτοῦ βίου εἰς ἄφθαρτον, ἱλαραῖς ὄψεσιν ἐκ

1 τῶν] τὸ F^1, τῶ F^2G^2 ἁπανταχοῦ S: πανταχοῦ CG^2AF, πανταχῇ G^1, ἁπανταχῇ HP (v) 2 δ' A ἐπαγγελλομένου S ἱκεσίαν om. S ὄντος ὄντως transp. G^2HP 3. 4 τῆς δοκιμωτάτοις (sic) A 4 τοῦτο S: τοῦτο καὶ ceteri (v) διὰ] ἐκ G^2 ἠθῶν S, ἐθνῶν L (Turn.) 5 ἀνωτάτω AP: ἀνωτάτου ceteri αἰτίου S: om. ceteri (v) τὸν] τῶν H^1P 6 γενητοῖς] θνητοῖς A ἀπωσαμένους C γεννητὸς A ἀληθείας FG^1HP 7 δόξης FG^1HP μόνη A ἀφαιρημένος S^1 (corr. S^2), ἀφῃρημένη A, ἀφῃρημένου FHP 8 ἐνεργέστατον S 9 πίστεως S: πίστεως ἔργον ceteri (v) 10 ἀριστίνδην S: ἄριστος ὢν ceteri (v) 11 Ἰησοῦς] ἰωσούας G^2 ἄρχειν A 12 ἕτερος S: ἔνιοι ceteri (v) ἐπὶ τῷ] ἐπεὶ S μὴ ante αἱρεθῆναι transp. A ἢ] μὴ S ἀδελφιδοῦς SG^1: ἀδελφοὺς ceteri (v) 13 κατήφησεν] κατηφίησεν S^2, ἀνιαρόν τί φησιν A post κατήφησε add. Μωυσῆς codd. (v), omisi cum S ἀλλὰ S: ἀλλ' ceteri ἀλήκτου SG^2, ἀνέκτου Richt. μέλλει A 14 χρήσασθαι A τὰ πάντα] τῶ πάντ' A ἄριστα S κἀγαθὸν S: καὶ ἀγαθὸν ceteri 14. 15 εἴδη (corr. ex ᾔδη) ἐξ ἀνάγκης transp. S 15 καὶ παραγαγὼν G^1: παράγει μὲν S (Mang.), παράγει μὲν καὶ παραγαγὼν ceteri (Turn.) 16 μηδὲ A αὐτοῦ G^1H^1P, ἑαυτοῦ A 17 οὐ μόνον — ἱλαραῖς ὄψεσιν (20) S: om. ceteri (Turn.) 18 μνήμην scripsi: μνήμης S 19 ἀλλὰ καὶ S: καὶ om. Mang. 20 post βίου ras. 2—3 litt. in S εἰς] πρὸς conicio

15 sqq. Num. 27,22. 23.

τῆς κατὰ ψυχὴν εὐθυμίας φαιδρὸς καὶ γεγηθώς φησιν· „ἐμοὶ μὲν ἀπαλ- 68
λάττεσθαι καιρὸς ἤδη τῆς ἐν σώματι ζωῆς· ὁ δὲ τῆς ὑμετέρας ἐπι-
τροπῆς διάδοχος οὗτός ἐστιν αἱρεθεὶς ὑπὸ θεοῦ“· καὶ τὰ χρησθέντα
λόγια τῆς δοκιμασίας εὐθὺς ἐπεῖπεν, οἷς ἐπίστευσαν. καὶ πρὸς τὸν 69
Ἰησοῦν ἀποβλέψας ἀνδραγαθίζεσθαι παραινεῖ καὶ σφόδρα ἰσχύειν ἐν ταῖς
εὐβουλίαις, ἀγαθὰς μὲν γνώμας εἰσηγούμενον, ἀνενδότοις δὲ καὶ ἐρρω-
μένοις λογισμοῖς τὰ γνωσθέντα καλῶς τελειοῦντα. καὶ ταῦτ' ἔλεγεν ἴσως
οὐ δεομένῳ παραινέσεως, ἀλλὰ τὸ φιλάλληλον καὶ φιλοεθνὲς πάθος οὐ
στέγων, ὑφ' οὗ τρόπον τινὰ κεντριζόμενος ἃ συνοίσειν ἐνόμιζεν ἀπεγύμνου.
ἦν δὲ καὶ χρησμὸς αὐτῷ παρακαλέσαι τὸν διάδοχον καὶ εὐθαρσέστατον 70
ἀπεργάσασθαι πρὸς τὴν τοῦ ἔθνους ἐπιμέλειαν, τὸ βάρος μὴ καταδείσαντα
p. 387 M. τῆς ἀρχῆς, ἵνα τοῖς ἔπειτα γένηται κανὼν καὶ νόμος | ἅπασιν ἡγεμόσι
πρὸς ἀρχέτυπον παράδειγμα Μωυσῆν ἀποβλέπουσι καὶ μηδεὶς φθονῇ
βουλευμάτων ἀγαθῶν τοῖς διαδόχοις, ἀλλ' ὑποθήκαις καὶ παραινέσεσι
τὰς ψυχὰς αὐτῶν ἀλείφωσι καὶ συγκροτῶσι. δύναται γὰρ ἀνδρὸς ἀγαθοῦ 71
παραίνεσις ἀναπεπτωκότας ταῖς γνώμαις ἐγεῖραι καὶ διάρασα εἰς ὕψος
ἐπάνω τῶν καιρῶν καὶ τῶν πραγμάτων ἱδρύσασθαι φρόνημα γενναῖον
καὶ ἀκατάπληκτον ἐνθεῖσα. τὰ δὲ ἁρμόττοντα τοῖς τε ὑπηκόοις καὶ τῷ 72
κληρονόμῳ τῆς ἡγεμονίας διαλεχθεὶς ἄρχεται τὸν θεὸν ὑμνεῖν μετ' ᾠδῆς,
τελευταίαν αὐτῷ βίου τοῦ μετὰ σώματος εὐχαριστίαν ἀποδιδούς, ἀνθ'
ὧν ἀπὸ γενέσεως ἄχρι γήρως καιναῖς καὶ οὐ ταῖς ἐν ἔθει χάρισιν
εὐηργετεῖτο· καὶ συναγαγὼν ἄθροισμα θεῖον, τὰ στοιχεῖα τοῦ παντὸς 73

1 εὐθυμίας S: προθυμίας ceteri (Turn.) φαιδρῶς G[2] 2 ὑμετέρας SH[2], ὑμ. ex ἡμ. corr. A: ἡμετέρας ceteri (v) 3 τοῦ θεοῦ AFG[1] 4 εὐθὺς om. A ἐπεῖπεν S: ἐξεῖπεν ceteri (v) οἷς ἐπίστευσαν om. S ἐπίστευσε A 5 Ἰησοῦν] ἰωσοῦα G[2] ἀνδραγαθήσεσθαι A 6 εὐβουλίαις] ἐπιβουλαῖς S ἀνενδυάστοις CG[2] 7 τελειοῦν G[2] 8 φιλοεθνὲς] φιλόθεον ἐς S, φιλοξενὲς A 10 alt. καὶ S: om. ceteri (Turn.) 11 τοῦ om. F[1] 12 ἅπασι τοῖς ἡγεμόσι S 13 ἀρχέτυπον παράδειγμα S: ἀρχέτυπον om. ceteri (v) ἀποβλέποντες S 14 βουλημάτων G[2]FHP ἀλλὰ A 15 αὐτῶν CG[2]G[1] (v) ἀλείφωσιν καὶ συγκροτῶσιν S 16 διάρασα SCG[2]: διᾶραι ceteri (v) 17 καὶ ἐπάνω AG[1] pr. τῶν] τε H[2] (v) καὶ τῶν S: τῶν om. ceteri (v) 18 ἐνθεῖσα καὶ ἀκατάπληκτον transp. A ἐνθεὶς HP δὲ SA: γοῦν F (Mang.), τε ceteri (Turn.) τε om. CG[2] 20 βίου S: τοῦ βίου ceteri (v) 21 γενέσεως S: γεννήσεως ceteri (Turn.) κεναῖς F οὐ S: οὐχὶ ceteri (v) 22 εὐηργετεῖτο C, εὐεργετεῖτο (η superscr.) S (η ss. S[2]): εὐηργέτητο ceteri (v)

5 Deut. 31,7. 23. 19sqq. Deut. 31,30sqq.

καὶ τὰ συνεκτικώτατα μέρη τοῦ κόσμου, γῆν τε καὶ οὐρανόν, τὴν μὲν
θνητῶν ἑστίαν, τὸν δὲ ἀθανάτων οἶκον, ἐν μέσοις τὰς ὑμνῳδίας ἐποιεῖτο
74 διὰ παντὸς ἁρμονίας καὶ συμφωνίας εἴδους, ἵνα κατακούσωσιν ἄνθρωποί
τε καὶ ἄγγελοι λειτουργοί, οἱ μὲν ὡς γνώριμοι, πρὸς τὴν τῆς ὁμοίας
εὐχαρίστου διαθέσεως διδασκαλίαν, οἱ δ' ὡς ἔφοροι θεασάμενοι κατὰ
τὴν σφῶν ἐμπειρίαν, μή τι τῆς ᾠδῆς ἐκμελές, καὶ ἅμα διαπιστοῦντες,
εἴ τις ἄνθρωπος ὢν ἐνδεδεμένος σώματι φθαρτῷ δύναται τὸν αὐτὸν
τρόπον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ τῶν ἄλλων ἀστέρων πανιέρῳ χορῷ
μεμουσῶσθαι τὴν ψυχὴν πρὸς τὸ θεῖον ὄργανον, τὸν οὐρανὸν καὶ τὸν
75 σύμπαντα κόσμον, ἁρμοσάμενος. ταχθεὶς δ' ἐν τοῖς κατὰ τὸν αἰθέρα
χορευταῖς ὁ ἱεροφάντης ἀνεκεράσατο ταῖς πρὸς θεὸν εὐχαρίστοις ὑμνῳδίαις
τὰ γνήσια πάθη τῆς πρὸς τὸ ἔθνος εὐνοίας, ἐν οἷς ἦσαν ἔλεγχοι παλαιῶν
ἁμαρτημάτων, αἱ πρὸς τὸν παρόντα καιρὸν νουθεσίαι καὶ σωφρονισμοί,
παραινέσεις αἱ πρὸς τὰ μέλλοντα διὰ χρηστῶν ἐλπίδων, αἷς ἐπακολουθεῖν
ἀναγκαῖον αἴσια τέλη.
76 (4.) Ὡς δ' ἐτέλεσε τὰς χορείας ὁσιότητι καὶ φιλανθρωπίᾳ τρόπον
τινὰ συνυφασμένας, ἤρξατο μεταβάλλειν ἐκ θνητῆς ζωῆς εἰς ἀθάνατον
βίον κὰκ τοῦ κατ' ὀλίγον συνῃσθάνετο τῆς τῶν ἐξ ὧν συνεκέκρατο δια-
ζεύξεως, τοῦ μὲν σώματος ὀστρέου | δίκην (περιπεφυκότος) περιαιρουμένου, p. 388 M
τῆς δὲ ψυχῆς ἀπογυμνουμένης καὶ τὴν κατὰ φύσιν ἐνθένδε ποθούσης

1 μέρη τοῦ κόσμου S: τοῦ κόσμου μέρη ceteri (v)   τε S: om. ceteri (v)
2 τὸν] τῶν C[1]F[1]   ἐν μέσοις τὰς S: om. ceteri (Turn.): τὰς om. Mang.
3 ἵνα κατακούσωσιν S: ἣν κατακούουσιν ceteri (v)   4 τε om. SC   ἄγγελοι λειτουργοί] θεοί S   γνώριμα F   ὁμοίας codd.: ὁμοίως Mang.
5 εὐχαριστίαν F   θεώμενοι G[1]: θεασάμενοι v   5. 6 θεασάμενοι κατὰ τὴν σφῶν ἐμπειρίαν S: κ. τ. σ. ἐ. θ. ceteri (v)   6 τὴν τῶν σφῶν H[1]P: σοφῶν (pro σφῶν) Turn. ἐμπορίαν G[2], ἐνέργειαν A   ἀμελὲς A   7 ἐνδεδεμένος S: δεδεμένος ceteri (v) δύναται τὸν αὐτὸν] δυνατόν ἐστιν αὐτῷ τὸν ὅμοιον HP (Turn.)   8 τῷ SG[1]H[2]: om. ceteri   ἄστρων S   τῷ πανιέρῳ A, πανιέρῳ om. HP (Turn.)   9 τὸν οὐρανὸν om. F   10 δὲ A   αἰθέρα SC: ἀέρα ceteri   11 ἱεροφάντης] ἱεράρχης F   θεὸν SAG[2]: τὸν θεὸν ceteri (v)   12 τὰ—εὐνοίας om. in textu S, add. mg S   ἔθος F   13 αἱ om. G[2]   14 αἱ om. HP   τὸν μέλλοντα coni. Mang.   15. 16 αἴσια τέλη. ὡς δ' SCG[2] (δὲ S): τελείως δὲ (om. αἴσια) A, αἴσια. τελείως δὲ FG[1]HP   16 ἐτέλεσε CG[2]: τελέσας AG[1]HP, καὶ τελέσας F, ἐτέλεσε τὰς om. S   ὁσιότητα F   17 συνυφασμένας S   εἰς] πρὸς S
18 κὰκ S: καὶ ἐκ ceteri   τοῦ] τῆς FG[1]H[1]P   τῆς τῶν scripsi: τῶν F (Mang.), τῆς ceteri (Turn.)   ἐξ ὧν] ἐκ τῶν S   συγκέκρατο S   19 ὀστρέου SG[2] (coni. Mang.): ὀστέου ceteri   περιπεφυκότος addidi (cf. *de Iosepho* § 71) περιαιρούμενος G[2], περιαιρουμένου A, ἀναιρουμένου F   20 τὴν] τῆς SA post φύσιν add. τοῦ σώματος ζωῆς A   ποθούσης ἐνθένδε transp. H (v), ἐνθένδε μεταναστᾶσαν ποθούσης A

μετανάστασιν. εἶθ' ἑτοιμασάμενος τὰ πρὸς ἔξοδον οὐ πρότερον ἐστείλατο 77
τὴν ἀποικίαν ἢ τὰς τοῦ ἔθνους φυλὰς ἁπάσας εὐχαῖς ἐναρμονίοις [ἀριθμῷ
δώδεκα] γεραῖραι διὰ τῆς τῶν φυλαρχῶν κατακλήσεως· ἃς ὅτι τελεσ-
φορηθήσονται πιστευτέον· ὅ τε γὰρ εὐξάμενος θεοφιλὴς ὅ τε θεὸς
φιλάνθρωπος ὑπὲρ ὧν τε αἱ αἰτήσεις εὐπατρίδαι καὶ εὐγενεῖς τὴν ἀνωτάτω
τεταγμένοι τάξιν, ὑπὸ στρατάρχῃ τῷ ποιητῇ πάντων καὶ πατρί. [αἰτήσεις 78
δ' ἦσαν αἱ τῶν ἀληθινῶν ἀγαθῶν, οὐ μόνον ἐν τῷ θνητῷ ὅπως
ὑπάρχωσιν αὐτοῖς βίῳ, ἀλλὰ πολὺ μᾶλλον ἐπὰν ἄνετος τοῦ τῆς σαρκὸς
δεσμοῦ γένηται ἡ ψυχή.] μόνος γὰρ Μωυσῆς τὴν πρὸς τὰ θεῖα, ὡς 79
ἔοικεν, ἐξ ἀρχῆς τὸ σύμπαν ἔθνος ὑπολαβὼν ἔχειν ἀναγκαιοτάτην
συγγένειαν, πολὺ γνησιωτέραν τῆς ἀφ' αἵματος, πάντων ἀγαθῶν ὧν δὴ
ἀνθρωπίνη φύσις χωρεῖ κληρονόμον ἀπέφηνεν, ἃ μὲν αὐτὸς εἶχεν, ἐξ
ἑτοίμου διδούς, ἃ δὲ μὴ κέκτητο, τὸν θεὸν ἱκετεύων παρασχεῖν, εἰδὼς
τὰς τῶν χαρίτων αὐτοῦ πηγὰς ἀενάους μὲν οὔσας, οὐ πᾶσι δ' ἀνειμένας,
ἀλλὰ μόνοις ἱκέταις· ἱκέται δ' εἰσὶν οἱ καλοκἀγαθίας ἐρῶντες, οἷς ἀρύτεσθαι
θέμις ἀπὸ τῶν ἱερωτάτων πηγῶν διψῶσι σοφίας.

(5.) Τὰ μὲν οὖν δείγματα τῆς τοῦ νομοθέτου φιλανθρωπίας καὶ 80
κοινωνίας, ᾗ ἐχρήσατο καὶ δι' εὐμοιρίαν φύσεως ἀγαθῆς κἀκ τῆς τῶν
ἱερῶν λογίων ὑφηγήσεως, μεμήνυται. λεκτέον δὲ ἃ καὶ τοῖς ἔπειτα
διετάξατο, εἰ καὶ μὴ πάντα — οὐ γὰρ ῥᾴδιον —, τὰ γοῦν ἀγχίσπορα
καὶ ἐγγυτάτω τῶν ἐκείνου βουλευμάτων. τὸ γὰρ ἐπιεικὲς καὶ ἥμερον 81
οὐκ ἐν ταῖς πρὸς ἀνθρώπους αὐτὸ μόνον ἱδρύεται κοινωνίαις, ἀλλ' ἐπι-

1 μετάστασιν HP (v) εἶτ' SH (v) τὰ om. A 2 τὴν] τὰ πρὸς S κατοικίαν H ἀριθμῷ] τὸν ἀριθμὸν S 2. 3 ἀριθμῷ δώδεκα seclusi 3 τῶν om. F φυλάρχων AH[1]P κατακλίσεως CG[2] ἃς] αἳ A 4 πιστεύω A ὅ τε θεὸς SCG[2]G[1]: ὁ δὲ θεὸς AFHP (v) 5 ὑπὲρ ὧν τε S: ὑπὲρ ὧν CH[1]P, ὑπὲρ δὲ ὧν G[1]H[2] (v), καὶ ὑπὲρ ὧν AG[2], οὗπερ (sic) F 6 verba αἰτήσεις — ἡ ψυχή (9) om. S nec Philonea esse existimo 7 ὅπως] ὅταν A 8 ὑπαρχθῶσιν (sic) CG[2] αὐτοῖς FG[1]H[2]: αὐτῷ CG[2]H[1]P, τῷ A 9 μωσῆς γὰρ μόνος transp. F Μωυσῆς — θεῖα om. S 10 ἔχειν S: ἕξειν ceteri (v) 11 τῆς] τῶν F δὴ S: ἡ ceteri (v) 12 ἀπέφαινεν S, ἀπέφανεν AH[1]P εἶχεν S: ἔσχεν ceteri (v) 13 κέκτητο S: ἐκέκτητο ceteri (v) 14 πηγὰς ἀεννάους S: ἀεννάους (ἀενάους C) πηγὰς ceteri (v) μὲν οὔσας S: μενούσας ceteri 15 οἰκέταις· οἰκέται A ἀρύτεσθαι G[1], ἀρύττεσθαι CAH[1]P: ἀρύεσθαι SFG[2]H[2] (v) 17 τὰ — φύσεως (18) om. F φιλανθρωπίας] σοφίας A 17. 18 καὶ κοινωνίας S: om. ceteri (v) 18 ᾗ A: οἷς ceteri (v) καὶ δι' S: καὶ AG[2]HP, κατ' G[1], πρὸς C (v) εὐμοιρίας AH[1]P 19 λογίων S: βιβλίων A, βίβλων ceteri (v) ' F 20 εἰ καὶ CAG[2]: καὶ εἰ ceteri (v) 21 γὰρ] γοῦν CAG[2] 22 αὐτὸ CG[2]: αὐτῷ ceteri (Turn.) ἱδρύεται S: ἵδρυται ceteri (Turn.)

'sq. Deut. cap. 33.

[illegible] τὰς τῶν ἀλόγων [illegible] ἰδέας. ἃ δὲ περὶ [illegible] ποιησάμενον ἀπ' [illegible].

[illegible] ὀνομάζων οὐ [illegible] ἂν ἀστὸς καὶ [illegible] ὡς ἀπὸ θρεμμά[illegible] καὶ συμβάλλειν [illegible] μὲν χαρίζεσθαι [illegible] δάνειόν ἐστιν, [illegible] ἑκουσίῳ διαθέσει p. 389 M. [illegible] ἑτοιμότατα [illegible]. οὕτως γὰρ [illegible] εἰσφέρειν [illegible] προήκαντο μόνα [illegible] ἀντὶ τόκων οὓς

---

1 [illegible] ἑαυτὸν A [illegible] ἰδέας δένδρων [illegible] ποιησάμενος [illegible] 5 tit. περὶ τοῦ μὴ [illegible] Richt. Tauchn. [illegible] 6. 7 καὶ ὁμόφυλος S: [illegible] δεκατῶν [illegible] mg H 8 [illegible] om. ceteri (v) 11 [illegible] ceteri (sic Turn. Mang., [illegible] om. [illegible] ceteri 13 [illegible] 14 [illegible] ἑτοιμότατοι ceteri (v) [illegible] 15 [illegible] ceteri (v) προήκαντο S: [illegible] om. ceteri (Turn.)

---

5 Exod. 22.25. Lev. 25.36. 37. [illegible] 5 sqq. Clem. Alex. Strom. II [illegible] καὶ κοινωνίας πολλῶν [illegible] ἀδελφὸν ὀνομάζων [illegible] ἀλλὰ [illegible] χάριτος· ἤδη δὲ ὁ μεταδότικος καὶ [illegible] τῶν ἐν ἀνθρώποις, ἡμερότητα, χρηστότητα, [illegible].

λαβεῖν οὐκ ἠξίωσαν ἐπεισφέρονται τὰ κάλλιστα καὶ τιμιώτατα τῶν ἐν
ἀνθρώποις, ἡμερότητα, κοινωνίαν, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν,
εὔκλειαν· οἷς τίς κτῆσις ἐφάμιλλος; ἀπορώτατος μὲν οὖν καὶ ὁ μέγας 85
βασιλεὺς ἀναφανεῖται κατὰ σύγκρισιν μιᾶς ἀρετῆς· τοῦ μὲν γὰρ ὁ πλοῦτος
ἄψυχος ἐν ταμείοις καὶ μυχοῖς γῆς κατορωρυγμένος, ἀρετῆς δ' ἐν ψυχῆς
τῷ ἡγεμονικῷ· μεταποιεῖται δὲ αὐτοῦ καὶ τὸ καθαρώτατον τῆς οὐσίας,
οὐρανός, καὶ ὁ γεννητὴς τῶν συμπάντων θεός. ἔτι τοίνυν τὴν ὀβολο-
στατῶν καὶ τοκογλύφων εὔπορον ἀπορίαν ἐν λόγῳ θετέον τῶν πολυχρύσων
δοκούντων εἶναι βασιλέων οὐδ' ὄναρ ἑωρακότων τὸν βλέποντα πλοῦτον;
εἰσὶ δ' οἳ τοσαύτῃ κέχρηνται μοχθηρίας ὑπερβολῇ, ὥστε οὐκ ἔχοντες 86
ἀργύριον τροφὰς δανείζουσιν ὡς πλείους ὧν ἔδοσαν αὖθις κομιζόμενοι.
ταχὺ γ' ἂν οὗτοι μεταιτοῦσιν ἔρανον παράσχοιεν λιμὸν ἐν εὐθηνίᾳ καὶ
εὐετηρίᾳ κατασκευάζοντες καὶ τὴν ἀθλίων ἀνθρώπων γαστρὸς ἔνδειαν
προσοδευόμενοι καὶ μόνον οὐκ ἐπὶ τρυτάνης ἱστάντες σιτία καὶ ποτά, μὴ
καθέλκῃ ῥοπή. τοῖς οὖν μεθέξουσι τῆς καθ' αὑτὸν ἱερᾶς πολιτείας 87
ἀναγκαίως παραγγέλλει τὰς ἰδέας τῶν τοιούτων πόρων ἐκτρέπεσθαι·
δουλοπρεποῦς γὰρ καὶ σφόδρα ἀνελευθέρου ψυχῆς τὰ ἐπιτηδεύματα
μεταβεβληκυίας εἰς ἀγριότητα καὶ θηρίων φύσιν.

———

ἐπεισφέρονται om. v (ἔλαβον supplere voluit Mang.) 2 ἡμερότητα, κοινωνίαν
m. v 3 οἷς τίς S: ἧς C, εἰς G², ὧν ceteri (Turn.) κτήσεις G²
φάμιλλος om. in lac. G¹ post ἐφάμιλλος add. οὐδεμία A ἀπορώτατος]
ροορώτατος F¹G², πραώτατος H¹P, πενιχρότατος A 4 ἀναφανεῖται S: ἀνα-
αίνεται ceteri (v) 5 μυχοῖς γῆς SHP: γῆς μυχοῖς CAFG¹, γῆν μυχοῖς G²
ρετῆς δ' S: τῆς δὲ ceteri (Turn.; τῆς δὲ ἀρετῆς Mang.) 6 δὲ SG¹:
' AH, δι' CFG²P 7 γενητὴς HP, γεννέτης S² τῆς τῶν συμ-
άντων οὐσίας θεός A τοίνυν] νῦν CG² 8 ἄπορον εὐπορίαν A
ν λόγῳ θετέον S: λόγω θετέον CG² (v), λογοθετέον FG¹HP, λογιστεύει A
ῶν S: om. ceteri (v) 9 τὸν S: om. ceteri (Turn.) βλέποντα]
ιέλλοντα S 10 ὥστ' A 11 ἔδοσαν] ἔλαβον S κομιζόμενοι
FG²H¹P: κομισόμενοι SAG¹H² (v); κομιούμενοι conicio 12 ταχὺ] τάχα coni.
lang. γ' ἂν SCFG¹: γὰρ AG², γοῦν HP (v) ὡς ἔρανον A
ν om. F 12. 13 ἐν εὐετηρίᾳ καὶ ἐν εὐθηνίᾳ S 13 τὴν S: τῶν A,
ἧς ceteri (v) ἄθλων F, ἀθλίας HP (Turn.) 14 pr. καὶ S: om.
eteri (v) μόνον οὐ γὰρ F σιτία om. G² alt. καὶ] ὡς A, τοῦ G¹
οτά S: om. ceteri (v) 14. 15 μὴ καθέλκῃ ῥοπή S: μὴ καθέλκειν ῥοπὴν (πλά-
στιγγος add. A) ceteri (v) 15 καθ' αὑτὸν S: κατ' αὐτὸν ceteri (v) ἱερᾶς
ολιτείας SF²: πολιτείας ἱερᾶς ceteri (v) 16 ἀναγκαῖον F εἰδέας S
όρων] σπόρων F, παρ' ὧν S 18 μεταβεβληκυίας S: μεταβεβληκότας FG²H¹P,
εταβεβληκότα A, μεταβεβληκότος C, μεταβεβληκέναι G¹, μεταβεβηκυίας H² (Turn.)
ηρίων] θήρειον coni. Mang.

ἕτερος ὁ προφήτης τῶν νόμων — ὁδὸν γὰρ οἷα λεωφόρον ἄγουσαν ἐφ᾽
ὁσιότητα ταύτην ἠπίστατο — τοὺς ὑπ᾽ αὐτὸν ἅπαντας ἤλειφε καὶ
συνεκρότει πρὸς κοινωνίαν, παράδειγμα καλὸν ὥσπερ γραφὴν ἀρχέτυπον
52 στηλιτεύσας τὸν ἴδιον βίον. τὰ μὲν οὖν ἐκ πρώτης ἡλικίας ἄχρι γήρως
εἰς ἐπιμέλειαν καὶ κηδεμονίαν ἑνὸς ἑκάστου καὶ πάντων ἀνθρώπων
πεπραγμένα αὐτῷ δεδήλωται πρότερον ἐν δυσὶ | συντάξεσιν, ἃς ἀνέγραψα p. 384
περὶ τοῦ βίου Μωυσέως. ἑνὸς δὲ ἢ δυοῖν ὧν ἐπὶ τελευτῇ κατώρθωσεν
ἄξιόν ἐστιν ἐπιμνησθῆναι· δείγματα γάρ ἐστι τῆς συνεχοῦς καὶ ἀδιαστάτου
καλοκἀγαθίας, ἣν ἀσύγχυτον ἐνεσφραγίσατο τῇ ψυχῇ χαρακτῆρι θείῳ
53 τυπωθείσῃ. ἐπειδὴ γὰρ ἡ προθεσμία τῆς θνητῆς ζωῆς ἔμελλεν αὐτῷ
περατοῦσθαι καὶ λογίοις ἀριδήλοις ἔγνω τὴν ἐνθένδε μετανάστασιν, οὐδένα
τῶν ἄλλων ἢ βασιλέων ἢ ἰδιωτῶν ἐμιμήσατο, οἷς μία σπουδή τε καὶ
εὐχὴ κληρονόμους παῖδας καταλιπεῖν, ἀλλὰ καίτοι πατὴρ γεγονὼς δυοῖν
υἱοῖν οὐδετέρῳ τὴν ἀρχὴν ἀπέλιπεν ἡττηθεὶς εὐνοίας συγγενικῆς καὶ
πάθους φιλοικείου· καίτοι, εἰ καὶ τὰ τῶν τέκνων δι᾽ ὑποψιῶν ἦν, ἀλλ᾽
ἀδελφιδῶν γοῦν οὐκ ἠπόρει καλῶν κἀγαθῶν, οἳ γέρας ἀρετῆς ἔσχον
54 τὴν ἀνωτάτω ἱερωσύνην. ἀλλ᾽ ἴσως ἢ μεθέλκειν αὐτοὺς ἀπὸ τῆς θείας
λειτουργίας οὐκ ἐδοκίμασεν ἢ καὶ ὅπερ εἰκὸς ἐνενόησεν, ὅτι ἀμήχανον
τοὺς αὐτοὺς δύνασθαι καλῶς ἀμφοῖν ἐπιτροπεύειν, ἱερωσύνης τε καὶ
βασιλείας, ὧν ἡ μὲν ἐπαγγέλλεται θεοῦ θεραπείαν, ἡ δ᾽ ἀνθρώπων ἐπι-
μέλειαν. ἴσως δὲ καὶ κριτὴν αὐτὸν οὐκ ἠξίωσε γενέσθαι πράγματος

1 προφήτης S: πατὴρ ceteri (v) ἐπ᾽ S 2 ταύτην] αὐτὴν S
ὑπ᾽ αὐτὸν SAH^2: ὑφ᾽ αὐτὸν ceteri (v) εἴληφε SH^{1}P ἤλειφεν (εἴληφεν G^2)
ἅπαντας transp. CG^2 4 ἐκ τῆς πρώτης F 5 κηδαιμονίαν SC
6 δεδήλωται] λέλεκται S δυσὶ] τρισὶ CG^2 (Mang.) τάξεσιν F
7 τοῦ om. S μωϋσέως SCG^2: μωϋσέος ceteri δὲ SA: δ᾽ ceteri
δυεῖν G^1, δευτέρου S 8 ἄξιον ἐστὶν S: ἀναγκαῖον ceteri (v) alt. ἐστὶ S: εἰσι
ceteri (v) συνεχούσης FG^{2}H^1 ἀδιστάκτου H^{1}P 9 ἀσύγκριτον S
ἐνεσφραγίσατο S: ἐπεσφραγίσατο ceteri (v) 11 περατοῦσθαι scripsi: περαιοῦσθαι codd.
(περεοῦσθαι S) λόγοις P ἀριδήλοις SCG^2: ἀριδήλως ceteri ἔγνω S:
προέγνω ceteri (Turn.) μετανάστασιν SAG^1: μετάστασιν ceteri (Turn.)
12 pr. ἢ om. S 13 ἀπολιπεῖν S δυεῖν G^1 14 υἱοῖν om. S
οὐδετέρω SG^{1}H^2: θατέρω C^{1}G^2, οὐθετέρω ceteri ἀπέλειπεν SHP εὐνοίας
συγγενικῆς Mang.: εὐνοίας συγγενείας S, εὐνοία (ἀγάπη A) συγγενικῇ ceteri (Turn.)
καὶ] ἐκ G^1 15 πάθει φιλοικείω A (Turn.) καὶ εἰ transp. CG^2, καὶ om. FG^1
ἀλλ᾽ S: om. ceteri (v) 16 κἀγαθῶν S: καὶ ἀγαθῶν ceteri (v) οἳ καὶ γέρας S
17 καὶ τὴν S ἄνω S 18 ἐδοκήμασεν S: ἐδοκίμαζεν ceteri (v)
καὶ om. S εἰκὸς] εἰκὸς ἦν FHP (v) ἐνενόησεν] οὐκ ἐνόησεν S
ἀμήχανον τοῦτο CG^2 19 καλῶς S: om. ceteri (v) ἀμφοῖν S: ἄμφω
ceteri (v) 21 αὐτὸν CA: αὐτὸν ceteri

μεγάλου· μέγιστον δ' ἐστὶ τὸν εὖ πεφυκότα πρὸς ἀρχὴν δοκιμάσαι καὶ
σχεδὸν θείας δυνάμεως, ᾗ μόνῃ καθορᾶν ἦθος ἀνθρώπου ῥᾴδιον.
(2.) πίστις δὲ σαφεστάτη τοῦ δηλουμένου γένοιτ' ἂν ἥδε. φίλος ἦν 55
αὐτῷ καὶ γνώριμος σχεδὸν ἐκ πρώτης ἡλικίας γενόμενος, Ἰησοῦς ὄνομα,
οὗ τὴν φιλίαν προὐξένησεν οὐδὲν τῶν παρὰ τοῖς ἄλλοις εἰωθότων, ἀλλ'
ἔρως ὁ οὐράνιος καὶ ἀκήρατος καὶ θεῖος ὄντως, ἐξ οὗ πᾶσαν ἀρετὴν
φύεσθαι συμβέβηκεν· οὗτος ὁμωρόφιος καὶ ὁμοδίαιτος ἦν αὐτῷ, πλὴν
ὁπότε ἐπιθειάσαντι καὶ χρησμῳδουμένῳ προσταχθείη μόνωσις· ὑπηρέτει
μέντοι καὶ τὰς ἄλλας ὑπηρεσίας ἀεὶ διαφερόντως τῷ πλήθει, μόνον οὐχ
ὕπαρχος ὢν καὶ τὰ τῆς ἡγεμονίας συνδιοικῶν. ἀλλὰ καίτοι βάσανον 56
ἀκριβῆ λαβὼν ἐκ μακρῶν χρόνων τῆς ἔν τε λόγοις καὶ ἔργοις καλοκἀγαθίας αὐτοῦ καὶ — τὸ ἀναγκαιότατον — εὐνοίας τῆς πρὸς τὸ ἔθνος, οὐδὲ
τοῦτον ᾠήθη χρῆναι καταλιπεῖν διάδοχον, δεδιὼς μή ποτε ψευδοδοξῇ
νομίζων ἀγαθὸν τὸν οὐκ ὄντα πρὸς ἀλήθειαν, ἐπειδὴ τὰ κριτήρια τῆς
ἀνθρωπίνης γνώμης ἀμυδρὰ καὶ ἀβέβαιά πως εἶναι πέφυκεν. ὅθεν οὐ 57
προπιστεύων ἑαυτῷ ποτνιᾶται καὶ καθικετεύει τὸν ἀοράτου ψυχῆς ἔφορον
385 M. θεόν, ᾧ μόνῳ διάνοιαν ἔξεστιν ἀκριβῶς θεωρεῖν, | ἀριστίνδην ἑλέσθαι τὸν
ἐπιτηδειότατον εἰς ἡγεμονίαν, ὃς οἷα πατὴρ ἐπιμελήσεται τῶν ὑπηκόων·
καὶ τὰς καθαρὰς καὶ ὡς ἂν εἴποι τις τροπικώτερον παρθένους χεῖρας
ἀνατείνας εἰς οὐρανόν φησιν· „ἐπισκεψάσθω κύριος ὁ θεὸς τῶν πνευμάτων 58

1 δ' ἐστὶν S: δ' ὅτι AF, δὲ ὅτι ceteri (v) 1. 2 καὶ σχεδὸν SG^2: καὶ om. ceteri (v) 2 καθορᾶ C ἀνθρώπου S: ἀνθρώπων ceteri (v) 3 ἀδηλουμένου F, προκειμένου G^1, γενομένου A γένοιτο (om. ἂν) CG^2 4 σχεδὸν ἐκ πρώτης S: ἐκ πρώτης σχεδὸν ceteri (v) τοὔνομα S 5 τὴν πρώτην φιλίαν S οὐδὲν] οὐδεὶς S παρὰ] περὶ F τοῖς om. A 6 ἔρως] ὅρος A ὁ οὐράνιος S: ὁ om. ceteri (v) καὶ θεῖος ὄντως S: om. ceteri (v) 7 ὁμωρόφιος S^1AFG^1: ὁμορόφιος ceteri (Turn.) 8 μόνωσις] μόνος εἰσίῃ S 9 τὰς S: om. ceteri (v) ἀεὶ διαφερόντως τῷ πλήθει S: αἳ τῷ πλήθει διέφερον G^1, ἃς τῷ πλήθει διέφερε ceteri (v) μονονουχὶ A, μόνον οὐκ S^1, μονονοὺκ G^1G^2 10 ἡγεμονείας HP, οἰκονομίας A συνδιοικῶν S: διοικῶν ceteri (Turn.) 11 τῶν χρόνων A ἐν ἔργοις S 11. 12 καλοκἀγαθίας αὐτοῦ S: αὐτοῦ καλοκαγαθίας CG^2, αὐτοῦ post λόγοις (11) transp. ceteri (v) 12 τὸ ἀναγκαιότατον SCG^2: τοῦ ἀναγκαιοτάτου A (coni. Mang.), τῶν ἀναγκαιοτάτων FG^1HP 13 διάδοχον SF: om. ceteri (Turn.) δεδειὼς S μή ποτε S: ποτε om. ceteri (v) ψευδοδοξῇ SA: ψευδοδοξεῖ F, ψευδοδοξεῖν CG^2HP, ψευδοδοξοίη G^1 16 προπιστεύων SC^1G^2: προσπιστεύων ceteri (v) ἀόρατον A 17 θεόν, ᾧ μόνῳ διάνοιαν ἔξεστιν ἀκριβῶς θεωρεῖν S: θεὸν μόνον (μόνον θεὸν F) ᾧ διάνοιαν ἀκριβῶς θεωρεῖν ceteri; θεὸν μόνον, ὃς διάνοιαν ἀκριβῶς θεωρεῖ v 19 ὡς εἶπέ τις S 20 ἀνατείνας εἰς οὐρανοὺς S (οὐρανόν scripsi): εἰς οὐρανὸν ἀνατείνας ceteri (v) φησίν· ἐπισκεψάσθω S: φησίν· ἐπισκεψάσθω δὴ CG^2AG^1, φησίν· ἐπισκεψάτω δὴ F, φησίν· ἐπισκεψάσθω δή, φησίν HP

20 Num. 27,16. 17.

καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς πληθύος, εἰς ἐπιμέλειαν καὶ προστασίαν ποιμένα ὃς ἀνυπαιτίως ἀφηγήσεται, ἵνα μὴ γένηται σαθρὸν τὸ
59 ἔθνος οἷα ποίμνη σποράς ἀγελάρχην οὐκ ἔχουσα.“ καίτοι τίς οὐκ ἂν κατεπλάγη τῶν τότε τῆς εὐχῆς ἀκούσας, „τί φῄς“ εἰπὼν „ὦ δέσποτα; οὐκ εἰσὶ μέν σοι γνήσιοι παῖδες, οὐκ εἰσὶ δ' ἀδελφιδοῖ; μάλιστα μὲν τοῖς υἱοῖς — κληρονόμοι γὰρ οὗτοι φύσει πρῶτοι — κατάλιπε τὴν
60 ἀρχήν, εἰ δ' ἀποδοκιμάζεις, τοῖς γοῦν ἀδελφιδοῖς. εἰ δὲ καὶ τούτους ἀνεπιτηδείους ὑπείληφας τὸ ἔθνος προκρίνων τῶν συγγενεστάτων καὶ οἰκειοτάτων, ἀλλ' ἔστι γέ σοι φίλος ἄμεμπτος βάσανον ἀρετῆς τελείας δεδωκώς σοι τῷ πανσόφῳ· τί δὴ τοῦτον, εἰ μὴ γένους ἀλλὰ καλοκἀγαθίας
61 ἡ αἵρεσίς ἐστιν, οὐκ ἀξιοῖς δοκιμάζειν;“ ἀλλ' ἀποφανεῖται ὅτι „πάντων μὲν κριτὴν ποιεῖσθαι θέμις θεόν, διαφερόντως δὲ τῶν μεγάλων, ἐν οἷς

---

1 εἰς om. S 2 ποιμένα scripsi: ποιμένος C[2]FG[1]HP (v), ποιούμενος SC[1]G[2]A ὃς ἀνυπαιτίως ἀφηγήσεται CG[2] mg F[2], ὃς ἂν ὑπαιτίως ὑφηγήσηται S: om. ceteri σαθρὸν om. S 3 σποράς scripsi: ἐπ' ὄρους S, σποράδην ceteri (v) 4 τότε] ποτὲ HP (Turn.) ἐπακούσας HP (v) ὦ S: om. ceteri (Turn.) 5 σοι] σου H[1]P ἀδελφοί A μὲν S: μέντοι ceteri (v) 6 φύσει S: τῇ φύσει ceteri (v) πρῶτοι S: οἷς CG[2], om. G[1], πρώτοις ceteri (v) κατάλειπε HP 7 ἀδελφοῖς A τούτοις Richt. Tauchn. 9 γέ] δέ F σοι om. G[1] 10 δὴ τοῦτον] δῆτ' οὖν S εἰ] ἢ S[1], ἡ S[2], ἡ F[1] 11 ἀποφανῆται S (ἀποφανεῖται scripsi): ἀποκρίνεται ceteri (v) ὅτι] ὅταν A 12 κριτὴν] κρίσιν AHP (Turn.) ποιεῖσθαι θέμις θεόν G[1]: ποιεῖσθαι θεὸν ἄριστον S, ποιεῖσθαι θέμις (om. θεόν) ceteri (Turn.) θέμις] θέλω P τῶν μεγάλων S: om. ceteri (v)

4sqq. *Origenes in Num. Homil. XXII 4 (t. X p. 271 Lomm.)* Sed interim videamus Mosis magnificentiam. recessurus de saeculo orat Deum, ut provideat ducem populo. quid agis, o Moses? num quid filii tibi non sunt, Gersom et Eliezer? aut si aliquid de ipsis dubitas, non sunt filii fratris magni et egregii viri? quomodo non oras Deum pro ipsis, ut eos constituat populo duces? sed discant ecclesiarum principes, successores sibi non eos qui consanguinitate generis iuncti sunt nec qui carnis propinquitate sociantur testamento signare ..., sed referre ad iudicium Dei et non eligere illum, quem humanus commendat affectus, sed Dei iudicio totum de successoris electione permittere. *Isidor. Pelus. lib. III epist. 289 (Migne t. 78 col. 963)* Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἄγαμαι τὸν θεοφιλῆ Μωυσέα, ἐν τούτῳ δὲ διαφερόντως, ὅτι παντὸς πάθους κρείττων ὢν καὶ τῆς φυσικῆς φιλοστοργίας ἐκράτησε. δύο γὰρ ἔχων υἱοὺς τεχθέντας μὲν παρ' αὐτοῦ, τῆς δὲ πατρῴας ἀρετῆς μὴ γεγονότας ζηλωτάς, οὐδένα αὐτῶν διάδοχον τῆς στρατηγίας ἐχειροτόνησεν, ἀλλὰ τὸν ἀρετῇ μᾶλλον ἢ γένει προήκοντα, τὴν ἀρετὴν προκρίνας τῆς πρὸς τὴν τοῦ καλοῦ διάκρισιν πολλάκις τυφλωττούσης φύσεως· οἱ γὰρ ἐκ πατέρων νομίζοντες δίκαιον εἶναι τὰς ἀρχὰς ἐπὶ τοὺς παῖδας καταβαίνειν τυφλώττουσι πρὸς τὴν ἀλήθειαν. *Theodoret. Quaest. in Num. 47 (Migne t. 80 col. 397)* θαυμάσαι δὲ ἄξιον τὸν προφήτην, ὅτι καὶ παῖδας ἔχων καὶ ἀδελφὸν καὶ ἀδελφιδοῦν οὐδένα τούτων ἡγεμόνα προὐβάλετο, ἀλλὰ τὸν θεὸν ἤρετο καὶ τὸν ὑπ' αὐτοῦ ψηφισθέντα κεχειροτόνηκε.

τὸ εὖ γε ἢ χεῖρον μυρίους ὅσους εἰς εὐδαιμονίαν ἤγαγεν ἢ τοὐναντίον εἰς κακοδαιμονίαν. μεῖζον δ' οὐδὲν ἀρχῆς, ᾗ τὰ πόλεων καὶ χωρῶν ὅσα κατὰ πόλεμον ἢ κατ' εἰρήνην ἐπιτέτραπται· ὡς γὰρ πρὸς εὔπλοιαν ἀγαθοῦ καὶ τὴν γνώμην καὶ τὴν ἐπιστήμην δεῖ κυβερνήτου, τὸν αὐτὸν τρόπον καὶ πρὸς εὐνομίαν ὑπηκόων τῶν ἑκασταχοῦ χρεία πανσόφου τινὸς
ἡγεμόνος. σοφίαν δὲ πρεσβυτέραν οὐ μόνον τῆς ἐμῆς γενέσεως ἀλλὰ 62
καὶ τῆς τοῦ κόσμου παντὸς οὖσαν οὔτε θέμις οὔτε δυνατὸν ἄλλῳ τῳ κρίνειν ἀλλ' ἢ τῷ θεῷ καὶ τοῖς ἀδόλως καὶ καθαρῶς καὶ γνησίως αὐτῆς
ἐρῶσιν. ἐδιδάχθην δ' ἀπ' ἐμαυτοῦ μηδ' ἄλλον τινὰ τῶν ἐπιτηδείων εἶναι 63
δοκούντων εἰς ἀρχὴν δοκιμάσαι. τὴν γοῦν ἐπιμέλειαν καὶ προστασίαν τῶν κοινῶν οὔτ' αὐτὸς ἐθελοντὴς εἱλόμην οὔθ' ὑπ' ἄλλου τινὸς ἀνθρώπων χειροτονηθεὶς ἔλαβον, ἀλλὰ καὶ τοῦ θεοῦ χρησμοῖς ἐναργέσι καὶ λογίοις ἀριδήλοις ἐμφανῶς θεσπίζοντος καὶ προστάττοντος ἄρχειν ἀνεδυόμην ἱκετεύων καὶ ποτνιώμενος, εἰς τὸ μέγεθος ἀφορῶν τοῦ πράγματος, ἕως,
ἐπειδὴ πολλάκις ἐκέλευε, δείσας ἐπειθάρχησα. πῶς οὖν οὐκ ἄτοπόν 64
ἐστι μὴ τοῖς αὐτοῖς ἴχνεσιν ἐπακολουθῆσαι καὶ χρησάμενον ὅτ' ἔμελλον ἄρχειν δοκιμαστῇ θεῷ πάλιν ἐπ' αὐτῷ μόνῳ θέσθαι τὴν χειροτονίαν
386 M. τοῦ διαδόχου, μὴ | συνεφαψαμένης ἀνθρωπίνης γνώμης, ᾗ τὸ εἰκὸς συγγενέστερόν ἐστι τοῦ ἀληθοῦς, ἄλλως τε καὶ τῆς προστασίας οὐκ ἐπὶ

1 τὸ εὖ τε καὶ τὸ χεῖρον S   γε] τε F, om. A   ἢ om. G², ἢ χεῖρον om. C   ἤγαγεν codd.: ἀνήγαγεν v   1. 2 ἢ τοὐναντίον εἰς κακοδαιμονίαν om. in textu S, ἢ τοὐναντίον κακοδαιμονίαν add. mg S (ante ἤγαγεν)   2 εἰς om. (S)C   καὶ χωρῶν S: om. ceteri (v)   4 καὶ τὴν γνώμην om. FH¹P, ss. H²   4. 5 τὸν αὐτὸν τρόπον καὶ om. S   5 πρὸς δ' εὐνομίαν S   ὑπηκόων τῶν ἑκασταχοῦ S: τῶν ἑκασταχοῦ ὑπηκόων A, τῶν ἑκασταχοῦ om. G¹, ὑπηκόων τῶν ἑκάστου ceteri (Turn.)   χρεία G¹: om. ceteri (v)   6 γενέσεως] γνώσεως S   7 τῳ om. S   8 ἀλλ' ἢ S: ἀλλ' om. ceteri (v)   τῷ θεῷ S: τῷ om. ceteri (v)   τοῖς] τοὺς S   9 ἐρῶσιν] ἐρῶντας S   δ' om. S   ἀφ' ἐμαυτοῦ S¹, ἀπεμοῦ αὐτοῦ C; ὑπ' ἐμαυτοῦ conicio   11 ἐθελοντὴς] ἑκοντὴς S   οὔτ' S¹, οὔθ' corr. S²   ὑπ' ἄλλου τινὸς S: ὑπό τινος ceteri (v)   ἀνθρώπου AHP (v)   12 καὶ τοῦ θεοῦ S: om. ceteri (v)   εὐαγέσι A   λογισμοῖς A   13 θεοῦ ante ἐμφανῶς add. H² (v), post ἐμφανῶς add. θεοῦ F, τοῦ θεοῦ G¹   προστάττοντος SCG²: προστάσσοντος ceteri   14 τῶν πραγμάτων A   15 ἐκέλευε S: ἐκέλευσε ceteri (v)   ἐπιθάρχησα S   16 ἐστὶν S: ἦν ceteri (v)   ὅτ'] ὅτι S   18 συνεφαπτομένης A   18. 19 ᾗ τὸ εἰκὸς συγγενέστερόν ἐστιν S: ἣν εἰκὸς συγγενέστερόν ἐστι FG², ἣν εἰκὸς συγγενέστερον εἶναι CAH¹P, ἣν εἰκὸς συγγενεστέραν εἶναι H² (v), om. G¹   19 τοῦ ἀληθοῦς SG², τοῦ ἀ[redacted]ηθους C: τοῦ ἤθους A, τοῦ ἀήθους FH¹P, γρ. τοῦ εὐήθους mg H² (v), om. G¹

6 cf. Prov. Sal. 8,22 sqq.

τῷ τυχόντι ἔθνει γενησομένης, ἀλλὰ πολυανθρωποτάτῳ μὲν τῶν ἁπανταχοῦ
πάντων, ἐπάγγελμα δὲ ἐπαγγελλομένῳ μέγιστον, ἱκεσίαν τοῦ ὄντως ὄντος,
65 ὅς ἐστι ποιητὴς τῶν ὅλων καὶ πατήρ; ὅπερ γὰρ ἐκ φιλοσοφίας τῆς δοκι-
μωτάτης περιγίνεται τοῖς ὁμιληταῖς αὐτῆς, τοῦτο διὰ νόμων καὶ ἐθῶν
Ἰουδαίοις, ἐπιστήμη τοῦ ἀνωτάτω καὶ πρεσβυτάτου πάντων αἰτίου, τὸν
ἐπὶ τοῖς γενητοῖς θεοῖς πλάνον ἀπωσαμένοις· γενητὸς γὰρ οὐδεὶς ἀληθείᾳ
θεός, ἀλλὰ δόξῃ μόνον, τὸ ἀναγκαιότατον ἀφῃρημένος, ἀιδιότητα.“
66 (3.) Τοῦτο μὲν δὴ πρῶτον ἐναργέστατον δεῖγμα τῆς πρὸς ἅπαν τὸ
ὁμόφυλον αὐτοῦ φιλανθρωπίας καὶ πίστεως· ἕτερον δὲ τοῦ λεχθέντος
οὐκ ἀποδέον. ἐπειδὴ γὰρ ἀριστίνδην ὁ φοιτητὴς αὐτοῦ καὶ μιμητὴς
τῶν ἀξιεράστων ἠθῶν Ἰησοῦς ἄρχων ἐδοκιμάσθη κριτηρίοις θείοις, οὐχ
ὥσπερ ἂν ἕτερος ἐπὶ τῷ μὴ τοὺς υἱοὺς ἢ τοὺς ἀδελφιδοῦς αἱρεθῆναι
67 κατήφησεν, ἀλλὰ ὑποπλησθεὶς ἀλέκτου χαρᾶς, ὅτι μελλήσοι τὸ ἔθνος
ἐπιτρόπῳ χρῆσθαι τὰ πάντα ἀρίστῳ — καλὸν γὰρ κἀγαθὸν ἐξ ἀνάγκης
ᾔδει τὸν εὐάρεστον θεῷ —, λαβόμενος τῆς τούτου δεξιᾶς καὶ παραγαγὼν
αὐτὸν εἰς ἠθροισμένον τὸ πλῆθος, μηδὲν περὶ τῆς αὑτοῦ τελευτῆς εὐλα-
βηθείς, ἀλλὰ ταῖς ἀρχαίαις εὐφροσύναις νέας ἑτέρας προσειληφὼς οὐ
μόνον διὰ μνήμην τῶν πρότερον εὐπαθειῶν, αἷς κατακόρως διὰ παντὸς
εἴδους ἀρετῆς ἐνετρύφησεν, ἀλλὰ καὶ διὰ τὴν ἐλπίδα τοῦ μέλλειν ἀθανα-
τίζεσθαι μεταβαλὼν ἐκ φθαρτοῦ βίου εἰς ἄφθαρτον, ἱλαραῖς ὄψεσιν ἐκ

---

1 τῶν] τὸ F[1], τῶ F[2]G[2] ἁπανταχοῦ S: πανταχοῦ CG[2]AF, πανταχῇ G[1], ἁπανταχῇ HP (v) 2 δ' A ἐπαγγελλομένου S ἱκεσίαν om. S ὄντος ὄντως transp. G[2]HP 3. 4 τῆς δοκιμωτάτοις (sic) A 4 τοῦτο S: τοῦτο καὶ ceteri (v) διὰ] ἐκ G[2] ἠθῶν S, ἐθνῶν L (Turn.) 5 ἀνωτάτω AP: ἀνωτάτου ceteri αἰτίου S: om. ceteri (v) τὸν] τῶν H[1]P 6 γενητοῖς] θνητοῖς A ἀπωσαμένους C γεννητὸς A ἀληθείας FG[1]HP 7 δόξης FG[1]HP μόνη A ἀφαιρημένος S[1] (corr. S[2]), ἀφῃρημένη A, ἀφῃρημένου FHP 8 ἐνεργέστατον S 9 πίστεως S: πίστεως ἔργον ceteri (v) 10 ἀριστίνδην S: ἄριστος ὢν ceteri (v) 11 Ἰησοῦς] ἰωσούας G[2] ἄρχειν A 12 ἕτερος S: ἔνιοι ceteri (v) ἐπὶ τῷ] ἐπεὶ S μὴ ante αἱρεθῆναι transp. A ἢ] μὴ S ἀδελφιδοῦς SG[1]: ἀδελφοὺς ceteri (v) 13 κατήφησεν] κατηφίησεν S[2], ἀνιαρόν τί φησιν A post κατήφησε add. Μωυσῆς codd. (v), omisi cum S ἀλλὰ S: ἀλλ' ceteri ἀλήκτου SG[2], ἀνέκτου Richt. μέλλει A 14 χρήσασθαι A τὰ πάντα] τῶ πάντ' A ἄριστα S κἀγαθὸν S: καὶ ἀγαθὸν ceteri 14. 15 εἴδη (corr. ex ᾔδη) ἐξ ἀνάγκης transp. S 15 καὶ παραγαγὼν G[1]: παράγει μὲν S (Mang.), παράγει μὲν καὶ παραγαγὼν ceteri (Turn.) 16 μηδὲ A αὐτοῦ G[1]H[1]P, ἑαυτοῦ A 17 οὐ μόνον — ἱλαραῖς ὄψεσιν (20) S: om. ceteri (Turn.) 18 μνήμην scripsi: μνήμης S 19 ἀλλὰ καὶ S: καὶ om. Mang. 20 post βίου ras. 2—3 litt. in S εἰς] πρὸς conicio

---

15sqq. Num. 27,22. 23.

τῆς κατὰ ψυχὴν εὐθυμίας φαιδρὸς καὶ γεγηθώς φησιν· „ἐμοὶ μὲν ἀπαλ- 68
λάττεσθαι καιρὸς ἤδη τῆς ἐν σώματι ζωῆς· ὁ δὲ τῆς ὑμετέρας ἐπι-
τροπῆς διάδοχος οὗτός ἐστιν αἱρεθεὶς ὑπὸ θεοῦ“· καὶ τὰ χρησθέντα
λόγια τῆς δοκιμασίας εὐθὺς ἐπεῖπεν, οἷς ἐπίστευσαν. καὶ πρὸς τὸν 69
Ἰησοῦν ἀποβλέψας ἀνδραγαθίζεσθαι παραινεῖ καὶ σφόδρα ἰσχύειν ἐν ταῖς
εὐβουλίαις, ἀγαθὰς μὲν γνώμας εἰσηγούμενον, ἀνενδότοις δὲ καὶ ἐρρω-
μένοις λογισμοῖς τὰ γνωσθέντα καλῶς τελειοῦντα. καὶ ταῦτ' ἔλεγεν ἴσως
οὐ δεομένῳ παραινέσεως, ἀλλὰ τὸ φιλάλληλον καὶ φιλοεθνὲς πάθος οὐ
στέγων, ὑφ' οὗ τρόπον τινὰ κεντριζόμενος ἃ συνοίσειν ἐνόμιζεν ἀπεγύμνου.
ἦν δὲ καὶ χρησμὸς αὐτῷ παρακαλέσαι τὸν διάδοχον καὶ εὐθαρσέστατον 70
ἀπεργάσασθαι πρὸς τὴν τοῦ ἔθνους ἐπιμέλειαν, τὸ βάρος μὴ καταδείσαντα
p. 387 M. τῆς ἀρχῆς, ἵνα τοῖς ἔπειτα γένηται κανὼν καὶ νόμος | ἅπασιν ἡγεμόσι
πρὸς ἀρχέτυπον παράδειγμα Μωυσῆν ἀποβλέπουσι καὶ μηδεὶς φθονῇ
βουλευμάτων ἀγαθῶν τοῖς διαδόχοις, ἀλλ' ὑποθήκαις καὶ παραινέσεσι
τὰς ψυχὰς αὐτῶν ἀλείφωσι καὶ συγκροτῶσι. δύναται γὰρ ἀνδρὸς ἀγαθοῦ 71
παραίνεσις ἀναπεπτωκότας ταῖς γνώμαις ἐγεῖραι καὶ διάρασα εἰς ὕψος
ἐπάνω τῶν καιρῶν καὶ τῶν πραγμάτων ἱδρύσασθαι φρόνημα γενναῖον
καὶ ἀκατάπληκτον ἐνθεῖσα. τὰ δὲ ἁρμόττοντα τοῖς τε ὑπηκόοις καὶ τῷ 72
κληρονόμῳ τῆς ἡγεμονίας διαλεχθεὶς ἄρχεται τὸν θεὸν ὑμνεῖν μετ' ᾠδῆς,
τελευταίαν αὐτῷ βίου τοῦ μετὰ σώματος εὐχαριστίαν ἀποδιδούς, ἀνθ'
ὧν ἀπὸ γενέσεως ἄχρι γήρως καιναῖς καὶ οὐ ταῖς ἐν ἔθει χάρισιν
εὐηργετεῖτο· καὶ συναγαγὼν ἄθροισμα θεῖον, τὰ στοιχεῖα τοῦ παντὸς 73

---

1 εὐθυμίας S: προθυμίας ceteri (Turn.) φαιδρῶς G^{2} 2 ὑμετέρας SH^{2}, ὑμ. ex ἡμ. corr. A: ἡμετέρας ceteri (v) 3 τοῦ θεοῦ AFG^{1} 4 εὐθὺς om. A ἐπεῖπεν S: ἐξεῖπεν ceteri (v) οἷς ἐπίστευσαν om. S ἐπίστευσε A 5 Ἰησοῦν] ἰωσοῦα G^{2} ἀνδραγαθήσεσθαι A 6 εὐβουλίαις] ἐπιβουλαῖς S ἀνενδυάστοις CG^{2} 7 τελειοῦν G^{2} 8 φιλοεθνὲς] φιλόθεον ἐς S, φιλοξενὲς A 10 alt. καὶ S: om. ceteri (Turn.) 11 τοῦ om. F^{1} 12 ἅπασι τοῖς ἡγεμόσι S 13 ἀρχέτυπον παράδειγμα S: ἀρχέτυπον om. ceteri (v) ἀποβλέποντες S 14 βουλημάτων G^{2}FHP ἀλλὰ A 15 αὐτῶν CG^{2}G^{1} (v) ἀλείφωσιν καὶ συγκροτῶσιν S 16 διάρασα SCG^{2}: διᾶραι ceteri (v) 17 καὶ ἐπάνω AG^{1} pr. τῶν] τε H^{2} (v) καὶ τῶν S: τῶν om. ceteri (v) 18 ἐνθεῖσα καὶ ἀκατάπληκτον transp. A ἐνθεὶς HP δὲ SA: γοῦν F (Mang.), τε ceteri (Turn.) τε om. CG^{2} 20 βίου S: τοῦ βίου ceteri (v) 21 γενέσεως S: γεννήσεως ceteri (Turn.) κεναῖς F οὐ S: οὐχὶ ceteri (v) 22 εὐηργετεῖτο C, εὐεργετεῖτο (η superscr.) S (η ss. S^{2}): εὐηργέτητο ceteri (v)

---

5 Deut. 31,7. 23. 19sqq. Deut. 31,30sqq.

καὶ τὰ συνεκτικώτατα μέρη τοῦ κόσμου, γῆν τε καὶ οὐρανόν, τὴν μὲν
θνητῶν ἑστίαν, τὸν δὲ ἀθανάτων οἶκον, ἐν μέσοις τὰς ὑμνῳδίας ἐποιεῖτο
74 διὰ παντὸς ἁρμονίας καὶ συμφωνίας εἴδους, ἵνα κατακούσωσιν ἄνθρωποί
τε καὶ ἄγγελοι λειτουργοί, οἱ μὲν ὡς γνώριμοι, πρὸς τὴν τῆς ὁμοίας
εὐχαρίστου διαθέσεως διδασκαλίαν, οἱ δ' ὡς ἔφοροι θεασάμενοι κατὰ
τὴν σφῶν ἐμπειρίαν, μή τι τῆς ᾠδῆς ἐκμελές, καὶ ἅμα διαπιστοῦντες,
εἴ τις ἄνθρωπος ὢν ἐνδεδεμένος σώματι φθαρτῷ δύναται τὸν αὐτὸν
τρόπον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ τῶν ἄλλων ἀστέρων πανιέρῳ χορῷ
μεμουσῶσθαι τὴν ψυχὴν πρὸς τὸ θεῖον ὄργανον, τὸν οὐρανὸν καὶ τὸν
75 σύμπαντα κόσμον, ἁρμοσάμενος. ταχθεὶς δ' ἐν τοῖς κατὰ τὸν αἰθέρα
χορευταῖς ὁ ἱεροφάντης ἀνεκεράσατο ταῖς πρὸς θεὸν εὐχαρίστοις ὑμνῳδίαις
τὰ γνήσια πάθη τῆς πρὸς τὸ ἔθνος εὐνοίας, ἐν οἷς ἦσαν ἔλεγχοι παλαιῶν
ἁμαρτημάτων, αἱ πρὸς τὸν παρόντα καιρὸν νουθεσίαι καὶ σωφρονισμοί,
παραινέσεις αἱ πρὸς τὰ μέλλοντα διὰ χρηστῶν ἐλπίδων, αἷς ἐπακολουθεῖν
ἀναγκαῖον αἴσια τέλη.
76 (4.) Ὡς δ' ἐτέλεσε τὰς χορείας ὁσιότητι καὶ φιλανθρωπίᾳ τρόπον
τινὰ συνυφασμένας, ἤρξατο μεταβάλλειν ἐκ θνητῆς ζωῆς εἰς ἀθάνατον
βίον κἀκ τοῦ κατ' ὀλίγον συνῃσθάνετο τῆς τῶν ἐξ ὧν συνεκέκρατο δια-
ζεύξεως, τοῦ μὲν σώματος ὀστρέου | δίκην ⟨περιπεφυκότος⟩ περιαιρουμένου, p. 388
τῆς δὲ ψυχῆς ἀπογυμνουμένης καὶ τὴν κατὰ φύσιν ἐνθένδε ποθούσης

---

1 μέρη τοῦ κόσμου S: τοῦ κόσμου μέρη ceteri (v) τε S: om. ceteri (v) 2 τὸν] τῶν C^1F^1 ἐν μέσοις τὰς S: om. ceteri (Turn.); τὰς om. Mang. 3 ἵνα κατακούσωσιν S: ἣν κατακούουσιν ceteri (v) 4 τε om. SC ἄγγελοι λειτουργοί] θεοί S γνώριμα F ὁμοίας codd.: ὁμοίως Mang. 5 εὐχαριστίαν F θεώμενοι G^1; θεασόμενοι v 5. 6 θεασάμενοι κατὰ τὴν σφῶν ἐμπειρίαν S: κ. τ. σ. ἐ. θ. ceteri (v) 6 τὴν τῶν σφῶν H^1P; σοφῶν (pro σφῶν) Turn. ἐμπορίαν G^2, ἐνέργειαν A ἀμελές A 7 ἐνδεδεμένος S: δεδεμένος ceteri (v) δύναται τὸν αὐτὸν] δυνατόν ἐστιν αὐτῶ τὸν ὅμοιον HP (Turn.) 8 τῷ SG^1H^2: om. ceteri ἄστρων S τῶ πανιέρω A, πανιέρω om. HP (Turn.) 9 τὸν οὐρανὸν om. F 10 δὲ A αἰθέρα SC: ἀέρα ceteri 11 ἱεροφάντης] ἱεράρχης F θεὸν SAG^2: τὸν θεὸν ceteri (v) 12 τὰ—εὐνοίας om. in textu S, add. mg S ἔθος F 13 αἱ om. G^1 14 αἱ om. HP τὸν μέλλοντα coni. Mang. 15. 16 αἴσια τέλη. ὡς δ' SCG^2 (δὲ S): τελείως δὲ (om. αἴσια) A, αἴσια. τελείως δὲ FG^1HP 16 ἐτέλεσε CG^2: τελέσας AG^1HP, καὶ τελέσας F, ἐτέλεσε τὰς om. S ὁσιότητα F 17 συνυφασμέναις S εἰς] πρὸς S 18 κἀκ S: καὶ ἐκ ceteri τοῦ] τῆς FG^2H^1P τῆς τῶν scripsi: τῶν F (Mang.), τῆς ceteri (Turn.) ἐξ ὧν] ἐκ τῶν S συγκέκριτο S 19 ὀστρέου SG^2 (coni. Mang.): ὀστέου ceteri περιπεφυκότος addidi (cf. *de Iosepho* § 71) περιαιρούμενος G^2, περαιουμένου A, ἀναιρουμένου F 20 τὴν] τῆς SA post φύσιν add. τοῦ σώματος ζωῆς A ποθούσης ἐνθένδε transp. H (v), ἐνθένδε μετανάστασιν ποθούσης A

μετανάστασιν. εἶθ' ἑτοιμασάμενος τὰ πρὸς ἔξοδον οὐ πρότερον ἐστείλατο 77
τὴν ἀποικίαν ἢ τὰς τοῦ ἔθνους φυλὰς ἁπάσας εὐχαῖς ἐναρμονίοις [ἀριθμῷ δώδεκα] γεράραι διὰ τῆς τῶν φυλαρχῶν κατακλήσεως· ἃς ὅτι τελεσφορηθήσονται πιστευτέον· ὅ τε γὰρ εὐξάμενος θεοφιλὴς ὅ τε θεὸς φιλάνθρωπος ὑπὲρ ὧν τε αἱ αἰτήσεις εὐπατρίδαι καὶ εὐγενεῖς τὴν ἀνωτάτω τεταγμένοι τάξιν, ὑπὸ στρατάρχῃ τῷ ποιητῇ πάντων καὶ πατρί. [αἰτήσεις 78
δ' ἦσαν αἱ τῶν ἀληθινῶν ἀγαθῶν, οὐ μόνον ἐν τῷ θνητῷ ὅπως ὑπάρχωσιν αὐτοῖς βίῳ, ἀλλὰ πολὺ μᾶλλον ἐπὰν ἄνετος τοῦ τῆς σαρκὸς δεσμοῦ γένηται ἡ ψυχή.] μόνος γὰρ Μωυσῆς τὴν πρὸς τὰ θεῖα, ὡς 79
ἔοικεν, ἐξ ἀρχῆς τὸ σύμπαν ἔθνος ὑπολαβὼν ἔχειν ἀναγκαιοτάτην συγγένειαν, πολὺ γνησιωτέραν τῆς ἀφ' αἵματος, πάντων ἀγαθῶν ὧν δὴ ἀνθρωπίνη φύσις χωρεῖ κληρονόμον ἀπέφηνεν, ἃ μὲν αὐτὸς εἶχεν, ἐξ ἑτοίμου διδούς, ἃ δὲ μὴ κέκτητο, τὸν θεὸν ἱκετεύων παρασχεῖν, εἰδὼς τὰς τῶν χαρίτων αὐτοῦ πηγὰς ἀενάους μὲν οὔσας, οὐ πᾶσι δ' ἀνειμένας, ἀλλὰ μόνοις ἱκέταις· ἱκέται δ' εἰσὶν οἱ καλοκἀγαθίας ἐρῶντες, οἷς ἀρύτεσθαι θέμις ἀπὸ τῶν ἱερωτάτων πηγῶν διψῶσι σοφίας.

(5.) Τὰ μὲν οὖν δείγματα τῆς τοῦ νομοθέτου φιλανθρωπίας καὶ 80
κοινωνίας, ᾗ ἐχρήσατο καὶ δι' εὐμοιρίαν φύσεως ἀγαθῆς κἀκ τῆς τῶν ἱερῶν λογίων ὑφηγήσεως, μεμήνυται. λεκτέον δὲ ἃ καὶ τοῖς ἔπειτα διετάξατο, εἰ καὶ μὴ πάντα — οὐ γὰρ ῥᾴδιον —, τὰ γοῦν ἀγχίσπορα καὶ ἐγγυτάτω τῶν ἐκείνου βουλευμάτων. τὸ γὰρ ἐπιεικὲς καὶ ἥμερον 81
οὐκ ἐν ταῖς πρὸς ἀνθρώπους αὐτὸ μόνον ἱδρύεται κοινωνίαις, ἀλλ' ἐπι-

1 μετάστασιν HP (v) εἶτ' SH (v) τὰ om. A 2 τὴν] τὰ πρὸς S κατοικίαν H ἀριθμῷ] τὸν ἀριθμὸν S 2. 3 ἀριθμῷ δώδεκα seclusi 3 τῶν om. F φυλάρχων AH^{1}P κατακλίσεως CG^2 ἃς] αἳ A 4 πιστεύω A ὅ τε θεὸς SCG^{2}G^1: ὁ δὲ θεὸς AFHP (v) 5 ὑπὲρ ὧν τε S: ὑπὲρ ὧν CH^{1}P, ὑπὲρ δὲ ὧν G^{1}H^2 (v), καὶ ὑπὲρ ὧν AG^2, οὗπερ (sic) F 6 verba αἰτήσεις — ἡ ψυχή (9) om. S nec Philonea esse existimo 7 ὅπως] ὅταν A 8 ὑπαρχθῶσιν (sic) CG^2 αὐτοῖς FG^{1}H^2: αὐτῷ CG^{2}H^{1}P, τῷ A 9 μωσῆς γὰρ μόνος transp. F Μωυσῆς — θεῖα om. S 10 ἔχειν S: ἕξειν ceteri (v) 11 τῆς] τῶν F δὴ S: ἡ ceteri (v) 12 ἀπέφαινεν S, ἀπέφανεν AH^{1}P εἶχεν S: ἔσχεν ceteri (v) 13 κέκτητο S: ἐκέκτητο ceteri (v) 14 πηγὰς ἀενάους S: ἀεννάους (ἀενάους C) πηγὰς ceteri (v) μὲν οὔσας S: μενούσας ceteri 15 οἰκέταις· οἰκέται A ἀρύτεσθαι G^1, ἀρύττεσθαι CAH^{1}P: ἀρύεσθαι SFG^{2}H^2 (v) 17 τὰ — φύσεως (18) om. F φιλανθρωπίας] σοφίας A 17. 18 καὶ κοινωνίας S: om. ceteri (v) 18 ᾗ A: οἷς ceteri (v) καὶ δι' S: καὶ AG^{2}HP, κατ' G^1, πρὸς C (v) εὐμοιρίας AH^{1}P 19 λογίων S: βιβλίων A, βίβλων ceteri (v) δ' F 20 εἰ καὶ CAG^2: καὶ εἰ ceteri (v) 21 γὰρ] γοῦν CAG^2 22 αὐτὸ CG^2: αὐτῷ ceteri (Turn.) ἱδρύεται S: ἵδρυται ceteri (Turn.)

2sq. Deut. cap. 33.

δαψιλευόμενος ἀναχεῖ πλουσίως αὐτὸ καὶ τείνει πρός τε τὰς τῶν ἀλόγων
ζῴων φύσεις καὶ πρὸς τὰς τῶν ἡμέρων δένδρων ἰδέας. ἃ δὲ περὶ
ἑκάστων ἐνομοθέτησε, λεκτέον ἐν μέρει τὴν ἀρχὴν ποιησάμενον ἀπ'
ἀνθρώπων.
82 (6.) Ἀπαγορεύει τοίνυν ἀδελφῷ δανείζειν, ἀδελφὸν ὀνομάζων οὐ
μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ἀστὸς καὶ
ὁμόφυλος ᾖ, τόκους ἐπὶ χρήμασιν οὐ δικαιῶν ἐκλέγειν ὡς ἀπὸ θρεμμά-
83 των ἔγγονα. καὶ προτρέπει μὴ διὰ τοῦτ' ἀναδύεσθαι καὶ συμβάλλειν
ὀκνηρότερον, ἀλλ' ἀνειμέναις χερσὶ καὶ γνώμαις μάλιστα μὲν χαρίζεσθαι
τοῖς δεομένοις, λογιζομένους ὅτι καὶ ἡ χάρις τρόπον τινὰ δάνειόν ἐστιν,
ἀποδοθησόμενον ἐν καιρῷ βελτίονι ⟨ἄνευ⟩ ἀνάγκης | ἑκουσίῳ διαθέσει p. 389
τοῦ λαβόντος, εἰ δὲ μὴ βούλοιντο δωρεῖσθαι, κιχράναι γοῦν ἑτοιμότατα
84 καὶ προθυμότατα, μηδὲν ἔξω τῶν ἀρχαίων ἀποληψομένους. οὕτως γὰρ
οὔθ' οἱ πένητες ἔμελλον ἀπορώτεροι γίνεσθαι, πλείονα ὧν ἔλαβον εἰσφέρειν
ἀναγκαζόμενοι, οὔθ' οἱ συμβάλλοντες ἀδικεῖσθαι, ἃ προήκαντο μόνα
κομιζόμενοι· καίτοι γε οὐ μόνα· σὺν γὰρ τοῖς ἀρχαίοις ἀντὶ τόκων οὓς

---

1 ἀναχεῖ Mang.: ἀνάχει S, ἀνέχει ceteri αὐτὸν G²H¹, αὐτὸν G¹P, ἑαυτὸν A τε] γε AG¹HP (Turn.) τῶν om. S 2 δένδρων ἰδέας SA (εἰδέας S): ἰδέας δένδρων ceteri (v) ἃ δὲ — ἀνθρώπων (4) om. F 3 ποιησάμενον CG²: ποιησάμενος AG¹H¹P, ποιησαμένοις SH²; ποιησαμένους v ἀπὸ S 5 tit. περὶ τοῦ μὴ δεῖν τόκον ἀπαιτεῖν ἀδελφόν add. S mg G² 6 τὸν] τὴν Richt. Tauchn. γονέων om. S ὃς] ὡς G², οἷος A ἀστὸς] αὐτὸς F 6. 7 καὶ ὁμόφυλος S: ἢ ὁμόφυλος ceteri (v) 7 ᾖ] ἢ F post τόκους add. γὰρ G¹ δικαιῶν Mang. (Clem. Al.): δικαίων G², δίκαιον ceteri ἐκλέγειν] ἀμέλγειν mg H 8 τοῦτ' S: τοῦτο ceteri 10 δάνειον] δαιμόνιον S ἐστιν S: om. ceteri (v) 11 ἄνευ add. Mang. 12 δὲ om. F μὴ S: καὶ μὴ ceteri (sic Turn. Mang., μὴ om. Richt. Tauchn.) βούλοιντο G¹: βούλωνται S, βούλητο G², βούλοιτο ceteri 13 ἀποληψόμενος A οὕτως SCG²: οὕτω ceteri 14 ἀπορώτεροι S: ἀπορώτατοι ceteri (v) γίνεσθαι FG¹P 15 συμβάλλοντες SCG²: συμβαλόντες ceteri (v) προήκαντο S: προσῆκε ceteri (Turn.) μόνα — κοινωνίαν (289,2) S: om. ceteri (Turn.)

---

5 Exod. 22,25. Lev. 25,36. 37. Deut. 23,19. cf. *Ioseph. Ant. Iud. IV § 266.*
5sqq. *Clem. Alex. Strom. II 18 p. 473 P.* περί τε τῆς μεταδόσεως καὶ κοινωνίας πολλῶν ὄντων ἀπόχρη μόνον τοῦτο εἰπεῖν, ὅτι ὁ νόμος ἀπαγορεύει ἀδελφῷ δανείζειν, ἀδελφὸν ὀνομάζων οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ὁμόφυλος ᾖ, ὁμογνώμων τε καὶ τοῦ αὐτοῦ λόγου κεκοινωνηκώς, οὐ δικαιῶν ἐκλέγειν τόκους ἐπὶ χρήμασιν, ἀλλὰ ἀνειμέναις χερσὶ καὶ γνώμαις χαρίζεσθαι τοῖς δεομένοις· θεὸς γὰρ ὁ κτίστης τοιᾶσδε χάριτος· ἤδη δὲ ὁ μεταδοτικὸς καὶ τόκους ἀξιολόγους λαμβάνει τὰ τιμιώτατα τῶν ἐν ἀνθρώποις, ἡμερότητα, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν, εὔκλειαν.

λαβεῖν οὐκ ἠξίωσαν ἐπεισφέρονται τὰ κάλλιστα καὶ τιμιώτατα τῶν ἐν
ἀνθρώποις, ἡμερότητα, κοινωνίαν, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν,
εὔκλειαν· οἷς τίς κτῆσις ἐφάμιλλος; ἀπορώτατος μὲν οὖν καὶ ὁ μέγας 85
βασιλεὺς ἀναφανεῖται κατὰ σύγκρισιν μιᾶς ἀρετῆς· τοῦ μὲν γὰρ ὁ πλοῦτος
ἄψυχος ἐν ταμείοις καὶ μυχοῖς γῆς κατορωρυγμένος, ἀρετῆς δ' ἐν ψυχῆς
τῷ ἡγεμονικῷ· μεταποιεῖται δὲ αὐτοῦ καὶ τὸ καθαρώτατον τῆς οὐσίας,
οὐρανός, καὶ ὁ γεννητὴς τῶν συμπάντων θεός. ἔτι τοίνυν τὴν ὀβολο-
στατῶν καὶ τοκογλύφων εὔπορον ἀπορίαν ἐν λόγῳ θετέον τῶν πολυχρύσων
δοκούντων εἶναι βασιλέων οὐδ' ὄναρ ἑωρακότων τὸν βλέποντα πλοῦτον;
εἰσὶ δ' οἳ τοσαύτῃ κέχρηνται μοχθηρίας ὑπερβολῇ, ὥστε οὐκ ἔχοντες 86
ἀργύριον τροφὰς δανείζουσιν ὡς πλείους ὧν ἔδοσαν αὖθις κομιζόμενοι.
ταχὺ γ' ἂν οὗτοι μεταιτοῦσιν ἔρανον παράσχοιεν λιμὸν ἐν εὐθηνίᾳ καὶ
εὐετηρίᾳ κατασκευάζοντες καὶ τὴν ἀθλίων ἀνθρώπων γαστρὸς ἔνδειαν
προσοδευόμενοι καὶ μόνον οὐκ ἐπὶ τρυτάνης ἱστάντες σιτία καὶ ποτά, μὴ
καθέλκῃ ῥοπῇ. τοῖς οὖν μεθέξουσι τῆς καθ' αὑτὸν ἱερᾶς πολιτείας 87
ἀναγκαίως παραγγέλλει τὰς ἰδέας τῶν τοιούτων πόρων ἐκτρέπεσθαι·
δουλοπρεποῦς γὰρ καὶ σφόδρα ἀνελευθέρου ψυχῆς τὰ ἐπιτηδεύματα
μεταβεβληκυίας εἰς ἀγριότητα καὶ θηρίων φύσιν.

---

1 ἐπεισφέρονται om. v (ἔλαβον supplere voluit Mang.) 2 ἡμερότητα, κοινωνίαν om. v 3 οἷς τίς S: ἧς C, εἰς G^2, ὧν ceteri (Turn.) κτήσεις G^2 ἐφάμιλλος om. in lac. G^1 post ἐφάμιλλος add. οὐδεμία A ἀπορώτατος] προορώτατος F^1G^2, πραώτατος H^1P, πενιχρότατος A 4 ἀναφανεῖται S: ἀναφαίνεται ceteri (v) 5 μυχοῖς γῆς SHP: γῆς μυχοῖς $CAFG^1$, γῆν μυχοῖς G^2 ἀρετῆς δ' S: τῆς δὲ ceteri (Turn.; τῆς δὲ ἀρετῆς Mang.) 6 δὲ SG^1: δ' AH, δι' CFG^2P 7 γενητὴς HP, γεννέτης S^2 τῆς τῶν συμπάντων οὐσίας θεός A τοίνυν] νῦν CG^2 8 ἄπορον εὐπορίαν A ἐν λόγῳ θετέον S: λόγῳ θετέον CG^2 (v), λογοθετέον FG^1HP, λογιστεύει A τῶν S: om. ceteri (v) 9 τὸν S: om. ceteri (Turn.) βλέποντα] μέλλοντα S 10 ὥστ' A 11 ἔδοσαν] ἔλαβον S κομιζόμενοι CFG^2H^1P: κομισόμενοι SAG^1H^3 (v); κομιούμενοι conicio 12 ταχὺ] τάχα coni. Mang. γ' ἂν $SCFG^1$: γὰρ AG^2, γοῦν HP (v) ὡς ἔρανον A ἐν om. F 12. 13 ἐν εὐετηρίᾳ καὶ ἐν εὐθηνίᾳ S 13 τὴν S: τῶν A, τῆς ceteri (v) ἄθλων F, ἀθλίας HP (Turn.) 14 pr. καὶ S: om. ceteri (v) μόνον οὐ γὰρ F σιτία om. G^2 alt. καὶ] ὡς A, τοῦ G^1 ποτά S: om. ceteri (v) 14. 15 μὴ καθέλκῃ ῥοπῇ S: μὴ καθέλκειν ῥοπὴν (πλάστιγγος add. A) ceteri (v) 15 καθ' αὑτὸν S: κατ' αὐτὸν ceteri (v) ἱερᾶς πολιτείας SF^2: πολιτείας ἱερᾶς ceteri (v) 16 ἀναγκαῖον F εἰδέας S πόρων] σπόρων F, παρ' ὧν S 18 μεταβεβληκυίας S: μεταβεβληκότας FG^2H^1P, μεταβεβληκότα A, μεταβεβληκότος C, μεταβεβληκέναι G^1, μεταβεβηκυίας H^2 (Turn.) θηρίων] θήρειον coni. Mang.

88 (7.) Ἕν τι τῶν εἰς φιλανθρωπίαν τεινόντων παράγγελμα κἀκεῖνο διατάττεται, μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι, οὐ μόνον ὅτι τὴν χρείαν ἐφ' ἣν παρελήφθη παρασχόντα δίκαιον ἦν τὸν ἐπὶ τῇ ὑπηρεσίᾳ μισθὸν ἀνυπερθέτως ἀπολαβεῖν, ἀλλ' ὅτι καί, ὡς εἶπόν τινες, ἐφημερόβιος ὢν ὁ χειροτέχνης ἢ ἀχθοφόρος, ὅλῳ τῷ σώματι κακοπαθῶν ὑποζυγίου τρόπον, ἐπὶ τῷ μισθῷ τέθειται τὴν ἐλπίδα· ὃν εἰ μὲν εὐθὺς κομίσαιτο, γήθει καὶ ῥώννυται πρὸς τὴν ἐπιοῦσαν προθυμίᾳ διπλασίονι ἐργασόμενος, εἰ δὲ μὴ κομίσαιτο, πρὸς τῷ σφόδρα ἄχθεσθαι καὶ τοὺς τόνους ὑπὸ λύπης ἐκλυθεὶς ἀναπέπτωκεν, ὡς ἀδυνατεῖν πρὸς τὰ ἐν ἔθει τῶν ἔργων ἀπαντᾶν.

89 (8.) | Ἔτι φησί· δανειστὴς μὴ ἐπεισίτω χρεωστῶν οἰκίαις ἐνέχυρόν τι καὶ ῥύσιον ἐπὶ τῷ δανείῳ μετὰ βίας ληψόμενος, ἀλλ' ἐν προθύροις ἔξω παρεστὼς ἀναμενέτω κελεύων ἡσυχῇ προφέρειν. οἱ δέ, ἂν ἔχωσι, μὴ ἀναδυέσθωσαν, εἴ γε ἁρμόττει τὸν μὲν μὴ τῷ δύνασθαι καταχρῆσθαι πρὸς τὸ αὐθαδέστερον ἐφ' ὕβρει τῶν δανεισαμένων, τοὺς δὲ πρὸς ὑπόμνησιν τῆς τῶν ἀλλοτρίων ἀποδόσεως ἄξια παρέχειν ἐνέχυρα. p. 390

1 tit. περὶ μισθοῦ πένητος add. S mg G² ἕν τι S: ἔτι ceteri (v) τεινόντων] ὄντων S παράγγελμα] παράδειγμα A 2 διατάττεται S: διατέτακται ceteri (v) τὴν om. G² 3 ἐφ' ἣν SC¹G²: ἐφ' ἢ ceteri (v) παρασχόντα δίκαιον SCG²: δίκαιον παρασχόντα ceteri 4 λαβεῖν A ἐφημερόβιος S: ἐφήμερος ceteri (v) 6 μὲν] μὴ FG¹ εὐθὺς] ταχὺ S 7 γηθεῖ fortasse scribendum γήθει — κομίσαιτο (8) om. FG¹ καὶ ῥώννυται S: χαίρων νῦν τε (μὲν HP) καὶ ceteri (v) διπλασίονι S: om. ceteri (Turn.); διπλάσιον Mang. ἐργασόμενος S: ἐργαζόμενος ceteri (Turn.) 8 τῷ] τὸ SG²H τοὺς τόνους SC: πρὸς πόνους A, το τόνους ceteri 11 ἐπεισίτω S² (ἐπισίτω S¹), ἐπεισίτω A: εἰσίτω F² (v), αἰτείτω CG²F¹G¹, αἰτήτω HP, ἐπιστῇ Clem. Al., unde ἐπιστήτω coni. Wendl. οἰκίαις codd.: οἰκίας v ἐνέχειρον F¹ 12 τι S: om. ceteri (Turn.) ῥύσιον S: χρῆσιν G¹, χρυσὸν ceteri (Turn.) ἐπὶ τῷ δανείῳ om. S ἐν προθύροις] ἐπὶ θύραις S 13 παρεστὼς A: προεστὼς FG¹G²HP (v), ἑστὼς SC κελεῦον A προσφέρειν S²F οἱ] οἳ codd. δὲ S: δ' ceteri 14 ἀναδυέσθωσαν Wendl. (cf. Clem. Al.): ἀναδυέτωσαν codd. (v) εἴ γε SCG²: εἶτ' H, εἶθ' AFP, εἴπερ G¹ ἁρμόττειν F τὸν] τῶ G¹ τῶ μὴ transp. S 16 παρέχειν S: παρασχεῖν ceteri (v)

2 Lev. 19,13. Deut. 24,14. 15. cf. *Ioseph. Ant. Iud IV § 288.* 2 sqq. *Clem. Alex. Strom. II 18 p. 473 P.* ἆρ' οὐ δοκεῖ σοι φιλανθρωπίας εἶναι τὸ παράγγελμα τοῦτο ὥσπερ κἀκεῖνο, μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι; ἀνυπερθέτως δεῖν διδάσκει ἐκτίνειν τὸν ἐπὶ ταῖς ὑπηρεσίαις μισθόν, παραλύεται γὰρ οἶμαι ἡ προθυμία τοῦ πένητος ἀτροφήσαντος πρὸς τοὐπιόν. 11 Deut. 24,10. 11. cf. *Ioseph. Ant. Iud. IV § 268.* 11 sqq. pergit *Clem. Alex. l. l.* ἔτι, φησί, δανειστὴς μὴ ἐπιστῇ χρεώστου οἰκίᾳ ἐνέχυρον μετὰ βίας ληψόμενος, ἀλλ' ὁ μὲν ἔξω προφέρειν κελευέτω, ὁ δὲ ἔχων μὴ ἀναδυέσθω.

(9.) Τίς γε μὴν οὐκ ἂν ἀγάσαιτο τοῦ περὶ τοὺς θεριστὰς ἢ τρυγητὰς 90
διατάγματος; κελεύει γὰρ ἐν μὲν τῷ ἀμήτῳ μήτε τὰ ἀποπίπτοντα τῶν
δραγμάτων ἀναιρεῖσθαι μήτε πάντα τὸν σπόρον κείρειν, ἀλλ' ὑπολείπε-
σθαί τι τοῦ κλήρου μέρος ἄτμητον, ἅμα μὲν τοὺς εὐπόρους μεγαλόφρονας
καὶ κοινωνικοὺς κατασκευάζων ἐκ τοῦ τι προϊέναι τῶν ἰδίων καὶ μὴ πᾶσι
προσκεχηνέναι καὶ πάντα συμφορεῖν καὶ συγκομίζειν οἴκαδε θησαυρο-
φυλακήσοντας, ἅμα δὲ τοὺς πένητας εὐθυμοτέρους ἀπεργαζόμενος· ἐπειδὴ
γὰρ κτημάτων ἰδίων ἀποροῦσιν, ἐφίησιν αὐτοῖς εἰς τὰ τῶν ὁμοφύλων
εἰσιέναι κἀκ τῶν ὑπολειφθέντων ὡς οἰκείων ἀμᾶν. ἐν δὲ καιρῷ τῆς 91
ὀπώρας πάλιν δρεπομένοις κληρούχοις προστάττει μήτε ῥῶγας ἀποπι-
πτούσας συλλέγειν μήτε ἐπανατρυγᾶν ἀμπελῶνας. τὰ δ' αὐτὰ καὶ τοῖς
ἐλαιαλογοῦσι διατάττεται, καθάπερ φιλοστοργότατος καὶ δικαιότατος πατὴρ
οὐχὶ ταῖς αὐταῖς εὐπραγίαις κεχρημένων παίδων, ἀλλὰ τῶν μὲν ἐν

1 tit. περὶ ἀμητοῦ καὶ τρυγητοῦ add. S mg G² τίς γε μὴν] τί δὲ μὴν F, πῶς δὲ G¹, τὴν δὲ μνήμην πῶς A ἀγάσαιτο SCH²: ἀγάσαιτό τις αὐτὸν G¹, ἄγοιτό τις AFH¹ ἢ τρυγητὰς S (καὶ τρ. Mang.): om. ceteri (Turn.) 2 διατάγματος S: κηρύγματος ἢ (καὶ G²) διατάγματος ceteri (v) ἐν μὲν τῷ ἀμήτῳ scripsi: ἐν τῷ ἀμήτω S, ἐν μὲν ἀμήτω ceteri (v) μήτε post γὰρ transp. S μήτε SH²: μηδὲ ceteri 3 πάντα — ἄτμητον (4) om. in lac. G¹ κείρειν S: κεῖραι CG²F² (v), σπεῖραι A, σπεῖραι F¹HP 3. 4 ὑπολίπεσθαι (sic) S¹, ὑπολιπέσθαι C (v) 4 τι τοῦ SCG² (Clem. Al.): τὸ τοῦ FHP (v), τοῦτο A ἄτμητον CG² (Clem. Al.): ἄμητον S, ἀτ[illegible]μητον F, ἀτίμητον AHP 5 ἐκ τοῦ τι] ἐκτοστὶ (sic) A προϊέναι Clem. Al.: παριέναι codd. (v) 5. 6 πᾶσι προσκεχηνέναι καὶ om. G² 6 καὶ πάντα S: πᾶν G², καὶ μὴ πᾶν C, μηδὲ πᾶν ceteri (v) συμφορεῖν S: συμφύρειν A, συμφέρειν ceteri (Turn.) 6. 7 θησαυροφυλακήσαντας AH 7 ἅμα δὲ SCG²: ἅμα δὲ καὶ ceteri (v) 8 αὐτοὺς AG² 9 εἰσιέναι] [illegible]σιτία (sic) F κἀκ] καὶ S οἰκείων] ἰδίων A τῷ καιρῷ HP (v) 10 δρεπομένοις] δρεπάνοις C κληρούχοις SCG²: τοῖς κληρούχοις ceteri (v) ῥῶγας SG² (Clem. Al.): ῥάγας CA, ῥᾶγας ceteri (v) 11 μήτ' A ἐπανατρυγᾶν S: ἀνατρυγᾶν ceteri (v) 12 ἐλαιαλογοῦσι SAG¹HP: ἑαλογοῦσι F¹, ἐλαιολογοῦσι CG²F² (v) φιλοστοργότατος καὶ δικαιότατος scripsi: δικαιότατος S, φιλοστοργότατος ceteri (v) 13 εὐπραγίαις κεχρημένων SH: κεχρημένων εὐπραγίαις ceteri παίδων CG²: τέκνων S, τῶν παίδων ceteri (v) ἐν om. S

2 Lev. 19,9. 23,22. Deut. 24,19. cf. *Ioseph. Ant. Iud. IV* § *231.* 2sqq. pergit *Clem. Alex. l. l.* ἔν τε τῷ ἀμήτῳ τὰ ἀποπίπτοντα τῶν δραγμάτων ἀναιρεῖσθαι κωλύει τοὺς κτήτορας, καθάπερ κἀν τῷ θερισμῷ ὑπολείπεσθαί τι παραινεῖ ἄτμητον, διὰ τούτου εὖ μάλα τοὺς μὲν κτήτορας εἰς κοινωνίαν καὶ μεγαλοφροσύνην συνασκῶν ἐκ τοῦ προϊέναι τι τῶν ἰδίων τοῖς δεομένοις, τοῖς πένησι δὲ ἀφορμὴν πορίζων τροφῶν. 10 Lev. 19,10. Deut. 24,20. 21. 10sqq. *Clem. Alex. l. l.* . . . ἔν τε αὐτῇ τρυγῇ τὸ ἐπιέναι πάλιν τὰ καταλειφθέντα δρεπομένους καὶ τὸ τὰς ἀποπιπτούσας ῥῶγας συλλέγειν κεκώλυκεν· τὰ δ' αὐτὰ καὶ τοῖς ἐλάας συλλέγουσι διατάσσεται.

περιουσίᾳ ζώντων, τῶν δ' εἰς ἀπορίαν ἐσχάτην περιηκόντων, οὓς ἐλεῶν καὶ
οἰκτείρων ἐπὶ τὰ κτήματα τῶν ἀδελφῶν καλεῖ μεθέξοντας ὡς ἰδίων τῶν
ἀλλοτρίων, οὐκ ἀναισχύντως ἀλλ' εἰς ἐπανόρθωσιν ἐνδείας, καὶ οὐ μόνον
92 καρποῦ μετουσίας ἀλλὰ καὶ κτημάτων ὅσα τῷ δοκεῖν. εἰσὶ δ' οἳ οὕτως
ῥυπῶσι τὰς διανοίας προστετηκότες ἀργυρισμῷ καὶ δυσθανατῶντες περὶ
πᾶσαν ἰδέαν κέρδους, τὸ πόθεν ἂν γένοιτο μὴ σκεπτόμενοι, ὥστε ἐπανα-
τρυγῶσι μὲν τοὺς ἀμπελῶνας καὶ ἐλαιῶνας, τὴν δὲ κριθοφόρον καὶ σιτο-
φόρον γῆν ἀναθερίζουσι, τὴν δουλοπρεπῆ καὶ ἀνελεύθερον μικροψυχίαν
93 αὐτῶν ἐλέγχοντες καὶ ἅμα ἀσεβοῦντες. ὀλίγα μὲν γὰρ αὐτοὶ τῶν εἰς
γεωργίαν παρέσχον, τὰ δὲ πλεῖστα καὶ ἀναγκαιότατα τῶν εἰς καρποφορίαν
καὶ εὐγονίαν ἡ φύσις, καιρίους ὑετούς, ἀέρος εὐκρασίας, τὰς τιθηνοὺς τῶν
φυομένων συνεχεῖς καὶ μαλακὰς δρόσους, ζωτικωτάτας αὔρας, ὡρῶν
τῶν ἐτησίων ἀζημίους γενέσεις, ὡς | μήτε θέρος περιφλέγοι μήτε κρυμὸς p. 391
περιψύχοι μήτ' ἔαρος καὶ μετοπώρου τροπαὶ βλάπτοιεν τὰ γεννώμενα.
94 καὶ ταῦτ' εἰδότες καὶ ὁρῶντες ἀεὶ τὴν φύσιν τελεσιουργοῦσαν καὶ
πλουσίαις χάρισι δωρουμένην ὅμως τὰς ἐκείνης εὐεργεσίας σφετε-
ρίζεσθαι τολμῶσι καὶ ὡς αὐτοὶ πάντων αἴτιοι μεταδιδόασιν οὐδενὸς
οὐδενί, μισανθρωπίαν ὁμοῦ καὶ ἀσέβειαν ἀσκοῦντες. οὕς, ἐπειδὴ
γνώμαις ἑκουσίοις ἀρετὴν οὐ διεπόνησαν, ἄκοντας νουθετεῖ καὶ σωφρο-

---

1 περιουσιαζόντων (sed ό ex ώ corr.) S   περιηκόντων] ὑπερρυηκότων A (fort. recte)   2 ἰδίων] οἰκείων A   3 ἀναισχύντως S: εἰς ἀναισχυντίαν ceteri (v)   4 καρπῶν HP (v)   ὅσα SG^{1}: ἴσα ceteri (Turn.)   τὸ S^{1}, τῷ corr. S^{2} οὕτως SF: οὕτω ceteri   5 προστετηκότες SCG^{1}: προστεθεικότες ceteri   περὶ om. A   6 εἰδέαν S   μὴ σκεπτόμενοι] διασκεπτόμενοι F   7 τὴν δὲ S: τήν τε ceteri (v)   8 ἀναπαραθερίζουσι A   ἀνελευθέραν A   8. 9 μικροψυχίαν αὐτῶν S (αὐτῶν scripsi): αὐτῶν μικροψυχίαν ceteri (v)   9 ὀλίγα μὲν γὰρ αὐτοὶ S: ὀλιγαρχῇ μὲν αὐτοὶ F, ὀλιγαρχῇ αὐτοὶ G^{2}, ὀλιγαρχῇ (corr. in -εῖν H) αὐτοῖς HP^{1}, ὡς ἐπ' ὀλιγαρχίᾳ τῇ A, ὡς ἐπ' ὀλιγαρχίᾳ αὐτοὶ P^{2}, ὀλίγα—αὐτοὶ om. C (Turn.), ὀλίγα—γεωργίαν (10) om. in lac. G^{1} τῶν om. v   9. 10 τῶν εἰς γεωργίαν] εἰς τὸν πρὸς γεωργίαν C (Turn.)   10 παρέσχον, τὰ δὲ πλεῖστα S: παρασχόν, τὰ δὲ πλεῖστα G^{2}, παρασχόντα πλεῖστα C (Turn.), παρέσχετο δὲ πλεῖστα A$G^{1}H^{1}$P, παρασχόντες πλεῖστα δὲ F, παρασχοῦσα δὲ πλεῖστα H^{2} τῶν εἰς] πρὸς C (Turn.)   11 ἡ φύσις om. C (Turn.)   καιρίους S: καὶ καιροὺς G^{2}, καιροὺς ceteri (Turn.)   ἀέρος S$C^{2}H^{2}$: θέρος G^{2}, ἔαρος ceteri   τὰς om. C   τιθηνοὺς G^{1}: τιθηνὰς S, τιθηνίας ceteri (Turn.); τιθήνας Mang.   12 μαλακὰς S: μεγάλας ceteri (v)   13 τῶν] τε HP (v), om. C   θέρους AHP   παραφλέγοι F, πῦρ φλέγοι A   κρυμὸς S: κρύους HP, κρύος ceteri (v)   14 παραψύχοι F   μήτε CH   ἔαρος] ἀέρος S   μεθοπώρου S^{1}, corr. S^{2} βλάπτοιεν S: ἐλαττοῖεν ceteri (v)   τὰ γενόμενα A   15 ταῦθ' ὁρῶντες (om. εἰδότες καὶ) HP   16 ταῖς χάρισι Mang.   χάρισι] χερσὶ coni. Mang.   δωρουμένης F   18 ἐπειδὴ S: ἐπεὶ μὴ ceteri (v)   19 ἑκουσίαις SHP (v)   οὐ διεπόνησαν S: οὐ om. ceteri (v)   νομοθετεῖ F

νίζει νόμοις ἱεροῖς, οἷς ὁ μὲν σπουδαῖος ἐθελοντής, ὁ δὲ μοχθηρὸς ἄκων πειθαρχεῖ.

(10.) Κελεύουσιν οἱ νόμοι δεκάτας μὲν ἀπό τε σίτου καὶ οἴνου καὶ 95
ἐλαίου καὶ θρεμμάτων ἡμέρων καὶ ἐρίων ἀπάρχεσθαι τοῖς ἱερωμένοις, ἀπὸ δὲ τῆς κατ' ἀγροὺς ὀπώρας καὶ τῶν ἄλλων ἀκροδρύων κατὰ τὸ ἀνάλογον τῆς κτήσεως ἐν ταλάροις πλήρεσι κομίζειν σὺν ᾠδαῖς εἰς τὸν θεὸν πεποιημέναις, ἃς ἀναγράπτους στηλιτεύουσιν αἱ ἱερώταται βίβλοι, καὶ προσέτι βοῶν καὶ προβάτων καὶ αἰγῶν τὰ πρωτότοκα μὴ ὥσπερ ἴδια κατατάττειν ἐν ταῖς ἀγέλαις, ἀλλὰ καὶ ταῦτα νομίζειν ἀπαρχάς, ὅπως ἐξεθιζόμενοι τῇ μὲν τιμᾶν τὸ θεῖον τῇ δὲ μὴ πάντα κερδαίνειν εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ ταῖς ἀρετῶν ἡγεμονίσιν ἐπικοσμῶνται.

Πάλιν ἐὰν ἴδῃς, φησί, τινὸς τῶν οἰκείων ἢ φίλων ἢ συνόλως ὧν 96
οἶδας ἀνθρώπων ὑποζύγιον ἐν ἐρημίᾳ πλανώμενον, ἀπαγαγὼν ἀπόδος· κἂν ἄρα τύχῃ μακρὰν ἀφεστὼς ὁ δεσπότης, μετὰ τῶν σαυτοῦ διαφύλαξον, ἄχρις ἂν ἐπανελθὼν κομίσηται παρακαταθήκην ἣν οὐκ ἔδωκεν, ἀλλ' ἣν αὐτὸς ἐξευρὼν ἕνεκα φυσικῆς κοινωνίας ἀποδίδως.

---

1 ἐθελοντής SCG[2]: ἐθέλων ceteri (Turn.) mg G[2] μὲν om. HP, add. mg P 3 tit. περὶ δεκατῶν add. S, περὶ δεκάτης τε S: om. ceteri (v) καὶ ante οἴνου om. HP (Turn.) 4 καὶ ἡμέρων S ἐρίων] ἀγρίων S, ἱερεῖ F[1], ἱερείων F[2] 5 τῆς] τῶν S, τοῦ HP ἀκροδύων C 5. 6 τὸ ἀνάλογον A: τὸν ἀνάλογον S, ἀνάλογον ceteri (v) 6 κτίσεως S ταλάροις] γὰρ λασίοις καὶ S πλήρεσι SH[2]: πλήθουσι CG[1], πλήθεσι ceteri 7 ἀνάπτους (sic) S ἱερώταται S: ἱεραὶ ceteri (v) 8 καὶ προβάτων om. CG[2] 9 κατατάττει S, κατατάττων G[2]H[1] ἐν] μὲν S 10 ἐξεθιζόμενοι S: ἐρεθιζόμενοι HP (Turn.), ἐξερεθιζόμενοι ceteri 11 φιλανθρωπότητι A ταῖς] τῶν A ἡγεμονίσιν] ἡγεμονίαις S; ἡγεμόσι Mang. ἐπικοσμῶνται S: κοσμῶνται ceteri (Turn.) 12 tit. περὶ ὑποζυγίου πλανωμένου add. S mg G[2] φησί om. HP[1] (Turn.) τινὸς SFG[1]H[2]: τινὰ ceteri 13 ἐν ἐρήμῳ S 14 κἂν S: καὶ ἂν A, καὶ ἐὰν ceteri (v) σαυτοῦ S (Clem. Al.): σῶν ceteri (v) 14. 15 φύλαξον S 16 ἕνεκα S: ὑπὸ CG[2], ἐκ ceteri (v) ἀποδίδωσι SAFH[1]P

---

3 Num. 18,12. Deut. 18,4. 3sqq. pergit *Clem. Alex. l. l.* καὶ μὴν καὶ αἱ δεκάται τῶν τε καρπῶν καὶ τῶν θρεμμάτων εὐσεβεῖν τε εἰς τὸ θεῖον καὶ μὴ πάντα εἶναι φιλοκερδεῖς, μεταδιδόναι δὲ φιλανθρωπίας καὶ τοῖς πλησίον ἐδίδασκον. ἐκ τούτων γὰρ οἶμαι τῶν ἀπαρχῶν καὶ οἱ ἱερεῖς διετρέφοντο. 5 Deut. 26,1sqq. 8 Num. 18,15.17. 12 Exod. 23,4. Deut. 22,1—3. cf. *Ioseph. Ant. Iud. IV § 274* . . . ὁμοίως καὶ περὶ βοσκημάτων οἷς ἂν ἐντύχῃ τις κατ' ἐρημίαν πλανωμένοις, μὴ εὑρεθέντος τοῦ κυρίου παραχρῆμα παρ' αὐτῷ φυλαττέτω μαρτυράμενος τὸν θεὸν μὴ νοσφίζεσθαι ἀλλότρια.
12sqq. *Clem. Alex. Strom. II 18 p. 475 P.* πάλιν ἐὰν ἴδῃς, φησί, τῶν οἰκείων ἢ φίλων ἢ καθόλου ὧν γνωρίζεις ἀνθρώπων ἐν ἐρημίᾳ πλανώμενον ὑποζύγιον, ἀπαγαγὼν ἀπόδος· κἂν οὖν τύχῃ μακρὰν ἀφεστὼς ὁ δεσπότης, μετὰ τῶν σαυτοῦ διαφυλάξας ἄχρις ἂν κομίσηται ἀπόδος. φυσικὴν κοινωνίαν διδάσκει τὸ εὕρημα παρακαταθήκην λογίζεσθαι μηδὲ μνησικακεῖν τῷ ἐχθρῷ.

97 (11.) Τὰ δὲ περὶ τοῦ ἑβδόμου ἔτους νομοθετηθέντα, καθ' ὃ δεῖ
τὴν μὲν χώραν ἀνίεσθαι πᾶσαν ἀργὴν ἀφιεμένην, τοὺς δὲ πένητας ἀδεῶς
τοῖς τῶν πλουσίων χωρίοις ἐπιβατεύειν δρεψομένους τὸν ἀπαυτοματισθέντα
98 καρπόν, δώρημα φύσεως, ἆρ' οὐ χρηστὰ καὶ φιλάνθρωπα; ἑξαετίαν,
φησίν, ἀπολαυέτωσαν οἱ κτήτορες ἀνθ' ὧν ἐκτήσαντο καὶ ἐγεωπόνησαν,
ἕνα δὲ ἐνιαυτὸν ἕβδομον οἱ ἀκτήμονες καὶ ἀχρήματοι, μηδενὸς τῶν κατὰ
γεωργίαν ἐπιτελεσθέντος· ἄδικον γὰρ ἦν, ἑτέρους μὲν πονεῖν, ἑτέρους δὲ
καρποῦσθαι· ἀλλ' ἵνα τρόπον τινὰ τῶν χωρίων ἀδεσπότων ἐαθέντων, μὴ
συνεφαψαμένης γεωργίας, ἄρτιαι καὶ πλήρεις αἱ χάριτες ἐκ θεοῦ μόνου
99 γίνωνται προαπαντῶσαι τοῖς δεομένοις. τί δ' ὅσα | περὶ τοῦ πεντηκοστοῦ p. 392 M
ἐνιαυτοῦ διατέτακται, οὐχὶ πᾶσαν ὑπερβάλλει φιλανθρωπίαν; καὶ τίς οὐκ
ἂν εἴποι τῶν μὴ χείλεσιν ἄκροις ἀπογευσαμένων τῆς νομοθεσίας, ἀλλ'
ἐπὶ πλέον ἑστιαθέντων καὶ ἐντρυφησάντων ἡδίστοις ἅμα καὶ καλλίστοις

---

1 tit. περὶ τοῦ ζ' ἔτους add. S mg G^{2} καθὸ AF δεῖ] δὴ F
2 ἀνείεσθαι S πᾶσαν ἀργὴν S: ἀργὴν πᾶσαν ceteri (v) ἀφιομένην (sic) S
3 ἐπιβατεύειν S: διατραφῆναι A, om. ceteri (Turn.) δρεψομένους v: τρεφομένους S, δρεψαμένους ceteri τὸν ἀπαυτοματισθέντα S: αὐτοματισθέντα ceteri (v)
4 οὐ S: οὐχὶ ceteri (v) 5 ἀπολαβέτωσαν AF^{1} οἱ κτήτορες $CG^{1}HP$: οἰκήτορες SA, οἱ οἰκήτορες FG^{2} (v) ἀφ' ὧν ἐκέκτηντο F 6 δ' A μηδὲν H
7 ἐπιτελεσθέντος S: ἀποτελεσθέντος ceteri (v) ἄδικον S: ἄτοπον ceteri (v)
8 post καρποῦσθαι nonnulla deesse cens. Mang. 9 συνεφαψαμένους $G^{2}H^{1}P$ ἄρτιαι scripsi: ἄρτιοι codd. (v) μόνον FH (v) 10 γίνωνται G^{1}, γίγνωνται S: γένωνται C (Turn.), γένονται G^{2}, τίνωνται F, τείνωνται AH^{2} (Mang.), τείνονται $H^{1}P$ προαπαντῶσαι om. G^{2}, προαπαντῶσαι τοῖς δεομένοις om. S προαπαντῶσαι Mang.: προσαπαντῶσαι codd. tit. περὶ τοῦ ν' ἔτους add. S mg G^{2} 11 διατέτακται ἐνιαυτοῦ transp. A οὐχὶ πᾶσαν S: πᾶσαν οὐχ ceteri (v) τίς οὐκ F: οὐκ om. ceteri (Turn.) 12 τῆς om. S 13 ἑστιαθέντων $SAG^{1}H^{2}$: ἑστιασάντων ceteri ἐντρυφησάντων S: ἐπιτρυφησάντων ceteri (v)

---

1 Exod. 23,10. 11. Lev. 25,3—6. cf. *Ioseph. Ant. Iud. III § 281* δι' ἑβδόμου ἔτους ἄνεσιν δίδωσι τῇ γῇ ἀπό τε ἀρότρου (leg. ἀρότου) καὶ φυτείας . . . καὶ τῶν αὐτομάτως ἀναδοθέντων ἀπὸ τῆς γῆς κοινὴν εἶναι τοῖς θέλουσι τὴν χρῆσιν τῶν τε ὁμοφύλων καὶ τῶν ἀλλοτριοχώρων, μηδὲν ἐξ αὐτῶν φυλάττοντας· ποιεῖν δὲ τοῦτο καὶ μεθ' ἑβδόμην ἐτῶν ἑβδομάδα.
1 sqq. *Clem. Alex. Strom. II 18 p. 474 P.* ἢ γὰρ οὐχὶ διὰ μὲν τοῦ ἑβδόμου ἔτους ἀργὴν ἀνίεσθαι τὴν χώραν προστάττει, τοὺς πένητας δὲ ἀδεῶς τοῖς κατὰ θεὸν φυεῖσι καρποῖς χρῆσθαι ἐκέλευεν τῆς φύσεως τοῖς βουλομένοις γεωργούσης; πῶς οὖν οὐ χρηστὸς ὁ νόμος καὶ δικαιοσύνης διδάσκαλος; 10 Lev. 25,8 sqq. 10 sqq. pergit *Clem. Alex. l. l.* πάλιν τε αὖ τῷ πεντηκοστῷ ἔτει τὰ αὐτὰ ἐπιτελεῖν κελεύει ἃ καὶ τῷ ἑβδόμῳ, προσαποδιδοὺς ἑκάστῳ τὸ ἴδιον, εἴ τις ἐν τῷ μεταξὺ διά τινα περίστασιν ἀφῃρέθη χωρίον, τήν τε ἐπιθυμίαν τῶν κτᾶσθαι ποθούντων περιορίζων χρόνῳ μεμετρημένῳ καρπώσεως τούς τε πενίᾳ μακρᾷ ὑποσχόντας δίκην μὴ (καὶ?) διὰ βίου κολαζομένους ἐλεῶν.

δόγμασιν; ἐπιτελεῖται μὲν γὰρ ἃ καὶ τῷ ἑβδόμῳ, προσείληφε δὲ ἔτι 100
μείζονα, ἀνάληψιν τῶν ἰδίων κτημάτων, ἃ διὰ καιροὺς ἀβουλήτους παρε-
χώρησαν ἑτέροις· οὔτε γὰρ παγκτησίαν ἔχειν τῶν ἀλλοτρίων ἐφίησι, τὰς
εἰς πλεονεξίαν ἐπιφράττων ὁδοὺς ἕνεκα τοῦ στεῖλαι τὴν ἐπίβουλον καὶ
πάντων κακῶν αἰτίαν ἐπιθυμίαν, οὔτε τοὺς κληρούχους εἰς ἅπαν ᾠήθη
χρῆναι τῶν οἰκείων ἀποστερεῖσθαι, πενίᾳ διδόντας δίκας, ἣν κολάζεσθαι
μὲν οὐ θέμις, ἐλεεῖσθαι δὲ ἀναγκαῖον. ἔστι δὲ καὶ ἄλλα μυρία τῶν ἐν 101
μέρει διατεταγμένων πρὸς τοὺς ὁμοεθνεῖς χρηστὰ καὶ φιλάνθρωπα, ὧν
ἀποχρώντως ἐν ταῖς προτέραις συντάξεσιν ἐπιμνησθεὶς ἀρκεσθήσομαι τοῖς
ἀρτίως εἰρημένοις, ἃ δείγματος ἕνεκα καιρίως προσπαρέλαβον.

(12.) Νομοθετήσας δὲ περὶ τῶν ὁμοεθνῶν καὶ τοὺς ἐπηλύτας 102
οἴεται δεῖν προνομίας τῆς πάσης ἀξιοῦσθαι, γενεὰν μὲν τὴν ἀφ' αἵματος
καὶ πατρίδα καὶ ἔθη καὶ ἱερὰ καὶ ἀφιδρύματα θεῶν γέρα τε καὶ τιμὰς
ἀπολελοιπότας, καλὴν δ' ἀποικίαν στειλαμένους τὴν ἀπὸ τῶν μυθικῶν
πλασμάτων πρὸς τὴν ἀληθείας ἐνάργειαν καὶ τὸν σεβασμὸν τοῦ ἑνὸς καὶ
ὄντως ὄντος θεοῦ. κελεύει δὴ τοῖς ἀπὸ τοῦ ἔθνους ἀγαπᾶν τοὺς 103
ἐπηλύτας, μὴ μόνον ὡς φίλους καὶ συγγενεῖς ἀλλὰ καὶ ὡς ἑαυτούς,

---

1 ἃ om. S δὲ ἔτι S: δέ τινα ceteri (Turn.) 2 ἀνάληψιν S: λῆψιν ceteri (v) διὰ] δὴ G^2 ἀβουλήτως C 2. 3 παρεχώρησεν FG^1HP 3 πανκτησίαν S: τὴν κτῆσιν ceteri; ἀεικτησίαν coni. Mang. 4 συστεῖλαι C^2 5 κακῶν SG^1: om. ceteri (Turn.) πλεονεξίαν καὶ ἐπιθυμίαν S (Mang.) 6 ὑποστερεῖσθαι A πενίᾳ — κολάζεσθαι om. S πενίας coni. Mang., πενίᾳ ⟨μακρᾷ⟩ conicio coll. Clem. Al. 7 pr. δὲ S: δ' ceteri ἔστιν S: εἰσὶ ceteri (Turn.) 9 τάξεσιν A 10 ἀρτίως SCG^2: om. ceteri (v) παραδείγματος F (Mang.) ἕνεκεν S καιρίως codd.: καιρίου Mang. προσπαρέβαλον F, παρέλαβον H (v) 11 tit. περὶ ἐπηλύτων add. S ἐπηλύτας] ἐπιλύτους P, ἐπήλυδας CH^2 (v), ἐπιλύδας G^2 12 προνομίας] προνοίας coni. Mang. τῆς πάσης S: τῆς om. ceteri (v) γενεὰν] συγγένειαν coni. Mang. ἀφ'] ὑφ' F 13 πατρίδος F καὶ ἀφιδρύματα S: καὶ om. ceteri (v) ἐφιδρύματα A γέρα τε καὶ τιμὰς S: γεραῖραι τὲ τιμαῖς CG^2, γεραῖραι τιμαῖς AG^1HP (Turn.), γεραίρειν τιμαῖς F 14 ἀποικίαν S: εἰς ἀποικίαν ceteri (v) τὴν om. S τῶν S: om. ceteri (v) 15 πλασμάτων] πραγμάτων S ἀληθείας] τῆς ἀληθείας AFH (v) ἐνάργειαν CG^2FH^2: ἐνέργειαν ceteri καὶ τοῦ ἑνὸς G^2 ἑνὸς καὶ om. S 16 ὄντως ὄντος SCF: ὄντος ὄντως ceteri (v) δὴ τοῖς] δὲ τοὺς F τοῦ om. AF 17 ἐπιλύτας F, ἐπήλυδας CH^2 (v) alt. ὡς om. F

---

16 Lev. 19,33. 34. Deut. 10,19. cf. *Ioseph. c. Ap. II § 209.* 16 sqq. *Clem. Alex. l. l. p. 475 P.* τί δέ; οὐχὶ τοὺς ἐπήλυδας ἀγαπᾶν κελεύει, οὐ μόνον ὡς φίλους καὶ συγγενεῖς, ἀλλ' ὡς ἑαυτοῦ (leg. ἑαυτοὺς) κατά τε σῶμα καὶ ψυχήν;

κατά τε σῶμα καὶ ψυχήν, ⟨κατὰ μὲν σῶμα⟩ ὡς οἷόν τε κοινοπραγοῦντας,
κατὰ δὲ τὴν διάνοιαν τὰ αὐτὰ λυπουμένους τε καὶ χαίροντας, ὡς ἐν διαι-
ρετοῖς μέρεσιν ἓν εἶναι ζῷον δοκεῖν, ἁρμοζομένης καὶ συμφυὲς ἀπεργα-
104 ζομένης τῆς κατ᾿ αὐτὸ κοινωνίας. οὐκέτ᾿ ἂν εἴποιμι περὶ σιτίων καὶ
ποτῶν καὶ ἐσθῆτος καὶ τῶν ἄλλων ὅσα περὶ δίαιταν καὶ τὰς ἀναγκαίας
χρείας, ἃ τοῖς ἐπηλύτοις δίδωσιν ὁ νόμος παρὰ τῶν αὐτοχθόνων·
ἕπεται γὰρ ταῦτα πάντα θεσμοῖς τοῖς τῆς εὐνοίας τοῦ στέργοντος
ὁμοίως [ἀγαπῶντος] τὸν ἐπήλυτον ὡς ἑαυτόν.
105 (13.) Ἔτι τοίνυν ἐπιτείνων καὶ ἐπελαύνων ὁλκὸν φύσει πρᾶγμα,
φιλανθρωπίαν, διατάττεται καὶ περὶ μετοίκων, ἀξιῶν τοὺς μετανάστας ἐν
καιροῖς γενομένους ἀπονέμειν τινὰ τοῖς ὑποδεξαμένοις τιμήν, εὖ μὲν
πεποιηκόσι καὶ φιλοξένως προσενεχθεῖσι πᾶσαν, | εἰ δὲ μηδὲν ἔξω τῆς p. 393 M
ὑποδοχῆς παράσχοιεν, μετριωτέραν· τὸ γὰρ ἐνορμίσασθαι πόλει μηδὲν
προσηκούσῃ, μᾶλλον δὲ καὶ τὸ ἐπιβῆναι ἐδάφους αὐτὸ μόνον ἀλλοτρίου
καθ᾿ αὑτὸ δωρεά τίς ἐστιν ἀποχρῶσα τοῖς μὴ δυναμένοις τὴν ἰδίαν
106 οἰκεῖν. ὁ δέ γε προσυπερβάλλων τοὺς ἐπιεικείας ὅρους αὐτῆς οἴεται
δεῖν καὶ τοῖς κακῶς πεποιηκόσι τῶν ξενοδόχων μὴ μνησικακεῖν, εἰ καὶ

1 καὶ κατὰ ψυχὴν S κατὰ μὲν σῶμα addidi ὡς] οἷς A κοινοπραγοῦντες A, κακοπραγοῦντας HP^1 2 τὴν om. S τε om. S 3 ἓν] ἕνα S ζῷον εἶναι transp. H (v), ζῷον om. S 3. 4 καὶ συμφυὲς ἀπεργαζομένης om. S 4 τῆς κατ᾿ αὐτὸ S: αὐτὸ AG^1H^2 (v), αὐτῷ CFH^1P, αὐτῷ ex αὐτὸ corr. G^2 5 ἄλλων om. HP ὅσα περὶ] οἷα περὶ C, οἷαπερ G^2 6 χρείας] χρήσεις S ἃ τοῖς ἐπηλύτοις S (ἐπηλύταις v): τοῖς ἐπηλύταις C, αὐτοῖς ἐπιλυταῖς G^2, ἐπηλύταις αὐτοῖς ceteri (Turn.) παρὰ] περὶ AF^1H^1P 7 πάντα ταῦτα transp. CG^2, πάντα om. A θεσμοῖς τοῖς A (prob. Mang.): ἐν ἰσότητι S, ἐν ἴσοις ceteri (v) τῆς om. S, τῇ εὐνοίᾳ H^2 8 ὁμοίως om. G^1 ἀγαπῶντος SCG^2 (seclusi): καὶ ἀγαπῶντος ceteri (v) ἐπήλυτον S: ἔπηλυν ceteri (v) ἑαυτόν SCG^2: αὑτὸν ceteri 9 tit. περὶ μετοίκων add. S mg G^2 ἀποτείνων S, ἐπιτείνων om. F ἀπελαύνων SF πρᾶγμα S: om. ceteri (v) 10 φιλανθρωπίαν SCG^2: φιλανθρωπίας ceteri διατέτακται A ἀξίων F τοῖς μετανάσταις A 10. 11 ἐν καιροῖς ⟨ἀβουλήτοις⟩ coni. Mang. 11 γενομένοις AG^2 τινὰ om. H (Turn.) τοῖς ὑποδεξαμένοις SH^2: τοὺς ἀποδεξαμένους A, τοῖς ἀποδεξαμένοις ceteri 13 παράσχοιεν S: παρέχοιεν ceteri (Turn.) ἐνορμήσασθαι SHP 15 καθ᾿ αὑτὸν δωρεά S (καθ᾿ αὑτὸ scripsi): δωρεὰ κατ᾿ αὐτὸν CG^2H^2 (v), δωρεὰ κατὰ ταὐτὸν ceteri 16 ὁ δέ γε ὑπερβάλλων S (Mang., ego προσυπερβάλλων scripsi): τὸ δὲ προσυπερβάλλον ceteri (Turn.) τοὺς] τῆς F ἐπιεικίας S^1, corr. S^2, ἐπὶ οἰκείας G^2 αὐτῆς] αὐτοὺς F (Mang.) 17 ξενοδόχων] ξένων H μὴ om. SG^2 εἰ] εἰ γὰρ G^1

16sqq. pergit *Clem. Alex. l. l.* καὶ μὴν καὶ τὰ ἔθνη τετίμηκεν καὶ τοῖς γε κακῶς πεποιηκόσιν οὐ μνησιπονηρεῖ (μισοπονηρεῖ cod., corr. Sylburg). ἄντικρυς γοῦν φησιν· „οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου κατ᾿ Αἴγυπτον“, ἤτοι τὸν ἐθνικὸν ἢ καὶ πάντα τὸν κοσμικὸν Αἰγύπτιον προσειπών.

μὴ τὰς πράξεις, ὄνομα γοῦν ἔχουσι φιλάνθρωπον. ἄντικρυς γοῦν φησιν·
„οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου κατ' Αἴγυπτον“ (Deut. 23,7).
καίτοι τί κακὸν παρέλιπον οἱ Αἰγύπτιοι, ὃ μὴ τῷ ἔθνει προσετρί- 107
ψαντο, νέα παλαιοῖς συνυφαίνοντες ἀεὶ κεκαινουργημέναις ἐπινοίαις εἰς
ὠμότητα; ἀλλ' ὅμως ἐπειδὴ τὴν ἀρχὴν ἐδέξαντο τὰς πόλεις οὐκ ἀποκλείσαντες οὐδὲ τὴν χώραν ἄβατον τοῖς ἥκουσι παρασκευάσαντες, ἐχέ-
τωσαν προνομίαν, φησί, τῆς ὑποδοχῆς τὸ ἔνσπονδον· κἂν εἴ τινες 108
ἐθελήσειαν αὐτῶν μεταλλάξασθαι πρὸς τὴν Ἰουδαίων πολιτείαν, οὐχ ὡς ἐχθρῶν παῖδας ἀσυμβάτως σκορακιστέον, ἀλλ' οὕτως προσεκτέον, ὡς τρίτην γενεὰν καλεῖν τε εἰς ἐκκλησίαν (ibid. v. 8) καὶ μεταδιδόναι λόγων θείων, οἷς θέμις καὶ τοὺς αὐτόχθονας καὶ εὐπατρίδας ἱεροφαντεῖσθαι.

(14.) Ταῦτα μὲν ὑπὲρ τῶν ὑποδεξαμένων [πρὸς] τοὺς μετοίκους 109
νομοθετεῖ· χρηστὰ δ' ἕτερα καὶ μεστὰ ἡμερότητος ὑπὲρ πολεμίων. ἀξιοῖ γὰρ αὐτούς, κἂν ἐπὶ θύραις ὦσιν ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ἐν ταῖς πανοπλίαις καὶ τὰς ἑλεπόλεις ἐφιστάντες, μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προκαλέσωνται πρὸς εἰρήνην, ἵν' εἰ μὲν ἐνδοῖεν, τὸ μέγιστον ἀγαθὸν εὕροιεν, φιλίαν, εἰ δὲ ἀπειθέστερον

---

1 pr. γοῦν] γὰρ F ἔχωσι CG^2 alt. γοῦν S (Clem. Al.): οὖν ceteri (v) φασιν F^1 2 ὅτι πάροικος ἐγένου κατ' αἴγυπτον add. mg S (Clem. Al.): om. ceteri (Turn.) κατ' Αἴγυπτον] ἐν Αἰγύπτῳ Mang. 3 παρέλιπον οἱ αἰγύπτιοι S: αἰγύπτιοι παρέλιπον ceteri (v) 3.4 προσέτριψαν G^1, προσέτριψαν τῷ F, προσέτριψαν τὰ HP 4 συνυφαίνοντες S: ἐξυφαίνοντες CG^1 (v), ἐξυφήναντες AG^{2}HP, ἐξυφαίνειν F 5 ὅμως om. S ἐπειδὴ S: ἐπεὶ ceteri (v) ἐδέξαντο] ἐξέλιπον A οὔτε τὰς πόλεις οὔτε (om. οὐκ ἀποκλείσαντες) S 5.6 ἀποκλίναντες G^2 6 τοῖς om. F ηκουσι S^1, οἰκοῦσι S^2 7 προνομίαν φησὶ S: φησὶ προνομίαν ceteri (v) κἂν] καὶ FH οἵτινες H 7.8 εἴ τις ἐθέλοιεν (sic) S 8 μεταλλάξασθαι S: μετατάξασθαι ceteri (v) τὴν om. F 9 οὕτως SCG^2: οὕτω ceteri προσεκτέον CG^{2}AF: προσιτέον S, προσενεκτέον G^{1}HP (v) 10 τρίτην γενεὰν AF: τρίτη γενεᾷ ceteri (v) τε S: om. ceteri (v) 10.11 θείων λόγων transp. H (v) 11 καὶ post θέμις add. S: om. ceteri (v) 12 ἀποδεξαμένων A πρὸς seclusit Mang. 13 tit. ὑπὲρ πολεμίων add. S mg G^2 πολεμίων S: τῶν πολεμίων ceteri (v) 15 τὰς ἑλεπόλεις ἐφιστάντες S: ταῖς πόλεσιν ἐφιστάντες CG^{2}FHP (Turn.), ταῖς πόλεσιν ἐπιστάντες A, ταῖς (πόλεσιν om. in lac.) ἐπιστάντες G^1 μήπως C 16 προκαλέσωνται S: προσκαλέσωνται ceteri (Turn.) 17 ἐνδοῖεν, τὸ] ἐνδοίοιντο S δ' G^2 ἀπαθέστερον S^1 ut vid., ἀπειθέστερον corr. S^2; ἀφειδέστερον coni. Wendl.

14sqq. Deut. 20,10sqq. cf. *Ioseph. Ant. Iud. IV § 296. 297.* 14—16 pergit *Clem. Alex. l. l.* τούς τε πολεμίους, κἂν ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ὦσιν ἑλεῖν τὴν πόλιν πειρώμενοι, μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προ[σ]καλέσωνται πρὸς εἰρήνην.

ἐναντιοῖντο, συμμαχίαν τὴν τοῦ δικαίου προσειληφότες ἐλπίδι νίκης ἐπίωσι
110 πρὸς ἄμυναν. ἢν μέντοι καὶ ἐκ προνομῆς εὐμόρφου γυναικὸς εἰς ἐπι-
θυμίαν ἔλθῃς, μὴ ὡς αἰχμαλώτῳ, φησίν, ἐναπερύγῃς τὸ πάθος, ἀλλ'
ἡμερώτερον οἰκτισάμενος τῆς μεταβολῆς ἐπικούφισον τὴν συμφοράν,
111 μεθαρμοσάμενος πάντα πρὸς τὸ βέλτιον. ἐπικουφιεῖς δὲ τὰς μὲν τῆς
κεφαλῆς τρίχας ἀποκείρας, περιελὼν δὲ ὄνυχας, ἀπαμφιάσας δὲ τὴν
ἐσθῆτα ἣν ἔχουσα ἐζωγρήθη, τριάκοντα δὲ ἡμέρας ἀνεὶς καὶ ἐπιτρέψας
αὐτῇ πενθῆσαι καὶ ἀποδακρῦσαι μετὰ ἀδείας πατέρα καὶ μητέρα καὶ
τοὺς ἄλλους οἰκείους, ὧν ἀπεζεύχθη τεθνεώτων ἢ θανάτου χείρους
ὑπομενόντων τὰς ἐν δουλείᾳ συμφοράς· μετὰ δὲ ταῦτα ὡς γαμετῇ νόμῳ
112 συνέρχου. τὴν γὰρ μέλλουσαν | εὐνῆς ἀνδρὸς ἐπιβήσεσθαι, μὴ κατὰ p. 394
μισθαρνίαν ὡς ἑταίραν τὸ τῆς ὥρας ἄνθος καπηλεύουσαν ἀλλ' ἢ δι'
ἔρωτα τοῦ συνιόντος ἢ διὰ τέκνων γένεσιν, ὅσιον θεσμῶν τῶν ἐπὶ τελείοις
113 γάμοις ἀξιοῦσθαι. πάνυ καλῶς διαταξάμενος ἕκαστα· πρῶτον μὲν γὰρ
οὐκ εἴασεν ἀχάλινον φέρεσθαι τὴν ἐπιθυμίαν ἀπαυχενίζουσαν, ἀλλ'
ἐστείλατο τὸ σφοδρὸν αὐτῆς ἡμέρας τριάκοντα χαλάσας. δεύτερον δὲ

---

1 ἐπίησι S 2 εὐμόρφου — μὴ (3) om. S 3 αἰχμαλώτων G[3] ἐναπερύγῃς scripsi (cf. vol. IV 298,5): ἐναπερρυγεὶς S, ἐπαπερύγης CG[2] (v), ἐπανεγείρῃς ceteri πάθος] πλῆθος G[2] 5 ἐπικουφιεῖς S: ἐπικουφίσῃς CF, ἐπικουφίσεις ceteri (v) μὲν] μετὰ F[1], μὲν τὰς F[2] 6 τρίχας S (Clem. Al.): χαίτας ceteri (v) δ' S ἀπαμφιάσας A: ἐπαμφιέσας G[2], ἀπαμφιέσας ceteri (v) 7 δὲ SA: δ' ceteri ἐπιτρίψας A 8 ἀποδακρῦσαι S: δακρῦσαι ceteri (v) μετὰ SCG[1]G[2]: μετ' ceteri μετὰ ἀδείας post μητέρα transp. S 9 ⟨ἢ⟩ τεθνεώτων coni. Mang. ἢ] ἴσως οἷα S θανάτου SAH[2]: θανάτων ceteri 10 ἐν δουλείᾳ S: ἐπὶ δουλείαν AF, ἐπὶ δουλείᾳ ceteri (Turn.) ταύτην F νόμῳ] νομίμῳ C (v) 13 τοῦ] τούτου A συνιόντος S: συμβάντος ceteri (v) ὅσιον] ὁσίων S, ὅσον F[1], ἴσων F[2] 14 ⟨φαίνεται⟩ διαταξάμενος conicio διαταξάμενος ἕκαστα S: ἕκαστα διαταξάμενος ceteri (v) 15 εἴα F εἴασε χαλινον (sic) S ἀχάλινον — τὸ (16) om. F ἀπαυχενίζεσθαι S, ἀπαυ spat. 10 fere litt. G[1] 16 ἐστείλατο S: ἀνέστειλε HP (v), ἔστειλε ceteri ἡμέραις λ' S χαλάσας S: ἐάσας ceteri (v)

2sqq. Deut. 21,10—13. cf. *Ioseph. Ant. Iud. IV § 257 sqq.* 3sqq. pergit *Clem. Alex. l. l.* ναὶ μὴν καὶ τῇ αἰχμαλώτῳ οὐ πρὸς ὕβριν ὁμιλεῖν κελεύει, ἀλλὰ τὰς λ' ἡμέρας ἐπιτρέψας, φησί, πενθῆσαι οὓς (ὡς cod., corr. Mang.) βούλεται, μεταμφιάσας ὕστερον ὡς γαμετῇ νόμῳ συνέρχου· οὔτε (οὐ conicio, οὐδὲ Dindorf) γὰρ ἐφ' ὕβρει τὰς συνουσίας οὐδὲ μὴν διὰ μισθαρνίαν ὡς ἑταίρας ἀλλ' ἢ διὰ μόνην τῶν τέκνων τὴν γένεσιν γίνεσθαι τὰς ὁμιλίας ἀξιοῖ. ὁρᾷς φιλανθρωπίαν μετ' ἐγκρατείας; τῷ ἐρῶντι κυρίῳ τῆς αἰχμαλώτου γεγονότι οὐκ ἐπιτρέπει χαρίζεσθαι τῇ ἡδονῇ, ἀνακόπτει δὲ τὴν ἐπιθυμίαν διαστήματι μεμετρημένῳ καὶ προσέτι ἀποκείρει τῆς αἰχμαλώτου καὶ τὰς τρίχας, ἵνα τὸν ἐφύβριστον δυσωπήσῃ ἔρωτα· εἰ γὰρ λογισμὸς ἀναπείθει γῆμαι, καὶ γενομένης αἰσχρᾶς ἀνθέξεται.

τὸν ἔρωτα βασανίζει, πότερον ἐπιμανὴς καὶ ἀψίκορος καὶ ὅλος τοῦ πάθους
ἐστὶν ἢ μετέχει τῆς καθαρωτέρας ἰδέας, ἀνακεκραμένου λογισμοῦ· λογισμὸς
γὰρ πεδήσει τὴν ἐπιθυμίαν οὐδὲν ὑβριστικὸν ἐάσας αὐτὴν ἐξεργάσασθαι,
ἀλλὰ τὴν μηνιαίαν προθεσμίαν ἐπισχεῖν. τρίτον δὲ ἐλεεῖ τὴν αἰχμά- 114
λωτον, εἰ μὲν παρθένος ἐστίν, ὅτι γονεῖς οὐκ ἐγγυῶσι τὴν εὐχταιοτάτην
ἁρμοζόμενοι σύνοδον, εἰ δὲ χήρα, διότι τοῦ κουριδίου στερομένη πεῖραν
ἑτέρου μελλήσει λαβεῖν, καὶ ταῦτ' ἐπανατειναμένου τὸν δεσποτικὸν φόβον,
κἂν ἰσότητα ἐπιτηδεύῃ· τὸ γὰρ ὑπακοῦον ἀεὶ τὴν τοῦ κρατοῦντος, κἂν
ἡμερώτερον ᾖ, δέδιεν ἰσχύν. ἐὰν δέ τις τῆς ἐπιθυμίας ἀποπληρωθεὶς 115
καὶ διακορὴς γενόμενος μηκέτι κοινωνεῖν ὁμιλίας ἀξιοῖ τῆς πρὸς τὴν
αἰχμάλωτον, οὐ ζημιοῖ μᾶλλον αὐτὸν ἢ νουθετεῖ καὶ σωφρονίζει πρὸς
βελτίωσιν ἠθῶν· κελεύει γὰρ μήτε πιπράσκειν μήτ' ἔτι δούλην ἔχειν,
ἀλλὰ χαρίζεσθαι μὲν ἐλευθερίαν αὐτῇ, χαρίζεσθαι δέ καὶ τὴν ἐκ τῆς
οἰκίας ἀπαλλαγὴν ἀδεᾶ, ὡς μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης ἐξ ἔριδος,
οἷα φιλεῖ, κατὰ ζηλοτυπίαν πάθῃ τι τῶν ἀνηκέστων, ἅμα καὶ τοῦ
δεσπότου καινοτέροις φίλτροις ὑπηγμένου καὶ τῶν παλαιοτέρων ἀλογοῦντος.

---

1 βασανίζει SC²AG¹: βασανίζειν ceteri 2 μετέχει] μέχρι H¹P τῆς] τε F καθαρωτέρας S: καθαρωτάτης ceteri (v) εἰδέας S ἀνακεκραμένος λογισμῷ G¹ λογισμὸς] λογισμοῖς G² 3 πεδήσῃ F ἐασάμενος A, αὐτὴν ἐάσας transp. CG² ἐξεργάσασθαι S: ἐργάσασθαι ceteri (v) 4 ἐπισχών coni. Mang. ἐλεεῖ S: ἐλεεῖν CG², ἐλθεῖν FHP, εἰς λήθην ἐλθεῖν A, om. in lac. G¹ 6 ἁρμοζόμενοι σύνοδον S: σύνολον ἁρμοζομένη F, σύνοδον ἁρμοζομένην ceteri (Turn.) τοῦ κουριδίου S: τοῦ om. ceteri (Turn.) στερομένη CG²: στερουμένη ceteri (v) 7 μελλήσει λαβεῖν SCG²: λαβεῖν μελλήσει G¹HP (v), λαβεῖν μελήσει AF ταῦτ' SA: ταῦτα ceteri ἐπανατειναμένους G²H τὸν S: ἔτι C (v), om. A, ἐπὶ ceteri 8 pr. κἂν] καὶ S ἐπιτηδεύει SF τὴν om. A 9 ἡμερώτερον AG¹HP: ἡμερώτερος SCG²F (v) ᾖ] ἢ G² δέδειεν S: δέδοικεν ceteri (v) ἀποπληρωθῆς S (-θεὶς scripsi): πληρωθῇ F, πληρωθεὶς ceteri (v) 10 διακορὴς] διάκορος S, ἀκορὴς G², ἀκορῆς C¹, corr. C² τὴν] τὸν Turn. 11 μᾶλλον SHP: μάλιστα ceteri (Turn.) αὐτὸν om. S 12 ἠθῶν SG¹G²: ἐθῶν ceteri (Turn.) γὰρ] δὲ A μήτε ἔτι C 13 αὐτῇ] ἑαυτῇ G² 14 οἰκίας] οἰκετίας coni. Mang. ἀδεᾶ, ὡς S: ἀδεῶς ceteri (Turn.) 15 πάθει S 16 καινοτέροις] καὶ νεωτέροις A ὑπιγμένου S¹, ι in ει corr. S² καὶ — ἀλογοῦντος om. C, om. in lac. G¹ τῶν παλαιοτέρων ἀλογοῦντος S: τῶν παλαιοτέρων G², τῶν παλαιτέρων HP, τοῖς παλαιοτέροις A, καταφρονοῦντος τῶν παλαιτέρων F mg H (v)

9sqq. Deut. 21,14. cf. *Ioseph. Ant. Iud. IV* § *259.* 9sqq. pergit *Clem. Alex. l. l.* ἔπειτα ἐάν τις τῆς ἐπιθυμίας κατάκορος γενόμενος μηκέτι κοινωνεῖν τῇ αἰχμαλώτῳ καταξιώσῃ, μηδὲ πιπράσκειν ταύτην ἐξεῖναι διατάττεται, ἀλλὰ μηδὲ ἔτι θεράπαιναν ἔχειν· ἐλευθέραν δὲ εἶναι καὶ τῆς οἰκετείας ἀπαλλάττεσθαι βούλεται, ὡς μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης πάθῃ τι τῶν κατὰ ζηλοτυπίαν ἀνηκέστων.

116 (15.) Ἕτερα δ' ἐφ' ἑτέροις ἐπαντλῶν ὠσὶ φιληκόοις εἰς ἡμερότητα προστάττει, κἂν ἐχθρῶν ὑποζύγια ἀχθοφοροῦντα τῷ βάρει πιεσθέντα προπέσῃ, μὴ παρελθεῖν, ἀλλὰ συνεπικουφίσαι καὶ συνεγεῖραι, πόρρωθεν ἀναδιδάσκων τὸ μὴ τοῖς ἀβουλήτοις τῶν ἐχθρανάντων ἐφήδεσθαι, βαρύμηνι πάθος ἐπιχαιρεκακίαν εἰδώς, ἀδελφὸν ὁμοῦ καὶ ἀντίπαλον φθόνου, συγγενὲς μὲν ὅτι ἐκ πάθους ἑκάτερον καὶ γένοιτ' ἂν ἄμφω περὶ τῶν αὐτῶν προσερχόμενα καὶ μόνον οὐ κατακολουθοῦντα ἀλλήλοις, ἀντίπαλον δὲ ὅτι ὁ μὲν ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λύπην, ἡ δὲ ἐπὶ τοῖς τοῦ
117 πλησίον κακοῖς ἡδονὴν ἀπεργάζεται. κἂν πλανώμενον μέντοι, φησίν, ἐχθροῦ τινος | ἴδῃς ὑποζύγιον, τὰ τῆς διαφορᾶς παραλιπὼν ὑπεκκαύματα p. 395 M βαρυτέροις ἤθεσιν ἀπαγαγὼν ἀπόδος. οὐ γὰρ ἐκεῖνον μᾶλλον ὀνήσεις ἢ σεαυτόν, ἐπειδὴ τῷ μὲν ἄλογον ζῷον καὶ οὐδενὸς ἴσως ἄξιον περιγίνεται,

---

1 tit. περὶ ὑποζυγίου καταπεσόντος add. S mg G² ἐφ' om. S ἐφ' ἑτέρων F ὠσὶ] ὡσεὶ G², ὡς S φιλικόοις S¹, corr. S² εἰς ἡμερότητα S: εἰς om. ceteri (v) 2 πιαισθέντα S, πιεσθέντα om. H 3 προπέσῃ — τοῖς (4) om. F προπέσῃ Wendl.: προσπέσῃ codd. (v) συνεπεγεῖραι S 4 τὸ δὲ μὴ A τῶν ἐχθρανάντων A: om. ceteri (Turn.); τῶν ἐχθρῶν conicio (cf. Clem. Al.), τῶν ἐχθαράντων coni. Wendl. 5 ἐπιχαιρεκακία S, τὴν ἐπιχαιρεκακίαν FP (Mang.), τὴν χαιρεκακίαν H² (Turn.) ἀδελφὸν ὁμοῦ καὶ S: om. ceteri (Turn.) 6 συγγενεσμένον (sic) G² ὅτι S: om. G², οὖν G¹, ὃν ceteri (Turn.) ἐκ πάθους] τὸ πάθος G¹ 6.7 περὶ τῶν αὐτῶν S: om. ceteri (v) 7 προσερχόμενον S, συνερχόμενα G¹; προσεχόμενα coni. Mang. μόνον οὐ κατακολουθοῦντα AG¹G²H¹P: μονονοὺ κατακολουθοῦντας F, μονονοὺκ ἀντακολουθοῦντα CH²(v), μόνον συγκατακόλουθα S ἀλλήλοις SG¹: ἐκείνοις ceteri (Turn.) 8 ὁ μὲν SG¹H²: ἡ μὲν ceteri λυπεῖν G² δ' S post ἡ δὲ add. χαρὰν H² (v) ἐπὶ S (Clem. Al.): om. ceteri (Turn.) 9 ἡδονὴν ἀπεργάζεται SAG¹: χαρὰν ἀπεργάζεται F, ἀπεργάζεται (om. ἡδονὴν) CG², κατεργάζεται HP (ἡδονὴν add. P²) tit. περὶ πλανωμένου ὑποζυγίου add. S, περὶ ὑποζυγίου πλανωμένου mg G² 10 ἴδοις F παραλιπὼν SD^K (Clem. Al.): καταλιπὼν ceteri (v) 11 βαρυτέροις ἤθεσιν ante τὰ (10) transp. D^K ἐκείνῳ S 11.12 ὀνήσεις εἰς αὐτὸν G² 12 σεαυτόν SD^K: σαυτόν ceteri τῷ] τὸ SF¹H¹D^K ζῷον ἄλογον transp. D^K ἴσως om. D^K

---

2 Exod. 23,5. Deut. 22,4. cf. *Ioseph. Ant. Iud. IV § 275.* 2 sqq. pergit *Clem. Alex. l. l. p. 476 P.* τί δέ; καὶ ἐχθρῶν ὑποζύγια ἀχθοφοροῦντα συνεπικουφίζειν καὶ συνεγείρειν προστάσσει, πόρρωθεν διδάσκων ἡμᾶς ὁ κύριος ἐπιχαιρεκακίαν μὴ ἀσπάζεσθαι μηδὲ ἐφήδεσθαι τοῖς ἐχθροῖς, ἵνα τούτοις ἐγγυμνασαμένους ὑπὲρ τῶν ἐχθρῶν προσεύχεσθαι διδάξῃ· οὔτε γὰρ φθονεῖν καὶ ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λυπεῖσθαι προσῆκεν οὔτε μὴν ἐπὶ τοῖς τοῦ πλησίον κακοῖς ἡδονὴν καρποῦσθαι. 9 Exod. 23,4. Deut. 22,1. 9—301,1 D^K fol. 73^r Φίλωνος ἐκ τοῦ περὶ τῶν ἀρετῶν: ἐὰν πλανώμενον μέντοι, ὁ νόμος φησίν, ἐχθροῦ τινος ἴδῃς ὑποζύγιον — καλοκἀγαθία. 9 sqq. pergit *Clem. Alex. l. l.* κἂν πλανώμενον μέντοι, φησίν, ἐχθροῦ τινος ὑποζύγιον εὕρῃς, τὰ τῆς διαφορᾶς παραλιπὼν ὑπεκκαύματα ἀπαγαγὼν ἀπόδος· τῇ γὰρ ἀμνηστίᾳ ἕπεται ἡ καλοκἀγαθία καὶ ταύτῃ ἡ τῆς ἔχθρας διάλυσις. ἐντεῦθεν εἰς ὁμόνοιαν καταρτιζόμεθα, ἡ δὲ εἰς εὐδαιμονίαν χειραγωγεῖ.

σοὶ δὲ τὸ μέγιστον καὶ τιμιώτατον τῶν ἐν τῇ φύσει, καλοκἀγαθία.
ἕπεται δὲ κατὰ τὸ ἀναγκαῖον ὥσπερ σκιὰ σώματι καὶ ⟨ταύτῃ⟩ τῆς ἔχθρας 118
διάλυσις· ὅ τε γὰρ εὖ πεπονθὼς ἄκων ἄγεται πρὸς τὸ ἔνσπονδον χάριτι
δουλωθείς, ὅ τε ὠφεληκὼς συμβούλῳ χρώμενος καλῇ πράξει σχεδὸν ἤδη
πρὸς καταλλαγὰς τὴν διάνοιαν τέτραπται. τοῦτο δὲ μάλιστα βούλεται 119
διὰ πάσης τῆς νομοθεσίας ὁ ἱερώτατος προφήτης κατασκευάζειν, ὁμόνοιαν,
κοινωνίαν, ὁμοφροσύνην, κρᾶσιν ἠθῶν, ἐξ ὧν οἰκίαι καὶ πόλεις ἔθνη τε
καὶ χῶραι καὶ τὸ σύμπαν ἀνθρώπων γένος εἰς τὴν ἀνωτάτω προέλθοιεν
εὐδαιμονίαν. ἀλλ' ἄχρι μὲν τοῦ παρόντος ταῦτ' εἰσὶν εὐχαί· γενήσεται 120
δέ, ὥς γε ἐμαυτὸν πείθω, καὶ ἔργα ἀψευδέστατα, τοῦ θεοῦ παρασχόντος
ὥσπερ ἐτησίους καρποὺς εὐφορίαν ἀρεταῖς, ὧν μὴ ἀμοιρήσαιμεν οἱ τὸν
πόθον αὐτῶν σχεδὸν ἀπὸ πρώτης ἡλικίας περιφέροντες.

(16.) Ἃ μὲν οὖν ἐπ' ἐλευθέροις ἔγνω, ταῦτα καὶ τὰ τούτοις 121
ἐστὶ παραπλήσια. συνῳδὰ δ' ὡς ἔοικε καὶ περὶ δούλων νομοθετεῖ,
πάλιν τῶν συντεινόντων εἰς ἡμερότητα καὶ φιλανθρωπίαν καὶ τούτοις
μεταδιδούς. θῆτας μὲν οὖν ἕνεκα χρείας τῶν ἀναγκαίων ὑποβεβληκότας 122
ἑαυτοὺς ἄλλων ὑπηρεσίαις οἴεται δεῖν ἀνάξιον μηδὲν ὑπομένειν τῆς

1 σοὶ] οἱ S τὸ] τὸν S τιμιώτατον] τελειότατον D[K] ἐν S: ἐπὶ ceteri
2 ἕπεται S (Clem. Al.): ἕψεται G¹, διέξεισι C (Turn.), διέξειμι ceteri κατὰ om. H
σώματος FL² (Turn.) ταύτῃ addidi (cf. Clem. Al.) 3 διαλύσεις FHP
ἄγεται ἄκων transp. A 4 τε S: τ' ceteri συμβούλῳ SH²: συμβόλῳ ceteri
(sed βουλευομένῳ F) πράξει om. in lac. G¹ 5 τέτραπται S: τέταται CH²
(Turn.), τέτακται ceteri τοῦτο] ταῦτα conicio βουλεύεται F
6 τῆς S: om. ceteri (v) ὁ om. G² 8 ἀνθρώπων S: τῶν ἀνθρώπων ceteri (v)
προσέλθοιεν S 9 εὐχαί om. F 10 δ' S, δὲ καὶ F ὥς γε CG¹:
ὥστε S, ὥς γ' ceteri καὶ om. S ἀψευδεστατου (sic) θεοῦ S
11 ἐτησίους καρποὺς S: ἐτησίοις καρποῖς ceteri (v) ἀρεταῖς S: ἀρετῆς ceteri (v);
ἀρετῶν coni. Mang. ὧν] ὡς F μὴ ἀμοιρῆσαι μὲν A, μὴ ἀμοιρησάμενοι P,
μὴ μοιρησάμενοι G², οὐκ εὐμοιρησάμενοι C οἱ] ὅτι S, om. F (CG²P)
τὸν om. Mang. 12 περιφέροντος G²H¹P, περιφέρομεν C (Turn.) 13 ἐλευθέροις SA: ἐλευθερίας ceteri (Turn.) ταῦτα om. G²FHP, om. in lac. G¹
14 ἔστι S: om. ceteri (v) tit. περὶ δούλων add. S δὲ CAG²
ἔοικεν CF περὶ S: τὰ A, τὰ περὶ ceteri (v); ἃ περὶ conicio 15 πάλιν τῶν S:
πάντων τῶν CH² (v), πάντων ceteri συνόντων in textu S, συντεινόντων mg S
pr. καὶ om. G¹ φιλανθρωπίας G¹ 16 μεταδιδούς S: μεταδούς ceteri (v)
θῆτας CG²: ὄντας S, τοὺς ceteri (v) οὖν om. F 17 αὐτοὺς S
ἀνάξιον μηδὲν SCG²: μηδὲν ἀνάξιον (ἄξιον A) ceteri (v) τῆς] τοῖς S

16 sqq. Lev. 25,39. 40. Exod. 21,2. Deut. 15,12. 16 sqq. *Clem. Alex. l. l.* ἔτι τοὺς ⟨ἐπὶ⟩ τροφῇ δουλεύοντας ἀτιμάζεσθαι κωλύει, τοῖς τε ἐκ δανείων καταδουλωθεῖσιν ἐκεχειρίαν τὴν εἰς πᾶν δίδωσιν ἐνιαυτῷ ἑβδόμῳ.

ἐκ γένους ἐλευθερίας, παραινῶν τοῖς τυγχάνουσι τῆς διακονίας εἰς τὸ τῆς τύχης ἀτέκμαρτον ἀφορᾶν καὶ λαμβάνειν αἰδῶ τῆς μεταβολῆς· τοὺς δ' ἐξ ἐφημερινῶν δανείων χρεώστας τὸ τῆς προσβολῆς ὄνομα καὶ πάθος ὑποδύντας ἢ καὶ τοὺς ἀνάγκῃ βιαστικωτέρᾳ γενομένους ἐξ ἐλευθέρων δούλους οὐκ εἰς ἅπαν κακοπραγεῖν ἐᾷ διδοὺς ἐκεχειρίαν τούτοις τὴν

123 εἰς ἅπαν ἐνιαυτῷ ἑβδόμῳ. τοῖς μὲν γὰρ δανεισταῖς οὐ κομισαμένοις τὸ χρέος ἢ τρόπον ἕτερον κτησαμένοις τοὺς πρότερον ἐλευθέρους ἐξαρκεῖ, φησί, χρόνος εἰς ὑπηρεσίαν ἑξαετία· οἱ δὲ μὴ γένει δοῦλοι χρηστῆς ἐλπίδος μὴ εἰς ἅπαν ἀμοιρείτωσαν, ἀλλ' ἴτωσαν ἐπὶ τὴν παλαιὰν

124 ἄδειαν, ἧς διὰ καιροὺς ἀβουλήτους ἐστέρηντο. κἂν ἐκ τριγονίας μέν, | φησί, δοῦλος ἑτέρου φόβῳ δεσποτικῶν ἀπειλῶν ἢ συνειδήσει τινῶν p. 396 M ἁμαρτημάτων ἢ μηδὲν ἠδικηκώς, ἀμειλίκτῳ καὶ ὠμοθύμῳ χρώμενος ἄλλως δεσπότῃ, πρὸς ⟨σὲ⟩ καταφύγῃ τευξόμενος ἐπικουρίας, μὴ περιίδῃς· ἐκδιδόναι γὰρ ἱκέτας οὐχ ὅσιον, ἱκέτης δὲ καὶ ὁ δοῦλος ὥσπερ εἰς ἱερὸν τὴν σὴν ἑστίαν καταπεφευγώς, ἐν ᾗ δίκαιόν ἐστιν ἀσυλίας τυγχάνειν, μάλιστα μὲν εἰς ἀδόλους ἐλθὼν καταλλαγὰς τὰς χωρὶς ἐνέδρας,

---

1 ἐκ γένους S: εὐγενοῦς ceteri (v) διακονίας] δουλείας A 2 τύχης] ψυχῆς S 3 ἐφημερίας S, ἡμερινῶν A προσβολῆς SA: προβολῆς HP, περιβολῆς CG² (v), παραβολῆς F (prob. Mang.), δουλείας G¹ 4 ἢ] εἰ S βιαστικώτερον F 5 τούτοις τὴν S: om. ceteri (v) 6 εἰσάπαν ante ἐκκεχειρίαν (5) transp. A οὐ om. F κομισομένοις S 7 ἢ τρόπον S: ἢ τοῖς τρόπον G¹, πρὸ τῶν A, πρὸς τὸν ceteri (Turn.) ἕτερον] πρότερον A κτησαμένοις] χρησαμένων A 8 ἐξαρκεῖ codd.: ἀρκεῖ v ἑξαετίας A, ἑξαετής G¹ οἱ δὲ μὴ γένει δοῦλοι S: οἵ τε μὴν δοῦλοι F, οἵ γε μὴν δοῦλοι ceteri (v) 9 χρηστῆς ἐλπίδος S: χρηστῆς CG², χρηστῶν ceteri (v) εἰς ἅπαν μὴ transp. G¹ ἤτωσαν S (ἴτωσαν scripsi): ἰέτωσαν ceteri (v) 10 ἐστέρηντο SA: ἐστέρηνται ceteri (v) κἂν] καὶ AHP, καὶ εἰ G¹ ἐκ τριγονίας om. in lac. G¹ τριγωνίας G², τριγενείας S μέν om. C 11 δεσποτικῷ G² 12 ἢ add. SG¹: om. ceteri (Turn.) καὶ ὠμοθύμῳ S: om. ceteri (Turn.) 13 ἄλλῳ S, ἀλλ' ὡς G²HP πρὸς σὲ καταφύγῃ scripsi: προσκαταφύγῃ S, καταφυγῇ χρῆται ceteri (v) τευξόμενος S: ὡς τευξόμενος CG² (v), προστευξόμενος ceteri περιίδῃς S: περιίδητε ceteri (v) 14 ἐκδιδόναι S (Clem. Al.): προδιδόμεναι G², προδιδόναι ceteri (v) οἰκέτας G¹G²HP 14. 15 ὥσπερ εἰς ἱερὰν G¹ (ἱερὸν recte coni. Mang.): ὥσπερ ὡς ἱερῷ S, ὥσπερ εἰς AFHP (v), ὥσπερ G², ὡς πρὸς C 15 τὴν σὴν ἑστίαν SCG¹G²: σὴν ἑστίαν AHP (Turn.), τὴν ἑστίαν F (Mang.) δίκαιος coni. Wendl. 16 ἀδόλους] ἀλόγους S ἐλθὼν καταλλαγὰς S: καταλλαγὰς ἐλθόντα ceteri (v) τὰς S: om. ceteri (v) χωρὶς ἐνέδρας om. G¹

10sqq. Deut. 23,15. 16. 14 pergit *Clem. Alex. l. l.* ἀλλὰ καὶ ἱκέτας ἐκδιδόναι εἰς κόλασιν κωλύει.

εἰ δὲ μή, τὸ γοῦν πανύστατον πραθείς· ἀλλαγαὶ γὰρ αἱ τῶν δεσποτῶν
ἄδηλον ὅπου τὴν ῥοπὴν ἕξουσι, τοῦ δ' ὁμολογουμένου κουφότερον τὸ
ἄδηλον κακόν.
(17.) Ταῦτα μὲν οὖν περὶ οἰκείων καὶ ἀλλοτρίων καὶ φίλων καὶ 125
ἐχθρῶν καὶ δούλων καὶ ἐλευθέρων καὶ συνόλως ἀνθρώπων νομοθετεῖ.
τὸ δὲ ἐπιεικὲς καὶ ἥμερον καὶ ἐπὶ τὴν τῶν ἀλόγων ζῴων φύσιν ἄγει
μεταδιδοὺς καὶ τούτοις, ὥσπερ ἀπὸ πηγῆς εὐμενοῦς ἀρύσασθαί τινος
χρηστοῦ. κελεύει γὰρ ἐν ταῖς ἡμέροις ἀγέλαις, κατά τε ποίμνας καὶ 126
αἰπόλια καὶ βουκόλια, τῆς παραχρῆμα τῶν γεννωμένων ἀπολαύσεως
ἀπέχεσθαι, μήτε πρὸς ἐδωδὴν μήτε ἐπὶ προφάσει θυσιῶν λαμβάνοντας.
ὠμῆς γὰρ ὑπέλαβεν εἶναι ψυχῆς, ἐφεδρεύειν ἀποκυϊσκομένοις εἰς ἀν-
υπέρθετον διάζευξιν ἐγγόνων τε αὖ καὶ μητέρων ἕνεκα γαστρὸς ἡδονῆς,
μᾶλλον δὲ ἀηδίας ἐκτόπου τινὸς [ψυχῆς] καὶ παρηλλαγμένης. φησὶν 127
οὖν τῷ βιωσομένῳ κατὰ τὴν ἱερωτάτην αὐτοῦ πολιτείαν· „ὦ γενναῖε,
πολλή τίς ἐστιν ἀφθονία σοι τῶν πρὸς ἀπόλαυσιν, οἷς μέμψις οὐ
παρέπεται· συγγνωστὸν γὰρ ἂν ἦν ἴσως, ἐπειδὴ πολλὰ τῶν ἀβουλήτων

1 πανύστατον S: σπανιώτατον ceteri (Turn.) πραθείς] προσθεὶς F, πραθέντα G^1 ἀλλαγαὶ γὰρ αἱ τῶν S: ἀλλά τε γὰρ τὸ A, ἀλλάττεται· τὸ γὰρ C, ἀλλάττεται γὰρ τὸ ceteri (Turn.) 2 ὅπου] ὃν ὅπη G^1 ῥοπὴν] ῥωὴν G^2 ἕξουσιν S ὡμολογημένου HP 4 tit. διὰ τί προστάσσει τὰ γεννήματα τῶν ζώων μὴ θύειν πρὸ ς' ἡμερῶν add. S καὶ ante φίλων om. CG^2 5 καὶ ante δούλων om. C, καὶ δούλων om. S 6 δ' A ἀλόγων] ἄλλων G^2 ζώων SCG^2: om. ceteri (v) φύσιν ἄγει SG^1: τείνει φύσιν ἀεὶ F (Mang.), φύσιν ἀεὶ ceteri (Turn.); φύσιν ἀποτείνει coni. Wendl. 7 μεταδιδοὺς] μετὰ αἰδοῦς G^2 ὥσπερ] ὡς καθάπερ conicio εὐμενοῦς] ἀενναοῦς (ἀενάου?) coni. Mang. 7. 8 τι χρηστόν G^1 8 ἐν ταῖς SFG^1: ἔν τε ceteri (Turn.) ἡμέραις HP τὰς ποίμνας S 9 αἰπόλια SFG^1H^2: ἐπαύλεις C, ἐπαύλια ceteri τῶν om. A 10 μήτε ... μήτε] μηδ' ... μηδ' S πρὸς] εἰς S ἐπὶ προφάσει S (Clem. Al.): ἐπὶ om. ceteri (v) 11 εἰς S: om. ceteri (v) 12 αὖ om. G^1HP 13 δ' A ἀηδίας S: om. in lac. G^1, ἀΐδιον F, ἀϊδίου ceteri (Turn.) ἐκτόπου τινὸς ψυχῆς S: ψυχῆς ἐκτόπου τινὸς ceteri ψυχῆς seclusit Mang. παρηλλαγμένην G^2, παρηλλαγμένου F 14 τῷ βιασαμένῳ AFHP 15 σοι τῶν CG^1G^2: σίτων S, τῶν (om. σοι) AFHP 15. 16 οἷς μέμψις οὐ παρέπεται om. S 16 ἂν om. G^2 ἦν om. F

8 Exod. 22,30. Lev. 22,27. cf. *Ioseph. Ant. Iud. III § 236* κωλύει δὲ ὁ νόμος θύειν ζῷον αὐθημερὸν μετὰ τοῦ γεγεννηκότος ἐπὶ ταὐτό, οὐδ' ἄλλως δὲ πρὶν ὀγδόην ἡμέραν γεννηθέντι διελθεῖν. 8 sqq. *Clem. Alex. l. l. p. 477 P.* ἐμοὶ δὲ δοκεῖ καὶ Πυθαγόρας τὸ ἥμερον τὸ περὶ τὰ ἄλογα ζῷα παρὰ τοῦ νόμου εἰληφέναι. αὐτίκα τῶν γεννωμένων κατά τε τὰς ποίμνας κατά τε τὰ αἰπόλια καὶ βουκόλια τῆς παραχρῆμα ἀπολαύσεως ⟨ἀπέχεσθαι⟩, μηδὲ ἐπὶ προφάσει θυσιῶν ⟨λαμβάνοντας⟩, διηγόρευσεν, ἐκγόνων τε ἕνεκα καὶ μητέρων, εἰς ἡμερότητα τὸν ἄνθρωπον κάτωθεν ἀπὸ τῶν ἀλόγων ζῴων ἀνατρέφων.

ἡ ἀπορία καὶ σπάνις δρᾶν ἀναγκάζει. σὺ δὲ καὶ διαφέρειν εἰς ἐγκράτειαν καὶ τὰς ἄλλας ἀρετὰς ὀφείλεις τὴν καλλίστην τεταγμένος τάξιν, ὑπὸ ταξιάρχῃ τῷ τῆς φύσεως ὀρθῷ λόγῳ, δι᾿ ὃν ἡμερῶσθαί σε δεῖ
128 μηδὲν σκαιὸν τῇ διανοίᾳ παραδεχόμενον. τί δ᾿ ἂν εἴη σκαιότερον ἢ ταῖς περὶ τὴν ἀποκύησιν ὠδῖσιν ἐπιφέρειν ἔξωθεν ἑτέρας ἐκ τῆς παραχρῆμα τῶν γεννωμένων διαζεύξεως; ἀνάγκη γὰρ σφαδάζειν ἀποσπωμένων, διά τινα φυσικὴν μητέρων πρὸς ἔγγονα φιλοστοργίαν, καὶ μάλιστα ὑπὸ τὸν τῆς κυήσεως καιρόν, ἐπειδὴ πηγάζοντες οἱ μαστοὶ σπάνει τοῦ θηλάζοντος, ἀνακοπὴν τῆς ἐπιρροίας λαμβανούσης, σκιρροῦνταί τε καὶ κατατεινόμενοι
129 τῷ βάρει παγέντος εἴσω τοῦ γάλακτος ἀλγηδόσι πιέζονται. χάρισαι δή, φησί, τῇ μητρὶ τὸ ἔγγονον, εἰ καὶ μὴ τὸν σύμπαντα χρόνον, | ἑπτὰ p. 397 M.
γοῦν τὰς πρώτας ἡμέρας γαλακτοτροφῆσαι, καὶ μὴ ἀνωφελεῖς ἃς ἡ φύσις ὤμβρησε πηγὰς ἐν μαστοῖς ἐργάσῃ, τὰς δευτέρας αὐτῆς χάριτας ἀνελών, ἃς ἐκ πολλοῦ τοῦ προμηθοῦς ἡτοιμάσατο τἀκόλουθον μακρόθεν
130 αἰωνίῳ καὶ τελείᾳ φρονήσει κατιδοῦσα — προτέρα μὲν γὰρ δωρεὰ γένεσις,

1 ἡ ἀπορία S: ἡ om. ceteri (v) alt. καὶ om. FG[1]H[1]P 2 τὰς ἄλλας S: om. ceteri (v) 3 ὑπὸ ταξιάρχῃ — δεῖ S: om. ceteri (Turn.) δι᾿ ὃν scripsi: δι᾿ ὧν S; δι᾿ ὃ coni. Mang. 4 μηδὲν S: καὶ μηδὲ A, καὶ μηδὲν ceteri (Turn.) παραδεχόμενον S: παραδέχεσθαι ceteri (Turn.) τί δ᾿ ἂν εἴη σκαιότερον ἢ S: om. ceteri (Turn.); τί δ᾿ ἂν (cet. om.) Mang. ταῖς S: καὶ ταῖς G[1], ἐν ταῖς ceteri (Turn.) 5 ὠδῖσι περιφέρειν H ἑτέροις F, ἑτέρας om. S ἐκ τῆς om. F 6 ἀποσπωμένων S: ἀποσπώμενον ceteri (Turn.) 7 ἔγγονα SCG[2]: ἔγγονον ceteri (Turn.) μάλιστ᾿ (sic) S 7. 8 ὑπὸ τῶν ... καιρῶν S, τῶν etiam F 8 κτήσεως C[1], κυήσεως corr. C[2] μασθοὶ AF θηλάσοντος S 9 ἐπιρροῆς S σκιρροῦνται A, σκιροῦνται P, σκηροῦνται S: στεροῦνται F[1], στενοῦνται F[2], στειροῦνται CG[1]G[2]H (v) καὶ SCG[2]: om. ceteri (v) κατακτεινόμενοι A 10 παγέντος εἴσω scripsi (cf. lin. 13): παγέντοσ ηλω S, om. ceteri (v) ἀλγηδόσι SCG[2]: καὶ ἀλγηδόσι ceteri (v) πιεζοῦνται G[2] 10. 11 χάρισαι δεῖ S (χ. δή scripsi): χάρισαι ceteri (v) 11 τῇ μητρὶ om. S εἰ — χρόνον om. S εἰ καὶ] καὶ εἰ F 12 γαλακτοτροφηθῆναι S (Mang.) 13 ὤμβρισε S πηγὰς S: πηγὰς τοῦ γάλακτος C (v), πηγὰς τὰς τοῦ γάλακτος G[1], πηγὰς τὰς ἐντὸς εἴσω τοῦ γάλακτος ceteri (et mg C[2]), unde πηγὰς παγέντος εἴσω τοῦ γάλακτος sagaciter coni. Mang. (v. supra l. 10) μασθοῖς A αὐτῆς φύσεις S (αὐτῆς χάριτας scripsi): χάριτας αὐτῆς ceteri (v) 14 ἑτοιμάσας (α superscr.) τὸ (sic) G[2], ἑτοιμάσασα FHP[1] τἀκόλουθον] τό τ᾿ ἀκόλουθον AFHP 15 αἰωνία CG[1] (v) τελείω FG[2] καταδιδοῦσα AP[2] πρότερον F[1] δωρεὰν in textu H, δωρεὰ mg H γένεσις S: γέννησις ceteri (v)

10 pergit *Clem. Alex. l. l.* χάρισαι γοῦν, φησί, τῇ μητρὶ τὸ ἔκγονον κἂν ἑπτὰ τὰς πρώτας ἡμέρας· εἰ γὰρ μηδὲν ἀναιτίως γίνεται, γάλα δὲ ἐπομβρεῖται ταῖς τετοκυίαις εἰς διατροφὴν τῶν ἐκγόνων, ὁ ἀποσπῶν τῆς τοῦ γάλακτος οἰκονομίας τὸ τεχθὲν ἀτιμάζει τὴν φύσιν.

δι' ἧς τὸ μὴ ὂν ἄγεται πρὸς τὸ εἶναι, δευτέρα δὲ γάλακτος ἐπίρροια, τροφὴ καιρίως μαλακωτάτη, πᾶν ἁπαλόνυχον ἄρδουσα, ὃ ποτόν ἐστιν ὁμοῦ καὶ σιτίον· ὅσον μὲν γὰρ ὑδατῶδες τοῦ γάλακτος, ποτόν, ὅσον δ' ὑποπαχύνεται, σιτίον — προνοίᾳ τοῦ μὴ κακοπαθεῖν τὸ ἀρτίγονον, ἐφεδρευούσης ἀεὶ χρόνοις διαφέρουσιν ἐνδείας, ἀλλ' ὑπὸ μίαν καὶ τὴν αὐτὴν προσφορὰν ἑκατέρας τροφῆς ἤδη τὰς πικρὰς δεσποίνας, δίψαν τε
καὶ πεῖναν, ἐκφεύγειν.“ τοῦτον ἀναγνόντες τὸν νόμον, οἱ χρηστοὶ καὶ 131
περιμάχητοι γονεῖς, ἐγκαλύψασθε, οἱ ἐπὶ τοῖς βρέφεσιν ἀεὶ φονῶντες, οἱ κακὴν ἐφεδρεύοντες ἐφεδρείαν τοῖς ἀποκυομένοις εἰς ἔκθεσιν, οἱ τοῦ
σύμπαντος ἀνθρώπων γένους ἄσπονδοι πολέμιοι. τίνι γὰρ δι' εὐνοίας 132
ἀφίξεσθε, γενόμενοι τῶν ἰδίων τέκνων αὐτόχειρες; οἱ τὰς πόλεις τό γ' ἐφ' ὑμῖν ἧκον μέρος ἐρημοῦντες, ἀπὸ τῶν ἐγγυτάτω γένους ἀρξάμενοι τῆς ἀπωλείας, οἱ τοὺς τῆς φύσεως θεσμοὺς ἀνατρέποντες καὶ ὅσα ἂν οἰκο-

1 ἄγεται post εἶναι transp. CG² πρὸς S: εἰς ceteri (v) ἐπίρρυα S 2 τροφὴ καιρίοις (καιρίως Mang.) μαλακωτάτη, πᾶν ἁπαλόνυχον ἄρδουσα S: τροφὴν καιροῖς μαλακωτάτην ἐν ἁπαλοῖς μέλεσι δοῦσα AP² (prob. Mang.), τροφὴ καιροῖς (καιροῖς om. in lac. G¹) μαλακωτάτη ἐν ἁπαλῷ, μία δ' οὖσα ceteri (v) ὃ A: om. ceteri (v) 3 ὅσον μὲν γὰρ S: ἔστι γὰρ ὅσον μὲν ceteri (v) τοῦ γαλακτώδους AFHP 4 δ'] θ' F ὑποπαχύνεσθαι AFP τὸ ἀντίγονον A 5 ἐφεδρεῦσαν F ἀεὶ S: om. ceteri (v) ἐνδείας om. CG² 6 προφορὰν F¹G¹HP¹, τροφὸν AP² ἑκατέρας τροφῆς ἤδη S: ἑκατέρων ἀνατροφῆς ἤδη AFH¹P, ἑκατέρων ἀνατροφῆς εἴδει CG², ἑκατέρων ἐνὶ τροφῆς εἴδει G¹, ἑκατέρου τοῦ τῆς τροφῆς εἴδους H² (v) τῆς πικρᾶς δεσποίνης A τε om. A 7 ἐκφεύγειν AG¹P¹: ἐκφεύγει FHP¹, ἐκφεύγῃ CG² (Turn.), ἐκφύγῃ S ἀναγνῶντες SF¹ οἱ] ὦ conicio 8 φονῶντες S: μονοῦντες G¹, πονοῦντες ceteri (Turn.) 9 ἀποκυομένοις AP²: ἀποκυουμένοις ceteri (Turn.) εἰς S: om. ceteri (Turn.) 10 γὰρ ἂν G¹ 11 ἀφίξεσθε S: γένοισθε CG¹, ἐγένεσθε ceteri (v) γινόμενοι G¹, γενόμενοι post αὐτόχειρες transp. S ἰδίων] οἰκείων F οἱ — ἀπωλείας (13) om. F γ'] τ' S 11. 12 ἐφ' ὑμῖν G¹: ἐφ' ἑαυτοῖς S (Mang.), ἐπ' αὐτοῖς ceteri (Turn.) 12 μέρος ἧκον transp. CG² ἐγγυτάτων A 13 ὅσα ἂν Mang.: ὡσ ἂν (sed ω corr. ex ο) S, ὅσα ἐν ceteri (Turn.)

7sqq. pergit *Clem. Alex. l. l.* δυσωπείσθωσαν οὖν Ἕλληνες καὶ εἴ τις ἕτερός ἐστι τοῦ νόμου κατατρέχων, εἰ ὁ μὲν καὶ ἐπ' ἀλόγων ζῴων χρηστεύεται, οἱ δὲ καὶ τὰ τῶν ἀνθρώπων ἐκτιθέασιν ἔγγονα, καίτοι μακρόθεν καὶ προφητικῶς (προνοητικῶς coni. Mang.) ἀνακόπτοντος αὐτῶν τὴν ἀγριότητα τοῦ νόμου διὰ τῆς προειρημένης ἐντολῆς· εἰ γὰρ τῶν ἀλόγων τὰ ἔκγονα διαζεύγνυσθαι τῆς τεκούσης πρὸ τῆς γαλακτουχίας ἀπαγορεύει, πολὺ πλέον ἐπ' ἀνθρώπων τὴν ὠμὴν καὶ ἀτιθάσευτον προθεραπεύει γνώμην, ἵν' εἰ καὶ τῆς φύσεως, μαθήσεως γοῦν μὴ καταφρονῶσιν. ἐρίφων μὲν γὰρ καὶ ἀρνῶν ἐμφορεῖσθαι ἐπιτέτραπται, καί τις ἴσως ἀπολογία τῷ διαζεύξαντι τῆς τεκούσης τὸ ἔκγονον, ἡ δὲ τοῦ παιδίου ἔκθεσις τίνα τὴν αἰτίαν ἔχει; ἐχρῆν γὰρ μηδὲ τὴν ἀρχὴν γῆμαι τῷ μηδὲ παιδοποιεῖσθαι γλιχομένῳ ἢ δι' ἡδονῆς ἀκρασίαν παιδοκτόνον γεγονέναι.

δομῇ καθαιροῦντες, δι' ἀνημέρου καὶ ἀτιθάσου ψυχῆς ὠμότητα γενέσει
133 φθορὰν καὶ ζωῇ θάνατον ἐπιτειχίζοντες. ἢ οὐχ ὁρᾶτε, ὅτι τῷ πάντα ἀρίστῳ νομοθέτῃ δι' ἐπιμελείας ἐγένετο μηδὲ τῶν ἀλόγων τὰ ἔγγονα διαζευχθῆναι τῆς τεκούσης, ἄχρις ἂν γαλακτοτροφηθῇ; τὸ πλέον, ὦ γενναῖοι, δι' ὑμᾶς, ἵν', εἰ καὶ μὴ τῇ φύσει, μαθήσει γοῦν ἀναδιδάσκησθε τὸ φιλοίκειον, εἰς ἄρνας καὶ ἐρίφους ἀποβλέποντες, οἳ ἐν ἀφθόνοις χορηγίαις τῶν ἀναγκαίων τρυφᾶν οὐ κεκώλυνται, τῆς φύσεως μὲν τοιαῦτα παρασκευασαμένης ἐν ἐπιτηδειοτάτοις χωρίοις, ἐξ ὧν εὐμαρεῖς τοῖς δεησομένοις αἱ ἀπολαύσεις γενήσονται, νομοθέτου δὲ μετὰ πολλῆς προμηθείας ἐφορῶντος, ἵνα μηδεὶς ἐμποδίζῃ τὰς εὐεργέτιδας καὶ σωτηρίους τοῦ θεοῦ δωρεάς.

134 (18.) Βουλόμενος δὲ πολυτρόποις ἰδέαις τὰ ἡμερότητος καὶ ἐπιεικείας σπέρματα ταῖς διανοίαις ἐγκατασπείρειν ἄλλο τίθησι διάταγμα συγγενὲς τοῖς προτέροις, ἀπαγορεύων ἡμέρᾳ τῇ αὐτῇ | συγκαταθύειν p. 398
μητέρα καὶ ἔγγονον· καὶ γὰρ εἰ θυτέον, ἀλλ' οὖν ἐν χρόνοις γε διαφέρουσιν· ὑπερβολὴ γὰρ ἀγριότητος τὴν αἰτίαν τῆς γενέσεως μετὰ

---

1 δι' ἀνημέρου καὶ ἀττιθάσου ψυχῆς ὠμότητα S: οἱ ἀνήμεροι καὶ ἀτίθασοι (-σσοι AFH) ψυχῆς ὠμότητι ceteri (v) 1. 2 γενέσει φθορὰν S: γεννητικῇ φθορᾶς F, γενηταὶ φθορᾶς ceteri (Turn.) 2 καὶ S: om. ceteri (Turn.) ζωὴν θανάτω G^1 ὁρᾶται (ε supra) G^1 ὅτι om. A πάντ' A, πάντων HP (Turn.) 3 μηδὲν S 4 ἄχρι C^1G^2 πλέον] πλεῖστον A 5 εἰ καὶ μὴ S: εἰ μὴ καὶ ceteri (Turn.) τῇ om. S ἀναδιδάσκεσθαι A 6 ἐρήφους S ἀφθονίαις G^2 7 τῆς φύσεως F mg H, φύσεως AG^1P: ὡς CG^2H, ἄλλως S 7. 8 τοιαῦτα S: αὐτὰ ceteri (αὐτὰς v) 8 παρασκευασαμένοις CG^2H, παρεσκευασμένους S 9 δεηθησομένοις S, δεομένοις CG^2 δὲ] δ' εἰ S 10 προμηθείας G^1: προνοίας C, ἀκριβείας S, προθυμίας ceteri (v) 12 titulum tamquam novi opusculi h. l. add. S: Φίλωνος περὶ γ' ἀρετῶν· περὶ ἡμερότητος καὶ ἐπιεικείας· περὶ τοῦ μὴ δεῖν ἐν ἡμέρα τῇ αὐτῇ θύειν μητέρα καὶ ἔγγονον· διὰ τί ἔγκυον ζῶον προστάσσει μὴ θύεσθαι, tit. περὶ τοῦ μὴ δεῖν ἡμέρα τῇ αὐτῇ θύειν μητέρα καὶ ἔγγονον add. mg G^2 πολυτρόποις ἰδέαις post σπέρματα (13) transp. HP (v) εἰδέαις S ἡμερότατα F^1, ἡμερώτατα F^2 13 ἐγκατασπεῖραι (sic) ταῖς διανοίαις transp. HP (v) 14 προτέροις ἀπαγορεύων ἡμέρα τῇ αὐτῇ S (Clem. Al.): ἀπαγορεύων—αὐτῇ om. G^1, προτέροις—αὐτῇ om. ceteri (Turn.) συγκαταθύειν S (Clem. Al.): μὴ καταθύειν ἅμα G^1, καταθύειν ceteri (Turn.) post καταθύειν add. τολμῶσι AP^2 15 post ἔγγονον add. ἐθέλουσι FL (Turn.) θυτέον S: θυτὸν ceteri (Turn.) ἐν χρόνοις γε S: γε ἐν χρόνοις ceteri (v) 16 γενέσεως S: γενήσεως A, γεννήσεως ceteri (v)

---

14 Lev. 22,28. cf. *Ioseph. Ant. Iud. III § 236* (supra p. 303,8). 14 pergit *Clem. Alex. l. l. p. 478 P.* πάλιν αὖ ὁ χρηστὸς νόμος ἀπαγορεύει ἡμέρᾳ τῇ αὐτῇ συγκαταθύειν ἔκγονον καὶ μητέρα.

τοῦ ζῳογονηθέντος ἡμέρᾳ μιᾷ κτείνειν. καὶ τοῦτο τοῦ χάριν; ἢ 135
γὰρ ἐπὶ προφάσει θυσιῶν ἢ διὰ γαστρὸς ἀπόλαυσιν· εἰ μὲν οὖν ἕνεκα
θυσιῶν, ἐπέψευσται καὶ τοὔνομα· τὰ γὰρ τοιαῦτα σφάγια, οὐ θυσία.
τίς δὲ δὴ καὶ θεοῦ βωμὸς οὕτως ἀνίερα ἱερεῖα προσδέξεται; ποῖον δὲ
πῦρ οὐκ ἂν δίχα τμηθὲν ἐξ ἑαυτοῦ διασταίη φεῦγον τὴν ἐξ ἀμίκτου
πράγματος ἕνωσιν; οἶμαι ἂν αὐτὸ μηδὲ πρὸς βραχύτατον ὑπομεῖναι χρόνον,
ἀλλ' αὐτίκα σβεσθῆναι προνοίᾳ τινὶ τοῦ μὴ τὸν ἀέρα καὶ τὴν ἱερωτάτην
πνεύματος φύσιν ὑπὸ τῆς αἰρομένης φλογὸς μιαίνεσθαι. εἰ δὲ μὴ 136
θυσιῶν χάριν ἀλλὰ θοίνης, τίς οὐκ ἂν τῆς ὑπερφυοῦς γαστριμαργίας
ὀρέξεις προβάλλοιτο καινὰς καὶ παρηλλαγμένας; ἐκτόπους μὲν γὰρ
ἡδονὰς οἱ τοιοῦτοι μεταδιώκουσι. τίς δὲ ἡδονὴ κρεωφαγοῦσι, γεύ-
σασθαι σαρκῶν ἐν ταὐτῷ μητέρων καὶ ἐγγόνων; ὧν εἰ τὰ μέλη
τις ἀναμῖξαι θελήσειεν ἀναπείρων ὀβελοῖς, ἵν' ὀπτῶν ἐμφορήσαιτο, οὐκ
ἄν μοι δοκεῖ διατελεῖν ἥσυχα, ῥήξειν δὲ φωνὴν σχετλιάσαντα δι' ὑπερ-
βολὴν τοῦ καινουργηθέντος πάθους καὶ μυρία λοιδορήσεσθαι τῆς
λαιμαργίας τοῖς εὐτρεπίζουσιν ἄσιτον εὐωχίαν. ἀλλ' ὅ γε νόμος ἔξω 137

1 ζῳογονηθέντος S: ζώου γεννηθέντος CG², γεννηθέντος ζώου ceteri (v) κτείνει S τοῦτο om. S 3 ἐπέψευσται SCG²: ἔψευσται ceteri (Turn.) τὰ om. S καὶ οὐ S 4 δὴ] δεῖ S, om. A βωμὸς om. in lac. G¹ προσδέξηται S (-εται scripsi): παραδέξαιτο ceteri (v) ποῖον S: τὸ ceteri (v) 5 οὐκ ἂν] κἂν S διατμηθὲν P αυτοῦ S φεύγων G² 6 αὐτὸ] το S χρόνον ὑπομεῖναι transp. HP (v) ἀπομεῖναι F 7 ἀλλ' αὐτίκα S: αὐτίκα δὲ ceteri (v) προνοίᾳ τινὶ S: τινὶ om. ceteri (v) 8 αἰρομένης S: καιομένης ceteri (v) 9 θοίνης] τροφῆς S τίς] τί S ὑπερφυᾶς C
10 ὀρέξεις G¹: αἰτιάσεις A (ἑστιάσεις coni. Mang.), om. ceteri (v) προβάλοιτο C κενὰς L (Turn.), καινὰς γὰρ S ἐκτοπίους μὲν ἂν ἐκθύσαιτό τις ἡδονὰς S
11 οἱ τοιοῦτοι S: οἱ δ' οἱ τοιοῦτοι G², οἱ δὴ τοιοῦτοι ceteri (v) μεταδιώκουσι] διώκουσι F, μέντοι ἀδικοῦσι S κρεοφαγοῦσιν S, κρεηφαγοῦσι C 12 ἐν ταὐτῷ S: ἔκ τε ceteri (Turn.) μητέρων SC: τῶν μητέρων ceteri (v) τῶν ἐγγόνων G¹ ὧν S: om. ceteri (Turn.) 13 ἀναμίξας S θελήσειεν ἀναπείρων ὀβελοῖς om. S θελήσειεν CG²: θελήσει ceteri καὶ ἀναπείρων G¹ ὀβελοῖς, ἵν' scripsi: ὀβελοῖσιν CG²FHP, ὀβελοῖσι καὶ A, ὀβελίσκοις G¹ ἐμφορήσαιτο S: ἐμφορήσασθαι ceteri (v) 14 δοκεῖν S, δοκῇ (sed ῃ ex εῖ corr.) AF διατελέσειν SCG² (v) ἥσυχα CG¹: ἡσυχῇ S, ἥσυχον ceteri ῥήξει A δὲ] τε S σχετλιάσαντα SCG¹: σχετλιάσαν FH², σχετλιάσας AG²H¹P (Turn.) 15 λοιδορήσεσθαι S: λοιδορήσασθαι ceteri 16 ἄσιτον S: ἄδεκτον F, ἄλεκτον ceteri (v) tit. διὰ τί ἔγκυον ζῷον προστάσσει μὴ θύεσθαι add. S, περὶ τοῦ μὴ θύειν τὰ ἔγκυα ζῷα mg G² ὅ γε νόμος] ὁ γενόμενος SG²

16 sqq. *Clem. Alex. l. l.* ἄντικρυς γοῦν καὶ ὅσα τῶν ζῴων κυοφορεῖ ὁ νόμος οὐκ ἐπιτρέπει ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, μακρόθεν ἐπισχὼν τὴν εὐχέρειαν τῶν εἰς ἄνθρωπον ἀδικούντων.

τῶν περιρραντηρίων ἐλαύνει καὶ ὅσα τῶν ζῴων κυοφορεῖ, μὴ ἐπιτρέπων ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, τὰ κατὰ γαστρὸς ἐν ἴσῳ τοῖς ἀποκυηθεῖσιν ἤδη λογισάμενος, οὐκ ἐπειδὴ τὴν ἴσην ἔλαχε τάξιν ἃ μηδ' εἰς φῶς πω προῆλθεν, ἀλλ' ὑπὲρ τοῦ μακρόθεν ἐπισχεῖν τὴν εὐχέρειαν
138 τῶν εἰωθότων πάντα φύρειν. εἰ γὰρ τὰ φυτῶν τρόπον ἔτι παραυξανόμενα καὶ μέρη νομιζόμενα τῶν κυόντων, νυνὶ μὲν ἡνωμένα, μηνῶν δὲ περιόδοις αὖθις ἀποσπασθησόμενα τῆς συμφυΐας, διὰ τὴν ἐλπίδα τοῦ γενήσεσθαι ζῷα φυλάττεται τῷ περὶ τὰς μητέρας ἀνεπιβουλεύτῳ, χάριν τοῦ μὴ τὸ λεχθὲν μίασμα συμβῆναι, πῶς οὐχὶ μᾶλλον τὰ ἀποτεχθέντα καὶ καθ' αὑτὰ ψυχῆς καὶ σώματος μεμοιραμένα; πάντων γὰρ ἀνοσιώτατον ἐνὶ καιρῷ καὶ ἡμέρᾳ μιᾷ ἔγγονον ὁμοῦ καὶ μητέρα κτείνειν.
139 ἐνθένδε μοι δοκοῦσιν ὁρμηθέντες ἔνιοι τῶν νομοθετῶν τὸν ἐπὶ ταῖς καταχρίτοις γυναιξὶν εἰσηγήσασθαι νόμον, ὃς κελεύει τὰς ἐγκύους, ἐὰν ἄξια θανάτου δράσωσιν, φυλάττεσθαι μέχρις ἂν ἀποτέκωσιν, ἵνα μὴ

---

1 pr. τῶν S: om. ceteri (v) θυσιῶν καὶ περιρραντηρίων A ἐλαύνειν F 2 ἀποτέκοι H 3 ἤδη S: om. ceteri (v) ἔλαχε τάξιν S: ἔλαχεν ἀξίαν ceteri (v) ἃ] ἂν S 4 πως S (πω scripsi): om. ceteri (v) προῆλθεν S: πρότερον ἦλθεν ceteri (v) 5 φύρειν] φέρειν A 5. 6 ἔτι παραυξόμενα S (ἔτι παραυξανόμενα scripsi): ἐμπεριαυξανόμενα ceteri (v); ἔτι περιεχόμενα coni. Mang. 6 μέρη S: μὴ ceteri (Turn.) κυόντων SCG²: κυούντων ceteri (v) νῦν εἰ S (νυνὶ scripsi): νῦν ceteri (v) μὲν om. G² 8 τοῦ ... ἀνεπιβουλεύτου S, τῷ ... εὐεπιβουλεύτῳ A χάριν S: om. ceteri (v) 10 καθαυτὰ S: κατ' αὐτὰ CG² (Turn.), κατὰ ταὐτὰ F, κατὰ ταῦτα AG¹HP τῆς ψυχῆς CG² 11 ἐνὶ καιρῷ] ἐν καιρῶ C¹G², ἡλίῳ ενι S 12 ἔνθεν δέ S (ἐνθένδε recte Mang., cf. Clem. Al.): συνιέ[illegible]ναι F, συνιεῖν δὲ ceteri (Turn.) post νομοθετῶν add. ἐντεῦθεν G¹ τὸν] καὶ τὸν FL² (v), τὸν corr. ex τῶν S 13 εἰσηγεῖσθαι S ἐγγύους AP², ἐγγυούσας HP¹ ἐὰν S: om. C, κἂν A (Mang.), ἂν ceteri (Turn.) 14 δράσωσιν S: δρώσας C, δρῶσιν ceteri (v) φυλάττεσθαι S: om. G²H¹P¹, μὴ ἀναιρεῖσθαι C, μὴ ἀποκτείνεσθαι AP², μὴ θανεῖν mg H² (v), μὴ ἀποθνήσκειν (post ἐγκύους l. 13) G¹, μὴ κτείνειν (post ἐγκύους) F

---

12 cf. Diodor. I 77,9 (de Aegyptiis) τῶν δὲ γυναικῶν τῶν καταδικασθεισῶν θανάτου τὰς ἐγκύους μὴ θανατοῦσθαι, πρὶν ἂν τέκωσι. καὶ τοῦτο τὸ νόμιμον πολλοὶ καὶ τῶν Ἑλλήνων κατέδειξαν, ἡγούμενοι παντελῶς ἄδικον εἶναι τὸ μηδὲν ἀδικῆσαν τῷ ἀδικήσαντι τῆς αὐτῆς μετέχειν τιμωρίας. Plut. de sera num. vind. 7 p. 552d τὸν δ' ἐν Αἰγύπτῳ νόμον ἆρ' οὐκ εἰκότως ὑμῖν ἀπογράψασθαι δοκοῦσιν ἔνιοι τῶν Ἑλλήνων, ὃς κελεύει τὴν ἔγκυον, ἂν ἁλῷ θανάτου, μέχρι τέκῃ φυλάττειν; Ael. Var. Hist. V 18 ἡ ἐξ Ἀρείου πάγου βουλή, ἐπεί τινα φαρμακίδα συνέλαβον καὶ ἔμελλον θανατώσειν, οὐ πρότερον αὐτὴν ἀπέκτεινεν, πρὶν ἢ ἀπεκύησεν. 12 sqq. pergit *Clem. Alex. l. l.* (post verba ad p. 306,14 adnot.): ἐντεῦθεν καὶ Ῥωμαῖοι, εἴ καί τις ἔγκυος καταδικασθείη τὴν ἐπὶ θανάτῳ, οὐ πρότερον ἐῶσιν ὑποσχεῖν τὴν τιμωρίαν πρὶν ἢ ἐκτεκεῖν.

ἀναιρουμένων συναπόληται τὰ κατὰ γαστρός. ἀλλ' οὗτοι μὲν ἐπ' 140
309 M. ἀνθρώπων | ταῦτα ἔγνωσαν· ὁ δὲ καὶ προσυπερβάλλων ἔτι ἄχρι καὶ
τῶν ἀλόγων ζῴων τὸ ἐπιεικὲς ἀπέτεινεν, ἵν' ἐν τοῖς ἀνομοιογενέσιν
ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ χρώμεθα φιλανθρωπίας ⟨ἐν τοῖς ὁμο-
γενέσι⟩, τοῦ μὲν λυπεῖν καὶ ἀντιλυπεῖν ἀλλήλους ἀπεχόμενοι, τὰ δ'
οἰκεῖα ἀγαθὰ μὴ θησαυροφυλακοῦντες, ἀλλ' εἰς μέσον προφέροντες
καθάπερ συγγενέσι καὶ ἐκ φύσεως ἀδελφοῖς τοῖς πανταχοῦ πᾶσιν. ἔτι 141
τοίνυν τὸ μὲν ἔθνος ἐπὶ μισανθρωπίᾳ διαβαλλέτωσαν, τοὺς δὲ νόμους
ὡς ἄμικτα καὶ ἀκοινώνητα παραγγέλλοντας αἰτιάσθωσαν οἱ δεινοὶ συκο-
φάνται, φανερῶς οὕτως τῶν μὲν νόμων ἐλέου μεταδιδόντων καὶ ταῖς
τῶν θρεμμάτων ἀγέλαις, τοῦ δὲ ἔθνους ταῖς ἐκ πρώτης ἡλικίας νομίμοις
ὑφηγήσεσιν ὅσον ἐν ταῖς ψυχαῖς ἀπειθὲς μεθαρμοζομένου πρὸς τὸ
τιθασόν. ἐπαποδύεται δὲ αὐτὸς ἑαυτῷ καὶ ἐπαγωνίζεται πολύγονος ὢν 142
ἀρετῆς καί τινι εὐτροπίᾳ χρώμενος πρὸς τὰς καλὰς ὑφηγήσεις· κελεύσας
γάρ, πρὶν ἀπότιτθον γενέσθαι, μὴ ἀποσπᾶν τῆς τεκούσης μήτε ἄρνα
μήτε ἔριφον μήτε ἄλλο τι τῶν ἐν ταῖς ἀγέλαις, καὶ προσδιαταξάμενος
μηδὲ τῇ αὐτῇ ἡμέρᾳ κτείνειν μητέρα καὶ ἔγγονον, ἐπιδαψιλεύεται

1 τὰ SC: καὶ τὸ A, τὸ ceteri (v) 2 ταῦτ' A pr. καὶ om. AHP (v) ἔτι S: om. ceteri (v) ἄχρι] ἃ χρὴ S 3 ἀπέτεινεν Clem. Al.: ἐπέτεινεν S, ἐπιτείνειν H^{1}P, ἐπιτείνει H^{2} (v), ἀποτείνει ceteri ἐν τοῖς ἀνομοιογενέσιν S (Clem. Al.): ἐν τοῖς νόμοις πᾶσιν (πάντες G^{1}) ceteri (v) 4 ἀσκηθέντες coni. Mang. 4. 5 ἐν τοῖς ὁμογενέσι Clem. Al.: om. codd. 5 μὲν] μὴ F καὶ ἀντιλυπεῖν om. S 6 μὴ om. F 7 συγγενέσιν SF καὶ ἐκ φύσεως] ἢ οἰκείοις S πανταχῆ HP (v) ἔτι om. in lac. G^{1} 8 τοίνυν] νῦν F ἐπὶ SA: om. ceteri (Turn.) μισανθρωπίαν S διαβαλέτωσαν AP 9 ὡς SFG^{1}P^{1}: μὴ ὡς ceteri (Turn.) παραγγέλλοντες A δεινοὶ] καινοὶ A 10 φανερῶς S: περιφανῶς ceteri (v) οὕτω CG^{2}G^{1} 11 δ' A ταῖς S: om. ceteri (v) 12 ἀπειθὲς] ἀπηνὲς coni. Mang. 13 τιθασσόν CAF, θίασον (sic) S ἑαυτῷ SG^{1}: αὐτῷ in αὑτῷ corr. H, αὑτῷ ceteri ἐπαγωνίζεται S: ἀγωνίζεται ceteri (Turn.) 13. 14 πολύγονος ὢν ἀρετῆς S: πολύτροπος ὢν ἀρετῆς FHP, πολύτροπος ὢν εὑρετὴς G^{1}, πολύτροπος ὢν ἀρετῇ CG^{2}A (v) 14 εὐτροπίᾳ] εὐφορίᾳ S κελεύσας S: κελεύει ceteri (v) 15 ἀπότιτθον] ἑπταήμερον G^{1} μήτ' A 16 προδιαταξάμενος S 17 μηδένα (μηδὲ scripsi) τῇ αὐτῇ ἡμέρᾳ κτείνειν μητέρα καὶ ἔγγονον S: μηδένα τῇ αὐ. ἡ. μ. καὶ ἔ. καταθύειν C, μηδένα . . . θύειν F, μηδένα . . . ἀναιρεῖν AP, μηδένα . . . ἔγγονον (om. verbo necandi) G^{2}, μὴ κτείνειν τῇ αὐτῇ ἡμέρᾳ μητέρα καὶ ἔγγονον G^{1}, μὴ θύειν τῇ . . . ἔγγονον H^{2} (v)

2—4 pergit *Clem. Alex. l. l.* (post verba ad p. 307,16 adnot.) οὕτως ἄχρι καὶ τῶν ἀλόγων ζῴων τὸ ἐπιεικὲς ἀπέτεινεν, ἵνα ἐν τοῖς ἀνομογενέσιν ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ φιλανθρωπίας ἐν τοῖς ὁμογενέσι χρησώμεθα.

τῶν περιρραντηρίων ἐλαύνει καὶ ὅσα τῶν ζῴων κυοφορεῖ, μὴ ἐπιτρέπων ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, τὰ κατὰ γαστρὸς ἐν ἴσῳ τοῖς ἀποκυηθεῖσιν ἤδη λογισάμενος, οὐκ ἐπειδὴ τὴν ἴσην ἔλαχε τάξιν ἃ μηδ' εἰς φῶς πω προῆλθεν, ἀλλ' ὑπὲρ τοῦ μακρόθεν ἐπισχεῖν τὴν εὐχέρειαν
138 τῶν εἰωθότων πάντα φύρειν. εἰ γὰρ τὰ φυτῶν τρόπον ἔτι παραυξανόμενα καὶ μέρη νομιζόμενα τῶν κυόντων, νυνὶ μὲν ἡνωμένα, μηνῶν δὲ περιόδοις αὖθις ἀποσπασθησόμενα τῆς συμφυΐας, διὰ τὴν ἐλπίδα τοῦ γενήσεσθαι ζῷα φυλάττεται τῷ περὶ τὰς μητέρας ἀνεπιβουλεύτῳ, χάριν τοῦ μὴ τὸ λεχθὲν μίασμα συμβῆναι, πῶς οὐχὶ μᾶλλον τὰ ἀποτεχθέντα καὶ καθ' αὑτὰ ψυχῆς καὶ σώματος μεμοιραμένα; πάντων γὰρ ἀνοσιώτατον ἑνὶ καιρῷ καὶ ἡμέρᾳ μιᾷ ἔγγονον ὁμοῦ καὶ μητέρα κτείνειν.
139 ἐνθένδε μοι δοκοῦσιν ὁρμηθέντες ἔνιοι τῶν νομοθετῶν τὸν ἐπὶ ταῖς καταχρίτοις γυναιξὶν εἰσηγήσασθαι νόμον, ὃς κελεύει τὰς ἐγκύους, ἐὰν ἄξια θανάτου δράσωσιν, φυλάττεσθαι μέχρις ἂν ἀποτέκωσιν, ἵνα μὴ

---

1 pr. τῶν S: om. ceteri (v) θυσιῶν καὶ περιρραντηρίων A ἐλαύνειν F 2 ἀποτέκοι H 3 ἤδη S: om. ceteri (v) ἔλαχε τάξιν S: ἔλαχεν ἀξίαν ceteri (v) ἃ] ἂν S 4 πως S (πω scripsi): om. ceteri (v) προῆλθεν S: πρότερον ἦλθεν ceteri (v) 5 φύρειν] φέρειν A 5. 6 ἔτι παραυξόμενα S (ἔτι παραυξανόμενα scripsi): ἐμπεριαυξανόμενα ceteri (v); ἔτι περιεχόμενα coni. Mang. 6 μέρη S: μὴ ceteri (Turn.) κυόντων SCG^2: κυούντων ceteri (v) νῦν εἰ S (νυνὶ scripsi): νῦν ceteri (v) μὲν om. G^2 8 τοῦ . . . ἀνεπιβουλεύτου S, τῷ . . . εὐεπιβουλεύτῳ A χάριν S: om. ceteri (v) 10 καθαυτὰ S: κατ' αὐτὰ CG^2 (Turn.), κατὰ ταὐτὰ F, κατὰ ταῦτα AG^1HP τῆς ψυχῆς CG^2 11 ἑνὶ καιρῷ] ἐν καιρῷ C^1G^2, ἡλίῳ ενι S 12 ἔνθεν δέ S (ἐνθένδε recte Mang., cf. Clem. Al.): συνιέ[redacted]ναι F, συνιεῖν δὲ ceteri (Turn.) post νομοθετῶν add. ἐντεῦθεν G^1 τὸν] καὶ τὸν FL^2 (v), τὸν corr. ex τῶν S 13 εἰσηγεῖσθαι S ἐγγύους AP^2, ἐγγυούσας HP^1 ἐὰν S: om. C, κἂν A (Mang.), ἂν ceteri (Turn.) 14 δράσωσιν S: δρώσας C, δρῶσιν ceteri (v) φυλάττεσθαι S: om. $G^2H^1P^1$, μὴ ἀναιρεῖσθαι C, μὴ ἀποκτείνεσθαι AP^2, μὴ θανεῖν mg H^2 (v), μὴ ἀποθνήσκειν (post ἐγκύους l. 13) G^1, μὴ κτείνειν (post ἐγκύους) F

---

12 cf. Diodor. I 77,9 (de Aegyptiis) τῶν δὲ γυναικῶν τῶν καταδικασθεισῶν θανάτου τὰς ἐγκύους μὴ θανατοῦσθαι, πρὶν ἂν τέκωσι. καὶ τοῦτο τὸ νόμιμον πολλοὶ καὶ τῶν Ἑλλήνων κατέδειξαν, ἡγούμενοι παντελῶς ἄδικον εἶναι τὸ μηδὲν ἀδικῆσαν τῷ ἀδικήσαντι τῆς αὐτῆς μετέχειν τιμωρίας. Plut. de sera num. vind. 7 p. 552d τὸν δ' ἐν Αἰγύπτῳ νόμον ἆρ' οὐκ εἰκότως ὑμῖν ἀπογράψασθαι δοκοῦσιν ἔνιοι τῶν Ἑλλήνων, ὃς κελεύει τὴν ἔγκυον, ἂν ἁλῷ θανάτου, μέχρι τέκῃ φυλάττειν; Ael. Var. Hist. V 18 ἡ ἐξ Ἀρείου πάγου βουλή, ἐπεί τινα φαρμακίδα συνέλαβον καὶ ἔμελλον θανατώσειν, οὐ πρότερον αὐτὴν ἀπέκτεινεν, πρὶν ἢ ἀπεκύησεν. 12 sqq. pergit *Clem. Alex. l. l.* (post verba ad p. 306,14 adnot.): ἐντεῦθεν καὶ Ῥωμαῖοι, εἴ καί τις ἔγκυος καταδικασθείη τὴν ἐπὶ θανάτῳ, οὐ πρότερον ἐῶσιν ὑποσχεῖν τὴν τιμωρίαν πρὶν ἢ ἐκτεκεῖν.

ἀναιρουμένων συναπόληται τὰ κατὰ γαστρός. ἀλλ' οὗτοι μὲν ἐπ' 140
M. ἀνθρώπων | ταῦτα ἔγνωσαν· ὁ δὲ καὶ προσυπερβάλλων ἔτι ἄχρι καὶ
τῶν ἀλόγων ζῴων τὸ ἐπιεικὲς ἀπέτεινεν, ἵν' ἐν τοῖς ἀνομοιογενέσιν
ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ χρώμεθα φιλανθρωπίας ⟨ἐν τοῖς ὁμο-
γενέσι⟩, τοῦ μὲν λυπεῖν καὶ ἀντιλυπεῖν ἀλλήλους ἀπεχόμενοι, τὰ δ'
οἰκεῖα ἀγαθὰ μὴ θησαυροφυλακοῦντες, ἀλλ' εἰς μέσον προφέροντες
καθάπερ συγγενέσι καὶ ἐκ φύσεως ἀδελφοῖς τοῖς πανταχοῦ πᾶσιν. ἔτι 141
τοίνυν τὸ μὲν ἔθνος ἐπὶ μισανθρωπίᾳ διαβαλλέτωσαν, τοὺς δὲ νόμους
ὡς ἄμικτα καὶ ἀκοινώνητα παραγγέλλοντας αἰτιάσθωσαν οἱ δεινοὶ συκο-
φάνται, φανερῶς οὕτως τῶν μὲν νόμων ἐλέου μεταδιδόντων καὶ ταῖς
τῶν θρεμμάτων ἀγέλαις, τοῦ δὲ ἔθνους ταῖς ἐκ πρώτης ἡλικίας νομίμοις
ὑφηγήσεσιν ὅσον ἐν ταῖς ψυχαῖς ἀπειθὲς μεθαρμοζομένου πρὸς τὸ
τιθασόν. ἐπαποδύεται δὲ αὐτὸς ἑαυτῷ καὶ ἐπαγωνίζεται πολύγονος ὢν 142
ἀρετῆς καί τινι εὐτροπίᾳ χρώμενος πρὸς τὰς καλὰς ὑφηγήσεις· κελεύσας
γάρ, πρὶν ἀπότιτθον γενέσθαι, μὴ ἀποσπᾶν τῆς τεκούσης μήτε ἄρνα
μήτε ἔριφον μήτε ἄλλο τι τῶν ἐν ταῖς ἀγέλαις, καὶ προσδιαταξάμενος
μηδὲ τῇ αὐτῇ ἡμέρᾳ κτείνειν μητέρα καὶ ἔγγονον, ἐπιδαψιλεύεται

1 τὰ SC: καὶ τὸ A, τὸ ceteri (v) 2 ταῦτ' A pr. καὶ om. AHP (v) ἔτι S: om. ceteri (v) ἄχρι] ἃ χρὴ S 3 ἀπέτεινεν Clem. Al.: ἐπέτεινεν S, ἐπιτείνειν H[1]P, ἐπιτείνει H[2] (v), ἀποτείνει ceteri ἐν τοῖς ἀνομοιογενέσιν S (Clem. Al.): ἐν τοῖς νόμοις πᾶσιν (πάντες G[1]) ceteri (v) 4 ἀσκηθέντες coni. Mang. 4.5 ἐν τοῖς ὁμογενέσι Clem. Al.: om. codd. 5 μὲν] μὴ F καὶ ἀντιλυπεῖν om. S 6 μὴ om. F 7 συγγενέσιν SF καὶ ἐκ φύσεως] ἢ οἰκείοις S πανταχῇ HP (v) ἔτι om. in lac. G[1] 8 τοίνυν] νῦν F ἐπὶ SA: om. ceteri (Turn.) μισανθρωπίαν S διαβαλέτωσαν AP 9 ὡς SFG[1]P[1]: μὴ ὡς ceteri (Turn.) παραγγέλλοντες A δεινοὶ] καινοὶ A 10 φανερῶς S: περιφανῶς ceteri (v) οὕτω CG[2]G[1] 11 δ' A ταῖς S: om. ceteri (v) 12 ἀπειθὲς] ἀπηνὲς coni. Mang. 13 τιθασσόν CAF, θίασον (sic) S ἑαυτῷ SG[1]: αὐτῷ in αὑτῷ corr. H, αὐτῷ ceteri ἐπαγωνίζεται S: ἀγωνίζεται ceteri (Turn.) 13. 14 πολύγονος ὢν ἀρετῆς S: πολύτροπος ὢν ἀρετῆς FHP, πολύτροπος ὢν εὑρετὴς G[1], πολύτροπος ὢν ἀρετῇ CG[2]A (v) 14 εὐτροπίᾳ] εὐφορίᾳ S κελεύσας S: κελεύει ceteri (v) 15 ἀπότιτθον] ἐπταήμερον G[1] μήτ' A 16 προδιαταξάμενος S 17 μηδένα (μηδὲ scripsi) τῇ αὐτῇ ἡμέρᾳ κτείνειν μητέρα καὶ ἔγγονον S: μηδένα τῇ αὐ. ἡ. μ. καὶ ἔ. καταθύειν C, μηδένα ... θύειν F, μηδένα ... ἀναιρεῖν AP, μηδένα ... ἔγγονον (om. verbo necandi) G[2], μὴ κτείνειν τῇ αὐτῇ ἡμέρᾳ μητέρα καὶ ἔγγονον G[1], μὴ θύειν τῇ ... ἔγγονον H[2] (v)

2—4 pergit *Clem. Alex. l. l.* (post verba ad p. 307,16 adnot.) οὕτως ἄχρι καὶ τῶν ἀλόγων ζῴων τὸ ἐπιεικὲς ἀπέτεινεν, ἵνα ἐν τοῖς ἀνομογενέσιν ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ φιλανθρωπίας ἐν τοῖς ὁμογενέσι χρησώμεθα.

φάσκων· „οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρός“ (Exod. 23,19. 34,26.
143 Deut. 14,20). πάνυ γὰρ ἄτοπον ὑπέλαβεν εἶναι τὴν τροφὴν ζῶντος ἥδυσμα γενέσθαι καὶ παράρτυσιν ἀναιρεθέντος καὶ τὴν μὲν φύσιν ἐπιμεληθεῖσαν αὐτοῦ τῆς διαμονῆς ὀμβρῆσαι γάλα, ὃ διὰ μαστῶν τῆς τεκούσης οἷα δεξαμενῶν φέρεσθαι διετάξατο, τὴν δὲ τῶν ἀνθρώπων ἀκρασίαν τοσοῦτον ἐπιβῆναι, ὡς τῷ τῆς ζωῆς αἰτίῳ καταχρήσασθαι
144 καὶ πρὸς τὴν τοῦ ὑπολοίπου σώματος ἀνάλωσιν. εἰ δή τις ἐν γάλακτι χρέα συνέψειν ἀξιοῖ, μὴ σὺν ὠμότητι, χωρὶς δὲ ἀσεβείας ἑψέτω· μυρίαι θρεμμάτων εἰσὶν ἀγέλαι πανταχοῦ καὶ καθ' ἑκάστην ἡμέραν ἀμελγόμεναι διὰ βουκόλων αἰπόλων ποιμένων, οἷς κτηνοτροφοῦσιν ἡ μεγίστη πρόσοδός ἐστι γάλα, τῇ μὲν κεχυμένον, τῇ δὲ συνεσταλμένον τε καὶ πηγνύμενον εἰς τυρόν· ὥστε ἀφθονίας ὑπαρχούσης τὸν ἀρνῶν ἢ ἐρίφων ἤ τινος ἑτέρου γάλακτι μητρῴῳ χρέα συνέψοντα χαλεπὴν ἐπιδείκνυσθαι τρόπων σκαιότητα, τὸ ἀναγκαιότατον καὶ συγγενέστατον λογικῇ ψυχῇ πάθος ἐκτετμημένον, τὸν ἔλεον.

---

1 φάσκων SC: φάσκων· ἀλλ' G^2 (cf. Clem. Al.), φάσκων ἄλλο ceteri (Mang.) οὐκ S^1, corr. S^2 2 ἄτοπον ὑπέλαβεν εἶναι S: ὑπέλαβεν εἶναι δεινὸν ceteri (v) τροφὸν F 4 ὃ—διετάξατο (5) om. in textu C, add. mg C^2 ὃ] οἱ A διὰ μαστῶν SCG^1: δ' οἷα μαστῶν G^2, δ' οἷα μαστὸν FHP, δ' οἷα μασθὸν A 5 οἷα δεξαμενῶν SG^2: ὡς ἐκ δεξαμενῶν C (v), ἀναδεξαμένων GHP, ἀναδεξάμενον AF φέρεσθαι SCG^1: φέρεται ceteri 6 ἀκρισίαν G^2HP^1 ὡς τῷ] ὥστε S καταχρῆσθαι S 7 καὶ om. C ἀνάλυσιν S εἰ δή τις scripsi: εἰ δὴ τὰ S, ἐπειδὴ τὰ ceteri (Turn.); εἰ δὲ τὰ Mang. ἐπειδὴ—ἑψέτω (8) om. in textu C, add. mg C^2 ἐν γάλακτι om. G^1 ἐν SC: σὺν ceteri (Turn.) 8 χωρὶς διασεβείας (sic) S δ' A 9 εἰσὶν ἀγέλαι S: ἀγέλαι εἰσὶ ceteri (v) καὶ om. CG^2 9. 10 ἀναμελγόμεναι A 10 ποιμένων] ποιμνίων F οἷς] τοῖς S, τοῖς ex οἷς corr. H 11 ἐστὶ γάλα S: γάλα AP^2, τὸ γάλα FG^1 (Mang.), om. CG^2HP (Turn.) κεχυμένον S: ἐκκεχυμένον A, ἐγκεχυμένον ceteri (v) συνεσταλμένον τὲ S: συνιστάμενον ceteri (v) 12 ὥστ' A, ὥστε om. S; ὡς conicio τὸν scripsi: τῶν δὲ S, τῶν in τῶ corr. C^2, τῶν ceteri (v) ἢ ἐρίφων ἢ] $\overset{ε}{π}$φωνη (sic) S 13 ante γάλακτι add. τὸν H^2 (v), om. ceteri μητρώων G^3 χρέα] γάλα A συνέψοντα SG^2H^2: ἀνέψοντα F, συνέψοντι ceteri 14 τὸ S: om. ceteri (Turn.)

---

1 sqq. pergit *Clem. Alex. l. l.* (οἱ δὲ καὶ περιλακτίζοντες τὰς γαστέρας πρὸ τῆς ἀποτέξεως ζῴων τινῶν, ἵνα δὴ γάλακτι ἀνακεκραμένην σάρκα θοινάζωνται, τάφον τῶν κυοφορουμένων τὴν εἰς γένεσιν κτισθεῖσαν μήτραν πεποιήκασι), διαρρήδην τοῦ νομοθέτου κελεύοντος „ἀλλ' οὐδὲ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ“· μὴ γὰρ γινέσθω ἡ τοῦ ζῶντος τροφὴ ἥδυσμα τοῦ ἀναιρεθέντος ζῴου, φησίν, μηδὲ τὸ τῆς ζωῆς αἴτιον συνεργὸν τῇ τοῦ σώματος καταναλώσει γινέσθω.

(19.) Ἄγαμαι δὲ κἀκεῖνον τὸν νόμον, ὃς καθάπερ ἐν χορῷ παν- 145
αρμονίῳ συνᾴδων τοῖς προτέροις διαγορεύει, βοῦν ἀλοῶντα μὴ φιμοῦν.
II M. οὗτος γάρ | ἐστιν ὁ πρὸ μὲν τῆς σπορᾶς [οὔσης] τῆς βαθυγείου πεδιάδος
ἀνατέμνων τὰς αὔλακας καὶ προετοιμασάμενος οὐρανῷ καὶ γεωπόνῳ τὰς
ἀρούρας, τῷ μὲν ἵνα καιρίως κατασπείρῃ, τῷ δ' ἵνα κόλποι βαθεῖς
ὑποδεξάμενοι τὰς διὰ τῶν ὑετῶν χάριτας ταμιεύωσι καὶ χορηγῶσιν ἐκ
τοῦ κατ' ὀλίγον τῷ σπόρῳ τροφὰς πίονας, ἄχρις ἂν σταχυηφορήσας
τελειογονήσῃ τὸν ἐτήσιον καρπόν· μετὰ δὲ τὴν τελείωσιν πάλιν βοῦς
ἐστι πρὸς ἑτέραν ὑπηρεσίαν ἀναγκαῖος, κάθαρσιν δραγμάτων καὶ διά-
κρισιν σκυβάλων ἀπὸ τοῦ γνησίου καὶ χρησίμου. ἀλλ' ἐπειδὴ τὴν ⟨ἐπὶ⟩ 146
τοῖς [γῆν] ἀλοῶσι βουσὶν ἥμερον καὶ χρηστὴν πρόσταξιν εἶπον, καὶ
τὸν ἐπὶ τοῖς ⟨γῆν⟩ ἀροῦσι θρέμμασι τεθέντα νόμον ἑξῆς δίειμι τῆς
αὐτῆς ὄντα συγγενείας. ἀπαγορεύει γὰρ ἐν ταὐτῷ καταζευγνύναι πρὸς

---

1 tit. εἰς τὸ βοῦν ἀλοῶντα οὐ κημώσεις add. S ἀγαμένοις (om. δὲ) AFH^1P ἐκεῖνον F χορῷ] χώρῳ H^1P, χωρίῳ F 1. 2 συναρμονίῳ S 2 συνᾶδον S^2, συνῳδον S^1 ut vid. τοῖς πρώτοις F φημοῦν H, κημοῦν S (fort. recte) 3 verba πρὸ μὲν τῆς σπορᾶς οὔσης om. S μὲν om. G^2 οὔσης om. in lac. G^1, seclusi τῆς S: om. ceteri (v) βαθυγείας S 4 ἀνατεμὼν FG^1HP (v) τὰς αὔλακας S: εἰς αὔλακας ceteri (Turn.) pr. καὶ SG^1: om. ceteri (Turn.) προετοιμασμένος F οὐρανῷ] οὖν AP^2 4. 5 γεωπονῶντας ἀρούρας C 5 ἵνα—ταμιεύωσι (6) om. A κατασπείρῃ SCG^2: κατασπείρει F, κατασπείροι G^1HP 6 ταμιεύωσι καὶ χορηγῶσιν S: ταμιεύσωσι (σώσῃ A) καὶ χορηγήσωσιν ceteri (v) 7 καθολίγον S^1, corr. S^2 πίονας] πλείονας CG^2 ἄχρις ἂν] ὃς C σταχυηφορήσας G^1: σταχυφορήσας H, σταχυοφορήσας ceteri (v) 8 δὲ om. S 9 ἐστὶν S ἑτέραν om. S ὑπηρεσίαν ἀναγκαῖος A: ὑπηρεσίαν ἀναγκαίαν CG^2FG^1 (Turn.), ἀναγκαίαν ὑπηρεσίαν S, ἀναγκαῖος om. HP κάθαρσιν om. S 10 ἀλλ' ἐπειδὴ—συγγενείας (13) om. in lac. G^1 10. 11 τὴν ἐπὶ τοῖς scripsi: τοῖς C (v), τὴν ceteri 11 γῆν h. l. seclusit Mang. ἀλόωσι AP βοῦς AH^1P, βόες F χρηστὴν Mang.: ῥητὸν AFH^1P, ῥητὴν ceteri εἶπον SC: εἰπὼν ceteri (v) 12 τὸν om. S γῆν h. l. inserui τεθέντων F δίειμι SCG^2: δι' ἣν AH^1P, δι' ἧς F, δίεισι H^2 τῆς] τὰ τῆς SCG^2 13 ὄντα συγγενείας S: συγγενείας ὄντα CG^2, ὄντας εὐγενείας AFHP; εὐμενείας coni. Mang. tit. περὶ τοῦ μὴ καταζευγνύειν βοῦν καὶ ὄνον add. S mg G^2 καταζευγνύναι SCG^2 (Clem. Al.): ζευγνύναι ceteri (v)

---

2 Deut. 25,4. cf. *Ioseph. Ant. Iud. IV § 233* μηδὲ βοῶν ὁπότε τρίβοιεν τοὺς στάχυας ἀποδεῖν τὰ στόματα ἐπὶ τῆς ἅλωος· οὐ γὰρ εἶναι δίκαιον εἴργειν τοὺς συνειργασμένους τοῦ καρποῦ καὶ περὶ τὴν γένεσιν αὐτοῦ πονήσαντας. 2 pergit *Clem. Alex. l. l.* ὁ δὲ αὐτὸς νόμος διαγορεύει βοῦν ἀλοοῦντα μὴ φιμοῦν· δεῖ γὰρ καὶ τὸν ἐργάτην τροφῆς ἀξιοῦσθαι (cf. I Tim. 5,18). 13 Deut. 22,10. cf. *Ioseph. Ant. Iud. IV § 228* . . . βουσὶν ἀροῦν τὴν γῆν, καὶ μηδὲν τῶν ἑτέρων ζῴων σὺν αὐτοῖς ὑπὸ ζεύγλην ἄγοντας, ἀλλὰ κατ' οἰκεῖα γένη κἀκείνοις ποιεῖσθαι τὸν ἄροτον. 13 sqq. pergit *Clem. Alex. l. l.* ἀπαγορεύει τε ἐν

ἄροτον γῆς βοῦν καὶ ὄνον, οὐ μόνον τοῦ περὶ τὰ ζῷα ἀνοικείου στοχα-
σάμενος, διότι τὸ μέν ἐστι καθαρόν, ὄνος δὲ τῶν οὐ καθαρῶν, τὰ δὲ
οὕτως ἠλλοτριωμένα συνάγειν οὐ πρέπει, ἀλλ᾽ ἐπειδὴ καὶ τὴν ἰσχύν
ἐστιν ἄνισα, προμηθεῖται δὲ τῶν ἀσθενεστέρων, ὡς μὴ πρὸς δυνατω-
τέρας βίας θλίβηται καὶ προσπιέζηται· καίτοι τὸ μὲν ἀσθενέστερον,
ὄνος, ἔξω περιρραντηρίων ἐλαύνεται, τὸ δὲ ἐρρωμενέστερον, βοῦν, ἐν
147 ταῖς τελειοτάταις θυσίαις νόμος ἱερουργεῖν. ἀλλ᾽ ὅμως οὔτε τῆς τῶν
ἀκαθάρτων ἀσθενείας ὠλιγώρησεν οὔτε τοῖς καθαροῖς ἐφῆκεν ἰσχύϊ πρὸ
δίκης χρῆσθαι, μόνον οὐκ ἄντικρυς βοῶν καὶ κεκραγὼς τοῖς ὦτα
ἔχουσιν ἐν ψυχῇ, μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν, οὐδὲν ἔχοντας
αἰτιάσασθαι ὅτι μὴ τὸ ἀλλογενές, ὅπερ ἐστὶν ἀναίτιον· ὅσα γὰρ μήτε
κακία μήτε ἀπὸ κακιῶν ἔξω παντὸς ἐγκλήματος ἵσταται.
148 (20.) Ἐπιδαψιλευόμενος δὲ τὸ ἐπιεικὲς πάλιν πλουσίως αὐτῷ
καὶ κατακόρως χρῆται, μετιὼν ἀπὸ μὲν τῶν λογικῶν ἐπὶ τὰ ἄλογα,
ἀπὸ δὲ τῶν ἀλόγων ἐπὶ τὰ φυτά, περὶ ὧν αὐτίκα λεκτέον, ἐπειδὴ

---

1 ἄροτρον γῆς S Clem. Al. (ἄροτον corr. Potter): ἄρουραν ceteri (v) 2 οὐ] μὴ G^2 τὰ δ᾽ S 3 οὐ πρέπει S: οὐκ εὐπρεπές ceteri (v) 4 ἐστιν om. A, εἰσιν FG^1H δὲ SCG^2: om. ceteri (v) 4. 5 δυνατωτέρου βίᾳ coni. Mang. 5 βίας om. S, om. in lac. A προσπιέζηται S: συνέχηται HP, πιέζηται ceteri (v) καίτοι τὸ μὲν SG^1H^2: καὶ τὸ μὲν CF, καὶ τοῦτο μὲν AG^2H^1P 6 ὁ ὄνος G^1, ὄνον G^2 περιραντηρίων SC ἐλαύνεσθαι G^2 τὸ] τὸν S δ᾽ A βοῦν] βοῦς C (v), ὁ βοῦς G^1, om. H 6. 7 ἐν ταῖς ἱερωτάταις A 7 νόμος S: om. ceteri (v) ἱερουργεῖν] ἱερουργεῖ SH^2, ἱερουργεῖται CG^1 (v) τῆς om. AH^1P τῶν om. FG^1 8 ἀσθενείας S: ἀσφαλείας ceteri (v) ὠλιγώρησαν A ἀφῆκεν F ἰσχύειν AFP 9 post μόνον add. ὡς S 10 οὐδενὸς ἔχοντος HP (Turn.), οὐδὲν ἔχουσιν G^1 11 αἰτιᾶσθαι S ὅτι τὸ μὴ S 12 κακίαι G^1, κακίας S 13 tit. περὶ τοῦ μὴ ἐκτεμεῖν τὰ ἥμερα δένδρα add. S 15 ἐπειδὴ— λέλεκται (313,2) om. C ἐπειδὴ γὰρ H^1P, ἐπειδή γε H^2 (v)

ταὐτῷ καταζευγνύναι πρὸς ἄροτον γῆς βοῦν καὶ ὄνον, τάχα μὲν καὶ τοῦ περὶ τὰ ζῷα ἀνοικείου στοχασάμενος, δηλῶν δ᾽ ἅμα μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν καὶ ὑπὸ ζυγὸν ἄγειν οὐδὲν ἔχοντας αἰτιάσασθαι ὅτι μὴ τὸ ἀλλογενές, ὅπερ ἐστὶν ἀναίτιον, μήτε κακία μήτε ἀπὸ κακίας ὁρμώμενον. ἐμοὶ δὲ δοκεῖ καὶ μηνύειν ἡ ἀλληγορία, μὴ δεῖν ἐπ᾽ ἴσης καθαρῷ καὶ ἀκαθάρτῳ πιστῷ τε καὶ ἀπίστῳ τῆς τοῦ λόγου μεταδιδόναι γεωργίας, διότι τὸ μέν ἐστι καθαρόν, ὁ βοῦς, ὄνος δὲ τῶν ἀκαθάρτων λελόγισται.
13 sqq. pergit *Clem. Alex. l. l. p. 479 P.* δαψιλευόμενος δὲ τῇ φιλανθρωπίᾳ ὁ χρηστὸς λόγος μηδὲ ὅσα τῆς ἡμέρου ὕλης ἐστὶ δενδροτομεῖν ταῦτα προσῆκον εἶναι διδάσκει μηδὲ μὴν κείρειν ἐπὶ λύμῃ στάχυν πρὸ τοῦ θερισμοῦ, ἀλλὰ μηδὲ συνόλως καρπὸν ἥμερον διαφθείρειν μήτε τὸν τῆς γῆς μήτε τὸν τῆς ψυχῆς· οὐδὲ γὰρ τὴν τῶν πολεμίων χώραν τέμνειν ἐᾷ.

περὶ τῶν προτέρων, ἀνθρώπων τε καὶ τῶν ὅσα ψυχῆς μεμοίραται,
λέλεκται. διείρηκε τοίνυν ἄντικρυς μήτε δενδροτομεῖν ὅσα τῆς ἡμέρου ὕλης 149
μήτε κείρειν ἐπὶ λύμῃ πρὸ καιροῦ σταχυηφοροῦσαν πεδιάδα μήτε συνόλως
καρπὸν διαφθείρειν, ἵνα περιουσίᾳ μὲν τροφῶν ἀφθόνων χορηγῆται τὸ
ἀνθρώπων γένος, περιουσίᾳ ζῇ δὲ μὴ μόνον τῶν ἀναγκαίων ἀλλὰ καὶ
τῶν πρὸς τὸν ἁβροδίαιτον βίον. ἀναγκαῖον μὲν γὰρ ὁ τοῦ σίτου καρπὸς
εἰς τροφὴν ἀνθρώπων ἀποκριθείς, πρὸς δὲ τὸν ἁβροδίαιτον βίον αἱ τῶν
ἀκροδρύων ἀμύθητοι ποικιλίαι· γίνονται δὲ ἐν ἐνδείαις αὗται πολλάκις καὶ
101 M. τροφαὶ δεύτεραι. (21.) | καὶ προσυπερβάλλων οὐδὲ τὴν τῶν πολεμίων 150
χώραν τέμνειν ἐᾷ, παραγγέλλει δ' ἀνέχειν δενδροτομιῶν καὶ δῃώσεων,
ἄτοπον ὑπολαβὼν εἶναι τὴν πρὸς ἀνθρώπους ὀργὴν ἀποσκήπτειν εἰς τὰ
μηδενὸς αἴτια κακοῦ. ἔπειτα δὲ ἀξιοῖ μὴ μόνον τὸ παρὸν βλέπειν, 151
ἀλλὰ καὶ τὸ μέλλον ὥσπερ ἀπὸ σκοπῆς μακρόθεν ὀξυωπίᾳ λογισμοῦ
καθορᾶσθαι, μηδενὸς ἐν ὁμοίῳ μένοντος ἀλλὰ πάντων τροπαῖς καὶ
μεταβολαῖς χρωμένων, ὡς εἰκὸς εἶναι τοὺς τέως δυσμενεῖς ἐπικηρυκευσαμένους καὶ συμβατηρίων ἄρξαντας ἐνσπόνδους αὐτίκα γενέσθαι.
φίλους δὲ τροφῶν ἀναγκαίων ἀποστερεῖν χαλεπόν, μηδὲν ταμιευσαμένους 152

---

1 περὶ τῶν προτέρων SA: περὶ τῶν πρότερον FG^2HP, τῶν προτέρων om. G^1; πρότερον περὶ τῶν coni. Mang. τε S: om. G^1, μὲν ceteri ψυχῇ S
2 λέλεκται πρότερον G^1 διείρηκε G^2, διήρηκε S: εἴρηκε C, ἀπείρηκε ceteri (v) μήτε] μηδὲν S 3 λοίμῃ S πρὸ καιροῦ σταχυηφοροῦσαν S: σταχ. πρὸ καιροῦ ceteri (v) σταχυηφοροῦσαν SCG^1: σταχυφοροῦσαν G^2, σταχυοφοροῦσαν ceteri (v) παιδιάδα G^1 4 τροφῶν] τρυφῶν A, καρπῶν S χορηγεῖται SF, τρέφηται G^1
4. 5 τὸ τῶν ἀνθρώπων HP (v) 5 post γένος add. ἀποκριθῆς S (cf. l. 7) περιουσίᾳ ζῇ — τῶν (6) om. S περιουσιάζῃ CG^2 (περιουσίᾳ ζῇ scripsi): ζῇ ceteri τῶν ἀναγκαίων CG^2: τῷ ἀναγκαίῳ H^2, τοῖς ἀναγκαίοις AP^2, τὸν ἀναγκαῖον F$G^1$$H^1$$P^1$ 5. 6 καὶ τῶν C$F^2$$G^2$: καὶ τῷ H^2, καὶ τοῖς AP^2, καὶ τὸν $F^1$$G^1$$H^1$$P^1$
6 πρὸς δὲ τὸν S, πρὸς τὸν om. G^1, τὸν om. CG^2A ἀναγκαῖον — βίον (7) om. C ἀναγκαῖος S 7 ἀνθρώπων SG^2H: ἀνθρώποις ceteri (Mang.) ἀπόκριθῆς (ῆ in ras.) S πρὸς δὲ τὸν S$G^2$$H^2$: πρὸς δὲ F, τὸ δ' G^1, τὸν δ' AH^1P βίον om. S 8 ἀκροδρύων] καρπῶν S post ποικιλίαι add. ποιοῦσιν A αὗται πολλάκις S: πολλάκις ὅτι A, πολλάκις ἔστιν ὅτε G^1, πολλάκις ὅτε ceteri (Turn.) καὶ om. v 9 δεύτεροι S οὐδὲ SG^1: οὔτε ceteri (v) τὴν codd.: om. v
10 ἀποτέμνειν S δ' SA: δὲ ceteri καὶ δῃώσεων S: om. C (v), om. in lac. G^1, καὶ δὴ ὡς ἐλαιῶνα ceteri 11 ἄτοπον S: ἄδικον CG^1 (v), τοῦτον ceteri ὑπολαβὼν S: ὑπολαμβάνων ceteri (v) εἶναι om. C (v) ἀποσκώπτειν A
12 δὲ ἀξιοῖ om. S δ' A βλέπειν — λογισμοῦ (13) S: om. ceteri (Turn.)
14 καθορᾶσθαι S: παρορᾶσθαι A, προορᾶσθαι ceteri (Turn.) 15 τέως] τε S
16 γενέσθαι] γενήσεσθαι coni. Mang. 17 ταμιευσαμένους] τοὺς βιασαμένους A

---

9 Deut. 20,19.

τῶν ἐπ' ὠφελείᾳ διὰ τὴν τοῦ μέλλοντος ἀδηλότητα. πάνυ γὰρ ἐκεῖνο
καλῶς εἴρηται τοῖς παλαιοῖς, ὅτι καὶ φιλίας κοινωνητέον μὴ ἀπογινώ-
σκοντας ἔχθραν καὶ προσκρουστέον ὡς φιλίας ἐσομένης, ἵνα ἕκαστος ἐν
τῇ ἑαυτοῦ φύσει ταμιεύηταί τι τῶν εἰς ἀσφάλειαν καὶ μὴ ἀπογυμνω-
θεὶς ἐν ἔργοις καὶ λόγοις μετανοῇ, τῆς ἄγαν εὐχερείας, ὅτ' οὐδὲν
153 ὄφελος, αἰτιώμενος ἑαυτόν. τὸ λόγιον τοῦτο χρὴ φυλάττειν καὶ τὰς
πόλεις, ἐν μὲν εἰρήνῃ προνοουμένας τῶν κατὰ πόλεμον, ἐν δὲ πολέμῳ
τῶν κατ' εἰρήνην, καὶ μήτε τοῖς συμμάχοις ἀνέδην προπιστεύειν ὡς οὐ
χρησομένοις μεταβολῇ πρὸς τὸ ἀντίπαλον μήτε τοῖς πολεμίοις εἰς ἅπαν
ἀπιστεῖν ὡς οὐ δυνησομένοις ποτὲ μεθορμίσασθαι πρὸς τὸ ἔνσπονδον.
154 εἰ μέντοι καὶ μηδὲν ὑπὲρ ἐχθροῦ πρακτέον δι' ἐλπίδα καταλλαγῶν,
οὐδὲν ἐχθρὸν φυτόν, ἀλλ' ἔνσπονδα πάντα καὶ ὠφέλιμα, τὰ δ' ἥμερα
καὶ διαφερόντως ἀναγκαῖα, ὧν ὁ καρπὸς ἢ τροφή ἐστιν ἢ ἰσότιμον
τροφῇ κτῆμα. τί δὴ δεῖ πεπολεμῶσθαι πρὸς τὰ μὴ πολέμια τέμνοντας
ἢ καίοντας ἢ ῥίζαις αὐταῖς ἀνασπῶντας, ἅπερ αὐτὴ ἡ φύσις ὑδάτων
ἐπιρροίαις καὶ εὐκρασίαις ἀέρων ἐτελειογόνησε, δασμοὺς ἐτησίους οἴσοντα
ἀνθρώποις οἷα βασιλεῦσιν;
155 Ἐμέλησε δ' αὐτῷ καθάπερ ἀγαθῷ προστάτῃ τὴν ἀλειπτικὴν μὴ
μόνον ζῴοις ἀλλὰ καὶ φυτοῖς ἰσχύν τε καὶ ῥώμην ἀπεργάσασθαι, καὶ

---

1 τῶν SCG^2: om. ceteri διὰ om. S 2 τοῖς πάλαι S κοινωνητέον] τέλεον S 4 αὐτοῦ AP^1, ἑαυτῇ S τι τῶν om. S 5 ὅτε CG^2, ὅταν H^1P 6 ὤφελος S^1 τὸ λόγιον SCG^2: om. ceteri 7 τῷ πολέμῳ F (Mang.) 8 τοῖς om. FG^1 ἀναίδην S προσπιστεύειν F^2 (v), πιστεύειν S ὡς] οὓς S 10 μεθορμήσασθαι S (μεθορμίσασθαι scripsi): μεθαρμόσασθαι ceteri (v) τὸ] τὸν SF^1 11 ὑπὲρ] κατ' G^1 τοῦ ἐχθροῦ F πρακτέον] πέπρακται ὃν S 12 οὐδὲν δὲ AP^2 (fort. recte) ἀλλ' ἔνσπονδα πάντα S: ἀλλὰ πάντα ἔνσπονδα ceteri (v) ὠφέλημα S 13 pr. ἢ] ἡ S alt. ἢ — κτῆμα (14) om. S, κτῆμα om. C (fort. recte) 14 τί δὴ δεῖ πεπολεμῶσθαι S: τί δὴ δεῖται πολεμεῖσθαι A, τί δὴ δεῖται πόλεμός τε FG^2HP, τί δὴ δεῖ πολεμεῖν G^1, οὐ δεῖ πολεμεῖν C (Turn.) 15 καίοντας] κείροντας coni. Mang. ἢ ῥίζαις αὐταῖς ἀνασπῶντας om. S (in fine paginae) αὐτὴ] αὐτὰ A 16 ἐπιρροαῖς S εὐκρασίαις ἀέρων S: ἀέρων εὐκρασίαις G^1, θέρους εὐκρασίαις ceteri (v) δεσμοὺς F^1, corr. F^2 18 ἐμέλλησεν S, ἐμέλλησε G^2 δὲ G^2 καθάπερ — ἀλειπτικὴν om. in lac. G^1 ἀγαθῷ προστάτῃ C: ἀγαθωτάτην G^2HP, ἀγαθωτάτω F, ἀγαθώτατον A, ἀγαθῷ S τὴν ἀληπτικὴν S (ἀλειπτικὴν scripsi): om. C, ἄληπτον γῆν ceteri; ἄληπτον εἶναι v, ἀθλητικὴν coni. Mang. 19 ἀπεργάσασθαι S: om. ceteri (v)

---

2 cf. Diog. La. I 87 (Bias) ἔλεγέ τε τὸν βίον οὕτω μετρεῖν ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους, καὶ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς. Soph. Ai. 678 ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι | ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος, | ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον | τοσαῦτ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι, | ὡς αἰὲν οὐ μενοῦντα. Heylbut, De Theophrasti libris Περὶ φιλίας p. 25. 26.

μάλιστα τοῖς ἡμέροις, ἐπειδὴ καὶ πλείονος ἄξια φροντίδος ἐστὶ καὶ οὐχ
ὁμοίως τοῖς ἀγρίοις εὔτονα, γεωργικῆς ἐπιστήμης δεόμενα πρὸς κραταιο-
M. τέραν δύναμιν. κελεύει γὰρ τὰ νεόφυτα τῶν δένδρων ἐπὶ | τριετίαν 156
ἑξῆς τιθηνεῖσθαι τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας, ὑπὲρ τοῦ μὴ
βαρυνόμενα πιέζεσθαι καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς
δι' ἔνδειαν ἐξασθενεῖν, γυροῦν τε καὶ περισκάπτειν, ἵνα μηδὲν τῶν ἐπὶ
ζημίᾳ παραναβλαστάνῃ τὴν αὔξησιν κωλῦον· τόν τε καρπὸν οὐκ ἐᾷ
δρέπεσθαι κατὰ μετουσίαν· ἀπολαύσεως, οὐ μόνον ἐπειδὴ ἀτελὴς ἐξ
ἀτελῶν ἔμελλεν ἔσεσθαι — καὶ γὰρ τῶν ζῴων ὅσα μὴ τέλεια οὐ τελειο-
γονεῖ —, ἀλλὰ καὶ διότι βλάπτεσθαι τὰ νεόφυτα καὶ τρόπον τινὰ
χαμαίζηλα ἔμελλε κωλυόμενα ἐρνοῦσθαι. πολλοὶ γοῦν τῶν γεωπόνων 157
ἔαρος ὥρας ἐπιτηροῦσι τὰ νέα τῶν δένδρων, ἵνα ὃν ἂν τέκῃ καρπὸν
εὐθὺς ἀποθλίβωσι, πρὶν ἐπίδοσιν καὶ συναύξησιν λαβεῖν, φόβῳ τῆς τῶν
τεκόντων ἀσθενείας. συμβαίνει γάρ, εἰ μὴ προφυλάξαιτό τις, ὅτε χρὴ
τελειωθέντα καρπὸν φέρειν, ἀγονεῖν ἢ ἀμβλίσκειν ἐξασθενήσαντα τῷ
πρὸ καιροῦ πονηθῆναι φοραῖς, ἃς αἱ πάλαι κληματίδες ἐπηχθισμέναι
ῥίζαις αὐταῖς ἐκτρύχουσι τὰ στελέχη. μετὰ δὲ τριετίαν, ὅταν αἱ μὲν 158

---

1 ἐστὶ] εἰσὶ A 2 εὔτονα S: ἔγγονα ceteri 3 νεόφυτα S (Clem. Al.): νέα φυτὰ ceteri 4 τιθηνίζεσθαι S ἀποτέμνειν G^1 5 πιαίζεσθαι S ὑπὲρ] ὑπὸ F 6 ἀσθενεῖν S γυροῦν] γυμνοῦν S μηδέν τι A 6. 7 τῶν ἐπιζημίων G^1 7 παραναβλαστάνῃ S: παραβλαστάνειν A, παραβλαστάνῃ ceteri (v) αὔξην S κωλυόντων CG^2 8 ἐπειδὴ post ἀτελῶν (9) transp. AFHP ἀτελὴς] οὗτος G^1 10 ἀλλὰ S: om. ceteri (Turn.) 11 χαμαίζηλα] χθαμαλοῦσθαι coni. Mang. ἔμελλε om. A ἐνοῦσθαι G^2 γοῦν] γὰρ A 12 ὥρας C: ὥρα ceteri (ὥρᾳ v) ἵνα S: ἵν' ceteri ἂν om. CG^2 13 ἐπίδοσιν] ἐπιδίδωσι A . αὔξησιν S 14 προσφυλάξαιτο A, παραφυλάξαιτο F ὅτι χρὴ F, ὅτε χρὴ om. C, ὁ (pro ὅτε χρὴ) G^2 15 ἀγονεῖν om. S ἢ ἐξασθενήσαντα S, ἐξασθενήσαντι A τῷ] τὸ S 16 πονηθῆναι φοραῖς S: πλησθῆναι φορᾶς ceteri (v) ἃς — στελέχη (17) om. in lac. G^1 ἃς] ὡς H (v) αἱ πάλαι] αἱ om. S, αἱ παλαιαὶ H (v); αἱ πολλαὶ coni. Mang. ἐπιχθησμέναι S (ἐπηχθισμέναι Mang.): ἐπειλυσμέναις CA, ἐπειλυμέναις HP (Turn.), ἐπιλυμέναις G^2, ἐπειλημμέναις F 17 αὐταῖς S: ταῖς ceteri (Turn.) ἐκτρύχουσι] ἐκτρέχουσι HP (Turn.) τὰ στελέχη S: ὑπὸ στελέχη ceteri (Turn.) ὅταν] ὅτι AP μὲν om. S, μὲν αἱ transp. F

---

3 Lev. 19,23. cf. *Ioseph. Ant. Iud. IV § 226. 227.* 3 sqq. pergit *Clem. Alex. l. l.* ναὶ μὴν καὶ γεωργικοὶ παρὰ τοῦ νόμου καὶ ταῦτα ὠφέληνται· κελεύει γὰρ τὰ νεόφυτα τῶν δένδρων ἐπὶ τριετίαν ἑξῆς τιθηνεῖσθαι τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας, ὑπὲρ τοῦ μὴ βαρυνόμενα πιέζεσθαι καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς δι' ἔνδειαν ἐξασθενεῖν, γυροῦν (ἀροῦν cod.) τε καὶ περισκάπτειν, ὡς μηδὲν παραβλαστάνον κωλύῃ τὴν αὔξησιν· τόν τε καρπὸν οὐκ ἐᾷ δρέπεσθαι ἀτελῆ ἐξ ἀτελῶν, ἀλλὰ μετὰ τριετίαν ἔτει τετάρτῳ καθιερώσοντα τὴν ἀπαρχὴν τῷ θεῷ μετὰ τὸ τελεωθῆναι τὸ δένδρον.

ῥίζαι βαθύνωσι προσεχόμεναι τῷ ἐδάφει κραταιότερον, τὸ δὲ στέλεχος
ὥσπερ ἀκλινέσι θεμελίοις ἐπερηρεισμένον αὐξήσῃ σὺν εὐτονίᾳ, δυνήσεται
159 τελειογονεῖν ἔτει τετάρτῳ κατὰ τέλειον ἀριθμὸν τετράδα. τετράδι δὲ
κελεύει μὴ δρέπεσθαι τὸν καρπὸν πρὸς ἀπόλαυσιν, ἀλλ' ὅλον αὐτὸν
καθιεροῦν ἀπαρχὴν τῷ θεῷ, τῇ μὲν τῶν προγεγονότων χαριστήριον,
τῇ δὲ ἐλπίδα τῆς εἰς τὸ μέλλον εὐκαρπίας καὶ τοῦ μετὰ τοῦτο προσ-
160 οδεύεσθαι. ὁρᾷς ὅσον τὸ ἵλεων καὶ χρηστὸν ἐπιδείκνυται καὶ ὡς ἀνα-
κέχυκεν αὐτὸ πρὸς πᾶσαν ἰδέαν ἀνθρώπων· τὸ πρῶτον, κἂν ἀλλόφυλός
τις ᾖ ἐχθρὸς ᾖ, εἶτα ζῴων ἀλόγων, κἂν μὴ τυγχάνῃ καθαρά, ἐπὶ δὲ
πᾶσι σπαρτῶν ὁμοῦ καὶ δένδρων. ὅ τε γὰρ ἐν ταῖς ἀφαντάστοις φύσεσι
προμαθὼν ἐπιείκειαν εἰς οὐδὲν ἂν τῶν ψυχῆς μεμοιραμένων ἐξαμάρτοι,
ὅ τε μὴ ἐπιχειρῶν νεωτερίζειν περὶ τὰ ἔμψυχα πόρρωθεν ἀναδιδάσκεται
τῶν λογικῶν ἐπιμελεῖσθαι.
161 (22.) Τοιαύταις ὑφηγήσεσι τὰς διανοίας τῶν κατ' αὐτὸν πολι-
τευομένων ἐξημερώσας ὑπεροψίας καὶ ἀλαζονείας, ἀργαλεωτάτων καὶ
ἐπαχθεστάτων κακῶν, διέζευξεν, ὧν ὡς μεγίστων ἀγαθῶν οἱ πολλοὶ
περιέχονται, καὶ μάλιστα ὅταν πλοῦτοι καὶ δόξαι καὶ ἡγεμονίαι περιουσίας

---

1 βαθύνουσι A 2 ὥσπερ S: om. ceteri (Turn.) ἐπηρηρεισμένον C, ἐπηρισμένον S αὐξήσῃ G^1: αὔξηται H^2 (v), αὐξῆσαι ceteri δυνήσεται S: δύναται H^2 (v), δύνηται ceteri post δυνήσεται add. δὲ S 3 ἔτει — τετράδι δὲ om. in lac. G^1 ἔτει τε τετάρτω F ἀριθμὸν τετράδα. τετράδι δὲ scripsi: ἀριθμὸν τετράδα S, ἀριθμόν· τετράδι δὲ C (v), ἀριθμόν· τετράδα δὲ FG^2HP, ἀριθμόν· τετράδος δὲ A 4 κελεύει δρέπεσθαι τὸν καρπὸν οὐ H^2 (v) 5 καθιεροῦν SCG^1: ἀφιεροῦν F^2, ἀφιεροῦσιν F^1, καθιεροῦσιν AG^2HP ἀπαρχὴν om. S πῇ μὲν ... πῇ δὲ (6) C
6 τῇ] τὴν S δ' S ἐλπίδα S: ἐλπίδι ceteri (v); ἐπ' ἐλπίδι coni. Mang. τοῦ S: τὸ ceteri (Turn.); τῷ Mang. 7 ὁρᾷς SC: φορὰς A, φορᾶς ceteri ὅσον — ὡς ἀνα om. in lac. G^1 ὅσοι CAG^2P τὸ ἵλεων SC: τὸ ἵλεω FH, τῷ ἵλεω AG^2P ἐπιδείκνυνται C^1AP 8 πᾶσαν S: ἅπασαν ceteri (v) εἰδέαν S κἂν] ἂν S 9 τις om. S ᾖ] καὶ A ἀλόγων SG^1G^2: ἀγόνων ceteri (Turn.) ἐπὶ δὲ] ἔτι δὲ S, ἔπειτα G^1 10 πᾶσι S: πάντων AG^1P^2, πάσης ceteri (Turn.) ὁμοῦ] ὁδοῦ F δένδρων φύσεως C ὅ τε γὰρ S: ὁ γὰρ ceteri (v) ταῖς ἀφαντάστοις SH^2: ταῖς ἀφάτοις AG^2, ταῖς ἀφάντοις CH^1P, ἀψύχοις ταῖς ἀφάντοις F, ἀψύχοις tum spat. c. 12 litt. G^1 11 οὐδὲν ἂν] οὐδένα S τῶν om. F^1, ss. F^2 τῆς ψυχῆς AF ἁμάρτει (sic) S, προσαρμόττοι A 12 μὴ SG^1: μηδὲ ceteri (μηδὲν v) ἐπιχειρῶν νεωτερίζειν περὶ om. S ἄψυχα G^1 14 κατ' αὐτὸ A, κατ' αὐτῶν F^1 14. 15 ποντευομένων S^1, corr. S^2 15. 16 ἀργαλεωτέρων καὶ ἐπαχθεστέρων A 17 μάλιστα S: μάλισθ' ceteri

---

4 Lev. 19,24. cf. *Ioseph. Ant. Iud. IV § 227.*

ἀφθόνους χορηγῶσιν. ἀλαζονεία γὰρ φύεται καὶ ἐν ἠμελημένοις καὶ 162 ἀφανέσιν ἀνθρώποις, ὡς καὶ τῶν ἄλλων ἕκαστον ψυχῆς παθῶν τε καὶ 3 M. νοσημάτων καὶ ἀρρωστημάτων, τὴν δ' ἐπὶ πλέον παραύξησιν οὐ | λαμβάνει, ἀλλ' οἷα πυρὸς οὐσία διὰ σπάνιν ὕλης ἀμαυροῦται· περιφαίνεται δ' ἐν τοῖς μεγάλοις χορηγοὺς ὡς ἔφην ἔχουσι τούτου τοῦ κακοῦ πλούτους καὶ δόξας καὶ ἡγεμονίας, ὧν ὑποπλησθέντες καθάπερ οἱ πολὺν ἄκρατον ἐμφορησάμενοι μεθύουσι καὶ ἐμπαροινοῦσι δούλοις ὁμοῦ καὶ ἐλευθέροις, ἔστι δ' ὅτε καὶ ὅλαις πόλεσι· „τίκτει γὰρ κόρος ὕβριν", ὡς ὁ τῶν παλαιῶν λόγος. διὸ παγκάλως Μωυσῆς ἱεροφαντῶν παραινεῖ πάντων 163 μὲν ἁμαρτημάτων ἀπέχεσθαι, διαφερόντως δὲ ὑπεροψίας. εἶθ' ὑπόμνησιν ποιεῖται τῶν μὲν ἀναφλέγειν τὸ πάθος εἰωθότων, πλησμονῆς γαστρὸς ἀμέτρου καὶ οἰκιῶν καὶ κτημάτων καὶ θρεμμάτων ἀφθόνου περιουσίας· γίνονται γὰρ εὐθὺς αὐτῶν ἀκράτορες, διαιρόμενοι καὶ φυσώμενοι, οἷς μία θεραπείας ἐλπὶς τὸ μηδέποτε ἐκλανθάνεσθαι τοῦ θεοῦ. καθάπερ γὰρ ἀνατείλαντος ἡλίου τὸ μὲν σκότος ἀφανίζεται, φωτὸς δὲ 164 πληροῦται τὰ πάντα, τὸν αὐτὸν τρόπον ὅταν θεός, ὁ νοητὸς ἥλιος, ἀνάσχῃ καὶ ἐπιλάμψῃ ψυχῇ, ὁ μὲν τῶν παθῶν καὶ κακιῶν ζόφος ἀνασκίδναται, τῆς δ' αὐγοειδεστάτης ἀρετῆς τὸ καθαρώτατον καὶ ἀξιέραστον

---

1 ἀφθόνως SA   φύεται] φαίνεται S   post ἠμελημένοις add. πολλάκις FH[2] (v)   1. 2 καὶ ἐν ἀφανέσιν CG[2]   3 δ' SA: δὲ ceteri   παραύξησιν S: spat. c. 8 litt. καὶ παραύξησιν G[1], παραύξησιν καὶ εὐλάβειαν F, εὐλάβειαν καὶ παραύξησιν ceteri (v)   3. 4 οὐ λαμβάνει παραύξησιν transp. S   4 διὰ σπάνιν S: σπάνει ceteri (v)   περιφαίνεται δ' S: καὶ περιφέρεται ceteri (Turn.)   5 χορηγὸν S   ἔχουσι S[1], ἐχούσῃ S[2], om. A   τούτου S: om. ceteri (Turn.)   πλοῦτον S, πλούτου καὶ δόξης A   6 οἱ om. S   πολὺν] πολλοὶ A   8 ἔστιν S   ὁ om. CG[2]   9 μωυσῆς παγκάλως transp. S   10 δ' S   11 τῶν] τῶ S[1]   μὲν om. FG[1]H (v)   πλησμονῆ S   12 γαστρὸς ἀμέτρου S: τῶν τροφῶν ἀμέτρου G[1], τροφὰς ἀμέτρους C, τὰς τροφὰς ἀμέτρους AG[2]HP (v), τὰς ἀμέτρους τροφὰς F; τῆς τροφῆς ἀμέτρου coni. Mang.   οἰκείων G[2]   ἀφθόνου SG[1] (Mang.): ἀφθόνους ceteri   13 γίγνονται CFP   αὑτῶν AFHP   αὐτῶν ἀκράτορες] αὐτοκράτορες S   διαιρούμενοι SAFP   14 μία] μετὰ F   θεραπεία A   ἐλπίσι F   τοῦ θεοῦ S: θεόν AG[2], θεοῦ ceteri   15 τοῦ ἡλίου F   16 πληροῦνται A   τὰ πάντα πληροῦται transp. S   θεὸς ὁ νοητὸς S: θεοποίητος CG[2] (Turn.), θεότητος G[1], θεῶ ποιητὸς FH, θεῶ ποιητῆ AP   17 ἀνάσχηται H[1]P   καὶ ἐπιλάμψῃ ψυχῇ om. S   ψυχῇ C: ψυχή G[2], ψυχήν ceteri (v)   τῶν om. F   παθῶν καὶ κακιῶν S: κακιῶν καὶ παθῶν ceteri (v)   18 αὐτοειδεστάτης S

---

3 Solon. frg. 8 B[4].   11 Deut. 8,11—14.

165 εἶδος ἐπιφαίνεται. (23.) στέλλειν δ' ἔτι μᾶλλον καὶ καθαιρεῖν ὑπερ-
οψίαν ἀξιῶν τὰς αἰτίας ἐπιλέγει, δι' ἃς ἄληστον ἐχρῆν τὴν τοῦ θεοῦ
μνήμην ἀγαλματοφορεῖν. „οὗτος γάρ σοι“ φησί „δίδωσιν ἰσχὺν ποιῆσαι
δύναμιν“ (Deut. 8,18)· ἄγαν παιδευτικῶς· ὁ γὰρ ἀκριβῶς ἀναδιδαχθείς,
ὅτι δῶρον εἴληφε παρὰ θεοῦ τὸ εὔτονον καὶ ῥωμαλέον, τὴν ἰδίαν
ἀσθένειαν ἐκλογιζόμενος, ἣν πρὶν ἀπολαῦσαι τῆς δωρεᾶς εἶχε, τὸ ὑψηλὸν
καὶ ὑπέραυχον φρόνημα διώσεται καὶ εὐχαριστήσει τῷ τῆς κρείττονος
αἰτίῳ μεταβολῆς. ψυχὴ δὲ εὐχάριστος ἀλαζονείᾳ πολέμιος, ἐπεὶ καὶ
166 τοὐναντίον ἀχαριστία συγγενὲς ὑπεροψίᾳ. ἐάν δέ, φησίν, εὐρωστῇ σοι
τὰ πράγματα, λαβὼν καὶ κτησάμενος ἰσχύν, ἣν ἴσως οὐ προσεδόκησας,
ποίει δύναμιν. τί δὲ τοῦτ' ἐστίν, ἀκριβωτέον τοῖς μὴ πάνυ συνορῶσι
τὸ δηλούμενον. πολλοὶ τὰ ἐναντία ὧν εὖ πεπόνθασι δρᾶν ἐπιχειροῦσιν·
ἢ γὰρ πλουτήσαντες πενίαν ἄλλοις κατασκευάζουσιν ἢ δόξης καὶ τιμῆς
167 ἐπὶ μέγα μετασχόντες ἀδοξίας καὶ ἀτιμίας ἑτέροις αἴτιοι γίνονται. χρὴ
δὲ καὶ τὸν φρόνιμον ἀγχίνους, ὡς ἔνι μάλιστα, τοὺς πλησιάζοντας κατα-

---

1 ἐμφαίνεται S, ἀναφαίνεται G^1 στέλλειν S: στέλλει ceteri δέ τι P καθαιρεῖν S: καθαιρεῖ CAFP^2, καθαίρει $G^1G^2HP^1$ 2 ἀξιῶν post συλλέγειν transp. A ἐπιλέγει S: συλλέγειν ceteri δι' ἃς] δι' ὧν ἐστιν A ἐχρὴν (sic) τὴν τοῦ S: om. ceteri (v) 3 ἀγαλματοφορεῖ CG^2 (v), ἀγαλματοφορεῖν om. in lac. G^1 οὗτος] οὕτως S φησιν S ἰσχὺν δίδωσι transp. S ποιεῖν A 4 ἄγαν] ἀγαπᾶν S 5 ῥωμαλαῖον SH 6 λογιζόμενος G^1 τὸ S: om. ceteri (v) 7 διώσηται P, διασώσηται H^1 8 μεταβολῆς αἰτίω transp. S ψυχὴ SG^2: ψυχῇ C, ψυχῆς ceteri (Mang.) δ' SA εὐχάριστος SCG^2: εὐχαρίστου ceteri (Mang.) ἀλαζονείας Turn., ἀλαζονεία Mang. 9 ἀχαριστίᾳ Mang. συγγενὴς F ὑπεροψία SH^2: ὑπεροψίας ceteri (Turn.) ἐάν δέ φησιν S (cf. Clem. Al.): om. ceteri (v) εὐρωστῇ—δηλούμενον (12) om. G^1 εὐρωστῇ S: εὐρωστεῖ ceteri (v) 10 κτησάμενος SC (Clem. Al.): κτήματος ceteri, σώματος L (κτησάμενος σώματος v) ἴσως om. H^1P προσεδόκησε AFH^1P 11 ποιεῖν AFHP τοῦτο C ἀκριβώτερον H^1P, ἀκριβέστερον AF 12 τὰ ἐναντία S: τἀναντία ceteri (v) εὖ om. A 13 πλουτίσαντες S^1, corr. S^2 ἢ καὶ δόξης AP^2 14 ἐπὶ μέγα om. S ἀτιμίας] τιμῆς HP γίνονται SCA: γίγνονται ceteri 15 φρόνημον SH^1 ἀγχίνους S (cf. Clem. Al.): καὶ ἀγχίνουν ceteri (v) τοιούτους καὶ ante τοὺς πλησιάζοντας add. mg H (v)

3sqq. *Clem. Alex. l. l. p. 480 P.* θυσία δὲ αἰνέσεως ὑπὲρ ὁλοκαυτώματα. „οὗτος γάρ σοι“ φησί „δίδωσιν ἰσχὺν ποιῆσαι δύναμιν“. 9sqq. pergit *Clem. Alex. l. l.* ἐὰν δὲ φωτισθῇ σοι τὰ πράγματα, λαβὼν καὶ κτησάμενος ἰσχὺν ἐν γνώσει ποίει δύναμιν. ἐμφαίνει γὰρ διὰ τούτων τά τε ἀγαθὰ τάς τε δωρεὰς παρὰ τοῦ θεοῦ χορηγεῖσθαι καὶ δεῖν ἡμᾶς διακόνους γενομένους τῆς θείας χάριτος σπείρειν τὰς τοῦ θεοῦ εὐποιίας καὶ τοὺς πλησιάζοντας κατασκευάζειν καλούς τε καὶ ἀγαθούς, ἵνα ὡς ὅτι μάλιστα ὁ μὲν σώφρων τοὺς ἐγκρατεῖς, ὁ δὲ ἀνδρεῖος τοὺς γενναίους συνετούς τε ὁ φρόνιμος καὶ ⟨ὁ⟩ δίκαιος τοὺς δικαίους ἐκτελῇ.

σκευάζειν καὶ τὸν σώφρονα ἐγκρατεῖς καὶ γενναίους τὸν ἀνδρεῖον καὶ
τὸν δίκαιον δικαίους καὶ συνόλως ἀγαθοὺς τὸν ἀγαθόν. ταῦτα γὰρ ὡς
II. ἔοικε δυνάμεις, ὧν ὅ γε ἀστεῖος ὡς οἰκειοτάτων περιέξεται· | ἀδυναμία
δὲ καὶ ἀσθένεια, τὰ ἐναντία, σπουδαίων ἀλλότρια ἠθῶν. ἄλλως τε καὶ 168
μάθημα ἀναδιδάσκει τῇ λογικῇ φύσει πρεπωδέστατον, μιμεῖσθαι θεὸν
καθ᾽ ὅσον οἷόν τε, μηδὲν παραλιπόντα τῶν εἰς τὴν ἐνδεχομένην
ἐξομοίωσιν. (24.) ἐπειδὴ τοίνυν, φησίν, ἔλαβες ἰσχὺν παρὰ τοῦ δυνατωτάτου, μετάδος ἄλλοις ἰσχύος διαθεὶς ὃ ἔπαθες, ἵνα μιμήσῃ θεὸν τῷ
παραπλήσια χαρίζεσθαι. κοινωφελεῖς γὰρ αἱ τοῦ πρώτου ἡγεμόνος δωρεαί, 169
ἃς δίδωσιν ἐνίοις, οὐχ ἵν᾽ ἐκεῖνοι λαβόντες ἀποκρύψωσιν ἢ καταχρήσωνται πρὸς ζημίαν ἑτέρων, ἀλλ᾽ ἵν᾽ εἰς μέσον προενεγκόντες ὥσπερ ἐν
δημοθοινίᾳ πάντας ὅσους οἷόν τε καλέσωσιν ἐπὶ τὴν χρῆσιν καὶ ἀπόλαυσιν αὐτῶν. λέγομεν οὖν καὶ τῷ πολυχρηματῳ καὶ ἐνδόξῳ καὶ 170
εὐέκτῃ καὶ ἐπιστήμονι, πλουσίους καὶ ἐνδόξους εὐέκτας τε καὶ ἐπιστήμονας καὶ συνόλως ἀγαθοὺς ἀπεργάζεσθαι τοὺς ἐντυγχάνοντας, ἀλλὰ
μὴ φθόνον καὶ βασκανίαν ἀρετῆς προτιμήσαντα τοῖς εὖ πράττειν δυναμένοις ἀντιβαίνειν. τοὺς δὲ μέγα πνέοντας ἐπιτάσει τῆς ἀλαζονείας 171

ἐγκρατῆ καὶ γενναῖον AFH^{1}P τὸν ἀνδρεῖον — δικαίους (2) om. S 2 τῶν [ἀ]γαθῶν AP^2 3 δύναμις SF (fort. recte) ὅ om. G^2 οἰκείων AHP (v) [ἀ]δυναμία S (Mang.): δύναμις ceteri 3. 4 δυνάμει ὁ δὲ καὶ G^2 4 τἀναντία A, [τ]ὰ ἐναντία om. G^2 ἤθη ἀλλότρια S 6 παραλείποντα C 7 τοίνυν] [γ]ὰρ G^1 φησίν CG^2: om. ceteri (v) 7. 8 δυνατωτέρου HP (v) [8] ὃ ἔπαθες] τὸ ἐμπαθὲς CG^2 θεῷ HP τῷ] τὸ S 9 τὰ παραπλήσια SP [1]0 ἵνα A 12 πάντες S οἷόν τε] οἴονται G^2 καλέσωσιν S: καλέσουσιν C, [κ]αλέουσιν FG^{2}HP, καλέωσιν A, κοινωνοὺς συγκαλῶσιν G^1 12. 13 ἐπὶ τὴν χρῆσιν [κ]αὶ ἀπόλαυσιν S: om. ceteri (Turn.) 13 λέγωμεν H^{1}P, λέγω μὲν FG^{1}H^2 [1]4 εὐέκτῃ] εὐεκτεῖ ἢ S καὶ ἐνδόξους S: om. ceteri (v) εὐέκτας τε S: καὶ [εὐ]έκτας ceteri (v) 15 ἀπεργάσασθαι Turn. ἐντυγχάνοντας Mang.: συντυγ[χ]άνοντας S, ἐντυχόντας ceteri 16 προτιμήσαντα SA (Mang.): προτιμήσαντας ceteri [τ]οῖς SG^1: τοῖς τὸ G^2, τοῦ C, τὸ AH^{1}P, τῷ FH^2 (Turn.) 16. 17 δυνατοῖς ἀντι[β]αίνειν F, δυναμένοις ἀντιβαίνειν om. C 17 ἐπιτάσει τῆς ἀλαζονείας scripsi: τοῖς [ἐπ]ιτάσιν τῆς ἀλαζονείας F, ἐπὶ τοῖς τὰ τῆς ἀλ. A, τοῖς ἐπὶ τὰς τῆς ἀλ. HP, τὸν ἐπὶ τὰς [τ]ῆς ἀλ. G^2, ὑπ᾽ ἀλαζονείας S (Mang.), ἐπ᾽ ἀλαζονείᾳ C ἐπιτάσει — ἔχοντας (320,1) [o]m. in lac. G^1

sqq. pergit *Clem. Alex. Strom. II 19 p. 480 P.* οὗτός ἐστι ὁ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν ὁ [γν]ωστικὸς ὁ μιμούμενος τὸν θεὸν καθ᾽ ὅσον οἷόν τε, μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχο[μ]ένην ὁμοίωσιν (ἐγκρατευόμενος, ὑπομένων, δικαίως βιούς, βασιλεύων τῶν παθῶν, μεταδοὺς ὧν ἔχει, ὡς οἷός τέ ἐστιν εὐεργετῶν καὶ λόγῳ καὶ ἔργῳ. οὗτος „μέγιστος" φησὶν [ἐ]ν τῇ βασιλείᾳ ὃς ἂν ποιῇ καὶ διδάσκῃ",) μιμούμενος τὸν θεὸν τῷ παραπλήσια χαρίζεσθαι· [κο]ινωφελεῖς γὰρ αἱ τοῦ θεοῦ δωρεαί.

⟨ὡς⟩ ἀθεραπεύτως εἰς ἅπαν ἔχοντας ὁ νόμος παγκάλως οὐκ ἤγαγεν εἰς
χρίσιν ἀνθρωπίνην, ἀλλὰ μόνῳ τῷ θείῳ παρέδωκε δικαστηρίῳ. φησὶ
γάρ· ὃς ἂν ἐγχειρῇ τι πράττειν μεθ' ὑπερηφανίας, „τὸν θεὸν παροξύνει"
172 (Num. 15,30). διὰ τί; ὅτι πρῶτον μὲν ἀλαζονεία ψυχῆς ἐστι κακία,
ψυχὴ δὲ ἀόρατος ὅτι μὴ θεῷ, κολαστὴς δὲ ὁ μὲν τυφλὸς ἐπίμεμπτος,
ἄγνοιαν κατήγορον ἔχων, ὁ δὲ βλέπων ἐπαινετός, ἐπιστήμῃ πάντα ὁρῶν·
ἔπειτα δὲ ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν
„οὔτε ἄνδρα οὔτε ἡμίθεον ἀλλ' ὅλον δαίμονα" κατὰ τὸν Πίνδαρον ὑπο-
λαμβάνει ἑαυτόν, ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως βαίνειν ἀξιῶν.
173 ἔστι δ' αὐτῷ καθάπερ ἡ ψυχὴ καὶ τὸ σῶμα ἐπίληπτον κατά τε τὰς
σχέσεις καὶ κινήσεις ἁπάσας· ἀκροβατεῖ γὰρ καὶ τὸν αὐχένα μετέωρον
ἐξαίρει φρυαττόμενος καὶ πλέον τῆς φύσεως ἐπῆρται καὶ πεφύσηται καὶ
ὁρῶν παραβλέπει πλαγίαις ὄψεσι καὶ ἀκούων παρακούει, κέχρηται δὲ
τοῖς μὲν οἰκέταις ὡς θρέμμασι, τοῖς δὲ ἐλευθέροις ὡς οἰκέταις, καὶ
τοῖς μὲν συγγενέσιν ὡς ἀλλοτρίοις, τοῖς δὲ φίλοις ὡς κόλαξι, τοῖς δ'
174 ἀστοῖς ὡς ξένοις· πάντων τε οἴεται εἶναι πλουσιώτατος, ἐντιμότατος,
κάλλιστος, ἰσχυρότατος, φρονιμώτατος, σωφρονέστατος, δικαιότατος,
λογιώτατος, ἐπιστημονικώτατος· εἶτα τοὺς ἄλλους ὑπολαμβάνει πένητας,
| ἀδόξους, ἀτίμους, ἄφρονας, ἀδίκους, ἀνεπιστήμονας, καθάρματα, τὸ p. 405
μηδέν. εἰκότως οὖν ὁ τοιοῦτος ἀντιδίκῳ καὶ κολαστῇ χρήσαιτ' ἄν, ὥς
φησιν ὁ ἱεροφάντης, θεῷ.

---

1 ὡς addidi, καὶ add. v ἀθεράπευτον F ἔχοντας SC: δυναμένοις ἔχοντας FG^{2}HP, δυναμένοις ἔχουσιν A οὐκ om. A 2 παραδέδωκε S 3 πράττειν τι transp. F μετ' S^1, corr. S^2, μετὰ G^2 4 ἀλαζονία S 5 δ' A, γὰρ S ὅτι μὴ θεῷ om. in lac. G^1 κολαστὴς δὲ om. in textu C, add. mg C^2 κολαστὴ AF, κολαστῇ G^{2}H^{1}P δ' A ἐπίληπτος S 7 δὲ S: δ' ceteri ὅτι] οὐ A ἀλόγου ὑπόπλεως transp. S 8 οὔτ' . . . οὔθ' A ἀλλ' ὅλον S (Mang.): om. in lac. G^1, μᾶλλον ἢ ceteri 8. 9 ὑπολαμβάνειν S^1, corr. S^2 10 ἡ om. S τε] δὲ AG^{2}H^1, γε H^2 τὰς om. F 11 ἀκροβατεῖ SC: ἀκροβύστειός τε F, ἀκροβατεῖται G^2, ἀκροβατεῖ τε ceteri (v) 12 ἐπαίρει S 13 παραβλέπεται S ὄψεσιν S κέχρηται δὲ S (Mang.): καὶ χρῆται ceteri 14 θρέμμασιν S δ' A 15 κόλαξιν S 16 τε S: om. FG^1, δὲ ceteri εἶναι οἴεται transp. HP (Turn.) ἐντιμώτατος (sic) S: ἐπισημότατος H (v), ἐπιτιμότατος ceteri 17 δικαιότατος σωφρονέστερος (sic) transp. S 18 λογιώτατος SA (Mang.): λογικώτατος ceteri ἐπιστημονικώτατος om. G^{2}H (Turn.) 20 οὖν] ἂν A καὶ κολαστῇ] καὶ om. H, κεκόλασται F

---

3 pergit *Clem. Alex. l. l.* ὃς δ' ἂν ἐγχειρῇ τι πράσσειν μεθ' ὑπερηφανίας, τὸν θεὸν παροξύνει, φησίν· ἀλαζονεία γὰρ ψυχῆς ἐστι κακία. 8 Pind. frg. 280 (Bergk)

Περὶ μετανοίας.

(1.) Φιλάρετος καὶ φιλόκαλος καὶ διαφερόντως φιλάνθρωπος ὢν 175
ὁ ἱερώτατος Μωυσῆς προτρέπει τοὺς πανταχοῦ πάντας εὐσεβείας καὶ
δικαιοσύνης εἶναι ζηλωτάς, ἆθλα προτιθεὶς ὡς νικηφόροις μεγάλα τοῖς
μετανοοῦσι πολιτείας κοινωνίαν τῆς ἀρίστης καὶ τῶν κατ' αὐτὴν ἀπό-
λαυσιν μικρῶν τε καὶ μεγάλων. ἀγαθὰ γὰρ προηγούμενα ἐν μὲν σώμασιν 176
ἡ ἄνοσος ὑγεία, ἐν δὲ ναυσὶν ἡ ἀκίνδυνος εὔπλοια, ἐν δὲ ψυχαῖς ἡ
ἄληστος μνήμη τῶν ἀξίων μνημονεύεσθαι· δεύτερα δὲ τὰ κατ' ἐπανόρ-
θωσιν συνιστάμενα, ἥ τε ἐκ νόσων ἀνάληψις καὶ ἡ ἐκ τῶν κατὰ πλοῦν
κινδύνων εὐκταιοτάτη σωτηρία καὶ ἡ λήθης ἐκγινομένη ἀνάμνησις, ἧς
ἀδελφὸν καὶ συγγενέστατον τὸ μετανοεῖν ἐστιν, οὐκ ἐν τῇ πρώτῃ καὶ
ἀνωτάτω τεταγμένον τάξει τῶν ἀγαθῶν, ἀλλ' ἐν τῇ μετὰ ταύτην
φερόμενον δευτερεῖα. τὸ μὲν γὰρ μηδὲν συνόλως ἁμαρτεῖν ἴδιον θεοῦ, 177
τάχα δὲ καὶ θείου ἀνδρός, τὸ δὲ ἁμαρτόντα μεταβαλεῖν πρὸς ἀνυπαίτιον
ζωὴν φρονίμου καὶ τὸ συμφέρον εἰς ἅπαν οὐκ ἀγνοήσαντος. ὅθεν τοὺς 178
τοιούτους συνάγων καὶ μυσταγωγῶν προσκαλεῖται τὰς συμβατηρίους καὶ
φιλικὰς προτείνων ὑφηγήσεις, αἳ παραινοῦσιν ἀψεύδειαν ἀσκεῖν καὶ τῦφον

1 tit. περὶ μετανοίας add. SC mg G²: om. ceteri 2 φιλάρετος δὲ AH² (v) καὶ φιλάνθρωπος AHP 3 μωσῆς A 4 εἶναι FG¹G²: om. ceteri (Turn.) προτιθεὶς SG²: προθεὶς ceteri (Turn.) 5 μετανοοῦσι SCG² Par.: μέγα νοοῦσι ceteri 5. 6 ἀπολαύσειν A 6 γὰρ Par.: γὰρ καὶ S, μὲν ceteri (v) μὲν S Par.: om. ceteri (v) 7 pr. ἡ om. SCG² ἐν δὲ ναυσὶν SG² Par.: ἐν ναυσὶ δ' C, ἐν δὲ ναυμαχίαις AFH¹P, ἐν δὲ ναυτιλίαις G¹H² (v) alt. ἡ om. FHP¹ (v) 8 μνήμη] γνῶσις S τὰ] καὶ Par. κατὰ F 9 συνιστάμενα, ἥ τε ἐκ νόσων SCG², συνιστάμενα, ἡ ἐκ τῶν νόσων Par.: εἴς τε ἃ μὲν δή τε κε νοσῶν F, εἴς τε ἃ δή τε κε νόσων AHP, εἴς τε σῶμα καὶ ναυτηλίαν καὶ ψυχὴν ἡ ἐκ νόσων G¹ 10 λήθης] ἀληθὴς S Par. ἐκγινομένη scripsi: ἐγγενομένη SF, ἐγγινομένη ceteri (v); ἐκ λήθης ἐγγινομένη coni. Mang. ἧς SCG²: ὧν G¹ Par., om. ceteri 11 συγγενέστατόν τε F τὸ μετανοεῖν ἐστιν S Par.: ἐστιν om. H (v), ἐστι τὸ μετανοεῖν ceteri καὶ οὐκ S 12 τάξει τεταγμένον transp. A, τεταγμένον post ἀγαθῶν transp. Par. ἀλλ' ἐν τῇ SCG²: ἀλλ' ἔτι AFH¹P, ἀλλὰ τὰ G¹H² μετὰ ταύτην CG²: ἡμετέρα ταύτῃ (sic) S, μετ' αὐτὰ Par., μετ' αὐτὴν ceteri (Turn.) 13 μηδὲν SCG² Par. Anton.: μηδὲ ceteri (Turn.) ἁμαρτάνειν Anton. 14 ἁμαρτάνοντα F Par. Anton. μεταβάλλειν Anton. 15 φρονήμου S 16 συνάγων τε καὶ A προσκαλεῖται SCH: προκαλεῖται ceteri 17 ἀφηγήσεις HP ἀψευδιαν S¹, corr. S²

2—15 Par(isinus gr. 1630) fol. 88ᵛ Τοῦ φίλωνος περὶ μετανοίας: φιλάρετος — οὐκ ἀγνοήσαντος. 13—15 Anton. Mel. I 17 (Migne T. 136 Col. 832) Φίλωνος: τὸ μὲν μηδὲν συνόλως ἁμαρτάνειν — οὐκ ἀγνοήσαντος.

προβεβλῆσθαι καὶ ἀληθείας καὶ ἀτυφίας ὡς ἀναγκαιοτάτων καὶ εὐδαι-
μονίας αἰτίων περιέχεσθαι μυθικῶν πλασμάτων κατεξαναστάντας, ἅπερ
ἐκ πρώτης ἡλικίας ἁπαλαῖς ἔτι ψυχαῖς γονεῖς καὶ τίτθαι καὶ παιδαγωγοὶ
καὶ μυρίοι ἄλλοι τῶν συνήθων ἐνεχάραξαν πλάνον ἀνήνυτον περὶ τῆς
179 τοῦ ἀρίστου γνώσεως ἀπεργασάμενοι. τί δ' ἂν εἴη τῶν ὄντων ἄριστον
ἢ θεός; οὗ τὰς τιμὰς προσένειμαν τοῖς οὐ θεοῖς, ἐκείνους μὲν ἀπο-
σεμνύνοντες πλέον τοῦ μετρίου, τοῦ δὲ εἰς ἅπαν οἱ κενοὶ φρενῶν
ἐκλαθόμενοι. πάντας οὖν, ὅσοι τὸν κτίστην καὶ πατέρα τοῦ παντὸς εἰ
καὶ μὴ ἐξ ἀρχῆς σέβειν ἠξίωσαν ἀλλ' ὕστερον μοναρχίαν ἀντὶ πολυ-
αρχίας ἀσπασάμενοι, φιλτάτους καὶ συγγενεστάτους ὑποληπτέον, τὸ
μέγιστον εἰς φιλίαν καὶ οἰκειότητα | παρασχομένους θεοφιλὲς ἦθος, οἷς p. 406
χρὴ καὶ συνήδεσθαι, καθάπερ ἂν εἰ καὶ τυφλοὶ πρότερον ὄντες ἀνέβλεψαν
ἐκ βαθυτάτου σκότους αὐγοειδέστατον φῶς ἰδόντες.

180 (2.) Τὸ μὲν οὖν πρῶτον καὶ ἀναγκαιότατον τῶν εἰς μετάνοιαν
εἴρηται. μετανοείτω δέ τις μὴ μόνον ἐφ' οἷς ἠπατήθη πολὺν χρόνον
τὰ γενητὰ πρὸ τοῦ ἀγενήτου καὶ ποιητοῦ θαυμάσας, ἀλλὰ καὶ ἐν τοῖς
ἄλλοις ὅσα περὶ βίον ἀναγκαῖα, μετιὼν ὥσπερ ἐκ τῆς φαυλοτάτης τῶν
κακοπολιτειῶν, ὀχλοκρατίας, εἰς τὴν εὐνομωτάτην πολιτείαν, δημοκρατίαν,
τοῦτο δ' ἐστὶν ἐξ ἀμαθίας εἰς ἐπιστήμην ὧν ἡ ἄγνοια αἰσχρόν, ἐξ
ἀφροσύνης εἰς φρόνησιν, ἐξ ἀκρατείας εἰς ἐγκράτειαν, ἐξ ἀδικίας εἰς
181 δικαιοσύνην, ἐξ ἀτολμίας εἰς θαρραλεότητα. πάγκαλον γὰρ καὶ συμ-
φέρον αὐτομολεῖν ἀμεταστρεπτὶ πρὸς ἀρετὴν κακίαν, ἐπίβουλον δέσποιναν,

---

1 ἀποβεβλῆσθαι C ὡς S: om. ceteri (v) ἀναγκαιοτάτων SCH²: ἀναγκαιοτάτω G², ἀναγκαιότατα G¹, ἀναγκαιότατον AFH¹P καὶ] ὡς G¹ 2 αἰτίων S: αἰτιωτάτων CG¹H² (v), αἰτιωτάτω G², αἰτιώτατον AFH¹P περιέργεσθαι A κατεξαναθέντας F¹ 3 ἁπαλαῖς] ἀπαλλαγεὶς F¹H¹P¹ γονεῖς S: om ceteri (Turn.) καὶ ante τίτθαι om. C τιτθαῖς AP² 4 πλάνον ἀνήνυτον] πλὴν ἀνήνυτα F 6 ἢ om. AFG¹ οὗ] οἱ F ἐκείνους S: τοὺς ceteri (Turn. Mang.) 7 τοῦ μέτρου SA 7. 8 ἐκλαθόμενοι οἱ κενοὶ φρενῶν S 8 πάντες SC¹ πατέρα CG²H²: δημιουργὸν S, τὸν πατέρα ceteri 9 ἠξιώθησαν (sed θησ in ras.) A 9. 10 post πολυαρχίας add. σέβειν H (Turn.) 10 φιλτάτοις καὶ συγγενεστάτοις G² 11 φιλίαν] φιλανθρωπίαν H οἰκειότητα SCG²: οἰκειότατον ceteri οἷς] ἧς F¹ 12 ἂν om. S 14 ὃ μὲν AFHP 16 γεννητὰ A ἀγεννήτου A καὶ ποιητοῦ om. S (fort. recte) ἐν om. G²; ἐπὶ coni. Mang. 17 βίων A ἀναγκαῖον C τῆς om. S φυλοτάτης S 18 κακοπολιτειῶν] κακοποντίων S ὀχλοκρατείας AHP, ὀχλοκρασίας SG² δημοκρατείαν S² 19 τοῦτο δ' ἐστὶν S: τουτέστιν ceteri (v) 20 ἀκρατείας] ἀκρασίας A (Mang.) 21 θαρσαλεότητα S πάγκαλον] καλὸν S 22 αὐτομολεῖν: hic desinunt AFG¹HP, reliqua (usque ad p. 324,14) exhibent solummodo SCG²

ἀπολιπόντας· ἅμα δ' ἀναγκαῖον ἕπεσθαι, ὡς ἐν ἡλίῳ σκιὰν σώματι, καὶ τῇ
τοῦ ὄντος θεοῦ τιμῇ πᾶσαν τὴν τῶν ἄλλων ἀρετῶν κοινωνίαν. γίνονται 182
γὰρ εὐθὺς οἱ ἐπηλύται σώφρονες, ἐγκρατεῖς, αἰδήμονες, ἥμεροι, χρηστοί,
φιλάνθρωποι, σεμνοί, δίκαιοι, μεγαλόφρονες, ἀληθείας ἐρασταί, κρείττους
χρημάτων καὶ ἡδονῆς· ἐπεὶ καὶ τοὐναντίον τοὺς τῶν ἱερῶν νόμων ἀπο-
στάντας ἰδεῖν ἔστιν ἀκολάστους, ἀναισχύντους, ἀδίκους, ἀσέμνους, ὀλιγό-
φρονας, φιλαπεχθήμονας, ψευδολογίας ἑταίρους καὶ ψευδορκίας, τὴν
ἐλευθερίαν πεπρακότας ὄψου καὶ ἀκράτου καὶ πεμμάτων καὶ εὐμορφίας
εἴς τε τὰς γαστρὸς ἀπολαύσεις καὶ τῶν μετὰ γαστέρα, ὧν τὰ τέλη
βαρύταται ζημίαι σώματός τε καὶ ψυχῆς εἰσι. παγκάλους μέντοι καὶ 183
τὰς εἰς μετάνοιαν ὑφηγήσεις ποιεῖται, αἷς διδασκόμεθα μεθαρμόζεσθαι
τὸν βίον ἐξ ἀναρμοστίας εἰς τὴν ἀμείνω μεταβολήν· φησὶ γάρ, ὅτι τουτὶ τὸ
πρᾶγμα οὐχ ὑπέρογκόν ἐστιν οὐδὲ μακρὰν ἀφεστός, οὔτε κατὰ τὸν αἰθέρα
ἀνωτάτω κἀν ἐσχατιαῖς ⟨γῆς οὔτε πέραν⟩ τῆς μεγάλης θαλάττης, ὡς ἀδυνα-
τῆσαι λαβεῖν, ἀλλ' ἔστιν ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ' ἡμᾶς ἐνδιαι-
τώμενον, στόματι καὶ καρδίᾳ καὶ χερσί, διὰ συμβόλων λόγοις καὶ βουλαῖς
καὶ πράξεσι· λόγου μὲν ⟨γὰρ⟩ στόμα σύμβολον, καρδία δὲ βουλευμάτων,
πράξεων δὲ χεῖρες, ἐν οἷς τὸ εὐδαιμονεῖν ἐστιν. ὅταν μὲν γὰρ οἷος ὁ 184
λόγος τοιάδε ἡ γνώμη καὶ οἷον τὸ βούλευμα τοιάδε ἡ πρᾶξις, ἐπαινετὸς
καὶ τέλειος ὁ βίος, ὅταν δὲ στασιάζῃ ταῦτα ἐν ἀλλήλοις, ἀτελής τε καὶ
ψεκτός. εἰ μή τις τῆς ἁρμονίας ταύτης ἐπιλάθοιτο, εὐαρεστήσει θεῷ

ιὰν om. CG^2 2 τὴν om. G^2 6 ἔστιν om. CG^2 7 ἑταίρους C: ἑτέρους SG^2
ὧν] τὸν G^2 10 βαρύταται Mang.: βαρύτατα codd. εἰσιν SC
πρᾶγμα] πρόσταγμα coni. Mang. οὐκ S^1, corr. S^2 οὐδὲ scripsi: οὔτε
l. (v) ἀφεστὼς codd. 14 κἀν scripsi: καὶ codd.; καὶ ἐν coni. etiam
g.; deinde ἐσχατιαῖς ⟨γῆς οὔτε πέραν⟩ τῆς μεγάλης θαλάττης supplevi 15 τῶν]
coni. Mang. coll. Clem. Al. 15. 16 ἐνδιαιτωμένων C^1G^2 17 πράξεσιν S
add. Mang. 21 ἐπιλάθοιτο SG^2 (prob. Mang.): ἐπιλάβοιτο C (v) εὐαρεστήσει
S) θεῷ SG^2: om. C (v)

ιq. pergit *Clem. Alex. l. l.* ἀφ' ἧς καὶ τῶν ἄλλων κακιῶν μετανοεῖν κελεύει ἁρμοζομένοις
βίον ἐξ ἀναρμοστίας πρὸς τὴν ἀμείνω μεταβολὴν διὰ τῶν τριῶν τούτων, στόματος,
ίας, χειρῶν. σύμβολον δ' ἂν εἴη ταῦτα πράξεως μὲν αἱ χεῖρες, βουλῆς δὲ ἡ καρδία,
λόγου ⟨τὸ⟩ στόμα. cf. *Clem. Alex. Protrept. cap. 10 p. 85 P. (I 77,32 Stählin)* . . . οὐδὲ
(ἡ ἀλήθεια) δυσπρόσιτος οὐδὲ ἀδύνατος λαβεῖν, ἀλλ' ἔστιν ἐγγυτάτω, ἔνοικος ἡμῶν,
σιν αἰνιττόμενος ὁ πάνσοφος Μωυσῆς, τρισὶ τοῖς καθ' ἡμᾶς ἐνδιαιτωμένη μέρεσι, χερσὶ
στόματι καὶ καρδίᾳ. σύμβολον τοῦτο γνήσιον τρισὶ τοῖς πᾶσι συμπληρουμένης τῆς
είας, βουλῇ καὶ πράξει καὶ λόγῳ. 13 Deut. 30,11—14.

γενόμενος ὁμοῦ θεοφιλὴς καὶ φιλόθεος. ὅθεν εὖ καὶ | συμφώνως τοῖς
εἰρημένοις ἐχρήσθη τὸ λόγιον ἐκεῖνο· „τὸν θεὸν εἵλου σήμερον εἶναί
σοι θεόν, καὶ κύριος εἵλατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ“ (Deut.
185 26, 17. 18). παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις, σπεύδοντος ἀνθρώπου
μὲν θεραπεύειν τὸ ὄν, θεοῦ δὲ ἀνυπερθέτως ἐξοικειοῦσθαι τὸν ἱκέτην
καὶ προαπαντᾶν τῷ βουλήματι τοῦ γνησίως καὶ ἀνόθως ἰόντος ἐπὶ τὴν
θεραπείαν αὐτοῦ. ὁ δ' ἀληθὴς θεραπευτής τε καὶ ἱκέτης, κἂν εἷς ὢν
ἀνὴρ ἀριθμῷ τυγχάνῃ, δυνάμει, καθάπερ αὐτὸς αἱρεῖται, σύμπας ἐστὶν
186 ὁ λεώς, ἰσότιμος ὅλῳ ἔθνει γεγονώς. καὶ πέφυκεν οὕτως ἔχειν· ὡς
γὰρ ἐν νηὶ μὲν κυβερνήτης πᾶσι τοῖς ναύταις ἀντίρροπος, ἐν δὲ στρατο-
πέδῳ στρατηγὸς ἅπασι τοῖς στρατιώταις — διαφθαρέντος γοῦν ἡττᾶσθαι
συμβαίνει, καθάπερ ἂν εἰ καὶ πᾶσα δύναμις ἡβηδὸν ἑάλω —, τὸν αὐτὸν
τρόπον καὶ ὁ σοφὸς ὅλου ἔθνους ἀξιώματι ἁμιλλᾶται τείχει πεφραγ-
μένος ἀκαθαιρέτῳ, θεοσεβείᾳ.

Περὶ εὐγενείας.

187 | (1.) Διὸ καὶ τοῖς ὑμνοῦσι τὴν εὐγένειαν ὡς μέγιστον ἀγαθὸν καὶ p. 437
μεγάλων ἀγαθῶν αἴτιον οὐ μετρίως ἐπιτιμητέον, εἰ πρῶτον μὲν οἴονται
τοὺς ἐκ παλαιοπλούτων καὶ παλαιενδόξων εὐγενεῖς, μηδὲ τῶν προγόνων,

---

1 ὁμοῦ καὶ θεοφιλὴς C (v) 2 τὸ ante τὸν add. S τὸν θεὸν S (Clem. Al.): τὸν κύριον CG^2 (v) εἵλου S (Clem. Al.): ἀντηλλάξω C (v), ἀντηλλαξάτω G^2 3 σοι] σου Clem. Al. θεόν S (Clem. Al.): εἰς θεὸν CG^2 (v) εἵλατό S (Clem. Al.): ἀντηλλάξατο CG^2 (v) αὐτοῦ S 4 τῆς διαιρέσεως S 5 τὸ ὄν S (Clem. Al.): θεόν C (v), θεῷ G^2 6 προαπαντων (sic) S βουλήματι CG^2: βου-λεύματι S ἰόντος] εἰ ὄντος G^2 7 ἀληθῶς coni. Mang. ὢν] ω S^1, in ὁ corr. S^2 8 αὐτὸς αἱρεῖται corruptum; αὖθις vel ἄλλοθι εἴρηται coni. Mang., πρότερον εἴρηται coni. Wendl. 11 γ' οὖν G^2 12 πᾶσα δύναμις scripsi: πάσῃ δυνάμει codd. (v) 15 tit. περὶ εὐγενείας SCG^2HP: τοῦ αὐτοῦ περὶ εὐγενείας F 16 Διὸ καὶ τοῖς ὑμνοῦσι F: Καὶ τοῖς ὑμνοῦσι S, Τοῖς δὲ (δ' P) ὑμνοῦσι ceteri (v) ὡς καὶ S 17 εἰ om. S 18 πάλαι ἐνδόξων FG^2 μηδὲ S: μήτε ceteri (v)

---

1 sqq. pergit *Clem. Alex. Strom. l. l.* καλῶς οὖν ἐπὶ τῶν μετανοούντων εἴρηται τὸ λόγιον ἐκεῖνο „τὸν θεὸν εἵλου σήμερον εἶναί σου θεόν, καὶ κύριος εἵλετό σε σήμερον γενέσθαι λαὸν αὐτῷ“. τὸν γὰρ σπεύδοντα θεραπεύειν τὸ ὂν ἱκέτην ὄντα ἐξοικειοῦται ὁ θεός. κἂν εἷς ᾖ τὸν ἀριθμόν, ἐπ' ἴσης τῷ λαῷ τετίμηται· μέρος γὰρ ὢν τοῦ λαοῦ συμπληρωτικὸς αὐτοῦ γίνεται ἀποκατασταθεὶς ἐξ οὗ ἦν, καλεῖται δὲ καὶ ἐκ μέρους τὸ πᾶν. 16 sqq. cf. Wendland Philo u. die kynisch-stoische Diatribe (W. u. Kern, Beitr. z. Gesch. d. griech. Philos. u. Religion) p. 51 sqq.

ἀφ᾽ ὧν αὐχοῦσι γενέσθαι, διὰ τὰς ἀφθόνους περιουσίας εὐδαιμονησάν-
των, ἐπειδὴ τὸ πρὸς ἀλήθειαν ἀγαθὸν οὐδενὶ τῶν ἐκτός, ἀλλ᾽ οὐδὲ τῶν
περὶ σῶμα, μᾶλλον δὲ οὐδὲ παντὶ μέρει ψυχῆς, ἀλλὰ μόνῳ τῷ ἡγε-
μονικῷ πέφυκεν ἐνδιαιτᾶσθαι. βουληθεὶς γὰρ ὁ θεὸς δι᾽ ἡμερότητα καὶ 188
φιλανθρωπίαν καὶ παρ᾽ ἡμῖν τοῦθ᾽ ἱδρύσασθαι, νεὼν ἀξιοπρεπέστερον
οὐχ εὗρεν ἐπὶ γῆς λογισμοῦ· κρείττων γὰρ ⟨ὢν⟩ μόνος ἀγαλματοφορεῖ
τἀγαθόν, κἂν ἀπιστῶσί τινες τῶν ἢ μὴ γευσαμένων σοφίας ἢ χείλεσιν
ἄκροις — ἄργυρος γὰρ καὶ χρυσὸς τιμαί τε καὶ ἀρχαὶ καὶ σώματος
| εὐεξία μετ᾽ εὐμορφίας ⟨ἐξαρκεῖν⟩ ἐοίκασι τοῖς ἐν ταῖς ἡγεμονίαις ἐπὶ
χρειῶν τεταγμένοις πρὸς τὴν οἷα βασιλίδος ἀρετῆς ὑπηρεσίαν — * * *
αὐγοειδέστατον φῶς μὴ ἰδόντες. ἐπειδὴ τοίνυν ἡ εὐγένεια κεκαθαρμένης 189
διανοίας καθαρσίοις τελείοις κλῆρος οἰκεῖος, χρὴ μόνους λέγειν εὐγενεῖς
τοὺς σώφρονας καὶ δικαίους, κἂν τύχωσιν ἐξ οἰκοτρίβων ἢ ἀργυρωνήτων
γεγονότες· τοῖς δὲ ἐξ ἀγαθῶν πονηροῖς γεγονόσιν ἄβατον ἔστω τὸ
εὐγενείας χωρίον. ἄοικος γὰρ καὶ ἄπολις ὁ φαῦλος, ἐκ πατρίδος ἀρετῆς 190
ἐληλαμένος, ἣ καὶ τῷ ὄντι σοφῶν ἀνδρῶν ἐστι πατρίς· τούτῳ κατὰ τὸ
ἀναγκαῖον ἕπεται δυσγένεια, κἂν εἰ πάππων ἢ προγόνων γένοιτο τοὺς
βίους ἀνεπιλήπτων, ἀλλοτρίωσιν ἐπιτηδεύοντι καὶ πορρωτάτω τῆς εὐγε-
νείας διαζευγνύντι ἑαυτὸν ἔν τε λόγοις καὶ ἔργοις. ἀλλὰ γὰρ πρὸς τῷ 191
μὴ πεφυκέναι τοὺς πονηροὺς εὐγενεῖς ἔτι καὶ πάντας αὐτοὺς ὁρῶ

---

2 εὐδαιμονισάντων F 3 δ᾽ S 3. 4 ἡγεμονικωτάτῳ S 4 δι᾽ S: … ceteri 5 καὶ παρ᾽ ἡμῖν om. H^{1}P τοῦθ᾽ S^2: τοῦτ᾽ S^{1}G^{2}HP, om. F Barb. … οὐχ εὗρεν ἐπὶ γῆς S: ἐπὶ γῆς οὐχ εὗρεν ceteri (v) κρείττων γὰρ ὢν μόνος scripsi: …ίττων γὰρ μόνος F, κρείττων γὰρ ὁ νόμος G^2, κρεῖττον (κρείττω H^3)· ὁ γὰρ νόμος HP, …ὸν ὁ νόμος S; κρείττω· ὁ γὰρ νοῦς v, κεκαθαρμένων γὰρ ὁ νοῦς coni. Mang. … ἀγαθὸν S: τὸ ἀγαθὸν G^{2}HP, om. F ἐπιστῶσι F pr. ἢ S: om. ceteri …r. καὶ] ἢ S 9 εὐεξία S: εὐεξίαι ceteri (v) ἐξαρκεῖν e. gr. addidi …κασι SF: om. G^{2}HP (Turn.) 10 lacunam indicavi 11 αὐγοειδέστατον …; μὴ ἰδόντες om. S αὐγ.] ἀνειδέστατον H^{1}P 12 καθαρσίοις S (Mang.): … καθαρσίοις ceteri χρὴ μόνους S: μόνους χρὴ H^2 (v), μόνους δὲ χρὴ ceteri … ἢ] καὶ FN 14 δ᾽ HP γεγονόσιν om. S (fort. recte) 15 ὁ φαῦλος S: … φαῦλος ceteri (v) 16 ἐληλασμένος G^{2}HP ἣ scripsi: εἰ S, ἥτις ceteri (v) …το F^1 17 κἂν εἰ FNG^{2}H^2: κἂν ἢ SH^{1}P (v) ἢ] καὶ HP προγόνων …NG^2: προπάππων HP (v) 18. 19 ἐπιτηδεύων καὶ πορρω τα της (sic) συγγενείας …ευγνὺς S 19 ἀλλὰ] ἅμα S πρὸς om. S τῷ] τὸ SG^{2}H … μὴ om. G^2 πονηροὺς] μοχθηροὺς FNG^2

---

6 Maximi Eclog. cod. Barb. I 158: βουληθεὶς — λογισμοῦ κρείττω. 12—329,12 N 189^r: μόνους χρὴ λέγειν — καθ᾽ ὅσον οἷόν τε ἦν.

πολεμίους ἀσυμβάτους εὐγενείᾳ καθαιροῦντας τὸ προγονικὸν ἀξίωμα καὶ
192 ὅσον ἐν τῷ γένει λαμπρὸν ἐξαμαυροῦντάς τε καὶ σβεννύντας. (2.) διό
μοι δοκοῦσι φιλοστοργότατοι πατέρες ἀπορρήσεις χρηματίζειν καθ' υἱῶν
ἀποσχοινίζοντες αὐτοὺς τῆς οἰκίας καὶ συγγενείας, ὅταν τὴν ἐκ φύσεως
ἐν τοῖς γεννήσασι περιττὴν καὶ ὑπερβάλλουσαν εὔνοιαν ἡ ἐν ἐκείνοις
193 μοχθηρία καταχρατήσῃ. τὸ δ' ἀληθὲς τοῦ λόγου ῥᾴδιον καὶ ἀφ'
ἑτέρων διαγνῶναι. τί τῷ τὰς ὄψεις πεπηρωμένῳ γένοιτ' ἂν εἰς τὸ
βλέπειν ὄφελος ὀξυωπία προγονική; ἢ πρὸς ἑρμηνείαν τῷ παρειμένῳ
γλῶτταν τὸ γονεῖς ἢ πάππους γενέσθαι μεγαλοφώνους; τί δ' ὀνίνησι
πρὸς εὐτονίαν τὸν ἐκ μακρᾶς καὶ φθινάδος νόσου κατεσκελετευμένον,
ἐὰν οἱ τοῦ γένους ἀρχηγέται δι' ἀθλητικὴν ῥώμην ἐν Ὀλυμπιονίκαις ἢ
περιοδονίκαις γράφωνται; μένουσι γὰρ οὐδὲν ἧττον αἱ τοῦ σώματος
κῆρες ἐν ὁμοίῳ βελτίωσιν οὐκ ἐνδεχόμεναι διὰ τὰς τῶν οἰκείων εὐπρα-
194 γίας. τὸν αὐτὸν δὴ τρόπον οὔτε τοῖς ἀδίκοις δίκαιοι γονεῖς οὔτε
ἀκολάστοις σώφρονες οὔτε συνόλως ἀγαθοὶ πονηροῖς ὄφελος· οὐδὲ γὰρ
οἱ νόμοι τοῖς παρανομοῦσιν, ὧν εἰσιν αὐτοὶ κολασταί· νόμοι δέ τινες
195 ἄγραφοι καὶ οἱ βίοι τῶν ζηλωσάντων τὴν ἀρετήν. ὅθεν οἶμαι τὴν
εὐγένειαν, εἰ θεὸς αὐτὴν εἰς ἀνθρωπόμορφον ἰδέαν ἐτύπωσε, στᾶσαν
πρὸς τοὺς ἀφηνιαστὰς ἀπογόνους ταῦτα ἂν εἰπεῖν· „τὸ συγγενὲς οὐχ
αἵματι μετρεῖται μόνον, πρυτανευούσης ἀληθείας, ἀλλὰ πράξεων ὁμοιότητι
καὶ θήρᾳ τῶν αὐτῶν. ὑμεῖς δὲ τἀναντία ἐπετηδεύσατε, τὰ μὲν ἐμοὶ
φίλα νομίσαντες ἐχθρά, τὰ δὲ | δυσμενῆ φίλα· παρ' ἐμοὶ μὲν γὰρ p. 439 I
αἰδὼς καὶ ἀλήθεια μετριοπάθειά τε καὶ ἀτυφία καὶ ἀκακία τίμια, παρ'

---

1 εὐγενεία S: εὐγένειαν ceteri (v); εὐγενείας Mang. 2 ὅσοι S 3 ἀπορρήσεις FN: ἀπαρνήσεις ceteri (v) καθ' S²: κατ' S¹, κατὰ FG²H², καὶ τὰ H¹P 4 οἰκείας S post οἰκίας add. πατρίδος G² καὶ del. S² 5 γεννήσασιν S, γεννήμασι P ἔννοιαν FN 6 καταχρατήσῃ N: καταχρατήσοι F, καταχρατήσει G²P, καταχρατήσειεν SH (v) 7 τῷ om. S 7. 8 τὸ βλέπειν] τὰς ὄψεις HP (Turn.) 8 ὤφελος S¹, corr. S² ὀξυωπία προγονική S: ὀξυωπίας προγονικῆς ἐστερημένῳ ceteri (v) παρημένῳ S 9 τὸ codd.: om. v ὀνήνησι (sic) S: ὀνήσει ceteri (v) 10 φθεινάδος S (φθινάδος scripsi): φθεινώδους P, φθινώδους ceteri (v) κατεσκηλιτευμένον S 12 περιοδονίκαις] περίοδον καὶ S γράφωνται FNP: γράφονται S²G²H (v), στράφονται S¹ 13 κήραις SG², κῆραι FNHP οἰκιῶν N 14 τοῖς om. FN 15 ὤφελος S¹, corr. S² οὐδὲ S: οὔτε ceteri (v) 16. 17 νόμοι δέ τινες ἄγραφοι καὶ S: νόμοι δὲ τίνες ἂν εἶεν ἄγραφοι ἢ ceteri (v) 17 τὴν ἀρετήν S: τὴν om. ceteri (v) οἶμαι: hic incipit C οἶμαι] οι S 18 εἰδέαν S ἐτύπωσε] διαπλάσει (sic) S καταστᾶσα (sic) S 19 ταῦτ' CG² 20 μόνον om. S πράξεως S 21 θηρατῶν αὐτῶν S 22 ἐχθρά] αἰσχρὰ HP τὰ δὲ codd.: τὰ δὲ καὶ Mang. 23 μετροπάθεια HP τιμία G²HP

ὑμῖν δὲ ἄτιμα· κἀμοὶ μὲν ἐχθρὰ τὸ ἀναίσχυντον, τὸ ψεῦδος, ἡ ἀμετρία
τῶν παθῶν, ὁ τῦφος, αἱ κακίαι, ὑμῖν δὲ οἰκειότατα. τί δὴ μελετήσαντες 196
ἀλλοτριώσιν τὴν δι' ἔργων τὴν ἐν λόγῳ συγγένειαν εὐπρεπὲς ὄνομα
ὑποδυόμενοι καθυποκρίνεσθε; παραγωγὰς γὰρ καὶ κεκομψευμένας ἀπάτας
οὐκ ἀνέχομαι, διότι ῥᾴδιον μὲν καὶ τῷ τυχόντι εὐπροσώπους λόγους
εὑρεῖν, ἤθη δ' ὑπαλλάξασθαι πονηρὰ χρηστοῖς οὐ ῥᾴδιον. εἰς ἅπερ 197
ἀφορῶσα καὶ νῦν ἐχθροὺς νομίζω καὶ αὖθις ἡγήσομαι τοὺς τὰ τῆς
ἔχθρας ὑπεκκαύματα ζωπυρήσαντας καὶ μᾶλλον τῶν εἰς δυσγένειαν
ὀνειδιζομένων ὑποβλέψομαι· τούτοις μὲν γὰρ ἀπολογία τὸ μηδὲν οἰκεῖον
ἔχειν ⟨παράδειγμα⟩ καλοκἀγαθίας, ὑπόδικοι δ' ὑμεῖς οἱ ἐκ μεγάλων
φύντες οἴκων, οἷς αὔχημα καὶ κλέος τὰ λαμπρὰ γένη· παριδρυμένων
γὰρ καὶ τρόπον τινὰ συμπεφυκότων ἀρχετύπων ἀγαθῶν οὐδὲν ἀπο-
μάξασθαι καλὸν διενοήθητε.“

Ὅτι δὲ ἐν ἀρετῆς κτήσει τίθεται τὸ εὐγενὲς καὶ τὸν ἔχοντα ταύτην 198
εὐγενῆ μόνον ὑπείληφεν, ἀλλ' οὐχ ὅστις ἂν καλῶν καὶ ἀγαθῶν γένηται
γονέων, δῆλον ἐκ πολλῶν. (3.) αὐτίκα τοὺς ἐκ τοῦ γηγενοῦς φύντας 199
τίς οὐκ ἂν εὐπατρίδας εἴποι καὶ εὐπατριδῶν ἀρχηγέτας; οἳ γένος
ἐξαίρετον ἔλαχον παρὰ τοὺς ἔπειτα, βλαστήσαντες ἐκ τῶν πρώτων
νυμφίων ἀνδρός τε καὶ γυναικὸς τότε πρῶτον εἰς ὁμιλίαν κοινὴν ἐπὶ
σπορᾷ τοῦ ὁμοίου συνελθόντων. ἀλλ' ὅμως δυοῖν γενομένων ὁ πρεσβύ-
τερος ὑπέμεινε τὸν νεώτερον δολοφονῆσαι καὶ τὸ μέγιστον ἄγος, ἀδελφο-

---

1 δὲ S: δ' ceteri ἄτιμα SC²G²: ἀτιμία ceteri κἀμοὶ S: καὶ ἐμοὶ ceteri ἐχθρὰ] αἰσχρὰ HP τὸ ἀναίσχυντον Mang.: τὸ ἀναισχύντατον S, τὰ ἀναίσχυντα ceteri (Turn.) τὸ ante ψεῦδος om. S 2 ἡ κακία S 4 καὶ κεκομψευμένας N: καὶ om. ceteri, καὶ post κεκομψευμένας ss. H² (sic v) κεκομψευσμένας F ἀπατᾶς H¹P, ἀπάτης C 5 διότι] διὸ S πρὸς ante εὐπροσώπους add. P 6 ἤθη] ἡ S ὑπαλλάξασθαι S: ὑπαλλάξαι ceteri (v) 7 τὰ C: τὰς S, κατὰ FG²HP, τοὺς corr. in τὰ κατὰ N 8 ἔχθρας codd.: ἐχθρᾶς v ἐκκαύματα S ζωπυρήσοντας N 9 ὑποβλέψομαι C: ἀποβλέψομαι ceteri 10 παράδειγμα add. Wendl. (v. sup. p. 251,1) 11 περιϊδρυμένων S 12. 13 ἀπομάξασθε S 14 ὅτι om. C δ' S ἐν om. HP (Turn.) ἐν ἀρετῆς δὲ transp. C κτίσει F τίθετε G²H² (Turn.) καὶ om. G² 15 ὑπείληφεν S: ὑπειλήφαμεν C, ὑπελείφατε F, ὑπειλήφατε ceteri (v) ὥς τις F ἂν om. FN 16 γονέων] προγόνων S γονέων: hic desinit C 17 εὐπατριδῶν FG²: εὐ... ἐκπατρίδων (sic) S, εὐπατρίδων ceteri (v) οἳ] οἷς H¹P γένος] γέρας coni. Mang. 18 βλαστήσαντες H²: βλαστῶντας S, βλαστήσαντας ceteri 19 τε om. S καινὴν S 20 σποράν S γενομένοιν S (sed οι ex ω corr.) 21 ὑπέμεινεν S ἄγος] ἄλγος H

---

6 sqq. Gen. cap. 4.

200 χτονίαν, ἐργασάμενος πρῶτος αἵματι ἀνθρωπίνῳ τὴν γῆν ἐμίανε. τί
δὴ τοῦτον ὤνησεν ἡ εὐγένεια τὴν ἐν τῇ ψυχῇ δυσγένειαν ἐπιδειξάμενον;
ἣν καὶ ὁ τῶν ἀνθρωπίνων πραγμάτων ἔφορος θεὸς ἰδὼν ἐστύγησε καὶ
προβαλλόμενος ὥρισε τιμωρίας, οὐκ εὐθὺς ἀνελών, ὅπως ἀναισθήτως
ἔχῃ συμφορῶν, ἀλλὰ μυρίους ἐπικρεμάσας τοὺς ἐν αἰσθήσει θανάτους
λύπαις καὶ φόβοις ἐπαλλήλοις εἰς κακῶν ὀδυνηροτάτων ἀντίληψιν.
201 Ἐγένετο δέ τις τῶν μετὰ ταῦτα σφόδρα δοκίμων ἀνὴρ ὁσιώτατος,
οὗ τὴν εὐσέβειαν ἀνάγραπτον ἠξίωσεν ⟨εἶναι⟩ ἐν ἱεραῖς βίβλοις ὁ τοὺς
νόμους διαταξάμενος· ὃς ἐν τῷ μεγάλῳ κατακλυσμῷ, τῶν πόλεων
ἀφανιζομένων πανωλεθρίᾳ — καὶ γὰρ τῶν ὀρῶν τὰ ὑψηλότατα | τῇ p. 440
συναυξήσει καὶ ἐπιτάσει τῆς περὶ τὴν φορὰν πλημμύρας κατεπίνετο —,
μόνος μετὰ τῶν οἰκείων διασῴζεται τῆς καλοκἀγαθίας ἆθλον ἀράμενος,
202 οὗ μεῖζον οὐκ ἔστιν εὑρεῖν. ἀλλὰ καὶ τούτῳ τριῶν γενομένων παίδων
καὶ συναπολελαυκότων τῆς πατρῴας δωρεᾶς εἷς ἐτόλμησε τὸν αἴτιον τῆς
σωτηρίας πατέρα κατακερτομεῖν γέλωτα καὶ χλεύην, εἴ τι παρεσφάλη
μὴ καθ' ἑκούσιον γνώμην, τιθέμενος καὶ τοῖς μὴ εἰδόσιν ἀπογυμνῶν
ἃ κρύπτειν θέμις ἐπὶ τῇ τοῦ γεννήσαντος αἰσχύνῃ. τοιγαροῦν οὐκ
ὤνατο τῆς λαμπρᾶς εὐγενείας ἐπάρατος γενόμενος καὶ τοῖς μετ'
αὐτὸν ἀρχὴ κακοδαιμονίας· ὧν ἄξιον ἦν τυγχάνειν τὸν ἠμεληκότα
γονέων τιμῆς.

---

1 ἀνθρωπείῳ S (ει corr. ex ι) μιαίνει S 2 δὴ om. FN ἡ om. F τῇ om. HP (v) 3 ἣν om. FN ὁ om. G²HP (v) ἀνθρωπίων S ἐστύγησεν S 4 προβαλόμενος F (v) ὥρισε τιμωρίας S: τιμωρίας ὥρισεν ceteri (v) 6 λύπας καὶ φόβους ἐπαλλήλους coni. Mang. ἐπαλλήλοις om. FN 7 σφόδρα om. S δοκήμων S 8 ἀνάγραπτον om. S εἶναι addidi (ἐστηλιτεῦσθαι conieceram) ἐν om. S 9 ὃς ἐν S: ἐν γοῦν ceteri (v) 10 πανολεθρία SG² ὀρῶν S: ὀρέων ceteri (v) 11 καὶ ἐπιτάσει om. FN; καὶ ἐπιδόσει coni. Mang. τὴν] τῆς S¹, corr. S² πλημύρης S κατεπίνοντο S, κατεπιαίνετο N 12 μόνος om. FN σώζεται S εὑράμενος SN 14 συναπηλαυκότων S εἷς] ἧς S¹, corr. S² 15 χλεύγην S¹ εἴ τι περ ἐσφάλη F 15. 16 μὴ παρεσφάλη transp. S, μὴ παρεσφάλη μὴ G²P 16 ἰδόσιν S 17 ἃ κρύπτειν] ἀποκρύπτειν S ἣν θέμις N τοιγαροῦν] τοῖς γὰρ οὖν S 17. 18 οὐκ ὤνατο S: ἀπὸ ceteri (v); οὐκ ἀπώνατο coni. Mang. 18 τοῖς] τῆς F 18. 19 μετ' αὐτὴν H¹P 19 ἀρχϊκακοδαιμονίας ἐστὶν F (ἐστιν add. etiam N) ἀρχὴν SH¹P τυχεῖν S

7sqq. Gen. 6,9sqq. 12 *Clem. Alex. Strom. II 19 p. 481P.* Νῶε δὲ ὁ μὴ οὕτω γενόμενος ὡς ὁ Ἀδὰμ ἐπισκοπῇ θείᾳ διασῴζεται· φέρων γὰρ αὐτὸν ἀνέθηκε τῷ θεῷ. 13sqq. Gen. 9,18sqq.

'Αλλὰ τί τούτων μεμνῆσθαι προσῆκεν ἀφέμενον τοῦ πρώτου καὶ 203
γηγενοῦς; ὃς ἕνεκα εὐγενείας οὐδενὶ θνητῷ σύγκριτος, χερσὶ μὲν θείαις ⟨εἰς⟩ ἀνδριάντα τὸν σωματοειδῆ τυπωθεὶς ἀκρότητι τέχνης πλαστικῆς, ψυχῆς δὲ ἀξιωθεὶς ἀπ' οὐδενὸς ἔτι τῶν εἰς γένεσιν ἡκόντων, ἐμπνεύσαντος θεοῦ τῆς ἰδίας δυνάμεως ὅσον ἐδύνατο δέξασθαι θνητὴ φύσις, ἆρ' οὐχ ὑπερβολή τις εὐγενείας μηδεμιᾷ τῶν ἄλλων ὅσαι διωνομάσθησαν εἰς σύγκρισιν ἐλθεῖν δυναμένη; τῶν μὲν γὰρ τὸ κλέος ἐκ προγόνων 204
εὐτυχίας — ἄνθρωποι δὲ οἱ πρόγονοι, ζῷα ἐπίκηρα καὶ φθαρτά, καὶ αἱ τούτων ἀβέβαιοι καὶ ἐφήμεροι τὰ πολλὰ εὐπραγίαι —, τοῦ δὲ πατὴρ [μὲν] θνητὸς οὐδείς, ὁ δὲ ἀίδιος θεός· οὗ τρόπον τινὰ γενό- 205
μενος εἰκὼν κατὰ τὸν ἡγεμόνα νοῦν ἐν ψυχῇ, δέον ἀκηλίδωτον τὴν εἰκόνα φυλάξαι καθ' ὅσον οἷόν τε ἦν ἐπακολουθήσαντα ταῖς τοῦ γεννήσαντος ἀρεταῖς, προτεθέντων εἰς αἱρέσεις καὶ φυγὰς τῶν ἐναντίων, ἀγαθοῦ καὶ κακοῦ καὶ καλοῦ καὶ αἰσχροῦ καὶ ἀληθοῦς καὶ ψευδοῦς, τὰ μὲν ψευδῆ καὶ αἰσχρὰ καὶ κακὰ προθύμως εἵλετο, τῶν δὲ ἀγαθῶν καὶ καλῶν καὶ ἀληθῶν ὠλιγώρησεν· ἐφ' οἷς εἰκότως θνητὸν ἀθανάτου βίον ἀνθυπηλλάξατο μακαριότητος καὶ εὐδαιμονίας σφαλεὶς καὶ ῥᾷστα μετέβαλεν εἰς ἐπίπονον καὶ κακοδαίμονα ζωήν.

---

1 προσῆκον P 2 γηγενοῦς] εὐγενοῦς S ἕνεκεν N 3 εἰς add. Turn., om. codd. σωματοειδῆ] σώματος ἤδη S ἀκρότητι δὲ τέχνης N 4 δ' S γέννησιν HP (v) 5 ἰδίας FN: θείας ceteri (Turn.) ἐδύνατο S: ἠδύνατο ceteri (v) 6 ἆρ' οὐχ S: ἦν ἄρ' οὐχ F, ἦν ἄρ' οὐχ ceteri (v) τις FN: τῆς ceteri (v) μηδεμιᾷ scripsi: μὴ δὲ μία S, μηδεμιᾶς ceteri (v) ὅσαι διωνομάσθησαν scripsi: ὅσα διωνομάσθη S, ἀϊδίων (ἰδίων N) ὀνομασθεῖσαν ceteri; αἱ (sic) δὴ ὠνομάσθησαν v 7 δυναμένη S: δυναμένης ceteri (v) τῶν S: ὧν ceteri
γενείας
8 εὐτυχίας FG²: εὐτυχία N, εὐτυχίαις S, ἀτυχίας HP, εὐτυχίας L; εὐγενείας v ἐπίκαιρα S 9 αἱ τούτων post τὰ πολλὰ transponendum videtur 10 μὲν seclusi ὁ δὲ ἀίδιος S: οὐδὲ αἴτιος ἀλλ' ἢ ceteri (v) οὗ] ὁ H¹P 12 ἐπακολουθήσαντα HP: ἐπακολουθήσαντος FG², ἐπακολουθήσεται S¹, -θῆσαι S² 13 προτεθέντων S: προστεθέντων G²HP, προστιθέντων F 14 ἀγαθοῦ τε καὶ S (Mang.) 15 alt. καὶ] ἢ F εἵλατο S 16 ἀληθινῶν S² (λη et ιν in ras.) εἰκότως] εἰκὼς S ἀθανάτου S (Clem. Al): ἀντ' ἀθανάτου ceteri (v) 17 σφαλεὶς codd.: ἀποσφαλεὶς v καὶ ῥᾷστα v (Turn.): αἳ ῥᾷστα F, ἐραστὰ ceteri 18 μετέβαλον F

---

1 sqq. Gen. cap. 3. 10 sqq. *Clem. Alex. l. l.* (ante verba ad p. 328,12 adnot.) αὕτη δὲ ἡ εὐγένεια ἐν τῷ ἑλέσθαι καὶ συνασκῆσαι τὰ κάλλιστα διαδείκνυται· ἐπεὶ τί τὸν Ἀδὰμ ὠφέλησεν ἡ τοιαύτη αὐτοῦ εὐγένεια; πατὴρ δὲ αὐτοῦ θνητὸς οὐδείς, αὐτὸς γὰρ ἀνθρώπων τῶν ἐν γενέσει πατήρ. τὰ μὲν αἰσχρὰ οὗτος προθύμως εἵλετο ἑπόμενος τῇ γυναικί, τῶν δὲ ἀληθῶν καὶ καλῶν ἠμέλησεν, ἐφ' οἷς θνητὸν ἀθανάτου βίον, ἀλλ' οὐκ εἰς τέλος, ἀνθυπηλλάξατο.

206 (4.) Ἀλλ᾽ οὗτοι μὲν ἔστωσαν κοινοὶ πᾶσιν ἀνθρώποις ὅροι τοῦ
μὴ ἐπὶ μεγάλοις γένεσι σεμνύνεσθαι τοὺς καλοκἀγαθίας ἀμοιροῦντας·
Ἰουδαίοις δὲ καὶ ἕτεροι δίχα τῶν κοινῶν ἐξαίρετοι. τῶν γὰρ τοῦ γένους
ἀρχηγετῶν εἰσιν οὓς αἱ τῶν προγόνων ἀρεταὶ συνόλως οὐδὲν ὤνησαν
⟨ἐπ᾽⟩ ἐπιλήπτοις καὶ | ὑπαιτίοις πράξεσιν ἁλόντας, εἰ καὶ πρὸς ἑτέρου p. 441
μηδενὸς ἐλεγχθέντας, ἀλλ᾽ οὖν ὑπὸ τοῦ συνειδότος, ὃ μόνον ἐξ ἁπάντων
207 δικαστήριον τέχναις λόγων οὐ παράγεται. πολύπαις ἦν ὁ πρῶτος ἐκ
τριῶν παιδοποιησάμενος γυναικῶν, οὐ δι᾽ ἡδονῆς ἀπόλαυσιν, ἀλλὰ δι᾽
ἐλπίδα τοῦ πληθῦναι τὸ γένος· ἀλλ᾽ ἐκ πολλῶν εἷς μόνος ἀπεδείχθη
κληρονόμος τῶν πατρῴων ἀγαθῶν, οἱ δ᾽ ἄλλοι πάντες γνώμης ὑγιοῦς
σφαλέντες καὶ μηδὲν τῶν τοῦ γεννήσαντος ἀπομαξάμενοι διῳκίσθησαν
208 ἀλλοτριωθέντες τῆς ἀοιδίμου εὐγενείας. πάλιν ἐκ τοῦ δοκιμασθέντος
κληρονόμου δύο δίδυμοι γεννῶνται μηδὲν [ὅτι μὴ χεῖρας καὶ ταύτας
ἕνεκά τινος οἰκονομίας] ὅμοιον ἐπιφερόμενοι, μήτε τοῖς σώμασι μήτε
ταῖς γνώμαις· ὁ μὲν γὰρ νεώτερος καταπειθὴς ἀμφοτέροις τοῖς γονεῦσιν
ἦν καὶ οὕτως εὐάρεστος, ὡς καὶ θεοῦ τυχεῖν ἐπαινέτου, ὁ δὲ μείζων
ἀπειθής, [ἐκ] τῶν γαστρὸς καὶ τῶν μετὰ γαστέρα ἡδονῶν ἀκρατῶς
ἔχων, ὑφ᾽ ὧν ἀνεπείσθη καὶ πρεσβείων ἐξίστασθαι τῷ μετ᾽ αὐτὸν καὶ
μετανοεῖν εὐθὺς ἐφ᾽ οἷς ἐξέστη καὶ φονᾶν κατὰ τοῦ ἀδελφοῦ καὶ μηδὲν
209 ἕτερον ἢ δι᾽ ὧν λυπήσει τοὺς γονεῖς πραγματεύεσθαι. τοιγαροῦν τῷ
μὲν εὐχὰς τίθενται τὰς ἀνωτάτω, βεβαιοῦντος ἁπάσας θεοῦ καὶ μηδεμίαν
ἀξιώσαντος ἀτελῆ καταλιπεῖν, τῷ δὲ κατ᾽ ἔλεον χαρίζονται τὴν ὑπήκοον

---

1 καινοὶ G^3 2 τοὺς καλοκἀγαθίας om. S 3 ἰουδαῖοι H^1P δίχα om. HP 5 ἐπ᾽ add. Turn., om. codd. 5. 6 εἰ — ἐλεγχθέντας SF: om. G^2HP 7 δικαστηρίων F πρώτως H^2 9 μόνος] μὲν S 10 πατρίων S 12 ἀοιδήμου S εὐγενείας] συγγενείας Mang. ex Clem. Al. 13. 14 verba ὅτι μὴ — οἰκονομίας seclusi 14 ὅμοιον om. F περιφερόμενοι coni. Mang. 15 ἀμφοτέροις τοῖς γονεῦσιν S: τοῖς γονεῦσιν ἀμφοτέροις ceteri (v) 16 pr. καὶ om. S οὕτως FG^2HP (coni. Mang.), οὗτος S: ὄντως v 16. 17 μείζων ἀπειθὴς ἐκ τῶν om. S 17 ἐκ seclusi; καὶ coni. Mang. τῆς γαστρὸς S 17. 18 ἀκρατῶς ἔχων] ἀκρατὴς S 18 πρεσβείων S: πρεσβειῶν ceteri τῷ v (Turn.): τῶν codd. 19 φονᾶν] φόνον F 21 τίθεται H^1P ἁπάσας S: αὐτὰς ceteri (v) 22 κατ᾽ ἔλαιον F

---

7 sqq. *Clem. Alex. l. l.* τόν τε Ἀβραὰμ ἐκ τριῶν παιδοποιησάμενον γυναικῶν, οὐ δι᾽ ἡδονῆς ἀπόλαυσιν, δι᾽ ἐλπίδα δέ, οἶμαι, τοῦ πληθῦναι τὸ γένος ἐν ἀρχῇ, εἷς μόνος διαδέχεται κληρονόμος τῶν πατρῴων ἀγαθῶν, οἱ δὲ ἄλλοι διῳκίσθησαν τῆς συγγενείας (l. εὐγενείας). ἔκ τε αὐτοῦ διδύμων γενομένων ὁ νεώτερος κληρονομεῖ εὐάρεστος τῷ πατρὶ γενόμενος καὶ τὰς εὐχὰς λαμβάνει, δουλεύει δὲ ὁ πρεσβύτερος αὐτῷ· ἀγαθὸν γὰρ μέγιστον τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον. 9 Gen. 24,36. 25,5. 6. 15 Gen. 25,27. 18 Gen. 25,29—34. 27,27 sqq.

τάξιν, ἵνα δουλεύῃ τῷ ἀδελφῷ, νομίζοντες, ὅπερ ἐστίν, ἀγαθὸν εἶναι
τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον. καὶ εἴ γε ὑπέμεινε τὴν δουλείαν ἄσμενος, 210
δευτερείων ἂν ἠξιοῦτο ὡς ἐν ἄθλοις ἀρετῆς· νυνὶ δὲ ἀπαυθαδισάμενος
καὶ δραπετεύσας τῆς καλῆς ἐπιστασίας αὑτῷ τε καὶ τοῖς ἀπογόνοις
μεγάλων αἴτιος ὀνειδῶν ἐγένετο, ὡς τὸν ἀβίωτον αὐτοῦ βίον ἐστηλιτεῦσθαι πρὸς σαφέστατον ἔλεγχον τοῦ μηδὲν τὴν εὐγένειαν ὠφελεῖν τοὺς
ἀναξίους εὐγενείας.

(5.) Οὗτοι μὲν οὖν εἰσι τῆς ἐπιλήπτου τάξεως, οὓς ἐξ ἀγαθῶν 211
πονηροὺς γενομένους ὤνησαν μὲν οὐδὲν αἱ πατέρων ἀρεταί, αἱ δ' ἐν
τῇ ψυχῇ κακίαι μυρία ἔβλαψαν. ἔχω δ' εἰπεῖν ἑτέρους τὴν ἐξ ἐναντίας
ἀμείνω τεταγμένους τάξιν, οἷς πρόγονοι μὲν ὑπαίτιοι, ζηλωτὸς δὲ καὶ
ἀνάπλεως εὐφημίας ὁ βίος. τοῦ τῶν Ἰουδαίων ἔθνους ὁ πρεσβύτατος 212
γένος μὲν ἦν Χαλδαῖος, πατρὸς δὲ ἀστρονομικοῦ τῶν περὶ τὰ μαθήματα
142 M. διατριβόντων, οἳ τοὺς ἀστέρας θεοὺς νομίζουσι καὶ τὸν | σύμπαντα
οὐρανόν τε καὶ κόσμον, παρ' οὓς τό τε εὖ καὶ τὸ χεῖρον ἑκάστοις
φασὶν ἀποβαίνειν, οὐδὲν ἔξω τῶν αἰσθητῶν αἴτιον ὑπολαμβάνοντες
εἶναι. τούτου δὲ τί ἂν εἴη χαλεπώτερον ἢ μᾶλλον ἀπελέγξαι τὴν ἐν 213
τῇ ψυχῇ δυσγένειαν δυνάμενον δι' ἐπιστήμης τῶν πολλῶν καὶ δευτέρων
καὶ γενητῶν εἰς ἀνεπιστημοσύνην ἰούσῃ τοῦ ἑνὸς καὶ πρεσβυτάτου καὶ
ἀγενήτου καὶ ποιητοῦ τῶν ὅλων καὶ διά τε ταῦτα ἀρίστου καὶ διὰ
μυρία ἄλλα, ἃ διὰ μέγεθος ἀνθρώπινος λογισμὸς οὐ χωρεῖ; ὧν ἔννοιαν 214

1 ἀγαθὸν ⟨μέγιστον⟩ Wendl. coll. Clem. Al. 2 εἴ γε] εἴτε S ἀσμένως S (sed ω ex ο corr.) 3 ἠξιούτω G² ἀπαυθαδισάμενος scripsi: αὐθαδησάμενος S, ἀπαυθαδίσας HP, ἀπαυθαδιάσας FG² (v) 4 δραπετεύσας S: ἀποδρὰς ceteri (Turn.) τῆς καλῆς ἐπιστασίας S: om. ceteri (Turn.) αὐτῷ SF τε om. S 6 τοῦ] τῷ H¹P 9 pr. αἱ om. S 10 μυρίαι F τὴν codd.: τοὺς v 11 οἷς FH²: ἧς ceteri 12 ἀνάπλεος S ὁ βίος S: ὁ τούτων βίος ceteri (v) τῶν om. FE Ἰουδαίων] ἰδαίων S 13 γένος scripsi: γένει FE, γένους ceteri (v) χαλδαῖος FG²E: χαλδαίου ceteri (v) 14 νομίζουσιν S 15 οὓς] οἷς HP alt. τὸ om. SF ἑκάστοις om. F 16 φασὶν FE: φησὶν ceteri (v) ἀποβαίνειν FE: ἀποβαίνει ceteri ὑπολαμβάνων H¹P 17 εἴη] ἢ HP 18 δυνάμενον suspectum 19 γεννητῶν FHP ἰούσῃ Mang.: om. S, ἰούσης ceteri πρεσβύτου S, πρεσβυτέρου F 20 ἀγενήτου FG²E: γενήτου S, γεννητοῦ HP (Mang.) 21 διὰ om. S ἀνθρωπίνοις λογισμοῖς S οὐ χωρεῖ; ὧν] οὐ χωρων S ὧν (S)G²H¹P: ὃν FEH² (v) ἔννοιαν S: ἐν νῷ ceteri (v)

12—332,13 E (= Philonis quod fertur opusc. περὶ κόσμου II p. 602,13—603,6 Mang.): καὶ ὁ τοῦ Ἰουδαίων ἔθνους πρεσβύτατος γένει μὲν ἦν Χαλδαῖος — τὸ προνοοῦν τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ.

λαβὼν καὶ ἐπιθειάσας καταλείπει μὲν πατρίδα καὶ γενεὰν καὶ πατρῷον
οἶκον, εἰδὼς ὅτι μένοντος μὲν αἱ τῆς πολυθέου δόξης ἐγκαταμενοῦσιν
ἀπάται ἀνήνυτον κατασκευάζουσαι τὴν τοῦ ἑνὸς εὕρεσιν, ὅς ἐστιν ἀίδιος
μόνος καὶ ὅλων πατὴρ νοητῶν τε αὖ καὶ αἰσθητῶν, εἰ δὲ μετανασταίη,
μεταναστήσεται καὶ τῆς διανοίας ἡ ἀπάτη μεθαρμοσαμένης τὴν ψευδῆ
215 δόξαν εἰς ἀλήθειαν. ἅμα δὲ καὶ τὸν πόθον ὃν ἐπόθει γνῶναι τὸ ὂν
προσανερρίπισε λόγια χρησθέντα, οἷς ποδηγετούμενος ἐπὶ τὴν τοῦ ἑνὸς
ἀοκνοτάτῃ σπουδῇ ζήτησιν ᾔει· καὶ οὐ πρότερον ἀνῆκεν ἢ τρανοτέρας
λαβεῖν φαντασίας, οὐχὶ τῆς οὐσίας — τοῦτο γὰρ ἀμήχανον —, ἀλλὰ
216 τῆς ὑπάρξεως αὐτοῦ καὶ προνοίας. διὸ καὶ πιστεῦσαι λέγεται τῷ θεῷ
πρῶτος, ἐπειδὴ καὶ πρῶτος ἀκλινῆ καὶ βεβαίαν ἔσχεν ὑπόληψιν, ὡς
ἔστιν ἓν αἴτιον τὸ ἀνωτάτω καὶ προνοεῖ τοῦ τε κόσμου καὶ τῶν ἐν
αὐτῷ. κτησάμενος δὲ πίστιν, τὴν τῶν ἀρετῶν βεβαιοτάτην, συνεκτᾶτο
καὶ τὰς ἄλλας ἁπάσας, ὡς παρὰ τοῖς ὑποδεξαμένοις νομίζεσθαι βασιλεύς,
οὐχὶ ταῖς παρασκευαῖς — ἰδιώτης γὰρ ἦν —, ἀλλὰ τῷ περὶ τὴν ψυχὴν
217 μεγέθει, φρονήματος ὢν βασιλικοῦ. καὶ δῆτα θεραπεύοντες αὐτὸν
διετέλουν ὡς ἄρχοντα ὑπήκοοι τὸ περὶ πάντα μεγαλεῖον τῆς φύσεως
αὐτοῦ καταπληττόμενοι τελειοτέρας οὔσης ἢ κατὰ ἄνθρωπον· οὐδὲ γὰρ

---

1 ἐπιθιάσας S[1], corr. S[2] καταλιπεῖν HP γενεὰν] συγγένειαν coni. Mang. 2 ἐγκαταμενοῦσιν S: ἐγκαταμένουσιν H[1] (Turn.), ἐγκαταμένουσαι ceteri (Mang.) 3 ἀπάται om. S ἀνήνυτον S: ἔννοιαν ἀνήνυτον ceteri (v); διάνοιαν ἀνήνυτον coni. Mang. κατασκευάζουσαι S: κατασκευάζουσιν ceteri (v) τὴν S: εἰς τὴν ceteri (v) 4 ὅλων S: τῶν ἄλλων ceteri (v) αὖ S: om. ceteri (v) μεταναστείη (sic) Turn. 5 μεταναστήσεται] μεταναστῆναί τε FE τὴν ἀπάτην FE μεθαρμοσαμένης E (Mang.): μεθαρμοσάμενος F, μεθαρμοσαμένη ceteri 7 χρησθέντα S: τὰ χρησθέντα ceteri (v) 8 ἀοκνοτάτῃ σπουδῇ S: ἀοκνοτάτην σπουδὴν ceteri (Turn.) καὶ ζήτησιν FEHP ᾔει] εἴη S[1]G[2], ἴῃ S[2] τρανωτέρας SG[2]PE 10 καὶ τῆς προνοίας E διὸ καὶ FE: δίκαιον S, δίκαιον· διὸ καὶ G[2]HP; ἢ δίκαιον· διὸ καὶ v 11 ἐπειδὴ καὶ πρῶτος om. S ἀκλινῆ] ἀκριβῆ E ὡς] ὃς SP 12 τὸ] τῷ S ἀνώτατον τὸ προνοοῦν E 13 δ' S πίστιν Mang.: ἐπιστήμην codd. τῶν S: om. ceteri (v) ἀρετὴν H[1]P βεβαιότητα F συνεκτᾶται (sic) F 14 καὶ SH[2]: ὡς G[2], ὡς καὶ FH[1]P πάσας F 15 τῆς παρασκευῆς F τὴν om. SP 16 φρονήματος ⟨μεστὸς⟩ vel ⟨ὑπόπλεως⟩ coni. Mang. δῆτα S: δὴ ceteri (v) 17 διετέλεσαν S τῷ . . . μεγαλείῳ S μεγαλεῖον om. F 18 καταπληττόμενοι om. F

---

1 Gen. 12,1. 10 Gen. 15,6. 14 Gen. 23,6. 14 sqq. *Clem. Alex. Strom. II 19 p. 482 P.* πάλιν τε αὖ βασιλέα τὸν σοφὸν διδάσκων τοὺς μὴ ὁμοφύλους ποιεῖ λέγοντας αὐτῷ „βασιλεὺς παρὰ θεοῦ σὺ ἐν ἡμῖν εἶ" (Gen. 23,6), ἐθελουσίῳ γνώμῃ τῶν ἀρχομένων διὰ ζῆλον ἀρετῆς ὑπακουόντων τῷ σπουδαίῳ.

ὁμιλίαις ἐχρῆτο ταῖς αὐταῖς, ἀλλ' ἐπιθειάζων τὰ πολλὰ σεμνοτέραις· ὁπότε γοῦν κατασχεθείη, μετέβαλλε πάντα πρὸς τὸ βέλτιον, τὰς ὄψεις, τὴν χρόαν, τὸ μέγεθος, τὰς σχέσεις, τὰς κινήσεις, τὴν φωνήν, τοῦ θείου πνεύματος, ὅπερ ἄνωθεν καταπνευσθὲν εἰσῳκίσατο τῇ ψυχῇ, περι-
.443 M. τιθέντος τῷ μὲν | σώματι κάλλος ἐξαίρετον, τοῖς δὲ λόγοις πειθώ, τοῖς δ' ἀκούουσι σύνεσιν. ἆρ' οὐκ ἂν εἴποις τὸν μετανάστην τουτονί, τὸν 218
πάντων ἔρημον οἰκείων καὶ φίλων, εὐγενέστατον εἶναι, τῆς πρὸς θεὸν συγγενείας ὀρεχθέντα καὶ σπουδάσαντα μηχανῇ πάσῃ γνώριμον αὐτῷ γενέσθαι καὶ ταχθέντα μὲν τάξιν ἀρίστην τὴν ἐν προφήταις, πιστεύσαντα δὲ μηδενὶ τῶν ἐν γενέσει πρὸ τοῦ ἀγενήτου καὶ πάντων πατρός, καὶ βασιλέα δέ, ὡς ἔφην, παρὰ τοῖς ὑποδεξαμένοις νομισθέντα, μήθ' ὅπλοις μήτε στρατιωτικαῖς δυνάμεσιν, ὡς ἐνίοις ἔθος, λαβόντα τὴν ἀρχήν, ἀλλὰ χειροτονίᾳ θεοῦ τοῦ φιλαρέτου τοὺς εὐσεβείας ἐραστὰς αὐτοκρατέσιν ἐξουσίαις γεραίροντος ἐπ' ὠφελείᾳ τῶν συντυγχανόντων; οὗτος 219
ἅπασιν ἐπηλύταις εὐγενείας ἐστὶ κανών, δυσγένειαν μὲν τὴν ἐξ ἀλλοκότων νόμων καὶ ἐκθέσμων ἐθῶν, ἃ λίθοις καὶ ξύλοις καὶ συνόλως ἀψύχοις ἰσοθέους ἀπένειμε τιμάς, καταλιποῦσι, καλὴν δ' ἀποικίαν στειλαμένοις πρὸς ἔμψυχον τῷ ὄντι καὶ ζῶσαν πολιτείαν, ἧς ἔφορος καὶ ἐπίσκοπος ἀλήθεια.

(6.) Ταύτην τὴν εὐγένειαν οὐ μόνον θεοφιλεῖς ἄνδρες ἀλλὰ καὶ 220
γυναῖκες ἐζήλωσαν, ἀπομαθοῦσαι μὲν ἀμαθίαν τὴν σύντροφον περὶ τιμῆς τῶν χειροκμήτων, παιδευθεῖσαι δὲ τὴν περὶ μοναρχίας ἐπιστήμην, ᾗ

---

1 αὐταῖς] αὐτοῦ F ἐπιθιάζων S 2 οὖν F μετασχεθείη G² μετέβαλλε SG²: μετέβαλε FHP (Turn.) 3 χρόαν SP: χροιὰν ceteri (v) 4 εἰσῳκίσατο FG²HP: εἴσω κατῳκήσατο S (εἰσῳκήσατο Mang.) 4. 5 περιτιθέντος G²: περιτεθέντος ceteri 5 ἐξαίρετον] ἐξαίσιον FL² (Turn.) πιθῶ S 6 εἴποις S: εἴποι τις ceteri (v) τουτονί] τοῦτον εἰ S alt. τὸν] τῶν S 8 συγγενείας S: εὐγενείας ceteri (Turn.) αὐτῷ] αὐτὸ FG² 9 καὶ ταχθέντα SF: καταχθέντα G², καταδεχθέντα HP ἀρίστην τὴν S: τὴν ἀρίστην ceteri (v) 10 δὲ SF: om. ceteri (v) ἀγενήτου S: ἀγεννήτου ceteri 10. 11 καὶ βασιλέα S: καὶ post ἔφην transp. ceteri (v) 11 δ' S ὅπλων H (Turn.) 13 φιλαρέτου S: παναρέτου ceteri (v) τοὺς S: καὶ τοὺς ceteri (v); ⟨τοῦ⟩ τοὺς conicio εὐσεβείας SG²: εὐσεβεῖς ceteri (Turn.) 14 γεραίροντας H¹P, γεραίροντες L (Turn.) ἐντυγχανόντων S 15 ἐπηλύταις S: ἐπηλύτοις ceteri (v) ἐστὶ κανών S: ἐστὶν ὁ κανὼν ceteri (v) δυσγένειαν μὲν om. F 16 νόμων S: νομίμων ceteri (v) ἐθ[illegible]ῶν S καὶ ante συνόλως om. F 17 ἰσοθέοις G² ἀπένειμε — ἔμψυχον (18) om. F ἀπένειμε v: ἀπένειμαν SG², ἀπένειμον (sic) H², ἀπέλιπον H¹P 18 ἧς] οἷς S 20 ταύτης G²H¹P 22 χειροκμήτων HP: χειροτμήτων SG², χειροδμήτων F τὴν om. HP (Turn.)

221 μοναρχεῖται ὁ κόσμος. Θάμαρ ἦν τῶν ἀπὸ τῆς Παλαιστίνης Συρίας
γύναιον, ἐν οἰκίᾳ καὶ πόλει τραφὲν πολυθέῳ γεμούσῃ ξοάνων καὶ
ἀγαλμάτων καὶ συνόλως ἀφιδρυμάτων. ἀλλ' ἐπειδὴ καθάπερ ἐκ σκότους
βαθέος ἐδυνήθη βραχεῖαν αὐγὴν ἀληθείας ἰδεῖν, θανάτου κινδύνῳ πρὸς
εὐσέβειαν ηὐτομόλησεν ὀλίγα φροντίσασα τοῦ ζῆν, εἰ μὴ μέλλοι καλῶς
ζῆν· τὸ δὲ καλῶς ἀνέφερεν ἐπ' οὐδὲν ἕτερον ἢ τὴν θεραπείαν καὶ
222 ἱκεσίαν τοῦ ἑνὸς αἰτίου. καίτοι δυσὶν ἀδελφοῖς ἀμφοτέροις πονηροῖς ἐν
μέρει γημαμένη, κουριδίῳ μὲν τῷ προτέρῳ, τῷ δ' ὑστέρῳ κατ' ἐπι-
δικασίας νόμον, γενεὰν τοῦ προτέρου μὴ καταλιπόντος, ἀλλ' ὅμως
ἀκηλίδωτον διαφυλάξασα τὸν ἑαυτῆς βίον ἴσχυσε καὶ τῆς προσηκούσης
τοῖς ἀγαθοῖς εὐφημίας ἐπιλαχεῖν καὶ τοῖς μετ' αὐτὴν ἅπασιν εὐγενείας
ἀφορμὴ γενέσθαι. ἀλλ' αὕτη μέν, εἰ καὶ ἀλλόφυλος, ἀλλ' οὖν γε
223 ἐλευθέρα καὶ ἐξ ἐλευθέρων καὶ οὐκ ἀσήμων ἴσως. θεράπαιναι δὲ τῶν
ὑπὲρ Εὐφράτην ἐν ἐσχατιαῖς τῆς Βαβυλῶνος γεννηθεῖσαι προικίδιαι μὲν
ἐδόθησαν γαμουμέναις ταῖς τροφίμαις, ἄξιαι δὲ κριθεῖσαι | παρελθεῖν p. 444
εἰς εὐνὴν ἀνδρὸς σοφοῦ τὸ μὲν πρῶτον ἐκ παλλακίδων εἰς γαμετῶν
ὄνομα καὶ σχῆμα παρῆλθον καὶ ἀντὶ θεραπαινίδων ἰσότιμοι ταῖς
δεσποίναις ὀλίγου δέω φάναι κατέστησαν ὑπ' ἐκείνων, ὅπερ ἦν ἀπιστό-
τατον, πρὸς τὸ αὐτὸ ἀξίωμα παραπεμφθεῖσαι· φθόνος γὰρ οὐκ εἰσοικί-
ζεται σοφῶν ψυχαῖς, οὗ μὴ παρόντος κοινοπραγοῦσι τῶν ἀγαθῶν.
224 οἱ δ' ἐκ τούτων νόθοι παῖδες γνησίων οὐδὲν διήνεγκαν, οὐ μόνον
παρὰ τῷ γεννήσαντι — θαυμαστὸν γὰρ οὐδέν, εἰ τοῖς μὴ ὁμογαστρίοις

---

1 τῶν] τὸν G² τῆς om. S συρίης FG²P 2 οἰκία (corr. ex οἰκεία) καὶ πόλει S: οἰκεία πόλει ceteri (v) γεμούσῃ] γένους ἢ S 3 ἐπειδὴ] ἐπεὶ F ἐκ om. S 4 ἠδυνήθη F ἰδεῖν SP: ἐνιδεῖν FG²H (Turn.) θανάτῳ P 5 ηὐτομόλησεν SG²HP: ηὐτόνησεν F (Mang.) 6 οὐδένα FG²P ἢ τὴν S: ἢ ἐπὶ τὴν ceteri (v) 7 καίτοι S: καὶ τοῖς ceteri 8 ὑστέρῳ S: ὕστερον ceteri (v) 8. 9 κατ' ἐπιδικασίας νόμον scripsi: κατ' ἐπιδικασίαν νόμου S, καὶ ἔχοντι ἐπιδικασίας νόμου ceteri (καὶ ἔχοντι ἐπιδικασίας νόμῳ v) 9 μὴ S: om. ceteri 10 ἀκηλίδοτον S αὐτῆς S τῆς om. G² (v) 11 μετ' αὐτὴν F: μεθ' αὐτὴν ceteri (v) 12 ἀφορμὴ S: ἀρχὴ ceteri (v) γε om. S 13 καὶ οὐκ ἀσήμων ἴσως S: ἴσως καὶ οὐκ ἀσήμων G²HP (v), καὶ οὐκ ἀσήμων om. F θεράπαινα H¹P 14 γενηθεῖσαι H², γενηθεῖσα H¹P προικιδία P, προικίδια H¹ 15 τροφίμαις S: τροφιμαίαις ceteri (v) 16 σοφοῦ] σοφιστοῦ HP (Turn.) 18 ὀλίγον S¹ ut vid., corr. S² 18. 19 ἀπιστότατον] ἀπόστατον H¹P 19 τὸ om. H¹P αὐτὸ om. S 20 ἀγαθῶν] ἄθλων F 22 μὴ S: om. ceteri (Turn.)

---

1 Gen. 38,6 sqq. 13 Gen. 29,24. 29. 30,3—13.

ὁ πάντων κοινὸς πατὴρ τὴν αὐτὴν εὔνοιαν παρεῖχεν —, ἀλλὰ καὶ παρὰ
ταῖς μητρυιαῖς· αἱ μὲν γὰρ τὸ ⟨πρὸς⟩ προγονοὺς μῖσος ἀναιρούμεναι
εἰς ἄλεκτον μεθηρμόσαντο κηδεμονίαν· οἱ δὲ προγονοὶ τῇ κατ' ἀντί- 225
δοσιν εὐνοίᾳ τὰς μητρυιὰς ὡς φύσει μητέρας ἐξετίμησαν· ἀδελφοί τε
μέρει ἡμίσει τοῦ γένους νομισθέντες οὐκ ἐφ' ἡμισείᾳ στέργειν ἀλλήλους
ἠξίωσαν, ἀλλ' εἰς τὸ διπλάσιον τὸ τοῦ φιλεῖν καὶ ἀντιφιλεῖσθαι πάθος
συναυξήσαντες καὶ τὸ δοκοῦν ὑστερίζειν προσανεπλήρωσαν τοῖς ἐξ ἀμφοῖν
γεγονόσιν εἰς ἁρμονίαν καὶ κρᾶσιν ἠθῶν συνδραμεῖν σπουδάσαντες.

(7.) Τί τοίνυν μεταδοτέον τοῖς ὡς ἴδιον ἀγαθὸν τὸ ἀλλότριον, 226
εὐγένειαν, ὑποδυομένοις; οἳ δίχα τῶν εἰρημένων ἐχθροὶ δικαίως ⟨ἂν⟩
νομισθεῖεν καὶ τοῦ τῶν Ἰουδαίων ἔθνους καὶ τῶν πανταχοῦ πάντων,
τοῦ μὲν ὅτι διδόασι τοῖς ὁμοφύλοις ἐκεχειρίαν ὀλιγωρεῖν ὑγιαίνοντος
⟨βίου καὶ⟩ βεβαίου πεποιθήσει προγονικῆς ἀρετῆς, τῶν δ' ὅτι, κἂν ἐπ'
αὐτὴν φθάσωσιν ἀκρότητα καλοκἀγαθίας, οὐδὲν ὠφεληθήσονται διὰ τὸ
μὴ τυχεῖν γονέων καὶ πάππων ἀνεπιλήπτων. ἧς οὐκ οἶδ' εἴ τις 227
βλαβερωτέρα γένοιτ' ἂν εἰσήγησις, εἰ μήτε τοῖς ἐξ ἀγαθῶν πονηρευομένοις ἐπακολουθήσει τιμωρὸς δίκη μήτε τοῖς ἐκ πονηρῶν ἀγαθοῖς ἕψεται τιμή, τοῦ νόμου δοκιμάζοντος ἕκαστον αὐτὸν ἐφ' ἑαυτοῦ καὶ μὴ συγγενῶν ἀρεταῖς ἢ κακίαις ἐπαινοῦντος ἢ κολάζοντος.

---

1 ὁ πάντων κοινὸς S: ἁπάντων μόνος ceteri (v) παρεῖχεν F: παρέχειν SG^2HP (παρέχει Turn.) 1. 2 παρὰ ταῖς μητρυιαῖς] τοῖς ἐκ μητρυιῶν F 2 τὸ πρὸς προγονοὺς scripsi: τοὺς προγόνους SG^2HP, τοῖς προγόνοις F; τὸ εἰς προγόνους Turn. (v) μῖσος ἀναιρούμεναι] μισοῦσαι· αἱ δ' οὐ μόνους S 3 ἄλεκτον S: ἄληκτον ceteri (v) κηδαιμονίαν S πρόγονοι codd. (v) 4 ὡς φύσει] ὥς φησι F 5 μέρει ἡμίσει scripsi: μέρει ἥμισυ S, μέρει ἥμισυ τῇ μίξει G^2, μέρει τῇ μίξει F, μόνῃ τῇ μίξει HP (v) νομισθέντες S (Mang.): μερισθέντες ceteri ἐφ' ἡμισείᾳ στέργειν S: ἐφ' ἡμισείας στοργῆς ceteri (v) στοργῆς: desinit F prima manus, reliqua supplevit man. rec. ἀλλήλοις S 6 ἀντιφιλεῖν Vat. 379
9 τί τοίνυν μεταδοτέον Vat. 379: ἔτι τοίνυν μεταδοτέον αὐτοῦ SG^2H^2 (v), ἔτι τοίνυν μεταδοτέον αὐτοῖς H^1P; λόγου pro αὐτοῦ coni. Wendl., αὖ τοῦ ⟨λόγου⟩ Mang.
10 ἂν addidi 11 καὶ τοῦτο ἰουδαίων ἔθνος H^1P 12 ἐκκεχειρίαν H ὑγιαίνοντος Vat. 379: ὑγιαινούσης ceteri (v) 13 βίου καὶ βεβαίου scripsi: βεβαίου Vat. 379, καὶ οὐ S, βεβαίου καὶ οὐ G^2HP (v); (ὑγιαίνοντος) βίου (pro βεβαίου) coni. Mang. τῶν] τοῦ (corr. ex τὸ) S 13. 14 ἐπ' αὐτὴν om. HP (Turn.)
14 εἰς ἀκρότητα Turn. 16 εἰ om. S εἰ μήτε] ἐπὰν δὲ Vat. 379
17 ἐπακολουθήσῃ G^2, ἐπακολουθήσωσι Vat. 379 μήτε S: οὔτε G^2HP (v), οὐκοῦν Vat. 379 18 ἕψεται S: ἔχεται G^2HP, ἔρχεται Vat. 379 (Turn.) δοκιμάζοντος S Vat. 379: δικάζοντος G^2HP (v) ἕκαστον αὐτὸν G^2H^2 Vat. 379: αὐτὸν ἕκαστον S, ἕκαστον αὐτῶν H^1P ἐφ' ἑαυτοῦ SHP: ἀφ' ἑαυτοῦ G^2 Vat. 379 καὶ om. HP (v) 19 μὴ ⟨ἐπὶ⟩ coni. Wendl. ἢ κακίαις om. HP (Turn.)

ΠΕΡΙ ΑΘΛΩΝ ΚΑΙ ΕΠΙΤΙΜΙΩΝ ΚΑΙ ΑΡΩΝ

1 (1.) Τῶν μὲν οὖν διὰ τοῦ προφήτου Μωυσέως λογίων τρεῖς ἰδέας II p.4
εἶναι συμβέβηκε, τὴν μὲν περὶ κοσμοποιίας, τὴν δὲ ἱστορικήν, τὴν δὲ
τρίτην νομοθετικήν. ἡ μὲν οὖν κοσμοποιία παγκάλως πᾶσα καὶ θεοπρεπῶς
μεμήνυται, λαβοῦσα τὴν ἀρχὴν ἀπὸ γενέσεως οὐρανοῦ καὶ λήξασα εἰς
ἀνθρώπου κατασκευήν· ὁ μὲν γὰρ ἀφθάρτων τελειότατος, ὁ δὲ θνητῶν.
ἀθάνατα δὲ καὶ θνητὰ ἐν γενέσει συνυφαίνων ὁ ποιητὴς εἰργάσατο τὸν
κόσμον, τὰ μὲν [γενόμενα] ⟨ὡς⟩ ἡγεμονικά, τὰ δ' ὡς ὑπήκοα [καὶ] γενησό-
2 μενα. τὸ δὲ ἱστορικὸν μέρος ἀναγραφὴ βίων ἐστὶ σπουδαίων καὶ πονηρῶν
καὶ τὰ ὁρισθέντα ἑκατέροις ἐπιτίμια καὶ γέρα ἐν ἑκάσταις γενεαῖς. τοῦ δὲ
νομοθετικοῦ τὸ μὲν καθολικωτέραν ὑπόθεσιν ἔχει, τὸ δ' ἕτερον ⟨τῶν κατὰ⟩
μέρος νομίμων εἰσὶν ἐντολαί· κεφάλαια μὲν δέκα, ἅπερ λέγεται κεχρησ-
μῳδῆσθαι οὐ δι' ἑρμηνέως ἀλλ' ἐν τῷ ὑψώματι τοῦ ἀέρος σχηματι-
ζόμενα καὶ ἄρθρωσιν ἔχοντα λογικήν, τὰ δ' ἄλλα τὰ κατ' εἶδος [μέρη]
3 διὰ τοῦ | προφήτου θεσπισθέντα. περὶ ὧν ἁπάντων ὅσα καιρὸς ἐν ταῖς p. 409 I
προτέραις συντάξεσι διεξελθὼν καὶ προσέτι τῶν ἀρετῶν ἃς ἀπένειμεν

---

1 tit. περὶ ἄθλων καὶ ἐπιτιμίων HP (καὶ ἀρῶν addidi ex Euseb. Hist. eccl. II 18,5), τοῦ αὐτοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων F, τοῦ αὐτοῦ φίλωνος περὶ ἄθλων καὶ ἐπιτιμιῶν A 2 τῶν scripsi: τὰς codd. (v) ante διὰ add. τῶν AHP (v), omisi cum F μωϋσέος P, μωσέως FAH λογίων om. F 3 μὲν FA: μὲν γὰρ HP (v) τῆς κοσμοποιίας A δ' F 4 παγκάλως πᾶσα A: πᾶσα om. F, πᾶσα παγκάλως P (γρ. καλῶς mg P[2]), πᾶσα καλῶς H (Turn.) 5 λαβοῦσα F: λαχοῦσα AHP (v) 6 θνητῶν F: θνητῶν φθαρτός HP (v), θνητῶν φθαρτικώτατος A; καὶ φθαρτῶν coni. Mang. 8 γενόμενα seclusi et ὡς addidi, deinde καὶ seclusi; ὑποταγησόμενα pro γενησόμενα coni. Mang. 9 δ' F ἀναγραφὴ βίων ἐστὶ σπουδαίων καὶ πονηρῶν codd.: ἀναγραφὴ πονηρῶν καὶ σπουδαίων βίων ἐστὶ v 10 ἐπίτιμα H καὶ γέρα F: καὶ om. AHP. ἐν om. H ἑκάστοις H γενεαῖς ⟨περιέχει⟩ vel ⟨μηνύει⟩ conicio 11 καθολικωτέραν ὑπόθεσιν A: καθολικώτερον τὴν ὑπόθεσιν FHP; καθολικωτέραν τὴν ὑπόθεσιν v 11. 12 τῶν κατὰ μέρος scripsi: τῶν κατὰ om. codd.; τῶν ἐν μέρει coni. Mang. 12 νομ(μων] νόμων P (fort. recte) μὲν scripsi: δὲ AHP (v), om. F 14 δὲ F alt. τὰ om. A μέρη seclusit Mang. 16 διελθὼν A ἃς ἀπένειμεν] αἳ βραβεύουσιν A

εἰρήνῃ τε καὶ πολέμῳ μέτειμι κατὰ τὸ ἀκόλουθον ἐπὶ τὰ προτεθέντα
καὶ τοῖς ἀγαθοῖς ἆθλα καὶ τοῖς πονηροῖς ἐπιτίμια. συνασκήσας γὰρ 4
ὑφηγήσεσι καὶ προτροπαῖς μαλακωτέραις καὶ πάλιν ἐπανατάσεσι καὶ
νουθεσίαις ἐμβριθεστέραις τοὺς κατ' αὐτὸν πολιτευομένους ἐκάλεσεν εἰς
τὴν ὧν ἐπαιδεύθησαν ἐπίδειξιν· οἱ δὲ παρελθόντες ὥσπερ εἰς ἱερὸν
ἀγῶνα γυμνὴν τὴν ἑαυτῶν προαίρεσιν ἀνέφηναν εἰς ἐναργέστατον ἔλεγχον
τῆς ἀληθείας. εἶτα οἱ μὲν ἀθληταὶ τῷ ὄντι ἀρετῆς ἀνευρίσκοντο μὴ 5
ψεύσαντες τῆς ἐπ' αὐτοῖς χρηστῆς ἐλπίδος τοὺς ἀλείπτας νόμους, οἱ δὲ
ἄνανδροι καὶ ἀγεννεῖς ὑπὸ τῆς ἐμφύτου μαλακίας τὰς ψυχάς, πρὶν ἢ
δυνατώτερόν τι ἀντιβιάσασθαι, προκαταπίπτοντες αἰσχύνῃ καὶ γέλως
θεατῶν ἐγίνοντο. δι' ἣν αἰτίαν οἱ μὲν βραβείων καὶ κηρυγμάτων καὶ 6
τῶν ἄλλων ὅσα νικῶσι δίδοται μετελάμβανον, οἱ δὲ οὐκ ἀστεφάνωτοι
μόνον ἀπῄεσαν, ἀλλὰ καὶ ἧτταν ἐπονείδιστον ἐνδεξάμενοι τῶν ἐν τοῖς
γυμνικοῖς ἀγῶσιν ἀργαλεωτέραν· ἐκεῖ μὲν γὰρ ἀθλητῶν σώματα κλίνεται
ῥᾳδίως ὀρθοῦσθαι δυνάμενα, ἐνταῦθα δὲ ὅλοι βίοι πίπτουσιν, οὓς ἅπαξ
ἀνατραπέντας μόλις ἔστιν ἀνεγεῖραι.

Τῆς δὲ προνομίας καὶ τιμῆς καὶ τοὐναντίον κολάσεως τάξεις ἐναρ- 7
μονίους ὑφηγεῖται, κατ' ἄνδρας, κατ' οἴκους, κατὰ πόλεις, κατὰ χώρας
καὶ ἔθνη, κατὰ κλίματα γῆς μεγάλα. (2.) πρότερον δ' ἐρευνητέον τὰ
ἐπὶ τιμαῖς, ἐπειδὴ καὶ λυσιτελέστερα καὶ ἡδίω πρὸς ἀκρόασιν, ἀρχὴν
λαμβάνοντας τὴν ἀφ' ἑνὸς ἑκάστου τῶν ἐν μέρει. φασὶ τὸν παλαιὸν 8
ἐκεῖνον Τριπτόλεμον Ἕλληνες ἀρθέντα μετέωρον ἐπὶ πτηνῶν δρακόντων
τὸν τοῦ σίτου καρπὸν εἰς ἅπασαν τὴν γῆν κατασπείρειν, ἀντὶ βαλανη-
φαγίας ἵν' ἔχῃ τὸ ἀνθρώπων γένος ἥμερον καὶ ὠφέλιμον καὶ ἡδίστην

1 προταθέντα coni. Mang. 2 ἐπιτίμια corr. ex ἐπίτιμα H 3 ἐπαναστάσεσι F 4 κατ' αὐτὸν FP: ὑπ' αὐτὸν AH (ὑπ' αὐτοῦ v) 5 ἐπαιδεύθησαν FP: ἐνομοθέτησεν AH (v) ἀπόδειξιν A 6 post ἀγῶνα add. τοῖς κατ' αὐτὸν A (cf. l. 4) γυμνὴν P: om. FAH (v) 7 εἶθ' F ἀθληταὶ] ἀσκηταὶ coni. Mang. τῷ ὄντι FP: om. AH (v) 8 δ' F 9 ἄνανδροι F: ἄνανδροι καὶ μαλακοὶ AHP (v) ἀγενεῖς H ἢ P, ἢ om. F 10 τι δυνατώτερον transp. F βιάσασθαι P, ἀναβιώσασθαι L (ἀναβιάσασθαι Turn.) 11 ἐγίνοντο F: ἐγένοντο AHP (v) pr. καὶ om. Turn. 12 δ' F 13 ἀπίεσαν P ἐπονείδιστον codd.: ὑπονείδιστον Turn. ἐνδειξάμενοι AP 14 ἀργαλεώτερον A 15 δυνάμενοι A δ' F 16 μόλις F: μόγις AHP (v) ἐγεῖραι F 19 καὶ ἔθνη FHP: καὶ κατὰ ἔθνη A (κατὰ ἔθνη Mang.) 20 pr. καὶ om. A ἥδιστα F[2] 21 λαμβάνοντας A: λαβόντας FHP (v) ἐφ' ἑνὸς ἑκάστου A (ἀφ' ἑ. ἑ. scripsi): ἀφ' ἑκάστου HP, ἐφ' ἑκάστου F (v) 23 ἅπασαν] ἅπαν F[1] 24 ἔχοι F

8—11 D[R] fol. 138[v] Φίλωνος: οἱ ἄνανδροι ὑπὸ—γέλως ἑαυτῶν (sic) γίνονται.
22 cf. Apollod. Bibl. I 5,2. Himer. Or. 25,3.

τροφήν. τοῦτο μὲν οὖν ὥσπερ πολλὰ καὶ ἄλλα τοῖς εἰωθόσι τερατεύεσθαι
μύθου πλάσμα ὂν ἀπολελείφθω σοφιστείαν πρὸ σοφίας καὶ γοητείαν πρὸ
9 ἀληθείας ἐπιτετηδευκόσιν. ἐξ ἀρχῆς γὰρ ἅμα τῇ πρώτῃ γενέσει τῶν ὅλων
ὁ θεὸς προευτρεπίσατο τὰ ἐπιτήδεια πᾶσι τοῖς ζῴοις ἐκ γῆς ἀνείς, καὶ
μάλιστα τῷ γένει τῶν ἀνθρώπων, ᾧ τὴν ἐφ' ἅπασι τοῖς γηγενέσιν ἡγεμονίαν
ἐχαρίζετο. τῶν γὰρ θείων ἔργων οὐδὲν ὀψίγονον, ἀλλὰ καὶ ὅσα τέχναις καὶ
ἐπιμελείαις ὕστερον τελειοῦσθαι δοκεῖ, πάντως ἡμίεργα προϋπόκειται προ-
μηθείᾳ φύσεως, ὡς μὴ ἀπὸ σκοποῦ τὰς | μαθήσεις ἀναμνήσεις εἶναι p. 410
10 λέγεσθαι. ταῦτα μὲν οὖν ὑπερκείσθω· τὴν δ' ἀναγκαιοτάτην σπορὰν
ἐπισκεπτέον, ἣν ὁ ποιητὴς ἐν ἀρετώσῃ χώρᾳ κατέσπειρε, λογικῇ ψυχῇ.
11 ταύτης δ' ὁ πρῶτος σπόρος ἐστὶν ἐλπίς, ἡ πηγὴ τῶν βίων. ἐλπίδι μὲν
γὰρ κέρδους ὁ χρηματιστὴς ἐπαποδύεται πολυτρόποις ἰδέαις πορισμῶν,
ἐλπίδι δ' ὁ ναύκληρος εὐπλοίας περαιοῦται τὰ μακρὰ πελάγη· ἐλπίδι
δόξης καὶ ὁ φιλότιμος αἱρεῖται πολιτείαν καὶ κοινῶν πραγμάτων ἐπι-
μέλειαν· δι' ἐλπίδα βραβείων καὶ στεφάνων καὶ οἱ τῶν σωμάτων
ἀσκηταὶ τοὺς γυμνικοὺς ἀγῶνας διαθλοῦσιν· ἐλπὶς εὐδαιμονίας καὶ τοὺς
ἀρετῆς ζηλωτὰς ἐπαίρει φιλοσοφεῖν, ὡς ταύτῃ δυνησομένους καὶ τὴν
τῶν ὄντων φύσιν ἰδεῖν καὶ δρᾶσαι τὰ ἀκόλουθα πρὸς τὴν τῶν ἀρίστων
βίων θεωρητικοῦ τε καὶ πρακτικοῦ τελείωσιν, ὧν ὁ τυχὼν εὐθύς ἐστιν
12 εὐδαίμων. ἔνιοι μὲν οὖν τὰ ἐλπίδος σπέρματα ἢ ὡς πολέμιοι τὰς ἐν
τῇ ψυχῇ κακίας ζωπυρήσαντες ἐνέπρησαν ἢ ὡς ἀμελεῖς τέχνης τῆς
γεωργικῆς ὑπὸ ῥᾳθυμίας διέφθειραν. εἰσὶ δ' οἳ καὶ δόξαντες ἐπιμελεῖ-
σθαι, φιλαυτίαν πρὸ εὐσεβείας ἀσπασάμενοι, τὰς αἰτίας τῶν κατορθω-
13 μάτων ἀνέθηκαν ἑαυτοῖς. ὑπαίτιοι δὲ πάντες οὗτοι· μόνος δ' ἀποδοχῆς
ἄξιος ὁ ἀναθεὶς τὴν ἐλπίδα θεῷ καὶ ὡς αἰτίῳ τῆς γενέσεως αὐτῆς καὶ

---

1 οὖν om. P 2 ⟨ἅτε⟩ ante μύθου fort. inserendum μύθου πλάσμα ὂν F: κατὰ πλάσμα οἷον μῦθος ὢν A, κατὰ πλάσμα οἷον μύθου ὂν HP; οἷον πλάσμα μύθου ὂν Mang. σοφιστείαν πρὸ σοφίας FP: πρὸ σοφίας om. AH (add. mg. H) 2. 3 καὶ γοητείαν ἔχον, οὐ μὴν ἀφορῶν πρὸς ἀλήθειαν (om. ἐπιτετηδευκόσιν) A 3. 4 ὁ τῶν ὅλων θεὸς A 4 προευτρεπίσατο FHP: ηὐτρεπίσατο A (Mang.) τοῖς ζῴοις F: τοῖς om. AHP (v) ἀνεὶς FA (Mang.): ἀνιεὶς HP 5 γηγενέσιν] γένεσιν F 6 ἀλλ' ὅσα F 7. 8 πρόκειται προμαθούσης φύσεως A (Mang.) 8 ἀναμνήσεις om. H (Turn.) 9 δὲ A 11 μὲν F: om. AHP (v) 12 καὶ πολυτρόποις H 13 μακρὰ om. F 16 ἀσκηταὶ F: ἀθληταὶ AHP (Turn.) διαθλοῦσιν FHP: ἐναθλοῦσιν A, ἀθλοῦσιν L (Turn.) 18 τἀκόλουθα F 19 θεωρητικήν τε καὶ πρακτικὴν A εὐθύς ἐστιν F: ἐστιν εὐθὺς AHP (v) 22 διεφθάρησαν A 22. 23 ἐπιμελεῖσθαι FA: ἐπιμεμελῆσθαι HP (v) 24 αὐτοῖς F ὑπαίτιοι — θεῷ (25) om. A δὲ P 25 γεννήσεως A αὐτῆς] αὐτοῖς A

ὡς ἀσινῆ καὶ ἀδιάφθορον ἱκανῷ μόνῳ διαφυλάξαι. τί οὖν ἆθλον πρόκειται τῷ στεφανωθέντι τὸν ἀγῶνα τοῦτον; τὸ μικτὸν ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως ζῷον, ὁ ἄνθρωπος, οὐθ' ὁ αὐτὸς οὐθ' ἕτερος ὢν τοῦ λαβόντος. τοῦτον Χαλδαῖοι μὲν προσονομάζουσιν Ἐνώς, εἰς δ' Ἑλλάδα 14 γλῶτταν μεταληφθείς ἐστιν ἄνθρωπος, τὸ κοινὸν ὄνομα τοῦ γένους ἴδιον λαβών, ἆθλον ἐξαίρετον, ὡς δέον μηδένα νομίζεσθαι τὸ παράπαν ἄνθρωπον, ὃς ἂν μὴ ἐπὶ θεὸν ἐλπίζῃ.

(3.) Μετὰ δὲ τὴν ἐλπίδος νίκην ἀγὼν δεύτερός ἐστιν, ἐν ᾧ μετάνοια ἀγωνίζεται τῆς μὲν ἀτρέπτου καὶ ἀμεταβλήτου καὶ ἀεὶ κατὰ ταὐτὰ 15 καὶ ὡσαύτως ἐχούσης φύσεως ἀμοιρήσασα, ζήλῳ δὲ καὶ ἔρωτι τοῦ βελτίονος ἐξαίφνης κατασχεθεῖσα καὶ σπεύδουσα καταλιπεῖν μὲν τὴν σύντροφον πλεονεξίαν καὶ ἀδικίαν, μεθορμίσασθαι δὲ πρὸς σωφροσύνην καὶ δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετάς. ἆθλα καὶ ταύτῃ προτίθεται διττὰ 16 ἐπὶ διττοῖς κατορθώμασιν, ἀπολείψει μὲν αἰσχρῶν, αἱρέσει δὲ τῶν καλ- I M. λίστων. τὰ δ' ἆθλα ἀποικία καὶ μόνωσις· φησὶ | γὰρ ἐπὶ τοῦ τὰς μὲν σώματος νεωτεροποιίας ἀποδράντος, αὐτομολήσαντος δὲ πρὸς ψυχήν· „οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός“ (Gen. 5,24). αἰνίττεται 17 δὲ ἐναργῶς διὰ μὲν τῆς μεταθέσεως τὴν ἀποικίαν, διὰ δὲ τοῦ μὴ εὑρίσκεσθαι τὴν μόνωσιν· καὶ σφόδρα οἰκείως· εἰ γὰρ τῷ ὄντι ἄνθρωπος καταπεφρόνηκεν ἡδονῶν καὶ ἐπιθυμιῶν καὶ ἐπάνω τῶν παθῶν ἀψευδῶς ἔγνωκεν ἵστασθαι, [πρὸς] μετανάστασιν εὐτρεπιζέσθω φεύγων ἀμεταστρεπτὶ καὶ οἶκον καὶ πατρίδα καὶ συγγενεῖς καὶ φίλους. ὁλκὸν γὰρ ἡ 18 συνήθεια, ὡς δέος εἶναι, μὴ καταμείνας ἁλῷ τοσούτοις ἐν κύκλῳ φίλτροις ἀποληφθείς, ὧν αἱ φαντασίαι τὴν ἐγγενομένην ἡσυχίαν τῶν αἰσχρῶν ἐπιτηδευμάτων πάλιν ἀνακινήσουσι καὶ μνήμας ἐναύλους, ὧν ἐπιλελῆσθαι

---

1 ἀδιάφορον Turn. 3 alt. οὔτε HP 4 προσονομάζουσιν F: ὀνομάζουσιν AHP (Turn.) εἰς δ' ἑλλάδα AHP: ὃς εἰς ἑλλάδα F (Mang.) 5 γλῶσσαν A μεταληφθείς] μεταβληθείς L (Turn.) 7 ἐλπίσῃ F 9 ἀμεταβλήτου FA: ἀμετανοήτου HP (v) κατὰ τὰ αὐτὰ P, κατ' αὐτὰ A 13 καὶ ταύτῃ FA: γὰρ ταύτῃ HP; γὰρ ταῦτα v 13. 14 διπλᾶ ἐπὶ διπλοῖς A 15 ἀποικία] ἀποίκιλλα· μετάθεσίς τε A 16 σώματος A: τοῦ σώματος FHP (v) 17 ηὑρίσκετο A 18 pr. δὲ om. F ἐναργῶς FA: καὶ ἐναργῶς HP (v) 19 οἰκείως] εἰκότως conicio 19—21 ἄνθρωπος καταπεφρόνηκεν ἡδονῶν καὶ ἐπιθυμιῶν καὶ ἐπάνω—ἵστασθαι F: ἐπάνω—ἵστασθαι ἄνθρωπος (δὲ add. A) καταφρονήσας ἡδονῶν καὶ ἐπιθυμιῶν AHP (v) 21 πρὸς μετανάστασιν F (πρὸς seclusi): om. AHP (v) 23 δέος] δέον H[1]P μεταμείνας F 24 ἐναποληφθείς coni. Mang. ἐγγινομένην A, γενομένην F

---

4 sqq. Gen. 4,26. cf. *de Abrahamo* § 7 sqq.

19 καλὸν ἦν, ἐνεργάσονται. πολλοὶ γοῦν ἀποδημίαις ἐσωφρονίσθησαν, ἔρωτας
ἐκμανεῖς καὶ λελυττηκότας θεραπευθέντες, οὐκέτι τῆς ὄψεως χορηγεῖν
δυναμένης τῷ πάθει τῆς ἡδονῆς τὰ εἴδωλα· τῇ γὰρ διαζεύξει κατὰ
20 κενοῦ βαίνειν ἀνάγκη, μηκέτι παρόντος ὑφ' οὗ διερεθισθήσεται. κἂν
μεταναστῇ μέντοι, τοὺς τῶν πολλῶν θιάσους ἐκτρεπέσθω μόνωσιν
ἀσπαζόμενος· πέφυκε γὰρ καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ὅμοια τοῖς οἴκοι
δίκτυα, οἷς ἀνάγκη περιπείρεσθαι τοὺς ἀπροοράτως ἔχοντας καὶ ταῖς
τῶν πολλῶν χαίροντας ὁμιλίαις· ὅ τι γὰρ ἄτακτον, ἄκοσμον, πλημμελές,
ὑπαίτιον, τοῦτο ὄχλος ἐστί, μεθ' οὗ φέρεσθαι τῷ νῦν πρῶτον μετοικισα-
21 μένῳ πρὸς ἀρετὴν ἀλυσιτελέστατον. ὡς γὰρ τοῖς ἐκ νόσου μακρᾶς
ἀρχομένοις ἀναλαμβάνειν εὐάλωτά πως ἐστι τὰ σώματα μήπω πρὸς
ἰσχὺν παγέντα κραταιοτέραν, οὕτως καὶ οἷς ἡ ψυχὴ νῦν πρῶτον ὑγιά-
ζεται πλαδῶσιν οἱ νοεροὶ τόνοι καὶ κραδαίνονται, ὡς δέος εἶναι, μὴ
πάλιν ἐξορμήσῃ τὸ πάθος, ὃ πέφυκεν ἐκ τῆς τῶν εἰκαιοτέρων συνδιαι-
τήσεως ἀνερεθίζεσθαι.
22 (4.) Μετὰ δὲ τοὺς μετανοίας ἀγῶνας τρίτα ἆθλα τίθεται δικαιο-
σύνης, ἧς ὁ μεταποιησάμενος λαμβάνει γέρα διττά, τὸ μὲν σωτήριον ἐν
κοινῇ φθορᾷ, τὸ δὲ ταμίαν καὶ φύλακα γενέσθαι ἐξ ἑκάστης ζῴων
ἰδέας ἡρμοσμένων ζυγάδην εἰς δευτέραν γένεσιν ἀντὶ τῆς ἀπολλυμένης.
23 ἠξίωσε γὰρ ὁ ποιητὴς τὸν αὐτὸν καὶ τέλος γενέσθαι τῆς κατακρίτου
γενεᾶς καὶ ἀρχὴν τῆς ἀνυπαιτίου, διδάσκων τοὺς ἀπρονόητον εἶναι τὸν

1 ἐργάσονται A 2 οὐκέτι τῆς ὄψεως] ἔτι τῆς ὄψεως οὐ A 3 τῷ πάθει] τὰ πάθη L (Turn.) 4 ἐρεθισθήσεται F 6 ἀσπαζόμενος codd.: ἀσπασάμενος Turn. γὰρ om. A οἴκοις A 7 ἀπροοράτως F: ἀπροόπτως AHP (v) 9 ἐστί om. L (Turn.) πρῶτον FA: om. HP (Turn.) 10 ὡς γὰρ] ὥσπερ Escur. μακρὰν H^1P 11. 12 μήπω πρὸς ἰσχὺν παγέντα κραταιοτέραν FP: om. AH Escur. (v) 12 οὕτως FA: οὕτω HP Escur. οἷς — ὑγιάζεται] ψυχὴ ὑγιαζομένη A (prob. Mang.) νῦν πρῶτον F: ὡς νῦν πρότερον HP, ἄρτι πρώτως Escur. 13 νοεροὶ] ἱεροὶ A εἶναι] ὂν Escur. 14 πάλιν ἐξομήσῃ (sic) Escur. (ἐξορμήσῃ scripsi): παλινδρομήσῃ FAHP (v) τῶν F Escur.: om. AHP (v) 16 δὲ om. F μετανοίας F: τῆς μετανοίας AHP (v) τρίτα] τρία L^1 (Turn.) 18 φύλαξ H (Turn.) γενέσθαι A: om. FHP^1, add. mg P^2 ἐξ ἑκάστης codd.: ἐξ om. v 19 ἡρμοσμένων AH^2: ἡρμοσμένον FH^1P, ἡρμοσμένου L (Turn.) ζυγάδην Mang.: ζυγὰ δ' ἦν F, ζυγὰ δὲ ἦν AHP 20 κατακρίτου] καταρρύπου (sic) D^R, χαραβύπον (sic) D^H

10—15 Escur. X — I — 13 fol. 237^v: ὥσπερ τοῖς ἐκ νόσου μακρᾶς — ἀνερεθίζεσθαι.
20—341,3 D^R fol. 128^v Φίλωνος ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων D^H fol. 242^r Φίλωνος: τὸν δικαιοσύνης μεταποιησάμενον Νῶε ἠξίωσεν ὁ ποιητὴς τὸν αὐτὸν — ἑνὸς ἀνδρὸς δικαιοσύνης οὐκ ἄξια ἐβίωσαν.

κόσμον λέγοντας ἔργοις, οὐ ῥήμασιν, ὅτι καθ' ὃν εἰσηγήσατο νόμον ἐν
M. τῇ φύσει τῶν ὅλων αἱ σύμπασαι μυριάδες τῶν ἀνθρώπων | μετὰ ἀδικίας
ζήσασαι ἑνὸς ἀνδρὸς οὐκ ἄξιαι δικαιοσύνῃ συμβιοῦντος. τοῦτον Ἕλληνες
μὲν Δευκαλίωνα, Χαλδαῖοι δὲ Νῶε ἐπονομάζουσιν, ἐφ' οὗ τὸν μέγαν
κατακλυσμὸν συνέβη γενέσθαι.

Μετὰ δὲ τὴν τριάδα ταύτην ἑτέρα τριὰς ὁσιωτέρα καὶ θεοφιλεστέρα 24
γίνεται μιᾶς συγγενείας· πατὴρ γὰρ καὶ υἱὸς καὶ υἱωνὸς ἐπὶ τὸ αὐτὸ τέλος
ἔσπευσαν τοῦ βίου ⟨τὸ⟩ τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων εὐαρεστῆσαι, κατα-
φρονήσαντες μὲν ὧν θαυμάζουσιν οἱ πολλοί, δόξης καὶ πλούτου καὶ
ἡδονῆς, γελάσαντες δὲ καὶ τῦφον, ὃς ἐκ ψευσμάτων ἀεὶ συνυφαίνεται καὶ
καταποικίλλεται πρὸς ἀπάτην τῶν ὁρώντων. οὗτός ἐστιν ὁ γόης, ὁ τὰ 25
ἄψυχα θεοπλαστῶν, ὁ μέγας καὶ δυσάλωτος ἐπιτειχισμός, οὗ τοῖς
σοφίσμασι καὶ στρατηγήμασι πᾶσα πόλις δελεάζεται προκαταλαμβάνοντος
τὰς τῶν νέων ψυχάς· εἰσοικισάμενος γὰρ ἐκ πρώτης ἡλικίας ἄχρι
γήρως ἐνίδρυται, πλὴν οἷς ἂν ὁ θεὸς αὐγὴν ἐπιλάμψῃ τῆς ἀληθείας·
ἀληθείᾳ δὲ τῦφος ἀντίπαλον, ὃς μόλις μὲν ἀλλ' οὖν κραταιοτέρᾳ δυνάμει
νικηθεὶς ὑπεξίσταται. τουτὶ δὲ τὸ γένος ἀριθμῷ μέν ἐστιν ὀλίγον, 26
δυνάμει δὲ πολὺ καὶ μέγιστον, ὡς μηδ' ἅπαντα τὸν τῆς γῆς κύκλον
αὐτὸ χωρεῖν δύνασθαι, φθάνειν δ' εἰς οὐρανόν· ἱμέρῳ γὰρ τοῦ θεωρεῖν
καὶ τοῖς θείοις ἀεὶ συνεῖναι κατεσχημένον ἀλέκτῳ, τὴν ὁρατὴν ὅταν
ἅπασαν φύσιν διερευνήσῃ καὶ διεξέλθῃ, πρὸς τὴν ἀσώματον καὶ νοητὴν
εὐθὺς μέτεισιν, οὐδεμίαν τῶν αἰσθήσεων ἐπαγόμενον, ἀλλ' ὅσον μὲν τῆς
ψυχῆς ἄλογον μεθιέμενον, τῷ δ' ὃ κέκληται νοῦς καὶ λογισμὸς μόνῳ
προσχρώμενον. ὁ μὲν οὖν ἡγεμὼν τῆς θεοφιλοῦς δόξης, ὁ πρῶτος ἐκ 27
τύφου μεθορμισάμενος πρὸς ἀλήθειαν, διδακτικῇ χρησάμενος ἀρετῇ

2 τῶν ἀνθρώπων D: τῶν om. codd. (v) μετ' F 3 ζήσασαι D: om. codd. (Turn.) ἑνὸς ἀνδρὸς δικαιοσύνης οὐκ ἄξια ἐβίωσαν D[R] 8 τὸ addidi: τὸ pro τῷ scribere voluit Mang. 9 καὶ δόξης A 11 ἐστιν] ἦν F 14 εἰσοικησάμενος H 15 ἐνίδρυται F: ἐνιδρύεται AHP (v) ἐπιλάμψῃ] ἐπιπέμψῃ conicio 16 ἀλήθεια δὲ τύφου A ὅς] ἣ F μόλις F: μόγις AHP (v) 17 νικηθεὶς HP: κινηθεὶς FA κινηθεὶς δυνάμει transp. F τουτὶ F: τοῦτο AHP (v) ἀριθμῶν H[1]P ὀλίγων P 18 τὸν τῆς γῆς κύκλον F: τῆς γῆς τὸν κύκλον A, τῆς γῆς κύκλον HP (v) 19 φθάνειν codd.: φθάνει Mang. post οὐρανὸν add. F verba (interpolata) καὶ τὰ πέρατα τοῦ κόσμου, μᾶλλον δὲ καὶ τὴν μετὰ κόσμου (κόσμον?) οὐσίαν ἱμέρῳ γὰρ τοῦ θεωρεῖν F: καὶ γὰρ τοῦ θεωρεῖν ἔρωτι A (Mang.), καὶ τοῦ θεωρεῖν HP (Turn.) 20 συνεῖναι A: συνιέναι FHP (Turn.) κατισχημένον A ἀλέκτως L (ἀλέκτως ὃ Turn.) 21 διερευνήσας διεξέλθῃ A 25 μεθορμισάμενος FH: μεθορμησάμενος P, μεθαρμοσάμενος A (Mang.) πρὸς] εἰς F διδακτῇ vel διδασκαλικῇ coni. Mang.

πρὸς τελείωσιν, ἆθλον αἴρεται τὴν πρὸς θεὸν πίστιν· τῷ δὲ κατ' εὐμοιρίαν φύσεως αὐτήκοον καὶ αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ τὴν ἀρετὴν βραβεῖον ἀναδίδοται χαρά· τοῦ δ' ἀσκητοῦ καὶ πόνοις ἀτρύτοις καὶ ἀκαμπέσι περιποιησαμένου τὸ καλὸν ὁ στέφανός ἐστιν ὅρασις θεοῦ. τοῦ δὲ πιστεύειν θεῷ καὶ διὰ παντὸς τοῦ βίου χαίρειν καὶ ὁρᾶν ἀεὶ τὸ ὂν τί ἂν ὠφελιμώτερον ἢ σεμνότερον ἐπινοήσειέ τις;

28 (5.) Ἐπαυγασώμεθα δ' αὐτῶν ἕκαστον ἀκριβέστερον, μὴ τοῖς ὀνόμασι παραχθέντες, ἀλλὰ διακύψαντες εἴσω καὶ ταῖς διανοίαις ἐμβαθύναντες. ὁ μὲν τοίνυν ἀψευδῶς πιστεύσας θεῷ τὴν ἐν τοῖς ἄλλοις ὅσα γενητὰ καὶ φθαρτὰ κατείληφεν ἀπιστίαν, ἀρξάμενος ἀπὸ τῶν ἐν αὐτῷ μέγα πνεόντων, λογισμοῦ τε καὶ αἰσθήσεως· ἑκατέρῳ γὰρ ἴδιον | συνέδριον καὶ δικαστήριον προσκεκλήρωται, τῷ μὲν εἰς τὴν τῶν νοητῶν p.413 ἐπίσκεψιν, οὗ τέλος ἀλήθεια, τῇ δὲ εἰς τὴν τῶν ὁρατῶν, οὗ τέλος δόξα.
29 τὸ μὲν οὖν ἀνίδρυτον καὶ πεπλανημένον τῆς δόξης ἐνθένδε δῆλον· εἰκόσι γὰρ καὶ πιθανοῖς ἐφορμεῖ· πᾶσα δὲ εἰκὼν ὁμοιότητι εὐπαραγώγῳ ψεύδεται τὸ ἀρχέτυπον. ὅ τε ἡγεμὼν αἰσθήσεως λογισμὸς τὰς κρίσεις οἰόμενος ἀνῆφθαι τῶν νοητῶν καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων ἁλίσκεται περὶ πολλὰ κηραίνων· ὅταν γὰρ μυρίοις οὖσι τοῖς κατὰ μέρος ποιῆται τὰς προσβολάς, ἀδυνατεῖ καὶ ἐξασθενεῖ καὶ ἀπαγορεύει καθάπερ ἀθλητὴς
30 ὑπὸ ῥώμης δυνατωτέρας ἐκτραχηλιζόμενος. ὅτῳ δ' ἐξεγένετο πάντα μὲν σώματα πάντα δ' ἀσώματα ὑπεριδεῖν καὶ ὑπερκῦψαι, μόνῳ δ' ἐπερείσασθαι καὶ στηρίσασθαι θεῷ μετ' ἰσχυρογνώμονος λογισμοῦ καὶ ἀκλινοῦς καὶ βεβαιοτάτης πίστεως, εὐδαίμων καὶ τρισμακάριος οὗτος ὡς ἀληθῶς.

31 Μετὰ πίστιν προὔκειτο τῷ περιπεποιημένῳ τὴν ἀρετὴν ἐκ φύσεως ἀκονιτὶ καὶ νικηφορήσαντι χαρὰ τὸ ἆθλον· ὠνομάσθη γάρ, ὡς μὲν ἂν

---

1 καὶ ἆθλον A αἴρεται FA (Mang.): αἱρεῖται HP θεὸν A: τὸν θεὸν FHP (v) 2 καὶ αὐτοδίδακτον om. A 3 βραβεῖον om. Turn. 4 καὶ ⟨ἤθεσιν⟩ ἀκαμπέσι e. gr. conicio 5 τοῦ βίου om. A 6 ἐπινοήσειε F: ἐπινοήσῃ AHP 7 ἐπαυγασώμεθα A: ἐπαυγασόμεθα FHP (v) 8. 9 ἐμβαθύνοντες HP 10 γεννητὰ A ἀρξάμενος F: ἀρξάμενος δὲ AHP (v) 11 αὐτῷ codd.: αὐτῷ v 12 τῷ μὲν—δόξα (13) om. F τῷ] τὸ H¹P 13 οὗ τέλος—ὁρατῶν om. L (Turn.) τῇ] τὸ H¹P, τῶ H² 14 ἀνίδρυτον A: ἀΐδρυτον FHP (Turn.) τῆς δόξης A: τῆς om. FHP (v) 15 ὁμοιότητι A (Mang.) ὁμοιότητος FHP εὐπαραγώγω H¹P: εὐπαραγώγου FH², καὶ παραγώγω A 16 ὅτι F 17 κατὰ om. Richt. 19 ἢ ἀπαγορεύει A 21 πάντα δ' ἀσώματα om. L (Turn.) 21. 22 ὑπερείσασθαι HP (Turn.) 23 οὗτος ὡς ἀληθῶς scripsi: ὡς ἀληθῶς F, οὗτος ἀληθῶς AHP (v) 24 προὔκειτο HP: προϋπέκειτο FA περιπεποιημένω codd.: περιποιουμένῳ v

---

9 Gen. 15,6.

εἴποιεν Ἕλληνες, γέλως, ὡς δὲ Χαλδαῖοι προσονομάζουσιν, Ἰσαάκ·
γέλως δὲ σημεῖον ἐπὶ τοῦ σώματος φανερὸν ἀφανοῦς τῆς κατὰ διάνοιαν
χαρᾶς ἐστι. χαρὰν δὲ τῶν εὐπαθειῶν ἀρίστην καὶ καλλίστην εἶναι 32
συμβέβηκεν, ὑφ' ἧς ὅλη δι' ὅλων εὐθυμίας ἡ ψυχὴ καταπίμπλαται,
γεγηθυῖα μὲν ἐπὶ τῷ πατρὶ καὶ ποιητῇ τῶν συμπάντων θεῷ, γεγηθυῖα
δὲ καὶ ἐπὶ τοῖς ἄνευ κακίας δρωμένοις, κἂν μὴ τυγχάνῃ καθ' ἡδονὴν
ὄντα, ὡς καλῶς γινομένοις καὶ ἐπὶ τῇ τῶν ὅλων διαμονῇ. καθάπερ 33
γὰρ ἰατρὸς μὲν ἐν ταῖς μεγάλαις καὶ ἐπισφαλέσι νόσοις ἔστιν ὅτε μέρη
σωμάτων ἀφαιρεῖ στοχαζόμενος τῆς τοῦ λοιποῦ σώματος ὑγείας, κυβερ-
νήτης δὲ χειμώνων ἐπιγινομένων ἀποφορτίζεται προνοίᾳ τῆς τῶν ἐμπλεόν-
των σωτηρίας, καὶ μέμψις οὔτε τῷ ἰατρῷ τῆς πηρώσεως οὔτε τῷ
κυβερνήτῃ τῆς ἀποβολῆς ἕπεται, τοὐναντίον δὲ ἔπαινος ἑκατέρῳ τὸ συμ-
φέρον πρὸ τοῦ ἡδέος ἰδόντι καὶ κατορθώσαντι, τὸν αὐτὸν τρόπον καὶ 34
τὴν τῶν ὅλων φύσιν ἀεὶ θαυμαστέον καὶ τοῖς ἐν τῷ κόσμῳ πραττο-
μένοις ἅπασιν ἄνευ τῆς ἑκουσίου κακίας εὐαρεστητέον ἐξετάζοντας, οὐχ εἴ
τι μὴ καθ' ἡδονὴν ἰδίαν συμβέβηκεν, ἀλλ' εἰ τρόπον εὐνόμου πόλεως ὁ
κόσμος ἡνιοχεῖταί τε καὶ κυβερνᾶται σωτηρίως. μακάριος οὖν καὶ οὗτος 35
οὐχ ἧττον τοῦ προτέρου, συννοίας καὶ κατηφείας ἀμέτοχος ὤν, ἄλυπόν τε
καὶ ἄφοβον ζωὴν καρπούμενος, αὐστηροῦ καὶ αὐχμηροῦ βίου μηδ' ὄναρ
M. προσαψάμενος διὰ τὸ | πάντα τόπον τῆς ψυχῆς αὐτοῦ χαρᾷ προκατέχεσθαι.
(6.) Μετὰ τὸν αὐτομαθῆ δὲ καὶ πλουσίᾳ χρησάμενον τῇ φύσει 36
τρίτος ὁ ἀσκητὴς τελειοῦται λαμβάνων γέρας ἐξαίρετον ὅρασιν θεοῦ.
πάντων γὰρ τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἐφαψάμενος καὶ πᾶσιν

---

1 προονομάζουσιν L (Turn.)   2 φανερὸν F: om. AHP   3 τε καὶ F   4 ἀφ' ἧς A   κατεμπίπλαται A   5 συμπάντων F: ἁπάντων AHP (v)   6 κακίας ⟨ἑκουσίου⟩ coni. Mang. coll. l. 15   8 γὰρ om. F   8.9 μέρη σωμάτων F: σωμάτων μέρη AHPD^H (v)   9 ἀφαιρεῖται A   τῆς τοῦ λοιποῦ σώματος A: om. FHPD^H (Turn.)   10.11 πλεόντων AD^H   12 ἀποβολῆς] βλάβης F   δ' F   13 εἰδότι D^H   14 φύσιν] προνοητικὴν δύναμιν D^H   καὶ] ἐπὶ D^H   15 ἄνευ — εὐαρεστητέον om. D^H   εὐεργετητέον A   15.16 οὐχ εἴ τι] οὐκέτι P, ἐπεὶ D^H   16 ἰδίαν FD^H: om. AHP (v)   ἀλλ' εἰ FA: ἀλλ' ἢ HPD^H   τρόπῳ A   πόλεως ὡς HP   17 τε om. FD^H   καὶ κυβερνᾶται σωτηρίως AD^H: σωτηρίως καὶ κυβερνᾶται FHP   σωτηρίως om. Mang.   19 αὐστηροῦ καὶ αὐχμηροῦ F: αὐχμηροῦ καὶ αὐστηροῦ AHP (v)   βίου om. A   20 αὐτοῦ FA: αὐτῷ HP (v)   21 τὸν] τὴν L (Turn.)   αὐτομαθεῖ coni. Mang.   πλουσία FAP²: πλουσίῳ HP¹ (v)   22 ὁ om. A

7—17 D^H fol. 337^r Φίλωνος: καθάπερ ἰατρὸς — καὶ κυβερνᾶται σωτηρίως.
23—345,5 N fol. 159^v: πάντων — ἄνω προῆλθον.

ἐνομιλήσας οὐ παρέργως καὶ μηδένα πόνον ἢ κίνδυνον παρελθών, εἴ
πως δυνηθείη τὴν ἀξιέραστον ἀλήθειαν ἰχνηλατῆσαι, παρὰ τῷ θνητῷ
γένει πολὺν ζόφον ἀνεύρισκε κατὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ αἰθέρα·
καὶ γὰρ ὁ αἰθὴρ καὶ ὁ σύμπας οὐρανὸς νυκτὸς αὐτῷ παρεῖχε φαντασίαν,
ἐπειδὴ πᾶσα ἡ αἰσθητὴ φύσις ἀόριστος· τὸ δ' ἀόριστον ἀδελφὸν σκότους
37 καὶ συγγενές. καταμύσας οὖν τὸ τῆς ψυχῆς ὄμμα τὸν ἔμπροσθεν
αἰῶνα τοῖς συνεχέσιν ἄθλοις μόλις ἤρξατο διοίγνυσθαι καὶ τὴν ἐπι-
σκιάσασαν διακρίνειν καὶ ἀποβάλλειν ἀχλύν· καθαρωτέρα γὰρ αἰθέρος
ἀσώματος ἐξαίφνης ἐπιλάμψασα αὐγὴ τὸν νοητὸν κόσμον ἀνέφηνεν
38 ἡνιοχούμενον. ὁ δ' ἡνίοχος ἀκράτῳ φέγγει περιλαμπόμενος ἐν κύκλῳ
δυσόρατος καὶ δυστόπαστος ἦν, ταῖς μαρμαρυγαῖς τῆς ὄψεως ἀμυδρουμένης·
ἡ δέ, καίτοι πολλοῦ ῥέοντος εἰς αὐτὴν πυρός, ἀντεῖχεν ἔρωτι ἐκτόπῳ
39 τοῦ θεάσασθαι. γνήσιον δὲ ἵμερον καὶ πόθον ἰδὼν ὁ πατὴρ καὶ σωτὴρ
ἠλέησε καὶ κράτος δοὺς τῇ τῆς ὄψεως προσβολῇ τῆς ἑαυτοῦ θέας
οὐκ ἐφθόνησε, καθ' ὅσον οἷόν τε ἦν χωρῆσαι γενητὴν καὶ θνητὴν
40 φύσιν, οὐχὶ τῆς ὅ ἐστιν ἐμφαινούσης, ἀλλὰ τῆς ὅτι ἔστιν. ἐκεῖνο μὲν
γάρ, ὃ καὶ ἀγαθοῦ κρεῖττον καὶ μονάδος πρεσβύτερον καὶ ἑνὸς εἰλικρι-
νέστερον, ἀμήχανον ὑφ' ἑτέρου θεωρεῖσθαί τινος, διότι μόνῳ θέμις
αὐτῷ ὑφ' ἑαυτοῦ καταλαμβάνεσθαι. (7.) τὸ δ' ὅτι ἔστιν, ὑπάρξεως
ὄνομα καταληπτὸν ὄν, ἢ οὐ πάντες ἢ οὐχ ὁδῷ τῇ βελτίονι καταλαμ-
βάνουσιν· ἀλλ' οἱ μὲν ἄντικρυς ἀπεφήναντο μηδ' ὅλως εἶναι τὸ θεῖον,
οἱ δὲ ἐνεδοίασαν ἐπαμφοτερίσαντες ὡς οὐκ ἔχοντες εἰπεῖν, εἴτε ἔστιν

---

1 παρεισελθών HP (Turn.) 1. 2 εἴ πως] ὅπως N 2 περὶ N 3 γένει FN: βίω καὶ γένει AHP (v) 4 καὶ γὰρ καὶ ὁ A 6 καταμύσαν A οὖν scripsi (sic N): γοῦν FAHP (v) 7 μόλις scripsi: μόγις codd. (v) διοιγνύναι conicio 7. 8 ἐπισκιάσασαν AFN: ἐπισκοτήσασαν HP (v) 9 ἀσώματος om. N 11 ἦν om. N 13 δ' FN ἥμερον F ἵμερον καὶ om. D καὶ πόθον A: om. FNHP (Turn.) πατὴρ καὶ σωτὴρ FND: σωτὴρ A, πατὴρ HP (v) 14 αὐτοῦ A 15 τε ND: τ' FHP, om. A γεννητὴν A καὶ θνητὴν om. D^R 16 pr. τῆς om. D^C ὅ D^R (ὅ in οἷον corr. D^C): ὅς codd. (v); οἷος coni. Mang. alt. τῆς om. D^C ἐκείνω D^R μὲν om. A 17 ὃ καὶ — εἰλικρινέστερον om. D ἑνὸς om. Turn. 18 θεωρεῖσθαι τινὸς D: τινὸς θεωρεῖσθαι codd. (v) μόνω AH^1PND: μόνον FH^2 (v) 19 αὐτῶ A: αὐτὸ FNPD, αὐτὸν H (v) ὑφ' ἑαυτοῦ FND^C: ὑφ' αὐτοῦ AHP, καθ' ἑαυτὸ D^R 20 ὄνομα A: ὀνόματι FNHP; ἔννοιαν κατάληπτον (sic) οὖσαν coni. Mang. τῇ om. F 22 δ' F ἐνεδίασαν (οι suprascr.) F, ἐνεδύασαν N, ἐνεδοίαζον H^1P ὡς] ἢ N

13—19 D^C fol. 44ᵛ D^R fol. 55ᵛ (praecedit excerptum ex libro *de mutatione nominum* § 15): γνήσιον πόθον ἰδὼν ὁ πατὴρ καὶ σωτὴρ — καταλαμβάνεσθαι.

εἴτε μή, οἱ δὲ καὶ ἔθει μᾶλλον ἢ λογισμῷ τὰς περὶ ὑπάρξεως θεοῦ
κομίσαντες ἐννοίας παρὰ τῶν τρεφόντων ἔδοξαν εὐστόχως εὐσεβεῖν δεισι-
δαιμονίᾳ τὴν εὐσέβειαν χαράξαντες. εἰ δέ τινες καὶ δι' ἐπιστήμης 41
ἴσχυσαν φαντασιωθῆναι τὸν ποιητὴν καὶ ἡγεμόνα τοῦ παντός, τὸ λεγό-
μενον δὴ τοῦτο κάτωθεν ἄνω προῆλθον. ὥσπερ γὰρ εἰς εὔνομον πόλιν
τόνδε τὸν κόσμον παρελθόντες καὶ θεασάμενοι γῆν μὲν ἀρετῶσαν ὀρεινὴν
καὶ πεδιάδα, σπαρτῶν καὶ δένδρων καὶ καρπῶν ἔτι δὲ καὶ παντοίων
M. ζῴων | ἀνάπλεων, ἐπὶ δ' αὐτῆς ἀνακεχυμένα πελάγη καὶ λίμνας καὶ
ποταμοὺς αὐθιγενεῖς τε καὶ χειμάρρους, καὶ ἀέρος καὶ πνευμάτων
εὐκρασίας, καὶ τῶν ἐτησίων ὡρῶν τὰς ἐναρμονίους μεταβολάς, καὶ ἐπὶ
πᾶσιν ἥλιον καὶ σελήνην πλάνητάς τε καὶ ἀπλανεῖς ἀστέρας καὶ τὸν
σύμπαντα οὐρανὸν ἐν τάξεσι μετὰ τῆς οἰκείας στρατιᾶς ἡρμοσμένον,
κόσμον ἀληθινὸν ἐν κόσμῳ περιπολοῦντα, θαυμάσαντες καὶ κατα- 42
πλαγέντες εἰς ἔννοιαν ἦλθον ἀκόλουθον τοῖς φανεῖσιν, ὅτι ἄρα τοσαῦτα
κάλλη καὶ οὕτως ὑπερβάλλουσα τάξις οὐκ ἀπαυτοματισθέντα γέγονεν,
ἀλλ' ὑπό τινος δημιουργοῦ κοσμοποιοῦ, καὶ ὅτι πρόνοιαν ἀναγκαῖον
εἶναι· νόμος γὰρ φύσεως ἐπιμελεῖσθαι τὸ πεποιηκὸς τοῦ γεγονότος.
ἀλλ' οὗτοί γε οἱ θεσπέσιοι καὶ τῶν ἄλλων διενηνοχότες, ὅπερ ἔφην, 43
κάτωθεν ἄνω προῆλθον οἷα διά τινος οὐρανίου κλίμακος, ἀπὸ τῶν
ἔργων εἰκότι λογισμῷ στοχασάμενοι τὸν δημιουργόν. εἰ δέ τινες ἐδυνή-
θησαν αὐτὸν ἐξ ἑαυτοῦ καταλαβεῖν ἑτέρῳ μηδενὶ χρησάμενοι λογισμῷ
συνεργῷ πρὸς τὴν θέαν, ἐν ὁσίοις καὶ γνησίοις θεραπευταῖς καὶ θεο-
φιλέσιν ὡς ἀληθῶς ἀναγραφέσθωσαν. τούτων ἐστὶν ὁ Χαλδαϊστὶ μὲν 44
προσαγορευόμενος Ἰσραήλ, Ἑλληνιστὶ δὲ ὁρῶν θεόν, οὐχ οἷός ἐστιν

---

1 θεοῦ ὑπάρξεως transp. FN 2 κομίσαντες A: νομίσαντες HP (Turn.), λαβόντες FN περὶ N 3 χαράξαντες AFN: ἐγχαράξαντες HP (v) 4 τοῦ παντός FNHP: τοῦδε τοῦ παντός A (Mang.) 5 ἔννομον A 6 παρελθόντες FA (Mang.): παρεληλυθότες HP ἀρετῶσαν Mang.: ἐστῶσαν codd. 7 καὶ καρπῶν om. A 7. 8 παντοίων ζώων F: ζώων παντοίων AHP (v) 8 ἀνάπλεω F ἀνακεχυμένα HP: ἐπικεχυμένα FA πελάγη om. HP (Turn.) λίμνας F: λιμένας AHP 9 καὶ αὐθιγενεῖς A καὶ ἀέρος καὶ πνευμάτων FA: καὶ ἀέρος om. HP (Turn.); καὶ πνευμάτων καὶ ἀέρος Mang. 10 ἐναρμονίους om. A alt. καὶ om. F 11 pr. καὶ om. F τε καὶ A: τε om. HP (v), τε καὶ om. F 12 ἡρμοσμένον FA: om. HP (v) 15 ὑπερβάλλουσα τάξις FAH¹P: ὑπερβάλλοντα τάξει H² (v) 16 ⟨καὶ⟩ κοσμοποιοῦ conicio 17 πεποιηκότος H¹P τοῦ γεγονότος codd.: τοῦ om. v 18 οἱ θεσπέσιοι FA: οἱ om. HP (v) ὅπερ FAP (Turn.): ὁπότε H; ὥσπερ Mang. 19 οἷα HP: οἷον A, ἵνα F διά FA: δή HP (Turn.) 19. 20 ἀπὸ τῶν ἔργων FA mg P²: om. HP (Turn.) 20. 21 ἠδυνήθησαν codd. 21 λογισμῷ FA: om. HP (Turn.) 22 καὶ γνησίοις om. L (Turn.), καὶ γνησίοις — ἀληθῶς (23) om. F 23 ὡς om. A

ὁ θεός — τοῦτο γὰρ ἀμήχανον, ὡς ἔφην —, ἀλλ' ὅτι ἔστιν, οὐ παρ'
ἑτέρου τινὸς μαθών, οὐχὶ τῶν κατὰ γῆν, οὐχὶ τῶν κατ' οὐρανόν, οὐχὶ
τῶν ὅσα στοιχεῖα ἢ συγκρίματα θνητά τε αὖ καὶ ἀθάνατα, ἀλλὰ παρ'
αὐτοῦ μόνου μετακληθεὶς τὴν ἰδίαν ὕπαρξιν ἀναφῆναι θελήσαντος ἱκέτῃ.
45 πῶς δ' ἡ προσβολὴ γέγονεν, ἄξιον διά τινος εἰκόνος ἰδεῖν. τὸν αἰσθητὸν
τοῦτον ἥλιον μὴ ἑτέρῳ τινὶ θεωροῦμεν ἢ ἡλίῳ; τὰ δὲ ἄστρα μή τισιν
ἄλλοις ἢ ἄστροις θεωροῦμεν; καὶ συνόλως τὸ φῶς ἆρ' οὐ φωτὶ βλέπεται;
τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ θεὸς ἑαυτοῦ φέγγος ὢν δι' αὐτοῦ μόνου
θεωρεῖται, μηδενὸς ἄλλου συνεργοῦντος ἢ δυναμένου συνεργῆσαι πρὸς
46 τὴν εἰλικρινῆ κατάληψιν τῆς ὑπάρξεως αὐτοῦ. στοχασταὶ μὲν οὖν οἱ
ἀπὸ τῶν γεγονότων τὸν ἀγένητον καὶ γεννητὴν τῶν ὅλων σπεύδοντες
θεωρεῖν, ὅμοιόν τι δρῶντες τοῖς ἀπὸ δυάδος μονάδος φύσιν ἐρευνῶσι,
δέον ἔμπαλιν ἀπὸ μονάδος — ἀρχὴ γὰρ αὕτη — δυάδα σκοπεῖν· ἀλή-
47 θειαν δὲ μετίασιν οἱ τὸν θεὸν θεῷ φαντασιωθέντες, φωτὶ φῶς. (8.) τὸ
μὲν οὖν μέγιστον ἆθλον εἴρηται. πρὸς δὲ τούτοις λαμβάνει βραβεῖον ὁ
ἀσκητὴς λεχθῆναι μὲν οὐκ εὔφημον, νοηθῆναι δὲ ἄριστον· ὀνομάζεται
δὲ τὸ βραβεῖον πλάτους νάρκη (Genes. 32,25) συμβολικῶς· ἀλαζονεία
μὲν γὰρ καὶ ὑπεροψία | διὰ τοῦ πλάτους ἐμφαίνεται, χεομένης τῆς ψυχῆς p. 416 I
ἄμετρον ἐφ' ἃ μὴ δεῖ χύσιν, διὰ δὲ τῆς νάρκης μετεώρου καὶ πεφυση-
48 μένου πράγματος, οἰήσεως, συστολή. σύμφορον δὲ οὐδὲν οὕτως ὡς τὸ
κεχαλασμένον καὶ ἀνειμένον τῶν ὁρμῶν ἀνακοπῆναί τε καὶ ναρκῆσαι
παρεθὲν τοὺς πνευματικοὺς τόνους, ἵν' ἡ τῶν παθῶν ἄμετρος ἰσχὺς
ἐξασθενήσασα πλάτος ἐμπαράσχῃ ψυχῆς τῷ βελτίονι μέρει.
49 Προσεξεταστέον δὲ ὅτι καὶ οἰκειότατον ἑκάστῳ τῶν τριῶν ἀπενε-
μήθη τὸ ἆθλον. τῷ μὲν γὰρ ἐκ διδασκαλίας τελειωθέντι πίστις, ἐπειδὴ

---

1 οὐ om. A παρ'] ὑπὸ A 2 οὐχὶ τῶν κατ' οὐρανόν om. F 3 ἢ συγγράμματα (sic) A 4 μόνου AHP: μόνον F (v) μετακληθεὶς FA: καταβληθεὶς HP (v); καταληφθεὶς vel κατηχηθεὶς coni. Mang. οἰκέτῃ HP (οὐκέτι Turn.) 6 ἢ om. HP 7 ἄλλοις ἢ FA: ἄλλοισιν HP ἢ πάλιν ἄστροις A συνόλως om. L (Turn.) 8 δὴ om. A ἑαυτοῦ] αὐτοῦ F δι' αὐτοῦ F: δι' αὐτοῦ HP (v), δι' ἑαυτοῦ A 11 ἀγέννητον A καὶ γεννητὴν τῶν ὅλων FA: om. HP (v) 12 δρῶσι A φύσιν μονάδος transp. A post μονάδος add. ἄρχεσθαι A mg P[2] 13 ἀρχὴ γὰρ αὕτη] αὕτη γὰρ ἐν ἀρχῇ F δυάδα A: δυάδος FHP (Turn.) 16 δ' F 17 πλάτους om. H[1]P (Turn.) νάρκη A: νάρκ[η]α F, νάρκα HP (v); cf. Lob. Phryn. p. 331 18 μὲν FA: om. HP (v) τοῦ om. F 19 καὶ μετεώρου AP[2] 20 [συ]στολή F (συ ss. F[2]) σύμφορον] συμφέρον coni. Mang. δ' F 22 παρεθὲν FHP: παρεθέντα A (παραθὲν Turn.) 23 ἀσθενήσασα A 24 προσεξεταστέον] προσθετέον coni. Mang. δ' F

τὸν μανθάνοντα πιστεῦσαι δεῖ τῷ διδάσκοντι περὶ ὧν ὑφηγεῖται· δύσκολον
γάρ, μᾶλλον δ' ἀδύνατον ἀπιστοῦντα παιδεύεσθαι. τῷ δὲ κατ' εὐμοιρίαν 50
φύσεως ἐπ' ἀρετὴν φθάσαντι χαρά· χαρτὸν γὰρ ἡ εὐφυΐα καὶ τὰ φύσεως
δῶρα, τῆς διανοίας εὐθιξίαις καὶ εὐσκόποις ἐπιβολαῖς προσγανουμένης,
ἐν αἷς ἀπόνως εὑρίσκει τὰ ζητούμενα, καθάπερ ὑποβολέως ἔνδοθεν
ὑπηχοῦντος· ἡ γὰρ σύντομος τῶν ἀπορουμένων εὕρεσις χαρτόν. τῷ δὲ 51
δι' ἀσκήσεως περιποιησαμένῳ φρόνησιν ὅρασις· μετὰ γὰρ τὸν ἐν νεότητι
πρακτικὸν βίον ὁ ἐν γήρᾳ θεωρητικὸς βίος ἄριστος καὶ ἱερώτατος, ὃν
οἷα κυβερνήτην παραπέμψας ἐπὶ πρύμναν ὁ θεὸς ἐνεχείρισε τοὺς οἴακας
ὡς ἱκανῷ πηδαλιουχεῖν τὰ ἐπίγεια· χωρὶς γὰρ θεωρίας ἐπιστημονικῆς
οὐδὲν τῶν πραττομένων καλόν.

(9.) Ἑνὸς ἔτι μνησθεὶς ἀνδρός, στοχαζόμενος τοῦ μὴ μακρηγορεῖν, 52
ἐπὶ τὰ ἀκόλουθα τῶν λόγων τρέψομαι. ὁ δ' ἀνὴρ οὗτος τοὺς ἱεροὺς
ἀγῶνας ἑξῆς στεφανωθεὶς ἐκηρύχθη· λέγω δὲ ἱεροὺς οὐ τοὺς παρὰ
πολλοῖς νομιζομένους — ἀνίεροι γὰρ οὗτοί γε βίαις καὶ ὕβρεσι καὶ
ἀδικίαις ἀντὶ τῶν ἀνωτάτω τιμωριῶν γέρα καὶ τιμὰς προτείνοντες —,
ἀλλ' οὓς ἡ ψυχὴ πέφυκε διαθλεῖν, φρονήσει μὲν ἠλιθιότητα καὶ πανουρ-
γίαν ἐλαύνουσα, σωφροσύνῃ δὲ ἀσωτίαν καὶ φειδωλίαν, ἀνδρείᾳ δὲ
θρασύτητα καὶ δειλίαν, καὶ ταῖς ἄλλαις ἀρεταῖς τὰς ἀντιθέτους κακίας,
αἳ μήθ' ἑαυταῖς μήτε ἄλλαις συμφέρουσιν. πᾶσαι μὲν οὖν αἱ ἀρεταὶ 53
παρθένοι, καλλιστεύει δὲ ὡς ἐν χορῷ παραλαβοῦσα τὴν ἡγεμονίαν ἡ
εὐσέβεια, ἣν ἐκληρώσατο διαφερόντως ὁ θεολόγος Μωυσῆς, δι' ἣν μετὰ

2 γάρ] μὲν γὰρ A παιδεύεσθαι FAP: παιδευθῆναι H (v) 4 εὐθιξίαις E: εὐθηξίαις HP, ἐν εὐεξίαις A καὶ κόπεις (sic) καὶ ἐπιβουλαῖς A προγανουμένης conicio 5 αἷς] οἷς codd. (v) εὑρίσκει] ἂν εὑρίσκῃ A 6 χαρτόν] χαρτή A 7 περιπεποιημένῳ F φρόνησις F 8 πρακτικὸν] πνικὸν (i. e. πνευματικὸν) A βίος ἄριστος D^R, ἄριστος βίος F: βίος om. AHP (v) 9 κυβερνήτην D (v): κυβερνήτης codd. παραπέμψας FAD: ἄνωθεν παραπέμψας HP (v) ἐπὶ πρύμναν παραπέμψας transp. A, ἐπὶ πρύμναν om. D 10 ἱκανὸν D πηδαλιουχῆσαι A 13 τἀκόλουθα F τῶν λόγων HP: τὸν λόγον FA 14 ἑξῆς F: om. AHP (v) δ' F 14. 15 παρὰ πολλοῖς A: παρ' ἄλλοις FHP (v) 17 μὲν om. L (Turn.) 18 pr. δ' F ἀνδρεία codd.: ἀνδρίᾳ v 19 ἀντιθέους (sic) A 20 μήθ' FA: μήτε HP μήτε FHP: μήτ' A συμφέρουσιν scripsi: συμφέρονται codd. (v) αἱ om. A 21 δ' F 21. 22 ἡ εὐσέβεια A: ἡ δικαιοσύνη F, ἡ εὐσέβεια καὶ δικαιοσύνη HP (v) 22 μωσῆς codd. δι' ἣν FAH^1P: διὸ H^2 (v)

7—11 D^R fol. 131^r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων Anton. Mel. II 17 Col. 1056 Φίλωνος: μετὰ τὸν ἐν νεότητι πρακτικὸν βίον — οὐδὲν τῶν πραττομένων καλόν.
10. 11 D^P fol. 97^v Φίλωνος: χωρὶς θεωρίας ἐπιστημονικῆς οὐδὲν τῶν πραττομένων καλόν.

μυρίων ἄλλων, ἅπερ ἐν τοῖς γραφεῖσι περὶ τοῦ κατ' αὐτὸν βίου μεμή-
νυται, τεττάρων ἄθλων ἐξαιρέτων τυγχάνει, [τυχὼν] βασιλείας, νομο-
54 θεσίας, προφητείας, ἀρχιερωσύνης. βασιλεύς τε γὰρ γέγονεν, οὐχ ἔθει
τῷ καθεστῶτι μετὰ | στρατιᾶς τε καὶ ὅπλων ναυτικῆς τε καὶ πεζικῆς p. 417
καὶ ἱππικῆς δυνάμεως, ἀλλ' ὑπὸ θεοῦ χειροτονηθεὶς ἑκουσίῳ γνώμῃ τῶν
ἀρχομένων, ὃς τοῖς ὑπηκόοις ἐνειργάσατο τὴν ἑκούσιον αἵρεσιν. ἄναυδος
γὰρ καὶ ἀκτήμων καὶ ἀχρήματος μόνος οὗτος βασιλεὺς ἡμῖν ἀνεγράφη,
πρὸ τοῦ τυφλοῦ τὸν βλέποντα πλοῦτον ἀσπασάμενος καί, εἰ δεῖ μηδὲν
55 ὑποστειλάμενον εἰπεῖν, τὸν θεοῦ κλῆρον ἰδίαν οὐσίαν ὑπολαμβάνων. ὁ δ'
αὐτὸς γίνεται καὶ νομοθέτης· δεῖ γὰρ τὸν βασιλέα προστάττειν καὶ
ἀπαγορεύειν· νόμος δὲ οὐδέν ἐστιν ἕτερον ἢ λόγος προστάττων ἃ χρὴ
καὶ ἀπαγορεύων ἃ μὴ χρή. ἐπεὶ δ' ἄδηλον τὸ ἐν ἑκατέρῳ συμφέρον —
ἀγνοίᾳ γὰρ πολλάκις κελεύομεν ἃ μὴ δεῖ καὶ ἀπαγορεύομεν ἃ δεῖ πράτ-
τειν —, οἰκεῖον ἦν τρίτον λαβεῖν, προφητείαν, εἰς τὸ ἄπταιστον· ἑρμη-
νεὺς γάρ ἐστιν ὁ προφήτης ἔνδοθεν ὑπηχοῦντος τὰ λεκτέα τοῦ θεοῦ,
56 παρὰ θεῷ δ' οὐδὲν ὑπαίτιον. τέταρτον δ' ἀρχιερωσύνην, δι' ἧς προφη-
τεύων ἐπιστημονικῶς θεραπεύσει τὸ ὂν καὶ τὰς ὑπὲρ τῶν ὑπηκόων
κατορθούντων μὲν εὐχαριστίας, εἰ δὲ διαμαρτάνοιεν, εὐχὰς καὶ ἱκεσίας
ἱλασκόμενος ποιήσεται. ταῦτα μιᾶς ὄντα ἰδέας ἀλληλουχεῖν ὀφείλει
τοῖς ἁρμονίας δεσμοῖς ἑνωθέντα καὶ περὶ τὸν αὐτὸν ἐξετάζεσθαι, ὡς ὅ
γέ τινος τῶν τεττάρων ὑστερίζων ἀτελὴς εἰς ἡγεμονίαν, χωλὴν ἀνημμένος
κοινῶν πραγμάτων ἐπιμέλειαν.
57 (10.) Ἆλις μὲν δὴ τῶν καθ' ἕκαστον ἄνδρα τιθεμένων ἄθλων·
τίθεται δὲ καὶ ὅλοις οἴκοις καὶ πολυανθρώποις συγγενείαις. αὐτίκα τοῦ
ἔθνους εἰς δώδεκα φυλὰς διανεμηθέντος ἰσάριθμοι ταῖς φυλαῖς εἰσιν
ἡγεμόνες, οὐ μόνον μιᾶς οἰκίας ἢ συγγενείας, ἀλλὰ καὶ γνησιωτέρας

---

1 κατὰ FH¹P αὐτὸν βίου] τὸν βίον F 1. 2 μεμήνυται om. A
2 τεττάρων δ' H¹P τυγχάνει om. FA τυχὼν seclusi (cf. Mang.)
4 pr. τε om. F 6 τὴν ἑκούσιον αἵρεσιν A: τὴν εἰς τὸ ἑκούσιον αἵρεσιν FHP (v); σπουδὴν εἰς τὴν ἑκούσιον αἵρεσιν coni. Mang. ἄναυδος HP: ἄναυλος FA
7 καὶ ἀκτήμων F: καὶ ἀνούσιος καὶ ἀκτήμων AP, καὶ ἀνακούσιος καὶ ἀκτήμων H; ἀνάκουστος (pro ἀνακούσιος) coni. Cotelier βασιλέων F 8 τοῦ τυφλοῦ F: τοῦ om. AHP (v) 9 θεοῦ] τοῦ θεοῦ A ἰδίας F 10 τοῦτο τοῦ πλάτωνος adnot. mg H 11 δ' F ἕτερον om. F ἃ χρὴ] ἃ δεῖ A
12 ἐπεὶ — ἃ μὴ δεῖ (13) om. F 13 ἃ δεῖ] ἃ χρὴ F 14 τρίτον λαβεῖν FAP: λαβεῖν τρίτον H (v) . 15 τοῦ om. F 16 παρὰ θεῷ δ' F: παρὰ δὲ θεῷ AHP (v) ἀρχιερωσύνη F 17 θεραπεύει A ὑπὲρ F: om. AHP (v)
20 τοῖς codd.: τῆς v 21 γε om. Turn. ἀνειμένος A 25 ἔθνους om. A post ἰσάριθμοι add. γὰρ A εἰσιν] ἦσαν coni. Mang.

οἰκειότητος· ἀδελφοὶ γὰρ ὁμοπάτριοι πάντες· ὁ δὲ τούτων πάππος καὶ
πρόπαππος σὺν τῷ πατρὶ γεγόνασιν ἀρχηγέται τοῦ ἔθνους. ὁ μὲν οὖν 58
πρῶτος πρὸς ἀλήθειαν ἐκ τύφου μεταθέμενος καὶ τῆς ἐν τοῖς μαθή-
μασι Χαλδαϊκῆς τερθρείας ὑπεριδὼν ἕνεκα τελειοτέρας ὄψεως, ἣν θεα-
σάμενος ἑλχθεὶς ἠκολούθησε τῇ φαντασίᾳ, καθάπερ τὸν σίδηρόν φασιν
ὑπὸ λίθου τῆς μαγνήτιδος ἕλκεσθαι, ἀντὶ σοφιστοῦ γενόμενος ἐκ διδα-
σκαλίας σοφός, πολλοὺς μὲν ἔσχε παῖδας, ἅπαντας δὲ πλὴν ἑνὸς ὑπαι-
τίους, ὃς τὰ πείσματα τοῦ γένους ἐκδησάμενος ἀσφαλῶς ἐνωρμίσατο.
τῷ δ' υἱῷ πάλιν αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ φύσιν δύο 59
συνέβη παῖδας γενέσθαι, τὸν μὲν ἄγριον καὶ ἀτίθασον, θυμοῦ γέμοντα
καὶ ἐπιθυμίας καὶ συνόλως τὸ τῆς ψυχῆς ἄλογον μέρος ἐπιτετειχικότα
I M. τῷ λογικῷ, τὸν δ' ἥμερον καὶ φιλάνθρωπον, καλοκἀγαθίας | ἐραστὴν
ἰσότητός τε καὶ ἀτυφίας, ἐν βελτίονι τεταγμένον τάξει, λογισμοῦ προ-
αγωνιστήν, ἀφροσύνης ἀντίπαλον· οὗτός ἐστιν ὁ τρίτος τῶν ἀρχηγετῶν, 60
ὁ πολύπαις τε καὶ μόνος εὔτεκνος, ἀσινὴς ἐν ἅπασι τοῖς μέρεσι τῆς
οἰκίας, οἷά τις γεωργὸς εὐδαίμων ἅπασαν τὴν σπορὰν ἐπιδὼν σῶον ἥμερόν
τε καὶ καρποφόρον. (11.) ἔχει δ' ἕκαστος τῶν τριῶν τὴν ῥητὴν 61
διήγησιν σύμβολον διανοίας ἀφανοῦς, ἣν ἐπισκεπτέον. αὐτίκα παντὶ τῷ
διδασκομένῳ συμβαίνει μετιόντι πρὸς ἐπιστήμην ἀπολιπεῖν ἀμαθίαν·
ἀμαθία δὲ πολύχουν. διὰ τοῦτο ὁ πρῶτος λέγεται πολύπαις μέν,
οὐδένα δὲ τῶν ἄλλων ἀξιώσας υἱὸν αὐτοῦ χρηματίζειν πλὴν ἑνός·
τρόπον γάρ τινα καὶ ὁ μανθάνων ἀποκηρύττει τὰ τῆς ἀμαθίας ἔκγονα
καὶ ὡς ἐχθρὰ καὶ δυσμενῆ παραιτεῖται. φύσει γε μὴν πάντες οἱ 62
ἄνθρωποι, πρὶν τελειωθῆναι τὸν ἐν αὐτοῖς λόγον, κείμεθα ἐν μεθορίῳ

2 σὺν τῷ πατρὶ om. F 3 πρὸς] εἰς F μετατιθέμενος A 5 ἑλχθεὶς scripsi: θελχθεὶς codd. (v) 6 μαγνίτιδος F 7 post σοφός interpung. et οὗτος ante πολλοὺς add. AHP (v), οὗτος om. FN 7. 8 πλὴν ἑνὸς ὑπαιτίους FNHP (Turn.): οὐ καλοὺς πλὴν ἑνὸς ἀνυπαιτίου A (Mang.) 8 ὃς FNHP (Turn.): ᾧ A (Mang.) 9 φύσιν κτησαμένῳ transp. A 10 γίνεσθαι H[1]P ἀτίθασσον FA 11 ἐπιτετειχηκότα H 12 δὲ v ἐραστὴν Mang.: ἐργάτην codd. 13 βελτίονι FN: τῇ βελτίονι AHP (v) 15 ἅπασι A 16 ἐπιδὼν] ἐπιδιδοὺς AP[2] σῶον om. N 17 δ'] μὲν οὖν conicio 18 post διήγησιν videntur deesse nonnulla; διήγησιν ⟨ταύτην· ἔστι δὲ καὶ⟩ e. gr. suppleo διανοίας] ἐννοίας vel ὑπονοίας coni. Mang. 19 πρὸς F: εἰς AHP (v) 20 διὰ τοῦθ' F 21 δὲ FH[2]: καὶ H[1]P, om. A υἱὸν A: υἱῶν FHP (Turn.) αὐτοῦ codd. (v) πλὴν ἑνὸς χρηματίζειν transp. F 23 γε μὴν] μὲν οὖν F οἱ om. HP (πάντες οἱ om. Turn.) 24 αὐτοῖς codd.

1—17 N fol. 160r: ἀδελφοὶ — καρποφόρον.

κακίας καὶ ἀρετῆς πρὸς μηδέτερά πω ταλαντεύοντες· ἐπειδὰν δὲ πτερυ-
ξάμενος ὁ νοῦς ὅλῃ τῇ ψυχῇ διὰ πάντων αὐτῆς τῶν μερῶν φαντασιωθῇ
τὸ ἀγαθόν, ἄφετος πρὸς αὐτὸ καὶ πτηνὸς ὁρμᾷ τὸ συγγεγεννημένον
ἀδελφὸν κακὸν ὀπίσω καταλιπών, ὃ καὶ ἀποφεύγει τὴν ἐναντίαν ὁδὸν
63 ἀμεταστρεπτί. τοῦτ' ἐστὶν ὃ αἰνίττεται φάσκων υἱοὺς δύο γεγενῆσθαι
διδύμους τῷ φύσεως εὐμοίρου λαχόντι· παντὸς γὰρ ἀνθρώπου κατ'
ἀρχὰς ἅμα τῇ γενέσει κυοφορεῖ δίδυμα ἡ ψυχή, κακόν, ὡς ἔφην, καὶ
ἀγαθόν, ἑκάτερον φαντασιουμένη· μακαρίας δὲ καὶ εὐδαίμονος ὅταν
τύχῃ μερίδος, ὁλκῇ μιᾷ ῥέπει πρὸς τὸ ἀγαθόν, μήτ' ἐπὶ θάτερά ποτε
64 ταλαντεύσασα μήτ' ἐπαμφοτερίσασα πρὸς τὸ ἰσόρροπον. ἡ δ' ἀγαθῆς μὲν
φύσεως ἀγαθῆς δὲ καὶ παιδεύσεως ἐπιλαχοῦσα κἀκ τρίτου συνασκηθεῖσα
τοῖς τῆς ἀρετῆς θεωρήμασιν, ὡς μηδὲν αὐτῶν ἐξ ἐπιπολῆς πλαδᾶν, ἔγκολλα
δ' εἶναι καὶ ἐντετυπωμένα τὰ πάντα καθάπερ νεύροις τισὶν ἑνωθέντα, κτᾶται
μὲν ὑγείαν, κτᾶται δὲ δύναμιν, οἷς εὔχροια μὲν ἐξ αἰδοῦς, εὐεξία δὲ καὶ
65 κάλλος ἐπιγίνεται. γενομένη δὲ πλήρωμα ἀρετῶν ἥδε ἡ ψυχὴ διὰ τριῶν
τῶν ἀρίστων, φύσεως καὶ μαθήσεως καὶ ἀσκήσεως, οὐδὲν ἐν ἑαυτῇ
καταλιποῦσα κενὸν εἰς πάροδον ἄλλων, γεννᾷ τέλειον ἀριθμόν, διττὰς
υἱῶν ἑξάδας, ἀπεικόνισμα καὶ μίμημα τοῦ ζῳδιακοῦ κύκλου, πρὸς τὴν
τῶν ἐνταῦθα βελτίωσιν. οὗτός ἐστιν ὁ ἀσινὴς οἶκος, ὁ τέλειος καὶ
συνεχὴς ἐν ταῖς ῥηταῖς γραφαῖς καὶ ἐν ταῖς καθ' ὑπόνοιαν ἀλληγορίαις,
ὃς ἔλαβεν ἆθλον, καθάπερ εἶπον, ἡγεμονίαν τῶν τοῦ ἔθνους | φυλῶν. p. 419
66 ἐκ τοῦδε τοῦ οἴκου χρόνοις εἰς πολυανθρωπίαν ἐπιδόντος εὔνομοι
πόλεις ἐκτίσθησαν, διδασκαλεῖα φρονήσεως καὶ δικαιοσύνης καὶ ὁσιό-

---

1 μηδ' ἕτερα F πως A 3 πρὸς αὐτὸν A συγγεγεννημένον P: συγγεγενημένον FAH (v) 5 τοῦτ' ἔσθ' F 7 ὡς] ὃ A 8 ἑκάτερα A 9 ὁλκῇ] ἀλκῇ A ῥέποι HP ἐπὶ θάτερα FA: ἐπὶ θάτερον HP (v) 11 δὲ καὶ FHP: καὶ om. A (v) συνασκηθεῖσα] πολλάκις συγγυμνασθεῖσα ss. F²; ἐνασκηθεῖσα coni. Mang. 12 μήδὲ H πλαδᾶν scripsi: ἐπιπλαδᾶν codd. (v), ἐπιπολάζειν ss. F² 13 τὰ om. A 14 οἷς] ἧ H² (Turn.) μὲν om. F 15 ἥδε FA: ἡ δὲ H¹P, ἡ δὲ H², om. v ψυχὴ—ἐν ἑαυτῇ (16) om. A 16 καὶ μαθήσεως F: καὶ om. HP (v) ἐν ἑαυτῇ F: ἐν om. HP (Turn.); ἐν αὑτῇ Mang. 17 λιποῦσα A; ἀπολιποῦσα coni. Mang. πᾶν κενὸν A καινὸν L (Turn.) 19. 20 καὶ συνεχὴς HP: ὁ συνεχῶς F, κύκλος καὶ (sic) A; καὶ καλὸς coni. Mang. 21 ὃς] ἧς A ἡγεμονίαν AHP: ἡγεμονίας F (v) 22 ἐκ τοῦδε F: ἐκ τοῦδε οὖν AHP (v) ἐπιδόντος F: ἐπιδιδόντος AHP (v) 23 post ἐκτίσθησαν add. καὶ HP (v) διδασκαλεῖα Mang.: διδασκαλία HP¹, διδασκαλίαι AP², διδασκαλίας F

6—8 DP fol. 376ᵛ Φίλωνος: παντὸς ἀνθρώπου κατ' ἀρχὰς ἅμα τῇ γενέσει κυοφορεῖ δίδυμα ἡ ψυχή, κακὸν καὶ ἀγαθόν, ἑκάτερον φαντασιούμενον.

τητος, ἐν οἷς καὶ ἡ τῆς ἄλλης ἀρετῆς μεταποίησις μεγαλοπρεπῶς διερευνᾶται.

(12.) Τὰ μὲν οὖν ἀπονεμηθέντα πάλαι τοῖς ἀγαθοῖς ἆθλα κοινῇ 67
τε καὶ ἰδίᾳ λέλεκται τυπωδέστερον, ἀφ' ὧν καὶ τὰ παραλειφθέντα δύναιτ' ἄν τις εὐμαρέστατα συνορᾶν. ἑξῆς δὲ τὰς προτεθείσας τοῖς πονηροῖς κολάσεις [ἐν μέρει] πάλιν ἐπισκεπτέον γενικώτερον, ἐπεὶ τὰς
κατὰ μέρος ἀναγράφειν οὐ καιρός. ἐγένετό τις κατ' ἀρχὰς εὐθύς, ὅτ' 68
οὔπω τὸ τῶν ἀνθρώπων γένος ἐπλήθυνεν, ἀδελφοκτόνος. οὗτός ἐστιν ὁ πρῶτος ἐναγής, ὁ πρῶτος καθαρευούσῃ τῇ γῇ μίασμα προσβαλὼν ἄηθες ἀνθρωπείου αἵματος, ὁ πρῶτος ἀνιεῖσαν καὶ βλαστάνουσαν γένη ζῴων καὶ φυτῶν καὶ οἷς εὐτοκεῖ πᾶσι τεθηλυῖαν τῆς εὐτοκίας ἐπισχών, ὁ πρῶτος φθορὰν γενέσει καὶ θάνατον ζωῇ καὶ πένθος χαρᾷ καὶ κακὰ
ἀγαθοῖς ἐπιτειχίσας. τί ἂν οὖν παθὼν ἀξίαν ἐδεδώκει δίκην, ὃς διὰ 69
μιᾶς πράξεως οὐδὲν τῶν βιαίων καὶ ἀσεβῶν παρέλιπεν; ἴσως ἂν εἴποι τις· ἀναιρεθείς. ὁ λογισμὸς οὗτος ἀνθρώπου τὸ μέγα δικαστήριον οὐ βλέποντος· ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι τὸν
θάνατον, ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόλις οὗτός ἐστιν ἀρχή. ἐπεὶ 70
τοίνυν καινὸν τὸ ἔργον, ἔδει καὶ τὴν ἐπ' αὐτῷ τιμωρίαν καινὴν εὑρεθῆναι. τίς οὖν ἐστιν αὕτη; ζῆν ἀποθνῄσκοντα ἀεὶ καὶ τρόπον τινὰ θάνατον ἀθάνατον ὑπομένειν καὶ ἀτελεύτητον. θανάτου γὰρ διττὸν εἶδος· τὸ μὲν κατὰ τὸ τεθνάναι, ὅπερ ἀγαθόν ἐστιν ⟨ἢ⟩ ἀδιάφορον, τὸ δὲ κατὰ

1 ἐν οἷς καὶ om. HP (ἐν οἷς om. Turn.) ἧς (sic) F [supra: οἷς] ἡ FA: om. HP (v) μεταποίησις FHP: πόνησις A 5 εὐμαρέστατα scripsi: εὐμαρέστερον codd. (v) 6 ἐν μέρει seclusi τὰς] πάσας conicio 8 τὸ om. Turn. τῶν ἀνθρώπων] ἀνθρώπινον F 8. 9 ὁ πρῶτος ἐστὶν transp. A 9 μίασμα codd.: τὸ μίασμα Mang. ἐμβαλὼν A 10 ἄηθες FAP: ἄπειθες (sic) H (Turn.) ἀνθρωπείου FA: τοῦ ἀνθρωπείου HP (v) ἀνιεῖσαν A: ἀνεῖσαν FHP (Turn.) 11 καὶ ante οἷς om. HP (Turn.) 13 τί ἂν οὖν] ἂν om. F, τίνα οὖν coni. Mang. δεδώκει FA 14 παρέλιπεν FA: παρέλειπεν HP (v) 15 ἀναιρεθείς F: ἀναιρεθεὶς θάνατον HP (Turn.), ἀναιρεθεὶς θᾶττον A (Mang.) ὁ λογισμὸς δ' HP (v), δ' om. FA ἀνθρώπου A: ἀνθρώπινος FHP (v) 16 πέρα HP νομίζουσιν εἶναι D[M] 16. 17 τὸν θάνατον D: τὸν om. codd. (v) 17 μόλις F: μόγις AHPD (v) οὗτός ἐστιν D: ἐστὶν οὗτος codd. (v) 20 ἀθάνατον om. L (Turn.) 21 ἢ ἀδιάφορον v (ἢ add. Turn.): ἢ om. FHP, ἢ ἀδιάφορον om. A

7sqq. Gen. cap. 4. 12. 13 N fol. 160v: πρῶτος — ἐπιτειχίσας. 16. 17 D[M] fol. 287v Φίλωνος ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων λόγου D[H] fol. 334v D[V] p. 730 Mel. Barocc. fol. 259v Φίλωνος: ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι τὸν θάνατον ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόγις οὗτός ἐστιν ἀρχή (ἡ ἀρχή Bar.)

τὸ ἀποθνήσκειν, ὃ δὴ κακὸν πάντως καὶ ὅσῳ χρονιώτερον βαρύτερον.
71 πῶς οὖν ὁ θάνατος αὐτῷ συνδιαιωνίζει, σκόπει. τεττάρων ὄντων ἐν τῇ
ψυχῇ παθῶν, δυοῖν μὲν περὶ τὸ ἀγαθὸν ἐνεστὸς ἢ μέλλον, ἡδονῆς καὶ
ἐπιθυμίας, δυοῖν δὲ περὶ τὸ κακὸν παρὸν ἢ προσδοκώμενον, λύπης καὶ
φόβου, τὴν μὲν τοῦ ἀγαθοῦ ῥίζαις αὐταῖς ἐξέτεμε συζυγίαν, ἵνα μηδ' ἐκ
τύχης ἡσθῇ ποτε ἢ ἐπιθυμήσῃ τινὸς ἡδέος, τὴν δὲ τοῦ κακοῦ μόνην
72 ἐνεφύτευσεν εἰς λύπην εὐθυμίας ἀμιγῆ καὶ φόβον ἄκρατον. φησὶ γάρ,
ὅτι ἀρὰν ἐπηράσατο τῷ ἀδελφοκτόνῳ, ὡς | „στένειν καὶ τρέμειν ἀεί" p. 4
(Gen. 4,12), καὶ σημεῖον ἔθετο αὐτῷ μὴ ἀναιρεθῆναι πρός τινος
(ib. v. 15), ἵνα μὴ ἅπαξ ἀποθάνῃ, διαιωνίζῃ δέ, ὡς εἶπον, ἀποθνήσκων
ἐν ἀλγηδόσι καὶ ἀνίαις καὶ συμφοραῖς ἀδιαστάτοις καί, ὃ δὴ πάντων
ἀργαλεώτατον, αἰσθάνηται τῶν ἰδίων κακῶν καὶ ἐπὶ τοῖς ἐν χερσὶν
ἄχθηται καὶ τὴν φορὰν τῶν μελλόντων προορώμενος μὴ δύνηται φυλά-
ξασθαι, τῆς ἐλπίδος ἐκτετμημένης αὐτῷ, ἣν ὁ θεὸς ἀνθρώπων γένει
κατέσπειρεν, ἵν' ἔχοντες συμφυὲς παραμύθιον ἐπελαφρίζωνται τὰς ἀνίας
73 οἱ μὴ ἀνίατα δράσαντες. ὥσπερ οὖν τῷ συναρπασθέντι ὑπὸ χειμάρρου
φοβερὸν μὲν τὸ πλησίον ῥεῦμα ᾧ κατασύρεται, φοβερώτερον δὲ τὸ
ἄνωθεν ἐπιφερόμενον, ὃ τῇ μὲν βίᾳ συντόνως ἐπωθεῖ καὶ ἀλήκτως, τῇ
δ' ἐπαναστάσει μετεωριζόμενον ἐπικλύζει, τὸν αὐτὸν τρόπον καὶ τῶν
κακῶν ἀνιαρὰ μὲν τὰ ἐν χερσίν, ἀργαλεώτερα δὲ τὰ ἐκ φόβου ῥέοντα·
χορηγεῖ γὰρ ὁ φόβος καθάπερ ἐκ πηγῆς τὰ ὀδυνηρά.
74 (13.) Ταῦτα μέν ἐστι τὰ ὁρισθέντα κατὰ τοῦ πρώτου γεγονότος
ἀδελφοκτόνου· ὡρίσθη δὲ καὶ ἐπ' οἰκίαις ἕτερα συνθεμέναις κοινοπραγίαν
ἁμαρτημάτων. ἦσάν τινες νεωκόροι καὶ ἱερόδουλοι τὴν πυλωρῶν τεταγ-

3 δυοῖν] δυοῖν θάτερον A ἐνεστὸς H²: ἐνεστὼς FAH¹P μέλλων H¹P
5 ῥίζαν ἐν αὐταῖς ἐξέτεμε συζυγίαις A μηδ'] μὴ A 6 μόνην FAP: μόνον H (v)
7 εὐθυμία A φόβου L (Turn.) ἑκάτερα καὶ ἄκρατον A 8 ἐπηράσατο
FAH¹P: ἐπηρᾶτο H² (v) ὡς om. F ἀεὶ καὶ τρέμειν transp. F
9 αὐτῷ] αὐτὸν F μὴ ἀναιρεθῆναι om. A 10 διαιωνίζει P δ' F
11 ἀλγηδόναις (sic) H 13 φθορὰν H (Turn.) 14 ὁ θεὸς F: ὁ om. AHP (v)
15 ἐγκατέσπειρεν voluit Mang. ἐπελαφρίζονται F (-ωνται scripsi): ἐπελαφρίζοιντο
AHP (v) τὰς] τῆς A 16 τῶν συναρπασθέντων N χειμάρου A
18. 19 ὃ τῇ ἀναστάσει μετεωριζόμενον (cet. om.) H 19 ἐπικλύζῃ F 22 ἐστι
om. A πρώτου] α^ῦ L; αὖ Turn. 23 κοινοπραγία HP (-ίᾳ Turn.)
24 ἦσάν τινες FA: ἦσαν τέ τινες HP; ἦσαν δέ τινες v, δή pro δέ coni. Mang.
post τινες add. τεταγμένοι AHP (v), om. F τὴν] τῶν A

16—21 N fol. 160v: ὥσπερ — ὀδυνηρά. 24 sqq. Num. cap. 16.

μένοι τάξιν· οὗτοι φρονήματος ὑποπλησθέντες ἀλόγου τοῖς ἱερεῦσιν
ἐπανέστησαν, ἀξιοῦντες τὰ ἐκείνων γέρα σφετερίζεσθαι. προστησάμενοι 75
δὲ τῆς συστάσεως ἡγεμόνα τὸν πρεσβύτατον, ὃς καὶ τοῦ τολμήματος
μετ' ὀλίγων τῶν συναπονοηθέντων εἰσηγητὴς ἐγένετο, καταλιπόντες τὰ
προπύλαια καὶ τὰς ἐσχατιὰς ἐπὶ τῶν ἀδύτων ἐχώρουν τοὺς χρησμοῖς
ἀξιωθέντας τῆς ἱερωσύνης μεθιστάντες. ταραχὴ μὲν οὖν, ὡς εἰκός, 76
ἐπεῖχε τὴν πληθὺν ἅπασαν, ἅτε κινουμένων τῶν ἀκινήτων καὶ παρα-
σπονδουμένων τῶν νόμων καὶ τοῦ περὶ τὸ ἱερὸν κόσμου σύγχυσιν λαμ-
βάνοντος ὑπ' ἀταξίας δεινῆς. ἐφ' οἷς ὁ τοῦ ἔθνους ἐπιμελητὴς καὶ 77
προστάτης ἠγανάκτει. καὶ τὸ μὲν πρῶτον ἤθει βαρυτέρῳ χρώμενος
χωρὶς ὀργῆς — ἦν γὰρ καὶ τὴν φύσιν ἀόργητος — λόγοις ἀναδιδάσκειν
ἐπειρᾶτο μεταβάλλεσθαι καὶ τοὺς ταχθέντας ὅρους μὴ ὑπερβαίνειν μηδὲ
νεωτερίζειν εἰς τὰ ἅγια καὶ καθωσιωμένα, ὧν αἱ τοῦ ἔθνους ἐλπίδες
ἐκκρέμανται. ἐπεὶ δ' οὐδὲν ἤνυεν, ἀλλ' ἐκεκώφηντο πρὸς ἅπαντα νομί- 78
ζοντες αὐτὸν ἡττηθέντα φιλοικείου πάθους ἀρχιερέα μὲν τὸν ἀδελφὸν
καταστῆσαι, τοῖς δ' ἀδελφιδοῖς ἐγχειρίσαι τὴν ἱερωσύνην, δεινὸν οὐχὶ
M. τοῦθ' ὑπελάμβανε καίπερ ὂν δεινόν, ἀλλ' ἐκεῖνο | παγχάλεπον, εἰ δόξει
τῶν λογίων, καθ' ἃ γέγονεν ἡ αἵρεσις τῶν ἱερέων, ἀλογεῖν. * * *

⟨Περὶ εὐχῶν καὶ εὐλογιῶν.⟩

(14.) * * * μαρτυρία δὲ σαφὴς ἐν τοῖς ἱεροῖς ἀνάκειται γράμμασι. 79
λέγε τὰς εὐχὰς πρότερον, ἃς „εὐλογίας“ εἴωθεν ὀνομάζειν. ἐάν, φησί,
τὰς θείας ἐντολὰς φυλάττητε καταπειθεῖς γινόμενοι τοῖς προστάγμασι

2 ἀξιοῦντες — σφετερίζεσθαι post ἡγεμόνα (3) transp. A σφετερίζεσθαι FA: σφετερίσασθαι HP (v) 3 συστάσεως FH: στάσεως AP πρεσβύτερον A 4 συναπονηθέντων A 5 ἐπὶ] ἄχρι coni. Mang. 5. 6 τὸν χρησμοῖς ἀξιωθέντα A 6 τὴν ἱερωσύνην H 7 ἐπεῖχε codd.: ἐπέσχε v 7. 8 παρανομουμένων voluit Mang. 8. 9 λαβόντος A 10 βαρύτερον H[1]; πραοτέρῳ coni. Mang. 12 μεταβάλλεσθαι codd.: μεταβαλέσθαι Turn. 14 ἐκρέμαντο H (Turn.) ἐπεὶ δ' F: ἀλλ' ἐπεὶ δ' HP, ἀλλ' ἐπειδὴ A (v) ἐκκεκώφηντο A (ἐκεκώφωντο Mang.) 17 τοῦθ' F: τοῦτο AHP (v) ὑπελάμβανεν H 18 καθ' ἅπερ A post ἀλογεῖν multa deesse videri recte animadvertit Mangey; interciderunt finis capitis *de poenis* (περὶ ἐπιτιμίων) et initium capitis *de benedictionibus* (περὶ εὐχῶν καὶ εὐλογιῶν) 19 tit. περὶ εὐχῶν καὶ εὐλογιῶν addidi 21 λέγε FH[1]P[1]: λέγειν AH[2]P[2] (v); λέγει coni. Mang. εἴωθεν εὐλογίας transp. A 22 γινόμενοι F: γενόμενοι AHP (v)

21 sqq. Ex. 23,22. Lev. 26,3 sqq. Deut. 7,12 sqq. 28,1 sqq. 30,1 sqq.

καὶ τὰ διαγορευόμενα μὴ μέχρις ἀκοῆς καταδέχησθε, ἀλλὰ διὰ τῶν τοῦ
80 βίου πράξεων ἐπιτελῆτε, πρώτην δωρεὰν ἕξετε νίκην κατ' ἐχθρῶν. οὐ
γὰρ ὑπέρογκοι καὶ βαρύτεραι τῆς τῶν χρησομένων δυνάμεως αἱ προσ-
τάξεις εἰσὶν οὐδὲ μακρὰν τὸ ἀγαθὸν ἀφέστηκεν, ἢ πέραν θαλάττης ἢ ἐν
ἐσχατιαῖς γῆς, ὡς δεῖσθαι πολυχρονίου καὶ καματηρᾶς ἀποδημίας, οὐδ'
ἐξαίφνης ἐστείλατο τὴν ἐνθένδε εἰς οὐρανὸν ἀποικίαν, ἵνα τις μετέωρος
καὶ πτηνὸς ἀρθεὶς μόλις ἐφικέσθαι τούτων δυνηθῇ· πλησίον δ' ἐστὶ καὶ
ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ' ἕκαστον ἡμῶν ἐνιδρυμένον, „στόματι
καὶ καρδίᾳ καὶ χερσί", τροπικώτερον λόγῳ καὶ διανοίᾳ καὶ πράξεσιν.
81 ἐὰν γὰρ οἷα τὰ βουλεύματα τοιοῦτοι οἱ λόγοι καὶ οἷα τὰ λεγόμενα τοιαίδε
αἱ πράξεις ὦσι, καὶ ταῦτα ἀλλήλοις ἀντακολουθῇ δεθέντα ἁρμονίας
ἀλύτοις δεσμοῖς, εὐδαιμονία κρατεῖ, τουτέστιν ἡ ἀψευδεστάτη σοφία καὶ
φρόνησις, σοφία μὲν [γὰρ] πρὸς θεραπείαν θεοῦ, φρόνησις δὲ πρὸς
82 ἀνθρωπίνου βίου διοίκησιν. ἄχρι μὲν οὖν λέγεται μόνον τὰ τῶν νόμων
παραγγέλματα, βραχείας ἢ οὐδεμιᾶς ἀποδοχῆς τυγχάνει· προσγενομένων
δ' ἀκολούθων καὶ ἑπομένων ἔργων ἐν τοῖς τοῦ βίου πᾶσιν ἐπιτηδεύμασιν,
ὥσπερ ἐκ ζόφου βαθέος εἰς φῶς ἀναχθέντα περιλαμφθήσεται δι' εὐκλείας
83 καὶ εὐφημίας. τίς γὰρ οὐκ ἂν εἴποι καὶ τῶν φύσει βασκάνων, ὅτι
σοφὸν ἄρα γένος καὶ ἐπιστημονικώτατον μόνον τοῦτ' ἐστίν, ᾧ τὰς θείας
παραινέσεις ἐξεγένετο μὴ κενὰς καὶ ἐρήμους ἀπολιπεῖν τῶν οἰκείων
84 πράξεων, ἀλλὰ πληρῶσαι τοὺς λόγους ἔργοις ἐπαινετοῖς; τοῦτο τὸ γένος
οὐ μακρὰν ἀπῴκισται θεοῦ, φαντασιούμενον ἀεὶ τὰ αἰθέρια κάλλη καὶ
ποδηγετούμενον ὑπ' ἔρωτος οὐρανίου, ὥς, κἂν εἰ πύθοιτό τις, ποῖον
ἔθνος μέγα, προσφυῶς ἄν τινας ἀποκρίνασθαι· ᾧ ὁ θεός ἐστιν ἐπήκοος
ἱεροπρεπεστάτων εὐχῶν καὶ ταῖς ἀπὸ καθαροῦ τοῦ συνειδότος κατακλήσεσι
συνεγγίζων.

2 πρώτην FAP: πρὸς τὴν H (Turn.) 3. 4 προστάξεις] πράξεις A 4 τἀγαθὸν F θαλάττης F: θαλάσσης AHP (v) 5 οὐδὲ HP 6 ἐνθένδε F: ἐντεῦθεν AHP (v) οὐρανὸν F: οὐρανοὺς AHP (v) 8 ἐγγύτατα L (ἐγγύτατον Turn.) τῶν codd.: τοῖς Mang. ἐνιδρυμένων A 9 τροπικώτερον F: om. AHP (v) 10 λεγόμενα] βουλεύματα A τοιαίδε HP: τοιαίδε καὶ A, τοιαῦται F 11 ἁρμονίας] ἐναρμονίως A 13 σοφία F: σοφίαν AHP γὰρ seclusi φρόνησις F: φρόνησιν AHP δὲ om. P 14 ἀνθρώπου H[1]P νόμων] νοημάτων P 15 ἢ] δὲ A προσγινομένων A 19 ἐπιστημονικώτερον A 21 post πληρῶσαι add. καὶ A 24 τινας ἀποκρίνασθαι FA: τιν' ἀνταποκρίνασθαι HP (v) ἐπήκοος v (Turn.): ὑπήκοος codd. 25 τοῦ καθαροῦ transp. A

2 sqq. Deut. 30,11—14. 19 cf. Deut. 4,6. 23—26 Deut. 4,7.

(15.) Ἐπεὶ δ' ἐχθρῶν διττὸν εἶδος, τὸ μὲν ἀνθρώπων ἐκ πλεο- 85
νεξίας ἐπιτηδεύσει γεγονός, τὸ δὲ θηρίων ἄνευ ἐπιτηδεύσεως ἀλλοτριότητι
χρώμενον φυσικῇ, περὶ ἑκατέρου λεκτέον ἐν μέρει, καὶ πρότερόν γε
τοῦ κατὰ τοὺς φύσει πολεμίους θηρας· οὗτοι γὰρ οὐ μιᾶς πόλεως ἢ
ἔθνους ἑνός, ἀλλὰ τοῦ σύμπαντος ἀνθρώπων γένους δυσμενεῖς εἰσιν, οὐ
M. πρὸς | ὡρισμένου χρόνου μῆκος, ἀλλὰ τὸν ἀόριστον καὶ ἀπερίγραφον
αἰῶνα. τούτων οἱ μὲν ὡς δεσπότην ἄνθρωπον δεδιότες ὑποπτήσσουσιν 86
ἐγκότῳ μίσει, οἱ δὲ τολμηταὶ καὶ θρασύτεροι προσεπιχειροῦσι καιροφυλα-
κοῦντες, εἰ μὲν ἀσθενέστεροι τυγχάνουσιν, ἐξ ἐνέδρας, εἰ δὲ δυνατώτεροι,
φανερῶς. ἄσπονδος γὰρ καὶ ἀκήρυκτος εἷς πόλεμος οὗτος, ὡς λύκοις 87
πρὸς ἄρνας, καὶ πᾶσι θηρίοις πρὸς πάντας ἀνθρώπους, ἐνύδροις τε καὶ
χερσαίοις· ὃν θνητὸς μὲν οὐδεὶς δυνατὸς καθαιρεῖν, ὁ δ' ἀγένητος μόνος
καθαιρεῖ, ὅταν κρίνῃ τινὰς σωτηρίας ἀξίους, εἰρηνικοὺς μὲν τὸ ἦθος,
ὁμοφροσύνην δὲ καὶ κοινωνίαν ἀσπαζομένους, οἷς φθόνος ἢ συνόλως οὐχ
ἐνῴκησεν ἢ τάχιστα μετανέστη τὰ ἴδια προφέρειν εἰς μέσον ἀγαθὰ
διεγνωκόσιν εἰς κοινὴν μετουσίαν καὶ ἀπόλαυσιν. εἰ γὰρ ἐπιλάμψειέ ποτε 88
τῷ βίῳ τὸ ἀγαθὸν τοῦτο καὶ δυνηθείημεν τὸν καιρὸν ἰδεῖν ἐκεῖνον, ἐν
ᾧ χειροήθη ποτὲ γενήσεται τὰ ἀτίθασα. πολὺ δὲ πρότερον τὰ ἐν τῇ
ψυχῇ θηρία τιθασευθήσεται, οὗ μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν· ἢ οὐχὶ
εὔηθες ὑπολαμβάνειν, ὅτι τὰς ἀπὸ τῶν ἐκτὸς θηρίων βλάβας ἐκφευξόμεθα
τὰ ἐν αὑτοῖς εἰς δεινὴν ἀγριότητα ἀεὶ συγκροτοῦντες; ὅθεν οὐκ ἀπελ-
πιστέον, ὅτι ἐξημερωθέντων τῶν κατὰ διάνοιαν καὶ τὰ ζῷα ἡμερωθήσεται.

2 γεγονός FAP: γένος H (Turn.) 3 προτέρου F γε om. A 4 τοῦ FAH^1P (Mang.): τὸ H^2 (v) οὐδεμιᾶς A 5 ἑνός F: om. AHP (v) δυσμενεῖς ⟨πολέμιοι⟩ coni. Mang. 6 πρὸς ὡρισμένου A (Mang.): πρὸς ὡρισμένον FH^2 (Turn.), προωρισμένον H^1P 8 θρασύτεροι] πραΰτεροι A προσεπιχειροῦσι A 9 μὲν FA: μὲν οὖν HP (v) τυγχάνουσιν F: τυγχάνοιεν AHP (v) alt. εἰ] οἱ P 12 οὐδεὶς μὲν θνητὸς transp. A δυνατὸς F: δύναται HP (v), om. A καθαιρεῖν H^2: καθαίρειν F, καθαίρει AH^1P ἀγέννητος codd. (v) 13 καθαιρεῖ H^2: καθαίρει FAH^1P μὲν om F 14 ὁμοφροσύνην] ὁμοφρονικοὺς F 14. 15 οὐχ ἐνῴκησεν F: οὐ συνῴκησεν AHP (v) 15 προσφέρειν AP ἀγαθὰ εἰς μέσον transp. F 16 εἰς—ἀπόλαυσιν om. F εἰ γὰρ] εἴθε γὰρ coni. Mang. 17 τἀγαθὸν F 18 pr. τὰ om. L (Turn.) ἀτίθασα HP: ἀτίθασσα FA (v) πολὺ δὲ scripsi: πολύ γε AH (v), πολὺ γὰρ FP 19 τιθασευθήσεται HP: τιθασσευθήσεται FA (v) εὑρεῖν F: οὐδέν HP (Turn.), εὑρεῖν οὐδέν A (Mang.) 20 εὔηθες] ὠήθης A ἀπὸ A: ὑπὸ FHPD (v) φευξόμεθα A 21 τὰ δ' AH^2 αὐτοῖς codd. συγκροτοῦντες ἐσόμεθα A 22 τὰ ⟨ἔξω⟩ vel ⟨ἐκτὸς⟩ ζῷα coni. Mang.

20. 21 D^R fol. 229^r Φίλωνος: εὔηθες—ἀγριότητα πρὸς ἀλλήλους συγκινοῦντες.

89 τότε μοι δοκοῦσιν ἄρκτοι καὶ λέοντες καὶ παρδάλεις καὶ τὰ παρ' Ἰνδοῖς,
ἐλέφαντές τε καὶ τίγρεις, καὶ ὅσα ἄλλα τὰς ἀλκὰς καὶ τὰς δυνάμεις
ἀήττητα μεταβαλεῖν ἐκ τοῦ μονωτικοῦ τε καὶ μονοτρόπου πρὸς τὸ
σύννομον· κἀκ τοῦ πρὸς ὀλίγον μιμήσει τῶν ἀγελαίων ἡμερωθήσεται
πρὸς τὴν ἀνθρώπου φαντασίαν, μηκέτι ὡς πρότερον ἀνερεθισθέντα, κατα-
πλαγέντα δ' ὡς ἄρχοντα καὶ φύσει δεσπότην εὐλαβῶς ἕξει, ἔνια δὲ καὶ
τοῦ χειροήθους ἅμα καὶ φιλοδεσπότου τῇ παραζηλώσει, καθάπερ τὰ
Μελιταῖα τῶν κυνιδίων ταῖς κέρκοις μεθ' ἱλαρωτέρας κινήσεως προσσαί-
90 νοντα. τότε καὶ τὰ σκορπίων γένη καὶ ὄφεων καὶ τῶν ἄλλων ἑρπετῶν
ἄπρακτον ἕξει τὸν ἰόν· φέρει καὶ ποταμὸς ὁ Αἰγύπτιος ὅμοια τοῖς οἰκήτορσι
τῆς χώρας ἀνθρωποβόρα ζῷα, τοὺς κροκοδείλους λεγομένους καὶ ποταμίους
ἵππους, φέρει καὶ τὰ πελάγη μυρίας ἰδέας ἀργαλεωτάτων ζῴων· παρ'
οἷς ἅπασιν ἱερὸς καὶ ἄσυλος γένοιτ' ἂν ὁ σπουδαῖος, ἀρετὴν τιμήσαντος
91 θεοῦ καὶ γέρας αὐτῇ παρασχόντος τὸ ἀνεπιβούλευτον. (16.) οὕτως μὲν
ὁ πρεσβύτερος καὶ χρόνῳ καὶ φύσει καταλυθήσεται πόλεμος, ἡμερωθέντων
καὶ μεταβαλόντων τῶν θηρίων πρὸς τὸ τιθασόν. ὁ δὲ | νεώτερος καὶ p. 423
ἐπιτηδεύσει γενόμενος ἐκ πλεονεξίας ῥᾳδίως διαλυθήσεται, τῶν ἀνθρώπων,
ὥς γέ μοι δοκεῖ, δυσωπηθέντων, εἰ μελλήσουσιν ἀγριώτεροι ζῴων ἀλόγων
ἐξετάζεσθαι, ὅτε τὰς ἀπὸ τῶν ἀλόγων ζημίας καὶ βλάβας ἐκπεφεύγασιν.
92 αἴσχιστον γάρ, ὡς εἰκός, φανεῖται, τὰ μὲν ἰοβόλα καὶ ἀνθρωποβόρα καὶ
ἄμικτα καὶ ἀκοινώνητα ἔνσπονδα γεγενῆσθαι μεταβαλόντα πρὸς εἰρήνην,

---

1 καὶ παρδάλεις om. A   παρ' Ἰνδοῖς ⟨ζῷα⟩ coni. Mang.   3 μεταβαλεῖν v (Turn.): μεταβάλλειν codd.   μονητικοῦ F   3. 4 πρὸς τὸ σύννομον] καὶ σύννομα ἔσται A   4 ἡμερωθήσεται codd.: ἡμερωθήσεσθαι v   5 μηκέθ' F   6 δὲ A ἕξει ss. P^2: ἕξειν $FAHP^1$ (v)   7 τοῦ FA: τῆς τοῦ HP   τοῦ φιλοδεσπότου A τῇ F (v): τί AHP; τῇ fort. secludendum (Wendl.) vel τι scribendum   8. 9 προσσαίνοντα Mang.: προσαίνοντα codd.   9 τὰ A: om. FHP (v)   10 post ἰόν add. F: οὐδενὸς ἀνθρώπων ζημία   φέρει F: om. AHP (v)   αἰγύπτου A   ὅμοια AH^1P: ὅμορα FH^2 (v); ὅμοια ⟨καὶ βλαβερὰ⟩ conicio, ἥμερα coni. Mang.   12 φέρει HP: φέρη F, om. A; οἴσει coni. Mang.   εἰδέας F   ἀργαλεωτάτων F: ἀργαλεωτάτων αὐτῇ A, om. HP (v); ἀργαλεωτέρων ἔτι coni. Mang.   13 ἅπασιν F: πᾶσιν AHP (v)   ὁ ἱερὸς A, ὁ eras. F   14 αὐτῇ F: om. AHP (v) τὸ om. A   οὕτω F   16 μεταβαλόντων A: μεταβαλλόντων FH^2, καταβαλλόντων H^1P τιθασόν HP: τιθασσόν FA (v)   18 γέ μοι FA: γ' ἐμοὶ H^2 (v), ἔμοιγε H^1P 19 τῶν ἀλόγων scripsi: τῶν ἄλλων codd. (v); τῶν αὐτῶν coni. Mang.   βλάβας καὶ ζημίας F   20 ὡς om. L (Turn.)   τὰ μὲν γὰρ A 21 μεταβαλόντα FP: μεταβαλλόντα (sic) H, μεταβάλλοντα A (v)

---

1 sqq. cf. Iesai. 11,6 sqq.

τὸ δὲ ἥμερον φύσει ζῷον, ἄνθρωπον, κοινωνίας καὶ ὁμονοίας συγγενές,
ἀσπονδεὶ φονᾶν κατὰ τῶν ὁμοίων. ἢ τὸ παράπαν οὖν, φησίν, οὐ διελεύ- 93
σεται πόλεμος διὰ χώρας εὐσεβῶν, ἀλλ' αὐτὸς καταρρυήσεται καὶ συντριβή-
σεται πρὸς ἑαυτόν, πρὸς οἵους ἔσοιτο ὁ ἀγὼν αἰσθανομένων τῶν ἀντι-
πάλων, ἅτε χρωμένους ἀνανταγωνίστῳ συμμαχίᾳ τοῦ δικαίου· μεγαλο-
πρεπὲς γὰρ καὶ περίσεμνον ἀρετὴ καὶ μόνη καθ' ἡσυχίαν ἱκανὴ φορὰς
μεγάλων ἐξευμαρίζειν κακῶν. ἢ κἂν μεμηνότες τινὲς ἄττωσιν ἀκαθέκτῳ 94
καὶ ἀπαρηγορήτῳ χρώμενοι τῇ τοῦ πολεμεῖν ἐπιθυμίᾳ, μέχρι μὲν συνί-
στανται, καταλαζονεύσονται θρασυνόμενοι, πρὸς δὲ χειρῶν ἅμιλλαν ἥκοντες
αἰσθήσονται κενὸν αὔχημα αὐχήσαντες, ὡς μὴ δυνάμενοι νικᾶν· ῥώμῃ
γὰρ ἀντιβιασθέντες κραταιοτέρᾳ φεύξονται προτροπάδην πρὸς πεντάδων
ἑκατοντάδες καὶ πρὸς ἑκατοντάδων μυριάδες, πολλαῖς ὁδοῖς οἱ κατὰ μίαν
ἐπελθόντες. ἔνιοι δέ, μηδὲ διώκοντος μηδενὸς ὅτι μὴ φόβου, τὰ νῶτα 95
τοῖς ἀντιπάλοις εἰς βολὰς εὐσκόπους ἐπιστρέψουσιν, ὡς εὐμάρειαν εἶναι
πάντας ἡβηδὸν ἀναιρεθέντας πεσεῖν. „ἐξελεύσεται γὰρ ἄνθρωπος,"
φησὶν ὁ χρησμός, καὶ στρατάρχων καὶ πολεμῶν ἔθνη μεγάλα καὶ
πολυάνθρωπα χειρώσεται, τὸ ἁρμόττον ὁσίοις ἐπικουρικὸν ἐπιπέμψαντος
τοῦ θεοῦ· τοῦτο δ' ἐστὶ θάρσος ψυχῶν ἀκατάπληκτον καὶ σωμάτων
ἰσχὺς κραταιοτάτη, ὧν καὶ θάτερον φοβερὸν ἐχθροῖς, ἄμφω δὲ εἰ συνέλθοι,
καὶ παντελῶς ἀνυπόστατα. ἐνίους δὲ τῶν ἐχθρῶν ἀναξίους ἔσεσθαί 96

---

1 δὲ F: δ' AHP   ἄνθρωπον F: τὸν ἄνθρωπον AHP (v)   2 ἀσπονδεὶ F (coni. Mang.): ἀσπονδεῖ H¹P, ἀσπονδεῖν AH² (v)   οὖν, φησίν om. HP (Turn.)
4 ἔσοιτο FA: ἐστὶν HP (v)   post ἀγὼν add. ὡς ἀηττήτους A mg P², καὶ ὡς ἀηττήτους Mang.   4. 5 ἀντιπάλων] πολεμίων A   5 ἀνταγωνίστω A
6 πάνσεμνον A (Mang.)   τῶν σοφῶν ἡ ἀρετὴ D   ἱκανὴ φορὰς om. in lac. D^R D^L   7 ἐξευμενίζειν A   τινὲς om. F   ἄττωσιν F: λυττῶσιν AHP (v)
ἀκαθέκτω F: αὐθεκάστω AHP (v)   9 καταλαζονεύσονται HP: καταλαζονεύονται FA
καταθρασυνόμενοι A   10 καινὸν HP   11 κραταιότερον H   12 ἑκατοντάδες] ἑκατόν, τὰ δ' F   καὶ πρὸς et μυριάδες om. F   13 μηδὲ διώκοντος μηδενὸς A (Mang.): μηδὲ διώκοντος H (Turn.), μηδὲν διώκοντος P, οὐδὲ διώκοντος οὐδενὸς F
14 ἐπιστρέψουσιν FHP: ἀντιστρέψουσιν A (Mang.)   εὐμάρειαν codd.: εὐμαρίαν v
16 καὶ στρατάρχων FHP: καταστρατάρχων A (Mang.)   πολέμων F   ἔθνη F: ἔθνη τε AHP (v)   18 τοῦ θεοῦ F: θεοῦ AHP (v)   θάρσος codd. (Mang.): θράσος v   19 ὧ F   θάτερα F   20 ἀνυπόστατα Mang.: ἀνυπόστατον codd.

2sq. Lev. 26,5.   5—7 D^H fol. 120^v Φίλωνος ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμιῶν D^L fol. 37^v D^R fol. 33^v Φίλωνος: μεγαλοπρεπὲς καὶ περίσεμνον τῶν σοφῶν ἡ ἀρετὴ καὶ μόνη καθ' ἡσυχίαν ἱκανὴ φορὰς μεγάλων ἐξευμαρίζειν κακῶν.   11 Lev. 26,7. 8.
12 Deut. 28,7.   15 Num. 24,7.

φησιν ἥττης τῶν ἀνθρώπων, οἷς σμήνη σφηκῶν ἀντιτάξειν ἐπ' ὀλέθρῳ
97 αἰσχίστῳ προπολεμοῦντα τῶν ὁσίων. τούτους δ' οὐ μόνον τὴν ἐν
πολέμῳ νίκην ἀναιμωτὶ βεβαίως ἕξειν, ἀλλὰ καὶ κράτος ἀρχῆς ἀνανταγώνιστον ἐπ' ὠφελείᾳ τῶν | ὑπηκόων, ἢ γένοιτ' ἂν δι' εὔνοιαν ἢ φόβον p. 424
ἢ αἰδῶ. τρία γὰρ ἐπιτηδεύουσι τὰ μέγιστα καὶ συντείνοντα πρὸς ἡγεμονίαν ἀκαθαίρετον, σεμνότητα καὶ δεινότητα καὶ εὐεργεσίαν, ἐξ ὧν ἀποτελεῖται τὰ λεχθέντα· τὸ μὲν γὰρ σεμνὸν αἰδῶ κατασκευάζει, τὸ δὲ δεινὸν φόβον, τὸ δὲ εὐεργετικὸν εὔνοιαν, ἅπερ ἀνακραθέντα καὶ ἁρμοσθέντα ἐν ψυχῇ καταπειθεῖς ἄρχουσιν ὑπηκόους ἀπεργάζεται.
98 (17.) Ταῦτα μὲν δὴ πρῶτά φησι συμβήσεσθαι τοῖς ἑπομένοις θεῷ καὶ περιεχομένοις ἀεὶ καὶ πανταχοῦ τῶν προσταγμάτων αὐτοῦ καὶ ἑκάστῳ τῶν τοῦ βίου μερῶν ταῦτα ἐφαρμόττουσιν, ὡς μηδὲν νόσῳ πλαζόμενον ἐκδιαιτᾶσθαι· δεύτερον δὲ πλοῦτον, ὃς κατὰ τὸ ἀναγκαῖον
99 εἰρήνῃ καὶ ἀρχῇ ἕπεται. πλοῦτος δὲ ὁ μὲν τῆς φύσεως εὐτελής ἐστι τροφὴ καὶ σκέπη· τροφὴ μὲν οὖν ἄρτος καὶ ναματιαῖον ὕδωρ, ὃ πανταχοῦ τῆς οἰκουμένης ἀνακέχυται· σκέπης δὲ διττὸν εἶδος, τὸ μὲν ἀμπεχόνη, τὸ δὲ οἰκία, διὰ τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους παρακολουθούσας ζημίας· ὧν ἑκάτερον, εἴ τις ἐθελήσειε τὴν περίεργον καὶ περιττὴν ἀφελεῖν πολυ-
100 τέλειαν, εὐποριστότατον. οἳ δ' ἂν ζηλώσωσι τὸν λεχθέντα πλοῦτον ἀσπασάμενοι τὰ φύσεως δῶρα, μὴ τὰ τῆς κενῆς δόξης, ὀλιγοδεΐαν καὶ ἐγκράτειαν ἀσκήσαντες, ἕξουσι κατὰ πολλὴν περιουσίαν καὶ τὸν τῆς ἁβροδιαίτου τροφῆς πλοῦτον οὐκ ἐπιτηδεύσαντες· ἐπιπηδήσει γὰρ ὡς

1 τῶν ἀνθρώπων F: τῶν om. AHP (v) 1. 2 ἐπ' αἰσχίστῳ ὀλέθρῳ transp. F 2 τούτους scripsi: τοῦτο codd. (τοῦτον v) 3. 4 ἀνταγώνιστον A 4 ἢ γένοιτ' ἂν FA: οἳ γένοιντ' ἂν HP (v) 6 δειλότητα F 8 δειλὸν FH² δὲ F: δ' AHP 9 ἐν τῇ ψυχῇ A 10 φησι om. A 11 πανταχῇ HP 12 ἑκάστῳ F: ἐφ' ἑκάστῳ HP, ἀφ' ἑκάστου A; ἀφ' ἑκάστων v ταῦτ' F μηδὲν scripsi: μηδένα codd. (v) νόσῳ] νόῳ (sic) coni. Mang. 13 πλαζόμενον codd. (Mang.): πλαζομένου Turn. 14 ἕπεται] παρέπεται conicio δ' F 15 ὃ πανταχοῦ scripsi (sic etiam Wendl.): ἁ πανταχοῦ (sic) FH, ἁπανταχοῦ P, ἃ πανταχοῦ A (v) 16 σκέπη H 17 δὲ F: δ' AHP κρυμοῦ] κρύους F 18 ἑκάτερον F: ἑκάτερα HP, ἑκατέρας A (ἑκατέρα v) θελήσειε F ἀφαιρεῖν A 18. 19 πολυτέλειαν] τὸν λεχθέντα πλοῦτον A 19 εὐποριστότατον ἕξει A τὸν λεχθέντα πλοῦτον F: τὰ λεχθέντα AHP (v) 20 τῆς om. A ὀλιγοδεΐαν codd.: ὀλιγόδειαν v 21 περιουσίαν] τὴν ἐξουσίαν A 22 ἐπιπηδήσει A: ἐπιτηδεύσει FHP; ἐπελεύσεται v (Turn.)

1 Ex. 23,28. Deut. 7,20. 14sqq. cf. Wendland Beitr. z. Gesch. d. griech. Philos. u. Religion p. 9. 15sq.

πρὸς ἐπιτηδειοτάτους καὶ σεμνοὺς τῆς ἁρμοττούσης χρήσεως ἐπιστήμονας, ἀποδρὰς ἄσμενος τὰς τῶν ἀκολάστων καὶ ὑβριστῶν συνδιαιτήσεις, ἵνα μὴ χορηγῇ τοῖς ἐπὶ βλάβῃ τῶν πλησίον ζῶσι παρελθὼν τοὺς κοινωφελεῖς. λόγιον γάρ ἐστιν ὅτι τοῖς τὰς ἱεροπρεπεῖς ἐντολὰς φυλάτ- 101
τουσιν ὁ μὲν οὐρανὸς ὀμβρήσει καιρίους ὑετούς, ἡ δὲ γῆ καρπῶν παντοδαπῶν οἴσει φοράν, ἡ μὲν πεδιὰς σπαρτῶν, ἡ δ' ὀρεινὴ τῶν ἀκροδρύων, καὶ ὅτι χρόνος οὐδεὶς ἀπολειφθήσεται κενὸς εὐεργεσίας, ἀλλὰ τῷ συνεχεῖ καὶ ἐπαλλήλῳ τῶν τοῦ θεοῦ χαρίτων „καταλήψεται ὁ μὲν ἄμητος τρύγητον, καταλήψεται δὲ ὁ τρύγητος σπόρον" (Lev. 26, 5), ὡς ἀνελ- 102
λιπῶς καὶ ἀδιαστάτως ἀεὶ τὰ μὲν συγκομίζειν, τὰ δὲ ἐλπίζειν, ἐφεδρευόντων ἑτέροις ἑτέρων, ἵνα τοῖς πέρασι τῶν προτέρων αἱ τῶν ὑστέρων ἀρχαὶ συνάπτουσαι κύκλον τινὰ καὶ χορείαν ἀποτελῶσιν ἀνεπιδεᾶ παντὸς ἀγαθοῦ. τὸ γὰρ πλῆθος τῶν γινομένων ἐξαρκέσει καὶ πρὸς τὴν παραυτίκα 103
χρῆσιν καὶ ἀπόλαυσιν καὶ πρὸς τὴν τοῦ μέλλοντος ἄφθονον περιουσίαν, νέων ἐπακμαζόντων παλαιοῖς καὶ τὴν ἐκείνων ἔνδειαν προσαναπληρούντων·
425 M. ἔστι δὲ ὅτε καὶ ὑπ' εὐφορίας ἀλέκτου τῶν | πάλαι συγκομισθέντων φροντίσει τὸ παράπαν οὐδείς, ἀλλ' ἀταμίευτα καὶ ἀθησαύριστα καταλείψουσι τοῖς βουλομένοις ἀφέντες τὴν χρῆσιν ἀδεᾶ. οἷς μὲν γὰρ ὁ ἀλη- 104
θινὸς πλοῦτος ἐν οὐρανῷ κατάκειται διὰ σοφίας καὶ ὁσιότητος ἀσκηθείς, τούτοις καὶ ὁ τῶν χρημάτων ἐπὶ γῆς περιουσιάζει, προνοίᾳ καὶ ἐπιμελείᾳ θεοῦ τῶν ταμείων ἀεὶ πληρουμένων, ἐκ τοῦ τὰς ὁρμὰς τῆς διανοίας

---

1 σεμνοὺς] συγγενεῖς coni. Mang. ἁρμοττούσης F: ἁρμοζούσης AHP (v) 2 ἀποδρὰς ἄσμενος] ἀποδρασάμενος F 3 τοῖς codd. (Mang.): τοὺς Turn. 5. 6 καρπῶν παντοδαπῶν οἴσει F: παντοδαπῶν καρπῶν οἴσει AHP (παντοδαπῶν οἴσει καρπῶν Mang.), καρπῶν om. L (παντοδαπὸν οἴσει Turn.) 6 ἡ μὲν πεδιὰς σπαρτῶν om. PL (Turn.) ἡ δ' F, ἡ δὲ A: καὶ ἡ HP (Turn.) 7 οὐδεὶς] οὐδεὶς ἔρημος F 8 ἄμητος F: ἀμητὸς AHP (v) 9 τὸν τρυγητόν P τρυγητόν codd. (v) καταλήψεται om. F δὲ ὁ AH: ὁ δὲ F, ὁ om. P τρυγητὸς codd. (v) 9. 10 ὡς ἀνελλιπῶς om. A 11 ἑτέροις ἑτέρων F: ἑτέρων ἑτέροις AHP (v) ὑστέρων FA: ὕστερον HP (v) 12 ἀποτελῶσιν ἀνεπιδεᾶ F: ἀποτελῶσι μὴ ἐπιδεᾶ AHP (v) 13 πρὸς] εἰς F 16 δ' F ὅτε (corr. ex ὅτι) F: ὅπου AHP (v) ὑπ' om. A ἀλέκτου τῶν] ἀλέκτων A 17 φροντιεῖ conicio 18. 19 ὁ ἀληθινὸς codd.: ὁ om. D^{M} (v) 19 ἐν οὐρανοῖς (ἀνθρώποις D^{M}) ἀπόκειται D ἀσκηθείς om. D; αὐξηθείς coni. Mang., ἄσκησιν conicio 20 γῆς om. N (in fine lineae) προνοίᾳ δὲ A 21 ἐκ] ἕνεκα conicio

---

4 sqq. Lev. 26,3. 4. Deut. 11,13. 14. 18—360,4 D^{P} fol. 368^{v} Φίλωνος D^{M} fol. 275^{v} D^{R} fol. 276^{r} Φίλωνος ἐκ τοῦ περὶ εὐχῆς καὶ εὐλογιῶν: οἷς ὁ ἀληθινὸς πλοῦτος — εὐοδεῖν πέφυκεν ἡ κτῆσις. 18—360,6 N fol. 160^{v}: οἷς μὲν ὁ ἀληθινὸς πλοῦτος — κατὰ τὸ ἀναγκαῖον ἕπεται.

καὶ τῶν χειρῶν τὰς ἐπιβολὰς μὴ ἐμποδίζεσθαι πρὸς τὴν τῶν ἀεὶ σπου-
105 δαζομένων καλῶν κατόρθωσιν. οἷς δὲ ὁ κλῆρος οὐκ ἔστιν οὐράνιος δι'
ἀσέβειαν καὶ ἀδικίαν, οὐδὲ τῶν ἐπὶ γῆς ἀγαθῶν εὐοδεῖν πέφυκεν ἡ
κτῆσις· ἀλλὰ κἂν προσγένηται, τάχιστα ἀπεπήδησεν, ὡς παραγενομένη
τὴν ἀρχὴν οὐκ ἐπ' ὠφελείᾳ τῶν λαβόντων, ἀλλ' ὑπὲρ τοῦ βαρῦναι τὴν
ἀνίαν σφοδρότερον, ἥτις ἐκ τοῦ στέρεσθαι κατὰ τὸ ἀναγκαῖον ἕπεται.
106 (18.) τότε δή, φησίν, ὑπὸ τῆς ἄγαν εὐφορίας καὶ ἀφθονίας ὃ νῦν
ὑπομένεις ἐργάσῃ· νῦν μὲν γὰρ μήτε τῶν νόμων μήτε τῶν πατρίων
ἐθῶν αἰδῶ ποιούμενος ἀλλὰ πάντων ἀθρόως ἀλογῶν ὑστερίζεις μὲν τῶν
ἀναγκαίων, θεραπεύεις δὲ τὰς τῶν δανειστῶν καὶ ὀβολοστατῶν οἰκίας
107 ἐπὶ πολλῷ δανειζόμενος· τότε δ', ὥσπερ ἔφην, δράσεις τοὐναντίον. ὑπὸ
γὰρ ἀφθόνου περιουσίας αὐτὸς ἄλλοις δανιεῖς, καὶ οὐκ ὀλίγα οὐδ' ὀλίγοις,
ἀλλὰ πολλὰ καὶ πολλοῖς, ὅλοις μὲν οὖν ἔθνεσι, πάντων καὶ τῶν κατὰ
πόλιν καὶ τῶν κατὰ χώραν εὐτυχῶς ἀπαντώντων, τῶν μὲν κατὰ πόλιν
ἀρχαῖς καὶ τιμαῖς καὶ εὐδοξίαις διά τε εὐδικίας καὶ εὐβουλίας καὶ τοῦ
διὰ λόγων καὶ πράξεων κοινωφελοῦς, τῶν δὲ κατ' ἀγρὸν εὐφορίαις καὶ
τῶν ἀναγκαίων, σίτου, οἴνου, ἐλαίου, καὶ τῶν πρὸς ἁβροδίαιτον βίον,
ταῦτα δ' ἐστὶ τὰ ἀμύθητα γένη τῶν ἀκροδρύων καὶ ἔτι βουκολίων
108 αἰπολίων τῶν ἄλλων θρεμμάτων εὐτοκία. ἀλλὰ τί τούτων ὄφελος,
εἴποι τις ἄν, τῷ μὴ μέλλοντι κληρονόμους καὶ διαδόχους ἀπολιπεῖν;

---

1 τῶν χειρῶν τὰς ἐπιβολὰς D: τὰς τῶν χειρῶν ἐπιβολὰς codd. (v) ἐπιβουλὰς PD[M] 2 καλῶν add. D: om. codd. (v) 3 καὶ ἀδικίαν D: ἢ ἀδικίαν codd. (v) post ἀδικίαν add. καὶ γηίνας μερίμνας ἀπρεπεῖς D 4 κτίσις P ἀπεπήδησεν] ἀπεδήμησεν A 6 σφοδριώτερον H ἥτϊ (sic) A τὸ ἀναγκαῖον codd: τὸ om. v 7 δή FA: δέ HP (v) εὐφορίας καὶ ἀφθονίας F: εὐφορίας HP (v), ἀφθονίας A ὃ] ὃν F 8 ἐργάσῃ codd.: ἐργάζῃ v 9 ἀθρόον A 10 βωλοστατῶν (sic) A 11 ἐπὶ πολὺ A ὥσπερ] ὡς F 12 γὰρ om. F ἀφθόνου] φθόνου A δανειεῖς F: δανιεῖς HP (v), δανιεῖς A (σεις supra) (γρ. δανείσεις, ὅτι τὸ δανείζω ῥῆμα περισπώμενον μέλλοντα οὐ ποιεῖ· βαρβαρισμὸς γάρ ἐστι adnot. mg A man. rec.) οὐδ'] ἐν A 13 ἀλλὰ — χώραν (14) om. HP 14 pr. πόλιν F: χώραν A χώραν F: πόλιν A ἀπαντώντων FHP (Turn.): ἐχόντων ἁπάντων A (Mang.) 15 εὐδικίας H (coni. Mang.): εὐδικίας corr. ex εὐδοκίας L, εὐδοκίας FAP (v) εὐβουλίας] εὐσεβείας Turn. 16 κατ' ἀγρὸν AHP: κατὰ χώραν F 16. 17 καὶ τῶν ἀναγκαίων F: καὶ om. AHP (v) 17 καὶ ἐλαίου A (Mang.) 18 βουκόλων A 19 αἰπόλων F[1], corr. F[2] 20 καὶ διαδόχους ἀπολιπεῖν F: ἀπολιπεῖν καὶ διαδόχους A, καὶ διαδόχους om. HP (Turn.)

---

12 Deut. 15,6. 28,12. 13. 14 Deut. 28,3. 16 sqq. Deut. 7,13. 28,4.

διὰ τοῦτο ἐπισφραγιζόμενος τὰς εὐεργεσίας φησίν· οὐδεὶς ἄγονος οὐδὲ
στεῖρα γενήσεται, πάντες δὲ οἱ θεραπευταὶ θεοῦ γνήσιοι νόμον ἐκπληρώσουσι
φύσεως τὸν ἐπὶ παιδοποιίᾳ· καὶ γὰρ ἄνδρες ἔσονται πατέρες καὶ πατέρες 109
εὔπαιδες καὶ γυναῖκες ἔσονται μητέρες καὶ μητέρες εὔτεκνοι, ὡς ἕκαστον
οἶκον πλήρωμα εἶναι πολυανθρώπου συγγενείας, μηδενὸς ἐλλειφθέντος ἢ
μέρους ἢ ὀνόματος τῶν ὅσα ἐπιφημίζεται τοῖς προσήκουσι, καὶ πρὸς
τοὺς ἄνω, γονεῖς, θείους, πάππους, καὶ πρὸς τοὺς κάτω πάλιν ὁμοίως,
M. ⟨υἱούς⟩, ἀδελφούς, ἀδελφιδοῦς, υἱωνούς, θυγατριδοῦς, ἀνεψιούς, | ἀνεψια-
δοῦς, τοὺς ἐξ αἵματος πάντας. ὠκύμορος δ' ἢ ἀτελὴς οὐδεὶς ἂν γένοιτο 110
τῶν κοσμουμένων τοῖς νόμοις οὐδέ τινος ἡλικίας ἄμοιρος ὢν ὁ θεὸς
ἔνειμεν ἀνθρώπων γένει· ἀλλ' ἐκ βρέφους ἐπανιὼν ἑξῆς ὥσπερ δι' ἀνα-
βαθμῶν, τεταγμέναις χρόνων περιόδοις ἑκάστης ἡλικίας τοὺς ὁρισθέντας
ἀριθμοὺς συνεκπληρώσας, ἐπὶ τὴν τελευταίαν ἀφίξεται τὴν θανάτῳ
μᾶλλον δ' ἀθανασίᾳ γειτνιῶσαν, ὁ πρὸς ἀλήθειαν εὔγηρως, εὔπαιδα καὶ
πολύπαιδα οἶκον ἀνθ' αὑτοῦ καταλιπών. (19.) τοῦτ' ἐστὶν ὅπερ εἶπέ 111
που προθεσπίζων, ὅτι „τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσεις“
(Exod. 23, 26), παγκάλως χρησάμενος τοῖς ὀνόμασι κυρίοις ἅμα καὶ
προσφυέσιν. ὁ μὲν γὰρ ἀμαθὴς καὶ ἔκνομος „οὔτ' ἐν λόγῳ,“ φασίν,
„οὔτ' ἐν ἀριθμῷ“, τῷ δὲ παιδείας καὶ νόμων ἱερῶν μεταποιουμένῳ
πρώτη χάρις ἐστὶν ἐλλογίμῳ καὶ δοκίμῳ φανέντι μεταλαχεῖν ἀριθμοῦ

---

1 διὰ τοῦτο ἐπισφραγιζόμενος F: διὰ τοῦτο post φησὶ transp. A, διὰ τοῦτο om. HP (ἐπισφρ. διὰ τοῦτο Mang.) 3 ἐπὶ παιδογονίᾳ F ἔσονται ἄνδρες transp. A 3. 4 καὶ πατέρες εὔπαιδες om. A 4 καὶ γυναῖκες ἔσονται μητέρες καὶ μητέρες εὔτεκνοι F: καὶ γυναῖκες μητέρες εὔτεκνοι A (Mang.), καὶ μητέρες εὔτεκνοι (cet. om.) HP (Turn.) 4. 5 ἑκάστου (ου in ras. m. 2) τὸν οἶκον F 6 ὅσα] ἃ F ἐπιφημίζεται F: ἐπιφημίζεσθαι AHP 7 πάππους F: πάππους, προπάππους AHP πρὸς om. F κάτω πάλιν] κατὰ πόλιν A ὁμοίως codd.: ὁμοίους v 8 υἱούς addidi (υἱούς pro ὁμοίους coni. Mang.) ἀνεψιαδοῦς scripsi: ἀνεψιδοῦς codd. (v) 9 δ' F: om. AHP ἂν om. F 10 κοσμουμένων τοῖς νόμοις F: κοσμουμένων νόμοις A (Mang.), κόσμου πενομένων νόμοις HP (κ. γενομένων v. Turn.) ὢν FA: ὧν HP; ἣν coni. Mang. ὁ θεὸς codd.: θεὸς v 12 ἑκάστων H 13 συνεκπλήσας F 14 ὁ codd.: ἡ L (ἢ v) 14. 15 καὶ πολύπαιδα οἶκον F: οἶκον καὶ πολύπαιδα A (Mang.), καὶ πολύπαιδα om. HP (Turn.) 15 ἀντ' αὐτοῦ A 16 προθεσπίζων FA: θεσπίζων HP (v) ἀναπληρώσεις A: ἀναπλήσεις FHP (v); ἀναπληρώσω LXX 17. 18 κυρίως ἅμα καὶ προσφυῶς F 18 φασίν scripsi: φησίν codd. (v) 19 μεταποιουμένῳ] ἁπτομένῳ A

---

1 Exod. 23,26. Deut. 7, 14. 18. 19 οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ: Orac. ap. Phot. (Suid.) s. v. ὑμεῖς, ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι. Schol. Theocr. 14,48. Iamblich. Vit. Pythag. 35 (259).

112 καὶ τάξεως. ὑπερφυῶς δὲ ἔχει καὶ ἡ πλήρωσις οὐ μηνῶν ἢ ἐνιαυτῶν
ἀλλ' ἡμερῶν, ὡς δέον ἑκάστην ἡμέραν τοῦ σπουδαίου μηδὲν ἔρημον καὶ
κενὸν ἐᾶν εἰς πάροδον ἁμαρτημάτων, ἀλλὰ πᾶσι τοῖς μέρεσι καὶ διαστή-
μασιν ἑαυτῆς καλοκἀγαθίας πεπληρῶσθαι· κρίνεται γὰρ οὐ ποσότητι
ἀλλὰ ποιότητι ἡ ἀρετὴ καὶ τὸ καλόν. ὅθεν ἰσότιμον καλῷ βίῳ σοφοῦ
113 καὶ μίαν ἡμέραν ὑπέλαβεν εἶναι κατορθουμένην. τοῦτ' ἐστὶν ὃ καὶ ἐν
ἑτέροις αἰνίττεται φάσκων εὐλογίας ἄξιον ἔσεσθαι καὶ εἰσιόντα καὶ ἐξιόντα
τὸν τοιοῦτον ἄνδρα, διότι πάσαις μὲν ταῖς κινήσεσι πάσαις δὲ ταῖς
σχέσεσιν ὁ σπουδαῖος ἐπαινετός, ἔνδον τε καὶ ἔξω, πολιτικὸς ὁμοῦ καὶ
οἰκονόμος, ὡς τὰ μὲν ἔνδον ἐξορθοῦν οἰκονομικῶς, τὰ δ' ἔξω πολιτικῶς,
114 ᾗ συμφέρον ἐπανορθοῦσθαι. ἐὰν μὲν οὖν εἷς ἀνὴρ τυγχάνῃ τοιοῦτος
ὢν ἐν πόλει, τῆς πόλεως ὑπεράνω φανεῖται, ἐὰν δὲ πόλις, τῆς ἐν κύκλῳ
χώρας, ἐὰν δὲ ἔθνος, ἐπιβήσεται πᾶσιν ἔθνεσιν ὥσπερ κεφαλὴ σώματι
τοῦ περιφαίνεσθαι χάριν, οὐχ ὑπὲρ εὐδοξίας μᾶλλον ἢ τῆς τῶν ὁρώντων
ὠφελείας· αἱ γὰρ συνεχεῖς τῶν καλῶν παραδειγμάτων φαντασίαι παρα-
πλησίας εἰκόνας ἐγχαράττουσι ταῖς μὴ πάνυ σκληραῖς καὶ ἀποκρότοις
115 ψυχαῖς. ὅθεν εἴρηται πρὸς τοὺς ἐθέλοντας μιμεῖσθαι τὰ σπουδαῖα καὶ
θαυμαστὰ κάλλη μὴ ἀπογινώσκειν τὴν ἀμείνω μεταβολὴν μηδὲ τὴν
ὥσπερ ἐκ διασπορᾶς ψυχικῆς ἣν εἰργάσατο κακία πρὸς ἀρετὴν καὶ
116 σοφίαν ἐπάνοδον· ἵλεως γὰρ ὅταν ᾖ ὁ θεός, ἐξευμαρίζεται πάντα. | γίνεται p. 427

1 ὑπερφυῶς — ἡμερῶν (2) om. HP (Turn.) μηνῶν] μονῶν A 2 ὡς δέον FHP: ὡς δὲ A (ὡς δὴ Mang.) 2. 3 ἔρημον καὶ κενὸν ἐᾶν AHP: ἔχειν ἔρημον καὶ κενὸν F 4 ἑαυτῆς FAH^{1}P: αὐτῆς H^2 (v) 4. 5 ποσότητος ... ποιότητος H (Turn.) 5 καλῷ] ὅλῳ coni. Mang., ὅλῳ ⟨φαύλου⟩ βίῳ ipse conicio
6 ὑπέλαβεν F: ὑπέλαβον AHP (v) κατορθουμένην FHP: κατωρθωμένην A
7 αἰνίττεται φάσκων om. A 9 πολιτικὸς FA: πολιτικός τε HP (v) 10 ὡς A: om. FHP (v) ἐξορθοῦν codd.: ἐξορθῶν Mang. δὲ A 11. 12 τοιοῦτος ὢν om. A 14 μᾶλλον om. A 15. 16 παραπλησίους A 16 σκληραῖς] σκϊραῖς F 17 ὅθεν F: ὅθεν ὥσπερ A, ὥσπερ H^{1}P, ὅπερ H^2 (v) εἴρηται H^2: εὕρηται FAH^{1}P 18 τὰ θαυμαστὰ F ἀπογινώσκειν scripsi: ἀπογινώσκεσθαι codd. μηδὲ F: μήτε AHP (v) τὴν] τῆς F 19 ψυχικῆς FHP: ψυχῆς A (Mang.) κακίαν A 20 ἐξευμαρίζει conicio

5. 6 cf. *Quaest. in Exod. II § 20* Optimum utique non mensibus neque secundum numeros (?annos?) supputare vitam cultorum dei sed diebus, qui sunt plane aequi honoris cum ipso aeterno supputati ac connumerati. *Posidon. ap. Senec. Epist. 78,25* unus dies hominum eruditorum plus patet quam imperitis longissima aetas. *Cic. Tusc. V 5* est autem unus dies bene et ex praeceptis tuis (scil. philosophiae) actus peccanti immortalitati anteponendus. 7 Deut. 28,6.

δὲ ἵλεως τοῖς αἰδουμένοις καὶ μεθορμιζομένοις ἐξ ἀκρασίας εἰς ἐγκρά-
τειαν καὶ τὰ μὲν τῆς ὑπαιτίου ζωῆς κακίζουσι καὶ ὅσα ἐναπεμάξαντο
ταῖς ψυχαῖς αἰσχρὰ εἴδωλα μυσαττομένοις, εὐδίαν δὲ παθῶν ἐζηλωκόσι
καὶ γαλήνην καὶ εἰρήνην βίου μετατρέχουσι. καθάπερ οὖν ἀνθρώπους 117
ἐν ἐσχατιαῖς ἀπῳκισμένους ῥᾳδίως ⟨ἂν⟩ ἑνὶ κελεύσματι συναγάγοι ὁ θεὸς
ἀπὸ περάτων εἰς ὅ τι ἂν θελήσῃ χωρίον, οὕτω καὶ τὸν νοῦν ἐξ ἄλης
πολυχρονίου πάντῃ πλανηθέντα καὶ κακωθέντα πρὸς ἡδονῆς καὶ ἐπι-
θυμίας, δεσποινῶν ἐκτετιμημένων, ἐλεῶν ὁ σωτὴρ ἐξ ἀνοδίας εἰς ὁδὸν
εὐπετῶς ἂν ἀγάγοι, ἀμεταστρεπτὶ φεύγειν διεγνωκότα φυγήν, οὐ τὴν
ἐπονείδιστον λεγομένην, ἀλλὰ τὴν σωτήριον, ἣν οὐκ ἄν τις ἁμάρτοι λέγων
καθόδου κρείττονα.

(20.) Τὰ μὲν οὖν ἐκτὸς ἀγαθὰ εἴρηται, νῖκαι κατ' ἐχθρῶν, κράτη 118
πολέμων, εἰρήνης βεβαιώσεις καὶ τῶν κατ' εἰρήνην ἀγαθῶν περιουσίαι,
πλοῦτοι καὶ τιμαὶ καὶ ἀρχαὶ καὶ τὰ παρεπόμενα τοῖς εὖ πράττουσιν
ἐγκώμια, διὰ παντὸς στόματος καὶ φίλων καὶ δυσμενῶν ἐπαινουμένοις,
τῶν μὲν διὰ φόβον, τῶν δὲ δι' εὔνοιαν· λεκτέον δὲ καὶ τὰ τούτων
οἰκειότερα, τὰ περὶ σῶμα. φησὶν οὖν, ὅτι τοῖς ἀρετὴν διαπονοῦσι καὶ 119
τοὺς ἱεροὺς νόμους ἡγεμόνας τῶν κατὰ τὸν βίον λόγων καὶ ἔργων προ-
στησαμένοις ἰδίᾳ τε καὶ κοινῇ περιέσται τὸ εἰς ἅπαν ἄνοσον· εἰ δὲ καὶ
γένοιτό τις ἀσθένεια, τοῦ μὲν κακῶσαι χάριν οὐκ ἂν γένοιτο, τοῦ δ'
ὑπομνῆσαι τὸν θνητὸν ὅτι θνητός ἐστιν, εἰς ὑπεραύχου φρονήματος
κατάλυσιν καὶ βελτίωσιν ἠθῶν· ὑγείᾳ δ' ἕψεται καὶ εὐαισθησία καὶ τὸ
ἐν ἅπασι τοῖς μέρεσιν ὁλόκληρον καὶ παντελές, εἰς τὰς πρὸς ὃ γέγονεν

---

1 μεθορμιζομένοις F: μεθαρμοζομένοις AHP (v) 4 γαλήνην καὶ εἰρήνην F: εἰρήνην καὶ γαλήνην AHP (v) 5 αἰσχατιαῖς F ἂν add. Turn., om. codd. ὁ θεὸς FA: θεὸς HP (v) 6 ἀπὸ περάτων om. P ἐξ ἄλης H[2]: ἐξ ἄλλης FH[1]P, ἐκ ζάλης A 7 καὶ κακωθέντα om. HP (Turn.) 8 ἐκτετιμημένων F: ἐκτετμημένων HP (Turn.), ἐκτεταμένων A (Mang.) ἐλεῶν AH[2]: ἔλεον FH[1]P 8. 9 εὐπετῶς εἰς ὁδὸν transp. A 9 ἂν ἀγάγοι v (Turn.): ἀναγάγοι FHP, ἀναγάγῃ A φεύγειν διεγνωκότα A: διεγνωκότα φυγεῖν F, φεύγειν (φυγεῖν) om. HP 10 ἁμάρτοι FA: ἁμάρτῃ HP (v) 11 καθόδου] καθόλου A 12 εἴρηται v (Turn.): εἴρηνται codd. κράτη FA: κράτος HP (v) 13 πολεμίων A βεβαιώσεις scripsi: βεβαίωσις codd. 14 παρεπόμενα] πρέποντα A 15 ἐπαινούμενα A 17 σῶμα F: τὸ σῶμα AHP (v) ἐπιπονοῦσι A 18. 19 συστησαμένοις F 20 οὐκ ἂν γένοιτο F: οὐκ ἂν γένοιτ' ἂν AHP (v) 21 ἐστιν] εἶ A 23 γέγονεν A: προγέγονεν FP (v), προ[σ]γέγονεν H, προσγέγονεν L

---

19 Deut. 7,15.

120 ἕκαστον ἀκωλύτους ὑπηρεσίας. ἐδικαίωσε γὰρ ὁ θεὸς γέρας τῷ σπου-
δαίῳ παρασχεῖν εὖ συνῳκοδομημένην καὶ συνηρμοσμένην ἐκ θεμελίων
ἄχρι στέγους οἰκίαν — οἰκία δὲ ψυχῆς συμφυεστάτη σῶμα — διά τε
πολλὰ τῶν εἰς τὸν βίον ἀναγκαίων καὶ χρησίμων καὶ μάλιστα διὰ τόνδε
121 τὸν καθάρσεσι τελείαις νοῦν καθαρθέντα· ⟨ὃν⟩ καὶ μύστην γεγονότα τῶν
θείων τελετῶν καὶ συμπεριπολοῦντα ταῖς τῶν οὐρανίων χορείαις καὶ
περιόδοις ἐγέραρεν ὁ θεὸς ἠρεμίᾳ, βουληθεὶς ἀμέθεκτον εἶναι, χηραί-
νοντα περὶ μηδὲν πάθος ὧν αἱ τοῦ σώματος γεννῶσιν ἀνάγκαι ἐπιτι-
θέμεναι κατὰ πλεονεξίαν παθῶν δυναστείας· | ἢ γὰρ περιέψυξέ τι ἢ p. 428
περιέφλεξε[ν οὐρανὸς] καὶ αὐχμηρὸν ἢ τοὐναντίον ῥοῶδες ἀπειργάσατο·
δι' ὧν ἁπάντων ὁ νοῦς εὐθύνειν ἀδυνατεῖ τὴν τοῦ καθ' αὑτὸν βίου
122 πορείαν. ἐνδιαιτώμενος δὲ ὑγιεινῷ σώματι κατὰ πολλὴν εὐμάρειαν
ἐνδιατρίψει καὶ ἐνσχολάσει τοῖς σοφίας θεωρήμασι, μακαρίας καὶ εὐδαί-
μονος ζωῆς ἐπιλαχών· οὗτός ἐστιν ὁ πολὺν ἄκρατον σπάσας τῆς
εὐεργέτιδος τοῦ θεοῦ δυνάμεως καὶ λόγων ἱερῶν καὶ δογμάτων ἑστια-
123 θείς· οὗτος ᾧ φησιν ὁ προφήτης τὸν θεὸν „ἐμπεριπατεῖν“ οἷα βασιλείῳ,
καὶ γάρ ἐστι τῷ ὄντι βασίλειον καὶ οἶκος θεοῦ σοφοῦ διάνοια· τούτου
καλεῖται θεὸς ἰδίως ὁ τῶν συμπάντων θεός, καὶ λαὸς ἐξαίρετος πάλιν
οὗτος, οὐ τῶν κατὰ μέρος ἀρχόντων, ἀλλὰ τοῦ ἑνὸς καὶ πρὸς ἀλή-
124 θειαν ἄρχοντος, ἁγίου ἅγιος· οὗτός ἐστιν ὁ πρὸ μικροῦ πολλαῖς μὲν
ἡδοναῖς, πολλαῖς δ' ἐπιθυμίαις, μυρίαις δ' ἀνάγκαις κακιῶν καὶ ἐπι-

---

1. 2 τῷ σπουδαίῳ F: τοῖς σπουδαίοις AHP (v) 2 συνηρμοσμένην καὶ συνοικοδομουμένην οἰκίαν A 3 ἄχρι] μέχρι F οἰκίαν h. l. om. A συμφυέστατον H (Turn.) διά τε FHP: ἅτε A (Mang.) 4 post χρησίμων add. ἐνεργοῦν ὦ A (ἐνεργοῦν recepit Mang.) τόνδε FA: om. HP (v) 5 ὃν add. Mang. 5. 6 τῶν θείων om. A 6 συμπεριπολοῦντα F: μόνον σ. AH^{1}P, μόναις σ. H^2 (v) τῶν οὐρανίων A: τῶν om. FHP (v) 7 ἠρεμίᾳ] εὐημερίᾳ coni. Wendl. ἀμέθεκτον] ἀμέθελκτον coni. Mang, ⟨νόσων⟩ vel ⟨νοσημάτων⟩ vel ⟨κακιῶν⟩ ἀμέθεκτον conicio 8 γεννῶσιν ἀνάγκαι Mang.: ἀνάγκαι (om. γεννῶσιν) A, γεννῶσι δυνάμεις FHP (v) 9 δυναστείαν coni. Mang. τι A: τις FHP (Turn.) 10 περιέφλεξεν οὐρανὸς A (Mang.): αὖον FHP (Turn.); οὐρανὸς seclusi 15 τοῦ om. A 16 οὗτος ᾧ] τούτων οὖν A φησιν: hic desinit F, cetera supplevit man. rec. (Iacobus Diassorinus) 18 ἐξαίρετος A: ἐξαίρετος χάριτι HP (ἐξαιρέτῳ χάριτι v)

16—18 Lev. 26,12. 17. 18 D^R fol. 195^v Anton. Mel. II 87 Col. 1209 Φίλωνος: οἶκος θεοῦ σοφοῦ διάνοια· τούτου καλεῖται θεὸς ἰδίως ὁ τῶν συμπάντων, ὥς (ὃ D^R) φησιν ὁ προφήτης, ὡς (ᾧ?) θεὸς (ὁ θεὸς D^R) ἐμπεριπατεῖ οἷα βασιλείῳ (16). D^R fol. 137^r Φίλωνος: ἔστι γὰρ τῷ ὄντι βασίλειον καὶ οἶκος θεοῦ σοφοῦ διάνοια, ὥς φησιν ὁ προφήτης τὸν θεὸν ἐμπεριπατεῖν οἷα βασιλείῳ. τούτου καλεῖται θεὸς ὁ τῶν συμπάντων ἴδιος.

θυμιῶν ὑπεζευγμένος· τούτου τὰ κακὰ τῆς δουλείας συνέτριψεν ὁ θεὸς
εἰς ἐλευθερίαν ἐξαιρούμενος· οὗτος ὁ μὴ ἀπαρρησιάστου τυχὼν εὐερ-
γεσίας ἀλλὰ διαβεβοημένης καὶ περιηγγελμένης πάντῃ διὰ τὴν τοῦ
προασπίζοντος ἐξουσίαν, ὑφ᾽ ἧς οὐχ ὑπεσύρη πρὸς τὰ οὐραῖα, ἀλλ᾽ ἐπὶ
κεφαλὴν ἄνω παρεπέμφθη. ταῦτα δ᾽ ἀλληγορεῖται τροπικῶς ἐξενεχθέντα· 125
καθάπερ γὰρ ἐν ζῴῳ κεφαλὴ μὲν πρῶτον καὶ ἄριστον, οὐρὰ δ᾽ ὕστατον
καὶ φαυλότατον, οὐ μέρος συνεκπληροῦν τὸν τῶν μελῶν ἀριθμόν, ἀλλὰ
σόβησις τῶν ἐπιποτωμένων, τὸν αὐτὸν τρόπον κεφαλὴν μὲν τοῦ ἀνθρω-
πείου γένους ἔσεσθαί φησι τὸν σπουδαῖον εἴτε ἄνδρα εἴτε λαόν, τοὺς
δὲ ἄλλους ἅπαντας οἷον μέρη σώματος ψυχούμενα ταῖς ἐν κεφαλῇ καὶ
ὑπεράνω δυνάμεσιν.

Αὗται μὲν αἱ ὑπὲρ τῶν ἀνθρώπων τῶν ἀγαθῶν εἰσιν εὐχαὶ καὶ 126
τοὺς νόμους ἔργοις ἐπιτελούντων, ἃς φησι τελεσφορηθήσεσθαι χάριτι
τοῦ φιλοδώρου θεοῦ τὰ καλὰ διὰ τὴν πρὸς αὐτὸν ὁμοιότητα σεμνο-
ποιοῦντος καὶ γεραίροντος· τὰς δὲ κατὰ τῶν ἐκνόμων καὶ ἀθέσμων
ὁρισθείσας ἀρὰς ἐπισκεπτέον.

Περὶ ἀρῶν.

129 M. (1.) | Πρώτην ἀρὰν ὡς κουφότατον κακὸν ἀναγράφει πενίαν καὶ 127
ἔνδειαν καὶ σπάνιν τῶν ἀναγκαίων καὶ μετουσίαν παντελοῦς ἀπορίας·
τὸν γὰρ σπόρον, φησίν, ἀτελῆ μὲν ὄντα δῃώσουσι, τελειωθέντα δ᾽
ἀμήσουσιν ἐξαίφνης ἐπελθόντες πολέμιοι, διττὴν ἐργασάμενον συμφοράν,
λιμὸν μὲν φίλοις, ἐχθροῖς δὲ περιουσίαν· λυπεῖ γὰρ μᾶλλον ἢ οὐχ
ἧττον τῶν ἰδίων κακῶν τῶν δυσμενῶν τὰ ἀγαθά. καὶ ἡσυχαζόντων δὲ 128

1 συνεζευγμένος A τῆς δουλείας HP: κἀν τῇ δουλείᾳ A (Mang.) 3 ἀλλὰ διαβεβοημένης om. H (Turn.) 4 ἐξουσίαν codd.: ὑπερουσίαν Turn. ὑφ᾽ om. Turn. 6. 7 ὕστατόν τε καὶ A 7 ⟨μέρος⟩ οὐ μέρος coni. Mang. τῷ τῶν μελῶν ἀριθμῷ H² (Turn.) ἀλλὰ AHP: om. v 8 σόβησις AP: σόβητρον H (v) μὲν A: om. HP (v) 8. 9 ἀνθρωπείου AHP: ἀνθρωπίνου v 9 εἴτ᾽ ἄνδρα A 14 φιλοδώρου A: φιλαρέτου HP (om. Turn.) αὑτὸν codd. 16 ὁρισθείσας A mg P²: om. HP (Turn.) 17 tit. περὶ ἀρῶν H, τοῦ αὐτοῦ περὶ ἀρῶν P, τοῦ αὐτοῦ φίλωνος περὶ ἀρῶν A 19 ἀπορίας HP: ἀπωλείας A 21 ἀμύσουσιν H¹P ἐργασάμενον scripsi: ἐργασάμενοι codd., ἐργασόμενοι v 23 τῶν δυσμενῶν τὰ ἀγαθά A: τὰ δυσμενῶν ἀγαθά HP (v) δὲ A: μὲν HP (v)

1 Lev. 26,13. 4 Deut. 28,13. 18sqq. Lev. 26,16. Deut. 28,20.

τῶν ἐχθρῶν οὐχ ἡσυχάσουσιν αἱ ἐκ φύσεως ἀργαλεώτεραι ζημίαι· σὺ
μὲν γὰρ κατασπείρεις τὴν βαθύγειον τῆς πεδιάδος, ἀκρίδων δὲ νέφος
ἐξαίφνης καταπτάμενον ἐκθερίσει καὶ τὰ ὑπολειφθέντα πολλοστὸν εἰς
συγκομιδὴν ἔσται μέρος τῶν σπαρέντων· καὶ σὺ μὲν ἀμπελῶνα φυτεύεις
δαπάναις ἀφειδέσι ⟨καὶ⟩ κακοπαθείαις ἀτρύτοις, ἃς εἰκὸς γεωπόνους
ἀναδέχεσθαι, τελειωθέντα δὲ ἤδη καὶ βλαστάνοντα καὶ βρίθοντα ὑπ'
129 εὐφορίας σκώληκες ἐπιγενόμενοι τρυγήσουσι. τοὺς ἐλαιῶνας ὅταν ἴδῃς
εὐθηνοῦντας καὶ καρπῶν ἄφθονον πλῆθος, ἡσθήσῃ, ὥσπερ εἰκός, δι'
ἐλπίδα συγκομιδῆς εὐτυχοῦς, ὅταν δὲ ἄρξῃ συγκομίζειν, αἰσθήσῃ τῆς
ἀτυχίας μᾶλλον ἢ τῆς ἀσεβείας· τὸ μὲν γὰρ ἔλαιον καὶ ὅσον πῖον
ἐκρυήσεται σύμπαν ἀφανῶς, ὁ δ' ἐκτὸς ὄγκος αὐτὸς εἰς ἀπάτην ψυχῆς
κενὸς κενῆς ὑπολειφθήσεται. καὶ συνόλως ὅσα σπαρτὰ ἢ δένδρα καρποῖς
130 αὐτοῖς ἐξαναλωθήσεται πρὸς ἐρυσίβης. (2.) ἐφεδρεύουσι δὲ καὶ ἄλλαι
συμφοραὶ δίχα τῶν εἰρημένων, ἐνδείας καὶ ἀπορίας δημιουργοί. δι' ὧν
γὰρ ἀνθρώποις ἡ φύσις ἐχορήγει τὰ ἀγαθά, στειρωθήσεται, γῆ καὶ
οὐρανός, ἡ μὲν ἀμβλίσκουσα καὶ τελειογονεῖν ἀδυνατοῦσα τοὺς καρπούς,
ὁ δὲ μεταβεβηκὼς εἰς ἀγονίαν, τῶν ἐτησίων ὡρῶν μὴ χειμῶνος, μὴ
θέρους, μὴ ἔαρος, μὴ μετοπώρου πρὸς τὰς οἰκείας τάξεις ἀνιόντων, ἀλλ'
εἰς ἄποιον καὶ πεφορημένην σύγκρισιν βιασθέντων ἀποκριθῆναι δεσποτικοῦ
131 κράτους ἀρχῇ. οὐ γὰρ ὄμβρος, οὐχ ὑετός, οὐ λεπτὴ ψεκάς, οὐ βραχεῖα
λιβάς, οὐ δρόσος, οὐκ ἄλλο τι τῶν αὔξειν δυναμένων ἐπιγενήσεται,
τοὐναντίον δὲ ὅσα λυμαντικὰ μὲν φυομένων, φθοροποιὰ δὲ καρπῶν κατα-
πεπανθέντων καὶ ἵνα μὴ τελειωθῇ παρεσκευασμένα· „θήσω" γάρ φησι
„τὸν οὐρανὸν ὑμῖν χαλκοῦν καὶ τὴν γῆν σιδηρᾶν" (Lev. 26, 19.

1 ἡσυχάσουσιν HP (coni. Mang.): ἡσυχάζουσιν A (v) post ἀργαλεώτεραι add. δὲ v, om. codd. 2 γὰρ om. A κατασπερεῖς coni. Mang. τὴν βαθύγειον H: τὸ βαθύγειον P, τὸ βαθύγαιον A 3 ἐκθεριεῖ conicio 4 ἀμπελῶνας A φυτεύεις codd.: φυτεύσεις v 5 καὶ add. Mang. γεωπόνους A: γεωπόνοις HP 6 βρίθοντα καὶ βλαστάνοντα A (β' α') 8 εὐθηνοῦντας H²: εὐθυνοῦντας H¹P, ἀσθενοῦντας A ἡσθήσῃ A: ἴσθι P, ἴθι H (Turn.) 9 δὲ A: om. HP (v) 10 ἀσεβείας codd. εὐσεβείας v; ἀσεβείας corruptum, ἀφθονίας vel εὐθηνίας conicio, εὐπαθείας coni. Mang. 11 αὐτός] αὖος coni. Mang., αὐτὸ ⟨μόνον⟩ conicio 13 ἐφεδρεύουσι codd.: ἐφεδρεύσουσι v 15 ἀνθρώποις ἡ φύσις A: ἡ φύσις ἀνθρώποις HP (v) 18 μὴ ἔαρος om. A ἀνιόντων A: ἰόντων HP (Turn.) 19 σύγκρισιν] σύγχυσιν conicio βιασθέντων ἀποκριθῆναι A: ἀποκριθῆναι βιασθέντων HP (v) 23 παρεσκευασμένα A: παρεσκευασμένων HP 24 ἡμῖν H (Turn.)

2 Deut. 28,38. 4 Deut. 28,39. 10 Deut. 28,40. 12. 13 Deut. 28,42.

M. cf. Deut. 28,23), αἰνιττόμενος τὸ μηδέτερον αὐτῶν | τὰ οἰκεῖα καὶ πρὸς
ἃ γέγονεν ἐπιτελέσειν ἔργα· ποῦ γὰρ ἢ σίδηρος ἐσταχυηφόρησεν ἢ ὑετὸν 132
ἤνεγκε χαλκός, ὧν χρεῖα τὰ ζῷα καὶ μάλιστα τὸ ἐπίκηρον καὶ πολλῶν
ἐπιδεές, ἄνθρωπος; μηνύει δ' οὐ μόνον ἀφορίαν καὶ τῶν ἐτησίων ὡρῶν
φθοράν, ἀλλὰ καὶ πολέμων γενέσεις καὶ τῶν ἐν τούτοις ἀφορήτων καὶ
ἀμυθήτων κακῶν· χαλκὸς γὰρ καὶ σίδηρος πολεμιστηρίων ὅπλων ὗλαι.
καὶ γῆ μέντοι κονιορτὸν οἴσει καὶ χοῦς ἄνωθεν ἐξ οὐρανοῦ καταχθήσεται 133
βαρύτατον ἐπιφέρων καρπὸν εἰς τὴν διὰ πνίγους ἀπώλειαν, ἵνα μηδὲν
παραλειφθῇ τῶν ἐπ' ὀλέθρῳ. πολυάνθρωποι μὲν ἐρημωθήσονται συγ-
γένειαι, κεναὶ δὲ αἱ πόλεις ἐξαπιναίως οἰκητόρων ἔσονται, μνημεῖα
παλαιᾶς μὲν εὐτυχίας προσκαίρου δὲ βαρυδαιμονίας ὑπολειφθεῖσαι πρὸς
νουθεσίαν τῶν δυναμένων σωφρονίζεσθαι. (3.) τοσαύτη δὲ ἐφέξει 134
σπάνις τῶν ἀναγκαίων, ὥστε ἀλλοτριωθέντες τούτων τρέψονται ἐπ'
ἀλληλοφαγίας, οὐ μόνον ὀθνείων καὶ μηδὲν προσηκόντων, ἀλλὰ καὶ τῶν
οἰκειοτάτων καὶ φιλτάτων· ἅψεται γὰρ καὶ πατὴρ υἱοῦ σαρκῶν καὶ
μήτηρ σπλάγχνων θυγατρὸς καὶ ἀδελφῶν ἀδελφοὶ καὶ γονέων παῖδες·
ἀεὶ δὲ οἱ ἀσθενέστεροι τῶν δυνατωτέρων κακαὶ καὶ ἐπάρατοι τροφαί·
τὰ Θυέστεια παιδιὰ [καὶ] συγκρινόμενα ταῖς ὑπερβολαῖς τῶν συμφορῶν,
ἃς μεγαλουργήσουσιν οἱ καιροί. μετὰ γὰρ τῶν ἄλλων, ὥσπερ τοῖς ἐν 135
εὐτυχίαις ποθεινὸς ὁ βίος εἰς ἀπόλαυσιν ἀγαθῶν, οὕτως καὶ τοῖς βαρυ-
δαίμοσιν ἐκείνοις ἔρως πολὺς ἐνιδρυθήσεται τοῦ ζῆν πρὸς ἀμέτρων καὶ
ἀπαύστων κακῶν μετουσίαν, ἀπάντων ἀνιάτων. ἧττον γὰρ ⟨χαλεπὸν⟩
ἀπαλγήσαντας ἐπιτεμεῖν θανάτῳ τὰς ἀνίας, ὃ τοῖς μὴ λίαν φρενοβλαβέσιν
ἔθος δρᾶν· οἱ δ' ἐκ παραπληξίας ἐθέλοιεν ἂν καὶ μακροβιώτατοι γενέσθαι,
τῆς ἀνωτάτω βαρυδαιμονίας ἀπλήστως καὶ ἀκορέστως ἔχοντες. τοιαῦτα 136

2 ἐσταχυηφόρησεν scripsi: ἐσταχυφόρησεν codd. 2. 3 ὑετὸν ἤνεγκε χαλκός A: χαλκοῦς (sic) ὑετὸν ἤνεγκε HP (χαλκὸς ὑετὸν ἤνεγκε v) 3 ὧν om. H (Turn.) 4 ὡρῶν] καρπῶν coni. Mang. 5 γενέσεις] κινήσεις coni. Mang. 7 μέντοι] μὲν A ἐξ οὐρανοῦ ἄνωθεν transp. A 8 καρπὸν] κακὸν conicio διαπνίγουσαν ἀπώλειαν A 8. 9 ἵνα — ὀλέθρῳ] ἵνα μηδενὸς παραλειφθέντος A 12 δ' A 13 ἀλλοτριωθέντες] ἐλαττωθέντες conicio 14 ἀλληλοφαγίαις H[1]P ὀθνείων Mang.: ἐθνῶν codd. 16 γονέως H[1]P 17 ἀεὶ δὲ] ἔσονται coni. Mang. 18 τὰ θυέστεια A, τὰ θυέστια HP: τὰ Θυέστου v παιδιὰ scripsi (*ludus* vertit Mang.): παιδία codd. (v) καὶ seclusit Mang. 19 τοῖς A: om. HP (v) 20 ὁ βίος ποθεινὸς transp. A 21 καὶ] ἢ A 22 ἧττον γὰρ χαλεπὸν scripsi: ἧττον γὰρ codd.; αἱρετώτερον γὰρ coni. Mang. 23 ἀνίας] ἠνίας H (Turn.) 24 καὶ om. A

7 Deut. 28,24. 9 Lev. 26,31. 15 Lev. 26,29. Deut. 28,53.

τὸ κουφότατον εἶναι δοκοῦν τῶν κακῶν, ἀπορία, προσεργάζεσθαι πέφυκεν, ὅταν θεήλατος ἐπάγηται δίκη· καὶ γὰρ εἰ χαλεπὰ ῥῖγος, δίψος, ἔνδεια τροφῆς, ἀλλ' εὐκταιότατα γένοιτ' ἂν ἐπὶ καιρῶν, εἰ μόνον ἀνυπέρθετον φθορὰν ἐργάσοιτο· χρονίζοντα δὲ καὶ τήκοντα ψυχήν τε καὶ σῶμα τῶν τετραγῳδημένων, ἃ δι' ὑπερβολὰς μεμυθεῦσθαι δοκεῖ, βαρύτερα πέφυκε καινουργεῖν.

137 (4.) Δουλεία τοῖς ἐλευθέροις ἀφορητότατόν ἐστιν, ὑπὲρ ἧς σπουδάζουσιν ἀποθνήσκειν οἱ σώφρονες | ἀγωνιζόμενοι φιλοκινδύνως πρὸς p. 43
τοὺς ἐπανατεινομένους δεσποτείαν· ἀφόρητον δὲ καὶ ἐχθρὸς ἄμαχος· εἰ δ' ὁ αὐτὸς ἀμφότερα γένοιτο, δεσπότης ὁμοῦ καὶ πολέμιος, τίς ἂν ὑποσταίη ⟨τὸν⟩ τὸ μὲν δύνασθαι ἀδικεῖν ἐκ δεσποτικῆς ἐξουσίας, τὸ δὲ μηδὲν
138 συγγινώσκειν ἐξ ἀσυμβάτου δυσμενείας περιπεποιημένον; ἐχθροῖς οὖν φησι δεσπόταις εἰς τὸ ἀνηλεὲς χρήσεσθαι τοὺς ἀλογοῦντας νόμων ἱερῶν, οὐ μόνον ἐξ ἐπιθέσεως τῆς ἐκείνων ὑπαχθέντας, ἀλλὰ καὶ γνώμαις ἑκουσίοις ἐκδόντας αὑτοὺς ἕνεκα τῶν ἀβουλήτων, ἃ λιμὸς καὶ σπάνις τῶν ἀναγκαίων ἀπεργάζεται· τὰ γὰρ ἐλάττω κακὰ φυγῇ μειζόνων αἱρετὰ
139 νομίζουσί τινες, εἰ δή τι βραχὺ τῶν εἰρημένων ἐστί. δουλεύοντες ⟨γὰρ⟩ πικρῶν μὲν ἐπιταγμάτων ὑπηρεσίας ἀναδέξονται τοῖς σώμασι, πικροτέρων δὲ θεαμάτων ἀνίαις κατατεινόμενοι τὰς ψυχὰς ἀπαγορεύσουσιν· ὄψονται γὰρ ὧν συνῳκοδόμησαν ἢ κατεφύτευσαν ἢ περιεποιήσαντο κληρονόμους γεγονότας ἐχθρούς, ἀλλοτρίων ἀπολαύοντας ἀγαθῶν καὶ ἑτοίμων· ὄψονται καὶ τὰ πίονα τῶν ἰδίων θρεμμάτων εὐωχουμένους, ἱερεύοντας καὶ παραρτύοντας εἰς ἀπόλαυσιν ἡδίστην, οἱ στερόμενοι τοὺς ἀφελομένους· ὄψονται καὶ γυναῖκας, ἃς ἠγάγοντο κουριδίας ἐπὶ γνησίων παίδων σπορᾷ,

1 δοκούντων κακῶν H κακῶν] ἀρῶν A 2 ῥῖγος suspectum; πνῖγος conicio 3 γένοιντ' A μόνην A 4 ἐργάσοιτο om. A; ἐργάσαιτο conicio 5 βαρύτερα Mang.: βαρύτατα codd. (βαρύτατον v) 7 ἀφορητότατος H 7. 8 σπουδάζουσιν ἀποθνήσκειν AHP: σπουδάζουσιν om. L (ἀποθνήσκουσιν Turn., ἀποθνήσκειν σπουδάζουσιν Mang.) 9 δεσποτείαν HP: δεσπότας A ἀφόρητος A 11 τὸν addidi μηδὲν A: μηδενὶ HP (v) 12 περιπεποιημένον Mang.: περιπεποιημένος codd. 13 ἀνηλεὲς AHP: ἀνηλεὲς in ἀνηλεῶς corr. L (ἀνηλεῶς v); καὶ τοῖς ἀνηλεέσι coni. Mang. χρήσεσθαι v: χρήσασθαι codd. 14 ἐπιθεσίας (sic) A γνώμαις scripsi: νόμοις codd.; σπονδαῖς coni. Mang. 15 αὐτοὺς H¹P ἕνεκα codd. (Mang.): ἕνεκεν v ἃ λιμὸς A: ἃ καὶ λιμὸς HP (v) 17 γὰρ add. Mang. 22 ἱερεύοντας Mang.: ἱεροῦντας codd. 23 οἱ στερόμενοι AP (Mang.): ὑστερούμενοι H (v) τοὺς ἀφελομένους Mang.: τοῖς ἀφελομένοις codd. (τῆς ἀφελομένης v) 24 ἃς] οὓς P κουριδίας H: κουριδίοις AP; scribendum fortasse κουριδίους σπορᾷ A: σπορὰν HP (Turn.)

13 Deut. 28,48. 20 Deut. 28,30. 22 Deut. 28,31. 51. 24 Deut. 28,30.

σώφρονας ⟨καὶ⟩ οἰκουροὺς καὶ φιλάνδρους ἑταιρῶν τρόπον ὑβριζομένας.
καὶ πρὸς μὲν ἄμυναν ὁρμήσουσιν, ἔξω δὲ τοῦ σφαδᾴζειν οὐδὲν ἐργάσα- 140
σθαι δυνήσονται πᾶσαν ἰσχὺν ἐκτετμημένοι καὶ ἐκνενευρισμένοι· προ-
κείσονται γὰρ σκοποὶ τοῖς ἐθέλουσιν ἄγειν, φέρειν, ἁρπάζειν, ὑβρίζειν,
τιτρώσκειν, εἰς βλάβας, εἰς αἰκίας, εἰς πανωλεθρίαν, ὡς μηδὲν ἀφεθῆναι
τῶν βλημάτων κωφόν, ἀλλ' εὔσκοπα καὶ εὔστοχα πάντα.
Ἐπάρατοι μὲν ἐν πόλεσι καὶ κώμαις, ἐπάρατοι δ' ἐν οἰκίαις καὶ ἐπαύ- 141
λεσιν ἔσονται· ἐπάρατος μὲν ἡ πεδιὰς καὶ ὅσα κατεβλήθη σπέρματα, ἐπά-
ρατος δὲ ἡ βαθύγειος τῆς ὀρεινῆς καὶ ὅσα γένη δένδρων ἡμέρων· ἐπάρατοι
τῶν θρεμμάτων αἱ ἀγέλαι, στειρωθήσονται γὰρ πρὸς ἀγονίαν· ἐπάρατοι
πάντες οἱ καρποί, τῷ γὰρ καιριωτάτῳ τῆς ἀκμῆς ἀνεμόφθοροι γενή-
σονται. τὰ πλήρη ταμεῖα τροφῶν καὶ χρημάτων κενωθήσεται· πόρος 142
οὐδεὶς εὐοδήσει, τέχναι πᾶσαι, πραγματεῖαι πολύτροποι, βίων ἰδέαι
μυρίων τοῖς χρωμένοις οὐδὲν ὄφελος· ἀτελεῖς γὰρ αἱ τῶν σπουδαζομένων
M. | ἐλπίδες ἔσονται καὶ συνόλως ὅτου ἐφάψονται διὰ πονηρῶν ἐπιτηδευ-
μάτων ἢ ἔργων, ὧν κεφαλὴ καὶ τέλος ἀπόλειψις θεραπείας θεοῦ· τὰ
γὰρ ἀσεβείας καὶ παρανομίας ἐπίχειρα ταῦτα.
(5.) Καὶ πρὸς τούτοις αἱ σωματικαὶ νόσοι μέλος ἕκαστον καὶ μέρος 143
ἰδίᾳ κατεργαζόμεναι καὶ διεσθίουσαι καὶ πάλιν ὅλα δι' ὅλων καταξαί-
νουσαι, πυρετοῖς, ῥίγεσι, φθινάσι τηκεδόσι, ψώραις ἀγρίαις, ἰκτέροις,
σφακελίζουσιν ὀφθαλμοῖς, ἕλκεσιν ὑποπύοις ⟨καὶ⟩ ἑρπηνώδεσι κατὰ πάσης
χεομένοις τῆς δορᾶς, κακώσεσι τῶν ἐντοσθίων, ἀνατροπαῖς στομάχου,
τῶν ἐν πνεύμονι πόρων ἀποφράξεσιν ὑπὲρ τοῦ μὴ εὐοδεῖν τὴν ἀναπνοήν
— πάρεσις γλώσσης, κώφωσις ὤτων, πήρωσις ὀφθαλμῶν, τῶν ἄλλων

---

1 καὶ addidi ἑταιρῶν A, ἑταίρων HP: ἑτέρων L (Turn.) ὑβριζομένας A: ἀφαιρομένας H¹P, ἀφαιρουμένας H² (Turn.) 2 καὶ] κἂν A μὲν om. A ὁρμήσωσιν A 2. 3 ἐργάσεσθαι H², ἐργάσασθαι om. A (fort. recte) 6 κλημάτων A εὔστοχα καὶ εὔσκοπα A 7 pr. καὶ om. HP 10 ἀγονίας A 11 ἀνεμοφθόροι H (v) 11. 12 γενήσονται] γεγόνασι A 12 κενωθήσεται scripsi: κενωθήσονται codd. πόρος] σπόρος P 13 εὐοδήσει scripsi: εὐοδώσει codd. 14 μυρίαι coni. Mang. ὤφελος L (Turn.) 15 ὅτου] ὅτων conicio 16 ἀπόλειψις A: ἀπόδειξις HP (Turn.) 19 ἐσθίουσαι A 20 φθινάσι HP: φθινώδεσι A 21 ὑποπύοις A: ὑποποιοῖς H¹P, ὑποποίοις H² καὶ add. Mang. πᾶσι (sic) P 23 εὐωδεῖν P 24 κώφωσις ὤτων A: κωφὸν οὖς HP (Turn.)

---

2 Deut. 28,32. 7 Deut. 28,16. 8sqq. Deut. 28,18. 12 Deut. 28,17. 18sqq. Lev. 26,16. Deut. 28,22. 27.

ἀμυδρότης αἰσθήσεων καὶ σύγχυσις, καίτοι δεινὰ ὄντα, συγκρινόμενα
144 βαρυτέροις οὐ φαίνεται δεινά —, τοῦ μὲν ἐν φλεψὶν αἵματος ἀποβαλόντος
ὅσον ἦν ἐν αὐτῷ ζωτικόν, τοῦ δ' ἐν ἀρτηρίαις πνεύματος τὴν ἔξωθεν
ἀπὸ τοῦ συμφυοῦς ἀέρος μηκέθ' ὁμοίως ἐπιδεχομένου σωτήριον κρᾶσιν,
145 τῶν δὲ νεύρων ἀνεθέντων καὶ χαλασθέντων· οἷς ἐπακολουθεῖ τῆς ἁρμονίας
καὶ συμφωνίας τῶν μελῶν πάρεσις πρότερον πονηθέντων ἁλμυροῦ καὶ
πάνυ πικροῦ φορᾷ ῥεύματος εἴσω παραδυομένου καί, ὁπότε στενοῖς ἐγκα-
ταλεισθείη πόροις εὐμαρεῖς διεξόδους οὐκ ἔχουσι, θλιβομένου τε καὶ
θλίβοντος εἰς πικρῶν καὶ δυσυπομονήτων γένεσιν ἀλγηδόνων, ἐξ ὧν
φύεται τὰ ποδαγρικὰ καὶ ἀρθριτικὰ πάθη καὶ νοσήματα, πρὸς ἃ σωτήριον
οὐδὲν ἐπενοήθη φάρμακον, ἀλλ' ἔστιν ἀνθρωπίναις ἐπινοίαις ἀνίατα.
146 ταῦτα ὁρῶντες ἔνιοι καταπλαγήσονται, πῶς οἱ πρὸ μικροῦ πίονες εὔσαρκοί
τε καὶ εὐεξίᾳ μάλιστα θάλλοντες οὕτως αἰφνίδιον ἐκτακέντες ῥικνοὶ
γεγόνασιν ἶνες αὐτὸ μόνον καὶ λεπτὴ δορά, καὶ πῶς γυναῖκες ἁβροδίαιτοι
καὶ πανάπαλοι διὰ τὴν ἐκ πρώτης ἡλικίας συναυξηθεῖσαν τρυφὴν ὑπὸ
147 κακώσεως δεινῆς ἅμα ταῖς ψυχαῖς καὶ τὰ σώματα ἐξηγρίωνται. τότε
δὴ τότε διώξονται μὲν ἐχθροὶ καὶ μάχαιρα ἐκδικήσει δίκην, οἱ δ' εἰς
τὰς πόλεις καταφεύγοντες, ὅταν ἐν ἀσφαλεῖ γεγενῆσθαι νομίσωσιν,
ἐλπίδος ἀπάτῃ φενακισθέντες ἡβηδὸν ἀπολοῦνται προκαταδύντες ἐνέδραις
ἐχθρῶν.
148 (6.) Κἂν ⟨εἰ⟩ ἐπὶ τούτοις μὴ σωφρονίζοιντο πλαγιάζοντες καὶ τὰς
ἐπ' ἀλήθειαν ἀγούσας εὐθυτενεῖς ὁδοὺς ἐκτρεπόμενοι, δειλία καὶ φόβος
ταῖς ψυχαῖς αὐτῶν ἐνιδρυθήσεται, καὶ φεύξονται μὲν οὐδενὸς διώκοντος,
φήμαις δὲ οἷα φιλεῖ ψευδέσι πεσοῦνται προτροπάδην, φύλλου τε κτύπος
| κουφότατος δι' ἀέρος φερόμενος τοσαύτην ἀγωνίαν καὶ πτοίαν ἐργάσεται, p. 433

---

1. 2 συγκρινόμενα — δεινά om. HP^{1} (Turn.) 3 ἐν ante αὐτῷ om. A τοῦ δ' codd.: τοῦ δ' ἑτέρου v (Turn.) 4 ἀποδεχομένου A 7 εἴσω παραδυομένου A: εἰσπαραδυομένου HP (v); παρεισδυομένου conieceram 9 καὶ om. Turn. ἀλγηδόνων γένεσιν transp. A 10 τὰ om. P ἀρθρητικὰ L (Turn.) 14 αὐτὸ H^{2}: αὐτοὶ AH^{1}P 15 πανάπαλοι HP: παράπολοι A συνασκηθεῖσαν coni. Mang. τροφὴν P 17 καὶ μάχαιρα A (καὶ ss. P^{2}): μάχαιρα HP (μάχαιρα δ' Turn., μάχαιρα δὲ Mang.) 18 ἐν ἀσφαλείᾳ A 19 προκαταδύντες scripsi: προκαταδύντων codd. 21 εἰ addidi πλησιάζοντες A 22 ἐπ' ἀλήθειαν H: ἐπ' ἀληθείᾳ AP ἀγούσας H^{2}: ἀναγούσας H^{1}P, ἀλγούσας A 23 ἐνιδρυθήσεται codd.: ἐνιδρυθήσονται Mang. 24 φύλλου codd. (Mang.): φύλλων Turn. τε A, ss. P: om. H (Turn.) 25 πτοίαν] ποίαν A

---

15 πανάπαλοι Hom. Od. ν 223. 17 Lev. 26,25. 21 sqq. Lev. 26,23. 36.

ὅσην ὁ τραχύτατος πόλεμος ἐκ δυνατωτέρων ἐχθρῶν, ὡς καὶ τέκνα
γονέων καὶ γονεῖς τέκνων καὶ ἀδελφοὺς ἀδελφῶν ὑπεριδεῖν, ἐκ μὲν τῆς
ἀλλήλων ἐπιβοηθείας ἅλωσιν προσδοκήσαντας, σωτηρίαν δ' ἐκ τοῦ
ἑαυτοὺς ἀποδιδράσκειν ἕκαστον. πονηρῶν δὲ ἀνθρώπων ἀτελεῖς ἐλπίδες· 149
μᾶλλον γὰρ ἢ οὐχ ἧττον οἱ διαπεφευγέναι δόξαντες τῶν προκατα-
ληφθέντων ἁλώσονται. κἂν διαλάθωσι μέντοι τινές, ἐφεδρείαν δ' ἕξουσι
τῶν φύσει πολεμίων· οὗτοι δέ εἰσιν ἀγριώτατοι θῆρες ἐξ ἑαυτῶν εὐ-
οπλοῦντες, οὓς ὁ θεὸς ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντὸς ἐδημιούργει
πρὸς ἀνθρώπων τῶν μὲν δυναμένων νουθετεῖσθαι φόβον τῶν δὲ ἀνιάτως
ἐχόντων ἀπαραίτητον δίκην. ἀπιστήσουσι μὲν οἱ θεασάμενοι τὰς αὐτοῖς 150
θεμελίοις ἀναιρεθείσας πόλεις, εἰ πώποτε ᾠκίσθησαν· ἐν εἴδει δὲ παροιμίας
θήσονται τὰς ἐκ λαμπρῶν εὐτυχημάτων ἐξαπιναίους κακοπραγίας, ὅσαι
καὶ ἀνεγράφησαν καί εἰσιν ἄγραφοι. παρελεύσονται καὶ μέχρι σπλάγχνων 151
αἱ τηκεδόνες ἀθυμίας τε καὶ ἀδημονίας ἐμποιοῦσαι σὺν ἐκθλίψει. ζωὴν
ἀνίδρυτον καὶ κρεμαμένην ὥσπερ ἐξ ἀγχόνης ἐργάσονται φόβου διαδοχαὶ
μεθ' ἡμέραν τε καὶ νύκτωρ τὴν ψυχὴν ἄνω καὶ κάτω κλονοῦσαι, ὡς
πρωίας μὲν ἑσπέραν ἑσπέρας δὲ ὄρθρον εὔχεσθαι διὰ τὰς καὶ ἐγρηγο-
ρότων κακώσεις ἐμφανεῖς καὶ κοιμωμένων ἐξ ὀνειράτων ἀποτροπαίους
φαντασίας. ὁ μὲν ἔπηλυς ἄνω ταῖς εὐτυχίαις μετέωρος ἀρθεὶς περί- 152
βλεπτος ἔσται, θαυμαζόμενος καὶ μακαριζόμενος ἐπὶ δυσὶ τοῖς καλλίστοις,
τῷ τε αὐτομολῆσαι πρὸς θεὸν καὶ τῷ γέρας λαβεῖν οἰκειότατον τὴν ἐν
οὐρανῷ τάξιν βεβαίαν, ἣν οὐ θέμις εἰπεῖν, ὁ δ' εὐπατρίδης παρακόψας
τὸ νόμισμα τῆς εὐγενείας ὑποσυρήσεται κατωτάτω πρὸς αὐτὸν τάρταρον

τραχύτατος A: βραχύτατος H¹P, βαρύτατος H² (v) 3 βοηθείας A
οσδοκήσαντας AP: προσδοκήσαντες H (v) 4 ἑαυτοὺς HP: ὡς αὐτοὺς A (Mang.)
αστον A (Mang.): ἕκαστοι HP δὲ A: δ' HP 5 δόξαντες] δόξαις H
μέντοι AP: μὲν H (om. Turn.) ἐφεδρείαν A: ἐφεδρίαν HP δ' codd.: om. v
ἀγριώτατοι scripsi: ἀγριώτεροι codd. 9 μὲν codd.: μὴ Turn. δ' A 10 μὲν
P: δὲ A (Mang.); μὴ Turn, δὴ coni. Mang. 11 εἰ πώποτε H: ἢ πώποτε P, ἢ εἰ
ὄποτα A (εἴ ποτε v) 11. 12 παροιμίας θήσονται A: παροιμιασθήσονται HP, παροιμιω-
σονται L (Turn.) 13 εἰσιν] ὅσαι coni. Mang. 14 αἱ τηκεδόνες A: ἄσθμα
l τηκεδόνες HP (Turn.); καὶ ἄσθμα post παρελεύσονται (13) add. Mang. (sed cf. eius
not.) 15 ἀίδρυτον codd. post ἐργάσονται interpung. v 16 νύκτωρ A
ang.): νύκτα HP κλονοῦσαι Mang.: κλίνουσιν HP, κατακλινοῦσιν A (κλινοῦσιν v)
: A: ἕως HP 17 καὶ om. A 18 ἀποτροπαῖον A 20 καὶ μακαριζόμενος
ı. A 21 τῷ ... τῷ A: τό ... τὸ HP 23 τῆς om. A

Lev. 26,37. 7 Lev. 26,22. 10 Lev. 26,31. 32. 11 sqq. Deut. 28,37. 61.
sqq. Deut. 28,66. 67. 19 sqq. Deut. 28,43.

καὶ βαθὺ σκότος ἐνεχθείς, ἵνα ταῦτα ὁρῶντες τὰ παραδείγματα πάντες
ἄνθρωποι σωφρονίζωνται, μανθάνοντες ὅτι τὴν ἐκ δυσγενείας ἀρετὴν
φυομένην θεὸς ἀσπάζεται, τὰς μὲν ῥίζας ἐῶν χαίρειν, τὸ δὲ στελεχωθὲν
ἔρνος, ὅτι μετέβαλεν ἡμερωθὲν πρὸς εὐκαρπίαν, ἀποδεχόμενος.
153 (7.) Οὕτως καθάπερ ὑπὸ πυρὸς δαπανηθεισῶν τῶν πόλεων καὶ
τῆς χώρας ἐρημωθείσης, ἄρξεταί ποτε διαπνεῖν καὶ ἀνακύπτειν ἡ πολλὰ
γυμνασθεῖσα καὶ τραχηλισθεῖσα γῆ πρὸς οἰκητόρων ἀφορήτου βίας, οἳ
τὰς παρθένους | ἑβδομάδας ὑπερορίους καὶ τῆς χώρας καὶ τῆς αὐτῶν p. 43
διανοίας ἀπήλασαν. μόνας γὰρ ἢ τό γε ἀσφαλέστερον εἰπεῖν πρώτας
ἀνέδειξεν ἑορτὰς ἡ φύσις τὰς ἑβδομάδας ἡμερῶν τε καὶ ἐνιαυτῶν, πρὸς
154 ἀνάπαυλαν ἀνθρώποις μὲν τὰς ἡμερῶν, τῇ δὲ χώρᾳ τὰς ἐνιαυτῶν. οἱ
δ' ὅλον τοῦτον παρακαλυψάμενοι τὸν νόμον, τοὺς ἅλας, τὰς σπονδάς,
τὸν ἐλέου βωμόν, τὴν κοινὴν ἑστίαν, ἐξ ὧν φιλία καὶ ὁμόνοια ἡρμόζετο
— πάντα γὰρ δι' ἑβδομάδος καὶ ἑβδομάς —, ἐβάρυναν μὲν ἀνθρώπους
ἀσθενεστέρους οἱ δυνατώτεροι συνεχέσι καὶ ἀδιαστάτοις ἐπιτάγμασιν,
ἐβάρυναν δὲ καὶ τὰς ἀρούρας ἀεὶ κέρδη μεταδιώκοντες ἐκ πλεονεξιῶν
ἄδικα, ταῖς ἐπιθυμίαις ἐφιστάντες ἀχαλίνους καὶ ἀδίκους ὁρμὰς εἰς τὸ
155 ἀκόρεστον. ἀντὶ γὰρ τοῦ παρασχεῖν μὲν ἀνθρώποις, κατὰ τὸν ἀψευδέστατον λόγον ἀδελφοῖς, ὧν μία μήτηρ ἡ κοινὴ φύσις, τὰς προστεταγμένας δι' ἓξ ἡμερῶν ἐκεχειρίας, παρέχειν δὲ καὶ τῇ χώρᾳ τὰς δι' ἓξ
ἐνιαυτῶν ἀνέσεις μήτε σποραῖς μήτε φυτείαις βαρύνοντας, ἵνα μὴ
156 καμάτοις ἐπαλλήλοις ἀπαγορεύσῃ, ἀμελήσαντες τουτωνὶ τῶν χρηστῶν
παραινέσεων εἰς ἡμερότητα προκαλουμένων τὰ μὲν σώματα καὶ τὰς
ψυχὰς ὧν ἐδύναντο πάντων ἀνάγκαις ἀτρύτοις ἐπίεσαν, τῆς βαθυγείου δὲ
τὴν ἰσχὺν ὑπετέμοντο φοραῖς ταῖς ὑπὲρ δύναμιν ἀπλήστως προσοδευόμενοι

2 δυσγενείας Mang.: δυσμενείας codd. 3 φυομένην v (Turn.): φθιομένην H[1]P, φθινομένην H[2], οὐ φθειρομένην A (prob. Mang.) στελεχωθὲν A: στελεχόθεν HP (Turn.) 4 ἡμερωθὲν om. A πρὸς] εἰς A 6 διαναπνεῖν P 7 γυμνωθεῖσα A 8 ἑβδομάδας AH[2]: ἑβδόμας H[1]P αὐτῶν codd. 9 ἀπήλαυσαν P 10 ἀπέδειξεν A 11 pr. τὰς] τῶν H 12 περικαλυψάμενοι A τὰς ἁλιστὰς σπονδάς H 13 ἐλέου A: ἐλαίου HP (Turn.) βωμόν AP: ζωμόν H (Turn.) 14 δι' ἑβδομάδων coni. Mang. 16 κέρδος P 17 ἐφιστάντες scripsi: ἐπιστάντες codd.; ἐπιστήσαντες v ἐς HP (Turn.) 19. 20 προτεταγμένας A 20 ἐκκεχειρίας H παρέχειν H: παρέχει AP; παρασχεῖν coni. Mang. 23 μὲν A: μὲν γὰρ H[1]P, γὰρ expunxit H[2] 24 ἠδύναντο codd. (v) τῆς βαθυγαίου (sic) δὲ A: τῆς δὲ βαθυγείου HP (v) 25 προοδευόμενοι A

5 sqq. Lev. 26,33—35.

δασμοῖς οὐκ ἐτησίοις μόνον ἀλλὰ καὶ ἐφημέροις ὅλην δι' ὅλων
ιχηλίζοντες. ὑπὲρ ὧν οἱ μὲν τὰς λεχθείσας ἀρὰς καὶ δίκας ἀνα- 157
ουσιν, ἡ δ' ἐκνευρισθεῖσα χώρα καὶ μυρίας ὑπομείνασα κακώσεις,
ορτισαμένη τὸ τῶν ἀσεβῶν οἰκητόρων ἄχθος, ἐπελαφρισθήσεται·
ὅταν ἐν κύκλῳ περιβλεψαμένη μηδένα θεάσηται τῶν καθελόντων
; τὸ μεγαλαύχημα καὶ ἀξίωμα, ἀλλὰ κενὰς μὲν αὐτῆς τὰς ἀγορὰς
βων καὶ πολέμων καὶ ἀδικημάτων, πλήρεις δὲ ἡσυχίας καὶ εἰρήνης
ικαιοσύνης, ἀνηβήσει καὶ ἐπακμάσει καὶ τοὺς τῶν ἱερῶν ἑβδομάδων
ὺς ἑορτώδεις ἠρεμήσει καὶ ἀναπαύσεται συλλεγομένη καθάπερ
τῆς προηγωνισμένος δύναμιν. εἶθ' οἷα μήτηρ φιλόστοργος οἰκτιεῖται 158
υἱοὺς καὶ θυγατέρας οὓς ἀπέβαλεν, οἳ καὶ ἀποθανόντες καὶ ζῶντες
ιᾶλλον ὀδύναι τοῖς τοκεῦσιν ἐγένοντο· πάλιν δὲ νεάσασα εὐφορήσει
τέξεται γενεὰν ἀνεπίληπτον, ἐπανόρθωμα τῆς προτέρας· ἡ γὰρ
ος, ᾗ φησιν ὁ προφήτης, εὔτεκνός | τε καὶ πολύπαις, ὅπερ λόγιον
ἐπὶ ψυχῆς ἀλληγορεῖται. πολλὴ μὲν γὰρ ὅταν ᾖ, παθῶν καὶ 159
ὸν ἀνάπλεως, οἷα περικεχυμένων αὐτῇ τέκνων, ἡδονῶν, ἐπιθυμιῶν,
σύνης, ἀκολασίας, ἀδικίας, ἀσθενεῖ καὶ νοσεῖ καὶ ἐπικήρως ἔχουσα
τᾷ, στειρωθεῖσα δὲ καὶ ἀγονήσασα τούτων ἢ καὶ ἀποβαλοῦσα ἀθρόα
αι μὲν ἐκ μεταβολῆς ἁγνὴ παρθένος, παραδεξαμένη δὲ τὸν θεῖον 160
ον διαπλάττει καὶ ζῳογονεῖ περιμαχήτους φύσεις, θαυμαστὰ κάλλη,
ησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην, ὁσιότητα, εὐσέβειαν, τὰς
; ἀρετάς τε καὶ εὐπαθείας, ὧν οὐ μόνον ἡ γένεσις εὔτεκνος ἀγαθόν,
καὶ ἡ προσδοκία τῆς γενέσεως ἐλπίδι προγανοῦσα τὴν ἀσθένειαν.
: δὲ χαρὰ πρὸ χαρᾶς ἐστιν, εἰ καὶ ἐνδεὴς παρὰ τελείαν, ἀλλά τοι 161

ιΗ[2]: ἀρετὰς Η[1]Ρ 3 χώρα om. Turn. 4 ἀσεβῶν om. Α
θήσεται Η[2]: ἀπελαφρισθήσεται ΑΗ[1]Ρ 6 alt. αὐτῆς Α (coni. Mang.):
' ἀγορὰς] ἀγροὺς coni. Mang. 7 ἀδικημάτων καὶ πολέμων transp. Α
ίσει ΑΗ[2]: ἐπακμάζει Η[1]Ρ 9 ἠρεμίσει Η 11 οὓς codd.: ἃς Turn.
ι τοῖς τοκεῦσιν ΗΡ: τοῖς τοκεῦσι πένθος Α (Mang.) 13 τῆς προτέρας Η[1]Ρ:
:ρον Η[2] (v), om. Α ἡ γὰρ] οὐ γὰρ Α 14 ἔρημος om. Α τε] γε ἡ Α
σασα (sic) Α ἀθρόα codd.: ἀθρόως v 20 περιμαχήτους φύσεις ΑΗΡ:
ται φύσεις L; περιμάχητα φύσει v καὶ ante θαυμαστὰ add. Turn. (v),
l. 21 ἀνδρίαν Α ὁσιότητα om. Α 22 εὔτεκνος Mang.:
codd. 23 προγανοῦσα ΑΡ[2]: προγανῦσα Η (Turn.), προγανεῖσα Ρ[1]
] διάνοιαν coni. Mang. 24 ἐνδεὲς Η[1]Ρ παρὰ τελείαν ΗΡ: παρα-

: Iesai. 54,1 εὐφράνθητι στεῖρα ..., ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ
σης τὸν ἄνδρα.

τῆς ἐπιγινομένης καθ' ἑκάτερα βελτίων, ὅτι τε τὸ αὐχμηρὸν ἀναχαλᾷ
καὶ λιπαίνει τῶν φροντίδων καὶ ὅτι φθάνουσα τὸ μέλλον καὶ πλῆρες
ἀγαθὸν εὐαγγελίζεται.
162 (8.) Τὰς μὲν οὖν ἀρὰς καὶ τιμωρίας, ἃς ὑπομένειν ἄξιον τοὺς τῶν
ἱερῶν νόμων δικαιοσύνης καὶ εὐσεβείας ὑπερορῶντας καὶ ταῖς πολυθέοις
δόξαις ὑπαχθέντας, ὧν ἀθεότης τὸ τέλος, λήθῃ τῆς συγγενοῦς καὶ
πατρίου διδασκαλίας, ἣν ἐκ πρώτης ἡλικίας ἐπαιδεύθησαν τὴν τοῦ ἑνὸς
φύσιν τὸν ἀνωτάτω νομίζειν θεόν, ᾧ δεῖ μόνῳ προσκεκληρῶσθαι τοὺς
ἄπλαστον ἀλήθειαν ἀντὶ πεπλασμένων μύθων μεταδιώκοντας, οὐδὲν
163 ὑποστειλάμενος δεδήλωκα. ἐὰν μέντοι μὴ ἐπ' ὀλέθρῳ δέξωνται τὰς
δυνάμεις μᾶλλον ἢ νουθεσίᾳ καὶ καταιδεσθέντες ὅλῃ ψυχῇ μεταβάλωσι,
κακίσαντες μὲν αὑτοὺς τῆς πλάνης, ἐξαγορεύσαντες δὲ καὶ ὁμολογήσαντες
ὅσα ἥμαρτον καθ' αὑτοὺς διανοίᾳ κεκαθαρμένῃ τὸ πρῶτον εἰς τὸ τοῦ
συνειδότος ἀψευδὲς καὶ ἀνύπουλον, ἔπειτα καὶ γλώττῃ πρὸς βελτίωσιν
τῶν ἀκουόντων, εὐμενείας τεύξονται τῆς τοῦ σωτῆρος καὶ ἵλεω θεοῦ τῷ
γένει τῶν ἀνθρώπων ἐξαίρετον παρασχομένου καὶ μεγίστην δωρεάν, τὴν
πρὸς τὸν αὐτοῦ λόγον συγγένειαν, ἀφ' οὗ καθάπερ ἀρχετύπου γέγονεν
164 ὁ ἀνθρώπινος νοῦς· κἂν γὰρ ἐν ἐσχατιαῖς ὦσι γῆς δουλεύοντες παρὰ
τοῖς αἰχμαλώτους αὐτοὺς ἀπάγουσιν ἐχθροῖς, ὥσπερ ἀφ' ἑνὸς συνθήματος
ἡμέρᾳ μιᾷ πάντες ἐλευθερωθήσονται, τῆς ἀθρόας πρὸς ἀρετὴν μεταβολῆς
κατάπληξιν ἐργασαμένης τοῖς δεσπόταις· μεθήσονται γὰρ αὐτοὺς αἰδε-
165 σθέντες κρειττόνων ἄρχειν. (9.) ὅταν δὲ τύχωσι τῆς ἀπροσδοκήτου
ταύτης ἐλευθερίας, οἱ πρὸ μικροῦ σποράδες ἐν Ἑλλάδι καὶ βαρβάρῳ
κατὰ νήσους καὶ κατὰ ἠπείρους ἀναστάντες | ὁρμῇ μιᾷ πρὸς ἕνα συντε- p.436
νοῦσιν ἀλλαχόθεν ἄλλοι τὸν ἀποδειχθέντα χῶρον, ξεναγούμενοι πρός
τινος θειοτέρας ἢ κατὰ φύσιν ἀνθρωπίνην ὄψεως, ἀδήλου μὲν ἑτέροις,

1 καθ' ἕτερα A 2 λιπαίνει] λύει coni. Mang. 8 δεῖ] δὴ P 9 μύθων om. A 10 δεδήλωκα H[2]: δεδήλωκεν AH[1]P 11 δυνάμεις corruptum; δυσμενείας conicio, ἐπανατάσεις coni. Mang. μεταβάλωσι A: μεταβάλλωσι HP 12 αὑτοὺς H[2]: αὐτοὺς AH[1]P 13 καθ' αὑτοὺς A: καθ' αὑτῶν HP, καθ' ἑαυτῶν L (Turn.) 15 τοῦ A: ἐκ τοῦ HP (v) καὶ om. Richt. 16 καὶ om. H (Turn.) τὴν] ταῖς Richt. 16. 17 τὴν πρὸς τὴν αὑτοῦ συγγένειαν (om. λόγον) A 18 ἀνθρώπινος codd.: ἀνθρώπειος v 21 μεθήσονται] μαθήσονται L (Turn.) 22. 23 ἀπροσδοκήτου ταύτης om. A 23 σποράδην A 24 καὶ om. H[1]P alt. κατὰ om. A 24. 25 συντενοῦσιν Mang.: συντείνουσιν codd. 26 ἀνθρωπίνην Mang.: ἀνθρωπίνης codd.

13 sqq. Lev. 26,40. 44. Deut. 30,1—5.

μόνοις δὲ τοῖς ἀνασῳζομένοις ἐμφανοῦς, τρισὶ χρησάμενοι παρακλήτοις 166
τῶν πρὸς τὸν πατέρα καταλλαγῶν, ἑνὶ μὲν ἐπιεικείᾳ καὶ χρηστότητι τοῦ παρακαλουμένου συγγνώμην πρὸ τιμωρίας ἀεὶ τιθέντος, δευτέρῳ δὲ τῇ τῶν ἀρχηγετῶν τοῦ ἔθνους ὁσιότητι, ὅτι ταῖς ἀφειμέναις σωμάτων ψυχαῖς ἄπλαστον καὶ γυμνὴν ἐνδεικνύμενοι πρὸς τὸν ἄρχοντα θεραπείαν τὰς ὑπὲρ υἱῶν καὶ θυγατέρων ἱκετείας οὐκ ἀτελεῖς εἰώθασι ποιεῖσθαι, γέρας αὐτοῖς παρέχοντος τοῦ πατρὸς τὸ ἐπήκοον ἐν εὐχαῖς, τρίτῳ δὲ δι' ὃ μάλιστα 167
καὶ ἡ τῶν λεχθέντων εὐμένεια φθάνει προαπαντῶσα, τοῦτο δέ ἐστι βελτίωσις τῶν ἀγομένων εἰς σπονδὰς καὶ συμβάσεις, οἳ μόλις ἐξ ἀνοδίας εἰς ὁδὸν ἐδυνήθησαν ἐλθεῖν, ἧς τὸ πέρας οὐδὲν ἕτερον ἢ εὐαρεστεῖν τῷ θεῷ καθάπερ υἱοὺς πατρί. παραγενομένων δὲ πολισθήσονται πάλιν αἱ 168
ἐρείπιοι γενόμεναι πρὸ μικροῦ καὶ ἡ ἔρημος οἰκισθήσεται καὶ ἡ στειρωθεῖσα γῆ μεταβαλεῖ πρὸς εὐγονίαν· αἵ τε πατέρων καὶ προγόνων εὐτυχίαι βραχὺ μέρος εἶναι νομισθήσονται διὰ τὰς ἀφθόνους τῶν ἐν χερσὶ περιουσίας, αἳ καθάπερ ⟨ἀπ'⟩ ἀενάων πηγῶν τῶν τοῦ θεοῦ χαρίτων ῥέουσαι βαθὺν πλοῦτον ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσι κοινῇ περιποιήσουσι φθόνου κρείττονα. μεταβολὴ δὲ πάντων ἐξαπιναίως ἔσται· τρέψει γὰρ 169
ὁ θεὸς τὰς ἀρὰς ἐπὶ τοὺς ⟨τῶν⟩ μετανενοηκότων ἐχθρούς, οἵτινες κακοπραγίαις τοῦ ἔθνους ἐφήδοντο καταχερτομοῦντες καὶ ἐπιχλευάζοντες, ὡς αὐτοὶ μὲν ἀκαθαίρετον ἕξοντες κλῆρον εὐτυχίας, ὃν παισὶ καὶ ἐκγόνοις κατὰ διαδοχὴν ἀπολείψειν ἤλπισαν, αἰεὶ δὲ ἐποψόμενοι τοὺς ἀντιπάλους ἐν βεβαίῳ καὶ ἀκλινεῖ δυστυχίᾳ ταμιευθησομένῃ καὶ ταῖς ἔπειτα γενεαῖς, ὑπὸ φρενοβλαβείας οὐ συνιέντες ὅτι καὶ τῆς πρὸ μικροῦ λαμπρότητος 170
ἀπέλαυσαν οὐ δι' αὐτοὺς ἀλλὰ διὰ νουθεσίαν ἑτέρων, οἷς τὰ πάτρια καταλύσασι φάρμακον ἀνευρέθη σωτήριον, λύπη, τὰ τῶν δυσμενῶν

γρησάμενοι codd.: χρησόμενοι v 3 ante συγγνώμην add. ὃς H² (v) ‹τιθ›έντος AP: τίθεται H (v) δευτέρω A: δευτέρου HP 5 ἐνδεικνύμενοι HP ‹(T›urn.): ἐνδεικνυμέναις A (ἐπιδεικνυμέναις Mang.) 6 εἰώθασι HP: εἰωθὸς A; ἔθος ‹co›ni. Mang. αὐτοῖς HP: αὐταῖς A 7 παρέχοντες P ὑπήκοον A ‹...›τον A 10 ἠδυνήθησαν codd. (v) 11 πολισθήσονται] πόλεις κτισθήσονται ‹co›ni. Mang. 12 γινόμεναι H¹P 15 ἀπ' add. Mang. ἀεννάων ‹co›dd. (v) τῶν A: om. HP (v) 16 πᾶσι om. A 17 τρέψει H: ‹...›πει AP 18 ἀρὰς AH²: ἀρετὰς H¹PL (Turn.) τῶν addidi ἀκαθαίρετον] ἀναφαίρετον coni. Mang. κλῆρον Mang.: καιρὸν codd. ‹και›ρὸν ἕξοντες transp. A ἐγγόνοις A 21 ἀντιπάλους] ἀεννάους A ταμιευσομένη A 24 ἀπήλαυσαν codd. (v) αὐτοὺς AH²: αὐτοὺς H¹P ‹(α›ὐτοὺς v) 25 ἂν εὑρεθῆ A τὰ codd.: om. v

---

14 Deut. 30,5. 17. 18 Deut. 30,7.

ἀγαθὰ περιαλγήσασι· κλαύσαντες οὖν καὶ στενάξαντες τὴν ἰδίαν τροπὴν
ἐπὶ τὴν ἀρχαίαν καὶ προγονικὴν ἀνακάμψουσιν εὐτυχίαν διαυλοδρομή-
171 σαντες, οἷς μὴ εἰς ἅπαν ἐξοκεῖλαι συνέβη. οἱ δὲ γελάσαντες τὰς ὀλο-
φύρσεις ἐκείνων καὶ δημοτελεῖς ἑορτὰς ἄγειν ψηφισάμενοι τὰς ἀποφράδας
αὐτῶν καὶ τὰ πένθη κατευωχηθέντες καὶ συνόλως | τὴν ἑτέρων κακοδαι- p. 437
μονίαν εὐδαιμονήσαντες, ὅταν ἄρξωνται κομίζεσθαι τὰ ἐπίχειρα τῆς
ὠμότητος, αἰσθήσονται διότι οὐκ εἰς ἀφανεῖς καὶ ἠμελημένους ἐξημάρ-
τανον, ἀλλ' εἰς εὐπατρίδας ἔχοντας ἐναύσματα τῆς εὐγενείας, ἀφ' ὧν
172 ἀναρριπισθέντων ἐξέλαμψεν ἡ πρὸ μικροῦ σβεσθεῖσα εὔκλεια. καθάπερ
γὰρ ὑποτμηθέντων τῶν στελεχῶν, ὅταν μὴ ἀφαιρεθῶσιν αἱ ῥίζαι, νέα
ἔρνη βλαστάνει, ὑφ' ὧν τὰ γεράνδρυα παρευημερεῖται, τὸν αὐτὸν τρόπον
καὶ ἐν ψυχαῖς βραχυτάτου σπέρματος τῶν εἰς ἀρετὴν ὑπολειφθέντος,
ἄλλων περιαιρεθέντων, οὐδὲν ἧττον ἀπὸ τοῦ βραχέος φύεται τὰ τιμιώ-
τατα καὶ κάλλιστα τῶν ἐν ἀνθρώποις, δι' ἃ πάλιν εὐανδροῦσαι [αἱ]
πόλεις συνοικίζονται καὶ ἔθνη πρὸς πολυανθρωπίαν ἐπιδίδωσιν.

3 ἐξοκεῖλαι A: ἐξωκεῖλαι HP (Turn.) γελάσαντες HP: τελέσαντες A 4 ἀποφράδας HP: ἀποσφραγῖδας A 5 τὴν] τῆς P 6 εὐδαιμονίσαντες Turn. κομίζειν A τἀπίχειρα HP 7 διότι] ὅτι conicio 8 ἐναύσματα HP: ἀναβάσματα A 9 σβεσθεῖσα HP: συνεθισθεῖσα A 10 τῶν om. HP (Turn.) μὴ om. H[1]P 11 βλαστάνει scripsi: βλαστάνουσιν codd. τὰ μελάνδρυα A 12 βραχυτάτου σπέρματος A: βραχύτατον σπέρμα HP (βραχυτάτων σπερμάτων Turn.) ὑπολειφθέντος A: ὑπολειφθέντων HP (Turn.) 13 περαιωθέντων A 14 αἱ seclusi 15 συνοικίζονται om. A ἐπιδιδόασιν A

[illegible] θερμόν· [illegible] φθαρτικὸν τοῦ θερμοῦ [illegible]
[illegible] στοιχείου· ἐπεὶ
[illegible]
[illegible] πρότερον· ἐπεὶ δὲ [illegible]
[illegible] καὶ ἄρτι [illegible] πέφυκεν· ἐπεὶ
[illegible] πέφυκεν [illegible] ἐπεὶ
[illegible] ψυχρὸν [illegible] θερμόν· καὶ αὐτὸ
[illegible] λοιπόν· οὐκοῦν [illegible] ψυχρὸν [illegible]
[illegible] ἐπεὶ [illegible] φλέγμα [illegible]
[illegible] στοιχεῖον [illegible] ἐπεὶ [illegible] πρότερον
[illegible] θερμὸν [illegible] πέφυκεν [illegible]
[illegible] φλέγμα [illegible] ψυχρὸν [illegible] διό
[illegible] ψυχρὸν [illegible]
[illegible] ψυχρὸν [illegible]
[illegible] λοιπόν· [illegible]
[illegible] ψυχρόν τε καὶ ὑγρόν, ἀλλὰ καὶ ξηρὸν καὶ θερμόν·
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

M. Pf.

Euripidis tragoediae ex recensione Adolphi Kirchhoffii. Vol. I. II. 8. 1855 . 15.—

Euting, J., Nabatäische Inschriften aus Arabien, herausgegeben mit Unterstützung der Königlich Preußischen Akademie der Wissenschaften. Mit 29 Lichtdrucktafeln. 4. 1885. geb. . . . 24.—

— Sinaïtische Inschriften. Herausgegeben mit Unterstützung der Königlich Preußischen Akademie der Wissenschaften. Mit 40 Tafeln. 4. 1891. geb. . . . 24.—

Exempla scripturae epigraphicae Latinae a Caesaris dictatoris morte ad aetatem Iustiniani, consilio et auctoritate academiae litterarum regiae Borussicae edidit E. Hübner. Auctarium Corp. inscr. Lat. 4. 1885. geb. . . . 46.—

Frontonis, M. Cornelii, Reliquiae. Edid. suisque et Buttmanni, Heindorfii, Maji cet. animadvers. instruxit B. G. Niebuhr. Acced. Q. Aurel. Symmachi orat. fragm. 2.—

Harder, G., Index Lucilianus. Supplementum editionis Lachmannianae. 8. 1878 1.—

— Index copiosus ad K. Lachmanni commentarium in T. Lucretii Cari de rerum natura libros. 8. 1882 . . . 1.—

Harpocration et **Moeris.** Ex recens. I. Bekkeri. 8. 1883 . . . 2.—

Hecataei Milesii Fragmenta. Scylacis Caryandensis Periplus. Edid. R. H. Klausen. Addita est tabula geogr. 8. 1831 . . . 2.—

Hölscher, L., De vita et scriptis Lysiae oratoris. 8. 1837 . . . 3.50

Jacob, A., Über die Entstehung der Ilias und der Odyssee. 8. 1856 . . (6.75) 4.—

Imagines inscriptionum Graecarum antiquissimarum in usum scholarum anno 1894 iterum composuit et iam auxit supplementis Thebaeis et Maliis Herm. Roehl. 4. 1898 . . . 6.—

Inschriften, die, von Pergamon. Unter Mitwirkung von Ernst Fabricius u. Carl Schuchhardt herausgeg. von Max Fraenkel. 4. 2 Bände.
I. Bis zum Ende der Königszeit m. Abbildungen und 1 Karte gebd. 1890 50.—
II. Römische Zeit — Inschriften auf Ton mit Abbildung. u. 1 Karte gebd. 1895 70.—

Inscriptiones Hispaniae Christianae edidit Aem. Hübner; adjecta est tabula geographica. 4. 1871. Kart. . . . 9.—

— Inscriptionum Hispaniae Christianarum supplementum ed. Aem. Hübner. 4. 1900 24.—

— **Britanniae Christianae** ed. Aem. Hübner. Adjectae sunt tabulae geographicae duae. Accedit supplementum inscriptionum Christianarum Hispaniae. 4. 1876. Kart. 14.—

— **Graecae** editae consilio et auctoritate academiae regiae Borussicae.
Verzeichnis der erschienenen Bände zu Diensten.

— **Graecae antiquissimae** praeter Atticas in Attica repertas. Consilio et auctoritate academiae litterarum regiae Borussicae ed. Herm. Roehl. Fol. 1882. Kart. . . 16.—

Kalkmann, A., Pausanias der Perieget. Untersuchungen über seine Schriftstellerei und seine Quellen. 8. 1886 . . . (8.—) 5.—

Kirchner, J., Prosopographia Attica. 2 vol. gr. 8. 1901 u. 1903. . . . 52.—

Klebs, El., Die Erzählung von Apollonius aus Tyrus. Eine geschichtliche Untersuchung über ihre lateinische Urform und ihre späteren Bearbeitungen. 8. 1899 10.—

Lachmann, K., Betrachtungen über Homers Ilias. Mit Zusätzen von M. Haupt. 3. Aufl. 8. 1874 . . . 1.50

— de choricis systematis tragicorum graecorum libri IV. 8. 1819 . . . 2.—

— de mensura tragoediarum liber singularis. 8. 1822. . . . —.60

— in T. Lucretii Cari de rerum natura libros commentarius quartum editus. 8. 1882 7.—

Lange, Fr., Geschichten aus d. Herodot. Ein Lesebuch. 4. Aufl. 8. 1878 . . . 2.25

Larfeld, W., Sylloge inscriptionum Boeoticarum dialectum popularem exhibentium composuit adnotavit apparatu critico instruxit. Praemittitur de dialecti Boeoticae mutationibus dissertatio. 8. 1883 . . . (10.—) 6.—

Livii, T., ab urbe condita libri. Recogn. I. Bekkerus. Selectas virorum doctorum notas in usum scholarum addid. M. F. E. Raschig. Ed. stereot. 3 partes. 8. 9.—

Lucilii, C., Saturarum. Carolus Lachmannus emendavit. 8. 1876 . . . 2.—

Lucreti, T. C., de rerum natura libri sex. Carolus Lachmannus recens. et emendavit. Editio quarta. 8. 1871 . . . 4.—

Lucretius, Titus Carus. Das Wesen der Dinge metrisch übersetzt von Gustav Bossart-Oerden. 8. 1865 . . . 3.50

Manilii, M., Astronomicon libri V. Recensuit Fr. Jacob. Mit 4 Tafeln. 8. 1846 . 3.—

Maximaltarif, der, des Diocletian. Herausgegeben von Th. Mommsen. Erläutert von H. Blümner. 4. 1893 . . . 14.—

Monumenta linguae Ibericae edidit Aemilius Hübner. Adjecta est tabula geographica. 4. 1893. Kart. . . . 48.—

Monumenta epigraphica priscae latinitatis ad archetyporum fidem exemplis lithographis repraesentata ed. Fr. Ritschelius. fol. 1862 . . . .
Niebuhr, B. G., Histor. und philolog. Vorträge an der Universität zu Bonn gehalten. 4 Abteilungen in 8 Bänden. 8. 1846—1858 . . . .
Philonis de aeternitate mundi. Edidit et prolegomenis instruxit Franciscus Cumont
— mechanicae syntaxis libri quartus et quintus. Recensuit Rich. Schoene. 8. 1893
Philonis Alexandrini opera quae supersunt ed L. Cohn et P. Wendland. Vol. I. Mit 1 Tafel. 8. 1896 9.—, vol. II. 8. 1897 9.—, vol. III. 8. 1898 9.—, vol. IV. 8. 1902 10.—.
— — Editio minor. Rec. L. Cohn et P. Wendland. Vol. I. 8. 1896 1.60, vol. II. 8. 1897 2.—, vol. III. 8. 1899 2.—, vol. IV. 8. 1902 2.—.
Platonis dialogi. Graece et Latine. Ex recensione Imm. Bekkeri. 8 vol. 1816 u. 1817. Commentaria critica et scholia. 2 vol. 8. 1823 . . . .
Platon's Werke von F. Schleiermacher. 3. Aufl. I—III. Tl. I. Band. 8. 1855—1862
Polybii historiarum excerpta gnomica. In palimpsesto vaticano LXXIII. Ang. Maii curis resignato retractavit Th. Heyse. 4. 1846 . . . .
Polybius ex recognitione I. Bekkeri. 2 vol. 8. 1844 . . . .
Prodromus corporis juris civilis, a Schradero, Tafelio, Clossio edendi. 8. 1823 . .
Prosopographia Imperii Romani Saec. I. II. III edita consilio et auctoritate academiae scientiarum regiae Borussicae. Lex. 8. 1897—1898.
Vol. I. edidit Elimar Klebs. 1897 . . . .
Vol. II. edidit Hermann Dessau. 1897 . . . .
Vol. III. ed. P. v. Rohden et H. Dessau. 8. 1898 . . . .
Schmidt, G. M., diatribe in dithyrambum poetarumque dithyrambicorum reliquias
Schriften, die, der römischen Feldmesser. Herausg. und erläutert von F. Blume, K. Lachmann und A. Rudorff. 2 Bände. 8. Bd. I. 1848 (vergriffen) 6.—, Bd. II. 1852 . . . .
Schwalbe, B., Griechisches Elementarbuch. Grundzüge des Griechischen zur Einführung in das Verständnis der aus dem Griechischen stammenden Fremdwörter. 8. 1887 . . . . 2.40, geb. in Lwd.
Schwartz, E., Scholia in Euripidem. Vol. I. Scholia in Hecubam Orestem Phoenissas
— — Vol. II. Scholia in Hippolytum Medeam Alcestin Andromacham Rhesum Troades
— Fünf Vorträge über den griechischen Roman. 8. 1896 . . . .
Sextus Empiricus ex recensione Imm. Bekkeri. 8. 1842 . . . .
Sophokles, Tragödien, deutsch von W. Jordan. 2. Teile. 8. 1862 . . . . . .
Staedler, K., die Oden des Horaz. In Reimstrophen verdeutscht und zu einem Lebensbilde des Dichters geordnet. 8. 1901 . . . . 2.—, geb.
Stephani Byzantii ethnicorum quae supersunt. Ex rec. A. Meinekii. Tom. I. 8. 1850
Supplementum Aristotelicum editum consilio et auctoritate academiae litterarum regiae Borussicae. 8.
Verzeichnis der erschienenen Bände zu Diensten.
Terentiani Mauri de litteris syllabis et metris liber, recensuit C. Lachmannus. 12. 1836 . . . .
Terentii commoediae ex recensione Rich. Bentleji, ictus per accentus acutos expressi sunt, discentium commodo. 8. 1820 . . . .
Thucydidis de bello Peloponnesiaco libri octo. Iterum recensuit Immanuel Bekker. Ed. ster. tertia. 8. 1892. . . . .
Valeri Maximi factorum et dictorum memorabilium libri novem cum incerti auctoris fragmento de praenominibus recens. et emend. C. Kempfius. 8. 1854 . . .
Vocabularium jurisprudentiae Romanae jussu instituti Savigniani compositum. Tomus I. A—C. 4. 1903 . . . .
Voigt, G., Die Wiederbelebung des klassischen Altertums oder das erste Jahrhundert des Humanismus. 3. Auflage besorgt von Max Lehnerdt. 2 Bände. 8. 1893 20.—, geb.
Wendland, P., Neu entdeckte Fragmente Philos. Nebst einer Untersuchung über die ursprüngliche Gestalt der Schrift de sarcificiis Abelis et Caini. 8. 1891 .
— und **O. Kern,** Beiträge zur Geschichte der griechischen Philosophie und Religion
Wolf, F. A., Von einer milden Stiftung Trajans, vorzüglich nach Inschriften. Eine Vorlesung in der Akademie der Wissenschaften gehalten. 4. 1808 . . . . .


3 2044 054 757 604